This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

WIDENER LIBRARY
HX Q2RJ

Gt 55.130

HARVARD
COLLEGE
LIBRARY

THUCYDIDIS

DE

BELLO PELOPONNESIACO

LIBRI OCTO.

EX RECENSIONE

IMMANUELIS BEKKERI.

ACCEDUNT

SCHOLIA GRÆCA ET DUKERI WASSIIQUE ANNOTATIONES.

VOL. II.

OXONII,

APUD J. PARKER; ET R. BLISS:

LONDINI, APUD G. ET W. B. WHITTAKER: CANTABRIGIÆ,

APUD J. DEIGHTON ET FIL.

1821.

Gr. 55. 130

Excudebant S. et J. Collingwood, Oxonii.

ΘΟΥΚΥΔΙΔΟΥ ΞΥΓΓΡΑΦΗΣ

Δ.

Τοῦ δ' ἐπιγιγνομένου θέρους, περὶ σίτου ἐκβολήν, Συ- 1.
ρακοσίων δέκα νῆες πλεύσασαι καὶ Λοκρίδες ἴσαι Μεσ- Syracusii cum Locris Messenam, ab Atheniensibus deficientem, recipiunt, Rhegiumque Locri adoriuntur.
σήνην τὴν ἐν Σικελίᾳ κατέλαβον, αὐτῶν ἐπαγαγομένων, καὶ ἀπέστη Μεσσήνη Ἀθηναίων. ἔπραξαν δὲ τοῦτο μά-
λιστα οἱ μὲν Συρακόσιοι ὁρῶντες προσβολὴν ἔχον τὸ χω-
ρίον τῆς Σικελίας, καὶ φοβούμενοι τοὺς Ἀθηναίους, μὴ ἐξ αὐτοῦ ὁρμώμενοί ποτε σφίσι μείζονι παρασκευῇ ἐπέλ-
θωσιν, οἱ δὲ Λοκροὶ κατὰ ἔχθος τὸ Ῥηγίνων, βουλόμενοι ἀμφοτέρωθεν αὐτοὺς καταπολεμεῖν. καὶ ἐσεβεβλήκεσαν
ἅμα ἐς τὴν Ῥηγίνων οἱ Λοκροὶ πανστρατιᾷ, ἵνα μὴ ἐπι-
βοηθῶσι τοῖς Μεσσηνίοις, ἅμα δὲ καὶ ζυνεπαγόντων Ῥη-
γίνων φυγάδων, οἳ ἦσαν παρ' αὐτοῖς· τὸ γὰρ Ῥήγιον ἐπὶ πολὺν χρόνον ἐστασίαζε, καὶ ἀδύνατα ἦν ἐν τῷ παρόντι

1. Περὶ σίτου ἐκβολ.] σίτου ἐκβολὴν τὴν τῶν σταχύων ἐκ τῶν καλύκων γένεσιν φησίν. ἐπιφέρει γάρ "ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ ἦρος." ἦρος δὲ στάχυες ἐκφύονται. ἤγουν, ὅτε ὁ στάχυς δημιουργεῖται, καὶ ἤδη πραβάλλεται ἤγουν ἐκβάλλεται, ἔχων τὸν κόκκον τοῦ σίτου διατετυπωμένον, οὔπω δὲ εἰς ἀκμὴν πραχθέντα. 3. Αὐτῶν] ἤγουν τῶν Μεσσηνίων. 5. Προσβολὴν] ἤγουν τόπων ἐπικαιρότατον, ἀφ' οὗ ἔστιν ἐξορμᾶν κατὰ τῆς Σικελίας. Ἡ προσβολὴν ἀντὶ τοῦ προσόρμισιν καὶ ἔφοδον τῆς Σικελίας, ἢ πρὸς τὴν Σικελίαν. Τὸ χωρίον] ἤγουν τὴν Μεσσήνην. 7. Ἐξ αὐτοῦ ὁρμώμενοι] ἤγουν ὡς ὁρμητηρίῳ χρώμενοι. Σφίσι] τοῖς Συρακουσίοις. 8. Βουλόμενοι ἀμφοτέρωθεν] θέλοντες οἱ Λοκροὶ ἀμφοτέρωθεν καταπολεμεῖν. ἀμφοτέρωθεν δὲ λέγει, ἔκ τε τῆς γῆς ἑαυτῶν, τῆς Λοκρίδος, καὶ ἐκ θαλάσσης. 10. Ἵνα μὴ ἐπιβοηθῶ-

1. ἐπιγενομένου c.
ἐκβολὴν] Eustath. p. 1405. ὅ ἐστιν, ἡ πρώτη ἐκ τῆς κάλυκος τῶν ἀσταχύων ἔκφυσις. Wass. Add. Suidam in *σίτου*, et Polluc. I. 61. Duk.
2. ἐσελεύσασαι h.
λοκρίδος d.
3. ἐπαγομένων I.d.e.
7. αὐτῶν e.
8. τὸ] τῶν K.
9. ἐσβεβλήκεσαν c.f.
10. στρατιᾷ e.
13. ἀδύνατον g.

τοὺς Λοκροὺς ἀμύνεσθαι, ἢ καὶ μᾶλλον ἐπετίθεντο. δηώσαντες δὲ οἱ μὲν Λοκροὶ τῷ πεζῷ ἀπεχώρησαν, αἱ δὲ νῆες Μεσσήνην ἐφρούρουν· καὶ ἄλλαι αἱ πληρούμεναι ἔμελλον, αὐτόσε ἐγκαθορμισάμεναι, τὸν πόλεμον ἐντεῦθεν ποιήσεσθαι.

2. Eodem tempore, vere, Peloponnesii in Atticam invadunt, duce Agide, eamque vastant. Athenienses XL. naves, in Siciliam destinatas, ducibus Eurymedonte et Sophocle, mittunt, mandantes, ut præter-euntes Corcyram teneant, quo Peloponnesiorum classis in auxilium exsulum devecta erat. Demosthenes, tum privatus, eam classem Athenien-

* Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ ἦρος, πρὶν τὸν σῖτον ἐν ἀκμῇ εἶναι, Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐσέβαλον ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ Ἄγις ὁ Ἀρχιδάμου Λακεδαιμονίων βασιλεύς· καὶ ἐγκαθεζόμενοι ἐδῄουν τὴν γῆν. Ἀθηναῖοι δὲ τάς τε τεσσαράκοντα ναῦς ἐς Σικελίαν ἀπέστειλαν, ὥσπερ παρεσκευάζοντο, καὶ στρατηγοὺς τοὺς ὑπολοίπους, Εὐρυμέδοντα καὶ Σοφοκλέα· Πυθόδωρος γὰρ ὁ τρίτος αὐτῶν ἤδη προαφῖκτο ἐς Σικελίαν. εἶπον δὲ τούτοις καὶ Κερκυραίων ἅμα παραπλέοντας τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι, οἳ ἐληστεύοντο ὑπὸ τῶν ἐν τῷ ὄρει φυγάδων· καὶ Πελοποννησίων αὐτόσε νῆες ἐξήκοντα παρ-

σιν] οἱ Ῥηγῖνοι δηλονότι. 1. Καὶ ἐπετίθεντο] οἱ Λοκροὶ τοῖς Ῥηγίνοις, διὰ τὴν αἰτίαν ταύτην, ὅτι ἐστασίαζον. Δηώσαντες δὲ] τὴν γῆν τῶν Ῥηγίνων. 4. Ἐντεῦθεν] ἀπὸ τῆς Μεσσήνης. 6. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους] ἤγουν κατὰ τὸν αὐτὸν ἐαρινὸν χρόνον. 13. Τούτοις] τοῖς στρατηγοῖς. 14. Καὶ Κερκυραίων ἅμα] περιττὸς ὁ καί. Παραπλέοντας] τὸ ἑξῆς ἦν, παραπλέουσι, ait Scholiastes. Eamdem mutationem casus participii observat II. 11. in his: Πᾶσι γὰρ, ἐν τοῖς ὄμμασι καὶ ἐν τῷ παραυτίκα ὁρᾷν πάσχοντάς τι ἀηθὲς, ὀργὴ προσπίπτει. Nec infrequens est apud alios. Aristophan. Equitib. 1391. Νῦν οὖν ἐγώ σοι παραδίδωμ' εἰς τοὺς ἀγροὺς Αἰτὰς ἰέναι λαβόντα. Lucian de Electr. p. 370. Οἷς ἐξῆν πλουτεῖν ἀναλέγοντας τῶν αἰγείρων τὰ δάκρυα. Ex illis, εἶπον δὲ— ἐπιμεληθῆναι, usum verbi εἰπεῖν cum Infinitivo ostendit Thomas Mag. in βούλομαι. Duk.

1. τοὺς om. L.O.P.
ἦ] οἱ f.
καὶ μᾶλλον A.B.F.H.K.L.O. P.c.d.e.f.g.h. καὶ μᾶλλον καὶ Q. vulgo μᾶλλον καί.
3. αἱ ἄλλαι πληρούμεναι K.
4. ἐγκαθορμησάμεναι B.
8. ὁ ἄγις ὁ B.
10. τὰς om. P.
τε om. L.N.
ἐς τὴν σικελίαν c.
12. γὰρ] δὲ L.
13. προαφίκετο N. προσαφῖκτο K.
14. καὶ om. d.i.
Παραπλέοντας] Pro παραπλέουσι,
16. παραπεπλεύκεσαν g. παρεπλεύκεσαν K.

ἐπεπλεύκεσαν τοῖς ἐν τῷ ὄρει τιμωροὶ, καὶ λιμοῦ ὄντος μεγάλου ἐν τῇ πόλει νομίζοντες κατασχήσειν ῥᾳδίως τὰ πράγματα. Δημοσθένει δὲ, ὅτι ἰδιώτῃ μετὰ τὴν ἀναχώρησιν τὴν ἐξ Ἀκαρνανίας, αὐτῷ δεηθέντι εἶπον χρῆσθαι ταῖς ναυσὶ ταύταις, ἣν βούληται, περὶ τὴν Πελοπόννησον. * καὶ ὡς ἐγένοντο πλέοντες κατὰ τὴν Λακωνικὴν, καὶ ἐπυνθάνοντο ὅτι αἱ νῆες ἐν Κερκύρᾳ ἤδη εἰσὶ τῶν Πελοποννησίων, ὁ μὲν Εὐρυμέδων καὶ Σοφοκλῆς ἠπείγοντο ἐς τὴν Κέρκυραν, ὁ δὲ Δημοσθένης ἐς τὴν Πύλον πρῶτον ἐκέλευε σχόντας αὐτοὺς, καὶ πράξοντας ἃ δεῖ, τὸν πλοῦν ποιεῖσθαι· ἀντιλεγόντων δὲ κατὰ τύχην χειμὼν ἐπιγενόμενος κατήνεγκε τὰς ναῦς ἐς τὴν Πύλον. καὶ ὁ Δημοσθένης εὐθὺς ἠξίου τειχίζεσθαι τὸ χωρίον (ἐπὶ τούτῳ γὰρ ξυνεκπλεῦσαι), καὶ ἀπέφαινε πολλὴν εὐπορίαν ξύλων τε καὶ λίθων, καὶ φύσει καρτερὸν ὂν καὶ ἔρημον αὐτό τε καὶ

sium comitatur, ut ea circum Peloponnesum utatur, quemadmodum voluerit.

3. Itaque cum circa Laconicam navigarent, Eurymedonte et Sophocle in Corcyram properantibus, suadet Demosthenes, ut prius quam eo progrederentur, Pylum munirent, et commoda inde reditura demonstrat.

σω· ἀλλὰ μεταβάσει ἐχρήσατο ἀπὸ δοτικῆς ἐπὶ αἰτιατικήν. 1. Τιμωροὶ] οἱ Πελοποννήσιοι δηλονότι. 3. Ὄντι ἰδιώτῃ] ἦγουν, ἔξω ὄντι ἀρχῆς. 6. Ἐγένοντο πλέοντες] ἦγουν παρεγένοντο οἱ Ἀθηναῖοι. 11. Ἀντιλεγόντων δὲ] τῶν στρατηγῶν δηλονότι. Κατὰ τύχην] κατά τι συμβεβηκὸς τυχηρόν. 13. Τὸ χωρίον] τὸ περίμετρον τῆς Πύλου. Ἐπὶ τούτῳ γὰρ] ἦγουν ἕνεκα τοῦ

1. λειμοῦ g.

4. δεηθέντι] δεηθέν τι K.

5. ταῖς ναυσὶ ταύταις] om. H.

Ταῖς ναυσὶ ταύταις] Cum illis, puto, quae Acarnanibus adversus Ambraciotas auxilio venerant, quas, victis Ambraciotis, Demosthenes Athenas reduxerat. lib. III. cap. 107. et 114. De Demosthene non recte Scholiasta Aristoph. Equit. 55. ἀποσταλεὶς εἰς Σικελίαν, διὰ τὸν αὐτόθι πόλεμον. Sunt et alii ibi illius errores, veluti, quod Pylum confundit cum Πύλαις, ubi Leonidas cecidit, quo nomine etiam eum notat Holsten. ad Steph. Πύλαι, v. et quod Leonidam Macedonum et Lacedæmoniorum Regem vocat. Duk.

τὴν om. A.

8. καὶ σοφοκλῆς A.B.F.H.K. L.N.P.c.e.f.h. vulgo καὶ ὁ σοφοκλῆς.

ἠπείγοντο] ὑπήγοντο N.g.

9. ἐπὶ P.

10. ποιεῖσθαι τὸν πλοῦν f.

12. ἐς] ἐπὶ L.O.i.

13. τοῦτο A.B.I.K.i.

ξυνέπλευσε A.B.F.H.I.L.N.O. P.d.g.i.

15. καὶ ante φύσει om. B.h.

καρτερικὸν L. κρατερὸν i.

αὐτῷ N.

τε] τότε A.B.F.H.L.N.Q.h.

ἐπὶ πολὺ τῆς χώρας· ἀπέχει γὰρ σταδίους μάλιστα ἡ Πύλος τῆς Σπάρτης τετρακοσίους, καὶ ἔστιν ἐν τῇ Μεσσηνίᾳ ποτὲ οὔσῃ γῇ, καλοῦσι δὲ αὐτὴν οἱ Λακεδαιμόνιοι Κορυφάσιον. οἱ δὲ πολλὰς ἔφασαν εἶναι ἄκρας ἐρήμους τῆς Πελοποννήσου, ἣν βούληται καταλαμβάνων τὴν πό- 5
λιν δαπανᾶν. τῷ δὲ διάφορόν τι ἐδόκει εἶναι τοῦτο τὸ χωρίον ἑτέρου μᾶλλον, λιμένος τε προσόντος, καὶ τοὺς Μεσ-

τειχισθῆναι. 6. Διάφορόν τι] ἐπιτήδειον, κρεῖττον. 7. Καὶ τοὺς Μεσσηνίους οἰκείους ὄντας] ἔνιοι ἤκουσαν καὶ Μεσσηνίους οἰκείους ὄντας αὐτῷ τῷ Δημοσθένει· ἄμεινον δὲ, αὐτῷ τῷ χωρίῳ. οἱ γὰρ μετὰ τοῦ Δημοσθένους ἐληλυθότες ἐκ Ναυπάκτου Μεσσήνιοι, συγγενεῖς ὄντες τοῖς περὶ τὴν Πύλον οἰκοῦσι Μεσσηνίοις, καὶ ὁμόφωνοι τοῖς Λακεδαιμονίοις τυγχάνοντες, ἔμελλον, ὁρμώμενοι ἐκ τῆς Πύλου, πλεῖστα βλάπτειν τὴν Λακωνικὴν, οὐ διαγιγνωσκόμενοι διὰ

1. ἀπέχει γὰρ ἡ πύλος d.i. ἀπέχει δὲ ἡ πύλος σταδίους τῆς σπάρτης μάλιστα τετρακοσίους L.O. ἀπέχει γὰρ πύλος στ. τῆς σπ. μ.τ.P.

3. Καλοῦσι δὲ αὐτὴν] Non Pylum, sed illam partem agri Messeniaci, in quo Pylus sita est. Ita Holstenius ad Stephan. v. Πύλος. Etiam Pausanias Messen. XXXVI. promontorium vocat Coryphasium, et in eo Pylum a promontorio Coryphasio distinguit. Item Strabo VIII. 348. Et Stephanus in Κορυφάσιον. Idem tamen v. Πύλος: Πύλος πόλις ἐν Μεσσήνῃ. Ἐκαλεῖτο δὲ Κορυφάσιον. Et Scholiastes Thucyd. ad V. 18. Coryphasium exponit Pylum. Non necessaria quidem videri possit illa interpretatio. Nam ibi nomine Coryphasii, quod restitui Lacedæmoniis inter eos et Athenienses convenerat, contineri potest Pylus, quæ erat in promontorio Coryphasio. Sed confirmat quodammodo Scholiastæ interpretationem ipse Thucydides, qui deinde cap. 35. scribit, Athenienses Lacedæmoniis ex legibus pacis non voluisse reddere Pylum. Casaubonus quoque ad Strabon. VIII. 359. verba hæc Thucydidis καλοῦσι δὲ αὐτὴν, non ad proxime præcedentia ἐν τῇ Μεσσηνίων γῇ sed ad ipsam Pylum refert; quam quia Strabo sub Coryphasio fuisse dicit, ideo ipsam etiam Coryphasium dictam putat. Duk.

6. Δαπανᾷν] Hoc est, inquit Suidas, nostrum laudans, h. v. εἰς ἀναλώματα μεγάλα ἐμβάλλειν. infra μέχρι lego contra Codices, quomodo et Herodotus. vid. Eustath. et T. Magist. Wass. Thomas scribit, Thucydidem semper dicere μέχρι etiam sequente vocali, ceteros tantum sequente consonante. Phrynichus ubique μέχρι et ἄχρι dici jubet, ac μέχρις et ἄχρις ἀδόκιμα pronunciat. Vid. ibi Nunnes. Liber Cass. quamplurimis locis habet μέχρι sequente vocali. Duk.

διαφέρον c.e.

7. Τοὺς Μεσσηνίους οἰκείους ὄντας] Non liquet, Demosthenem secum adduxisse Messenios a Naupacto, quod hic dicit Scho-

σηνίους οἰκείους ὄντας αὐτῷ τὸ ἀρχαῖον καὶ ὁμοφώνους τοῖς Λακεδαιμονίοις πλεῖστ' ἂν βλάπτειν ἐξ αὐτοῦ ὁρμωμένους, καὶ βεβαίους ἅμα τοῦ χωρίου φύλακας ἔσεσθαι. * ὡς δὲ οὐκ ἔπειθεν οὔτε τοὺς στρατηγοὺς οὔτε τοὺς στρατιώτας, ὕστερον καὶ τοῖς ταξιάρχοις κοινώσας, ἡσύχαζεν ὑπὸ ἀπλοίας, μέχρι αὐτοῖς τοῖς στρατιώταις σχολάζουσιν ὁρμὴ ἐσέπεσε περιστᾶσιν ἐκτειχίσαι τὸ χωρίον. καὶ ἐγχειρήσαντες εἰργάζοντο, σιδήρια μὲν λιθουργὰ οὐκ ἔχοντες, λογάδην δὲ φέροντες λίθους, καὶ ξυνετίθεσαν ὡς ἕκαστόν τι ξυμβαίνοι· καὶ τὸν πηλὸν, εἴ που δέοι χρῆσθαι, ἀγγείων ἀπορίᾳ ἐπὶ τοῦ νώτου ἔφερον, ἐγκεκυφότες τε, ὡς μάλιστα μέλλοι ἐπιμένειν, καὶ τῷ χεῖρε ἐς τοὐπίσω ξυμπλέκοντες, ὅπως μὴ ἀποπίπτοι. παντί τε τρό-

4. Sed adversantibus ei non solum ducibus, verum etiam militibus, tandem, cum diutius propter tempestatem morandum esset, milites in animum inducunt, urbem munire, idque multa con-

τὴν ὁμοφωνίαν, εἴτε πολέμιοί εἰσιν εἴτε οἰκεῖοι. 8. Ἐγχειρήσαντες] χεῖρας ἐνθέντες τῇ πράξει. Λιθουργὰ] λαξευτήρια. 9. Λογάδην δὲ φέροντες λίθους] ἐπιλέκτως. ἤγουν ἐκλελεγμένους λίθους. οἱ μὲν τοὺς ἐπιτυχόντας ἤκουσαν· ἄμεινον δὲ τοὺς ἐπιλέκτους, ὡς καὶ ἄνδρας λογάδας. τειχοποιοῦντες γὰρ ἄνευ σιδηρίων οὐκ ἔμελλον τοὺς τυχόντας συνθήσειν λίθους, ὥστε ἀσθενὲς εἰργάσασθαι τὸ τεῖχος· ἀλλ' ἐπιλέγοντο ὁμοίους τοῖς εἰργασμένοις, τουτέστι τετράπεδας. Ὡς ἕκαστόν τι ξυμβαίνοι] ἔνιοι ἀντὶ τοῦ παραπίπτοι καὶ παρατυγχάνοι. ἄμεινον δὲ, ὡς ἕκαστοι ἔμελλον συναρμόσεσθαι καὶ συμφωνήσειν πρὸς ἀλλήλους. 10. Καὶ τὸν πηλὸν, εἴπου δέοι] τῶν καθ' ὑπερβολὴν

liastes. Eos postea demum ad illum venisse intelligitur e cap. 9. et 32. Messenios autem, qui Naupactum tenebant, cur οἰκείους Πύλῳ et Lacedæmoniis ὁμοφώνους esse dicat Thucydides, cognosci potest e Pausan. Messen. XXIV. et XXVII. Pro βλάπτειν Portus videtur maluisse βλάψειν, ut conveniat cum τῷ ἔσεσθαι. Dux.

3. ἔσεσθαι om. Q.

5. Τοῖς ταξιάρχοις] Vide Sigonium de Rep. Athen. l. 4. Huds.

ταξιάρχαις P.d.e.

7. ἐσέπεσε A.B.F.H.K.N.f.g. h. vulgo ἐπέπεσε.

περιστᾶσιν H. περίστασιν A.B. vulgo περὶ στάσιν.

8. ἐγχειρίσαντες K.N.f.

Λιθουργὰ] Sic MSS. et Schol. Suidas λιθουργικὰ corrupte. Pollux etiam VII. 125. hinc emendandus ex C. A. λιθουργικὴ est ars ipsa. vid. Diodor. 317. c. Wass. Locus Suidæ est v. λογάδην, ubi et male ξυμβαίνει habet. Dux.

10. τε P.

ξυμβαίνειν g.

εἴ που B.h.

12. μέλλει I.P.

13. συμπλέκοντες d.i.

ὑποπίπτῃ L.O.

tentione sex diebus conficiunt.

πῳ ἠπείγοντο φθῆναι τοὺς Λακεδαιμονίους τὰ ἐπιμαχώτατα ἐξεργασάμενοι, πρὶν ἐπιβοηθῆσαι· τὸ γὰρ πλέον τοῦ χωρίου αὐτὸ καρτερὸν ὑπῆρχε, καὶ οὐδὲν ἔδει τείχους.

5. Lacedæmonii partim feriis occupati, partim rem parvi æstimantes, tum in Attica adhuc versantes, non poterant prohibere munitionem. Itaque, re perfecta, Demosthenes cum V. navibus remanet, ceteri Athenienses Corcyram pergunt.

5 * Οἱ δὲ ἑορτήν τινα ἔτυχον ἄγοντες, καὶ ἅμα πυνθανόμενοι ἐν ὀλιγωρίᾳ ἐποιοῦντο, ὡς, ὅταν ἐξέλθωσιν, ἢ οὐχ ὑπομενοῦντας σφᾶς ἢ ῥᾳδίως ληψόμενοι βίᾳ· καί τι καὶ αὐτοὺς ὁ στρατὸς ἔτι ἐν ταῖς Ἀθήναις ὢν ἐπέσχε. τειχίσαντες δὲ οἱ Ἀθηναῖοι τοῦ χωρίου τὰ πρὸς ἤπειρον καὶ ἃ μάλιστα ἔδει ἐν ἡμέραις ἓξ, τὸν μὲν Δημοσθένην μετὰ νεῶν πέντε αὐτοῦ φύλακα καταλείπουσι, ταῖς δὲ πλείοσι ναυσὶ τὸν ἐς τὴν Κέρκυραν πλοῦν καὶ Σικελίαν ἠπείγοντο.

6. Peloponnesii statim post quindecim dies ex Attica redeunt.

* οἱ δ' ἐν τῇ Ἀττικῇ ὄντες Πελοποννήσιοι, ὡς ἐπύθοντο τῆς Πύλου κατειλημμένης, ἀνεχώρουν κατὰ τάχος ἐπ' οἴκου, νομίζοντες μὲν οἱ Λακεδαιμόνιοι καὶ Ἄγις ὁ βασιλεὺς οἰκεῖον σφίσι τὸ περὶ τὴν Πύλον· ἅμα δὲ πρωῒ ἐσβαλόντες καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς, χειμών τε ἐπιγενόμενος μείζων παρὰ τὴν καθεστηκυῖαν ὥραν ἐπίεσε τὸ στράτευμα. ὥστε πολλαχόθεν ξυνέβη ἀναχωρῆσαί τε θᾶσσον αὐτοὺς καὶ βραχυτάτην

ἐναργῶς εἰρημένων ἐστὶ τοῦτο. 1. Τὰ ἐπιμαχώτατα] τὰ εὐεπιχείρητα τοῖς πολεμίοις. 4. Οἱ δὲ] οἱ Λακεδαιμόνιοι. 5. Οὐχ ὑπομενοῦντας σφᾶς] ἐνήλλακται, ἀντὶ τοῦ οὐχ ὑπομενούντων. 12. Ὡς ἐπύθοντο τῆς Πύλου] λείπει ἡ περί. 15. Τὸ περὶ τὴν πύλον] πάθος δηλονότι. Ἅμα δὲ πρωΐ] πρὸ τοῦ δέοντος καιροῦ. 16. Ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς] τουτέστιν οἱ πολλοὶ αὐτῶν οὐχ ἱκανὴν εἶχον τροφήν. εἶχον σπάνιν τροφῆς. 17. Παρὰ τὴν καθεστηκυῖαν ὥραν] περὶ τὴν ἐνεστῶσαν. 19. Βραχυτάτην] ἐν ὀλί-

1. ἐπιχώματά I.
2. ἐξειργασμένοι L.O.P.
3. οὐδὲ g.
ἐδεῖτο τοῦ τείχους I.
4. ἔχοντες h.
5. οὐχὶ μενοῦντας I.
καί τι καὶ A. B. H. καί τε καὶ F.H. καί τοι L. vulgo καί τι.
7. ὁ στρατὸς αὐτοὺς K.
8. τοῦ χωρίου om. c.f.
9. τὸν] καὶ d.i.
15. Πρωΐ—πολλοῖς] Thom. Magister. Wass.
16. ἐσπανίζοντο Q.
17. δὲ e.
19. θᾶττον e.

γενέσθαι τὴν ἐσβολὴν ταύτην· ἡμέρας γὰρ πεντεκαίδεκα ἔμειναν ἐν τῇ Ἀττικῇ.

7. Eium, a Simonide Atheniensi proditione captum, statim a Chalcidensibus et Bottiæis receptum.

* Κατὰ δὲ τὸν αὐτὸν χρόνον Σιμωνίδης Ἀθηναίων στρατηγὸς Ἠιόνα τὴν ἐπὶ Θράκης Μενδαίων ἀποικίαν, πολεμίαν δὲ οὖσαν, ξυλλέξας Ἀθηναίους τε ὀλίγους ἐκ τῶν φρουρίων καὶ τῶν ἐκείνῃ ξυμμάχων πλῆθος, προδιδομένην κατέλαβε. καὶ παραχρῆμα ἐπιβοηθησάντων Χαλκιδέων καὶ Βοττιαίων ἐξεκρούσθη τε, καὶ ἀπέβαλε πολλοὺς τῶν στρατιωτῶν.

8. Spartani ad Pylum recuperandam concurrunt, utrumque portus aditum navibus occludunt, et littora continentis, sicut Sphacteriam insulam, pro-

* Ἀναχωρησάντων δὲ τῶν ἐκ τῆς Ἀττικῆς Πελοποννησίων, οἱ Σπαρτιᾶται αὐτοὶ μὲν καὶ οἱ ἐγγύτατα τῶν περιοίκων εὐθὺς ἐβοήθουν ἐπὶ τὴν Πύλον, τῶν δὲ ἄλλων Λακεδαιμονίων βραδύτερα ἐγίγνετο ἡ ἔφοδος, ἄρτι ἀφιγμένων ἀφ' ἑτέρας στρατείας. περιήγγελλον δὲ καὶ κατὰ τὴν Πελοπόννησον βοηθεῖν ὅτι τάχιστα ἐπὶ Πύλον, καὶ ἐπὶ τὰς ἐν τῇ Κερκύρᾳ ναῦς σφῶν τὰς ἑξήκοντα ἔπεμψαν, αἱ ὑπερενεχθεῖσαι τὸν Λευκαδίων ἰσθμὸν, καὶ λαγως ἡμέρας. 6. Καὶ τῶν ἐκείνῃ ξυμμάχων] καὶ πολλοὺς τῶν ἐκεῖ ξυμμάχων. 11. Τῶν περιοίκων] αὐτῶν τῶν περὶ τὴν πύλιν οἰκούντων.

1. πέντε καὶ δέκα L.O.
3. σιμωνίδης ὁ ἀθηναίων e.
4. ἠιόνα A.F. ἠόνα H.c.f.g. vulgo ἠϊόνα.
τὴν] τῆς B.f.
μενδαίων μὲν ἀποικίαν e. ἀποικίαν om. A.
Μενδαίων] Hunc locum citat Harpocration h. v. Vid. Schol. Lycophr. p. 50. et Stephanum, Plin. lib. VI. cap. 6. Xenoph. 442. a Pausan. 614. Plutarch. Cimone 483. Wass. Vid. ad lib. I. cap. 98. Dux.
7. κατέλαβε προδιδομένην g.
8. βοττιαίων g.
10. τῶν om. d.i.
11. ἐγγύτατοι d. παροίκων c.
13. λακεδαιμονίων] πελοποννησίων d.i.
14. περιήγγελον d.e.
δὲ καὶ κατὰ B.F.H.N.Q.d.e. h.i. vulgo omittunt καί.
16. τῇ om. L.O.i.
Ἑξήκοντα] Diodor. ut videtur, τεσσάρακοντα πέντε, p. 317. c. De Zacyntho v. Livium XXVI. 24. olim Hyrie, hodie *Zante*. Wheeler. Itinerar. p. 39. Schol. Theocriti δ'. 33. Wass.
17. Αἱ ὑπερενεχθεῖσαι,etc.] Quod hic Thucydides vocat ὑπερενεχθῆναι, Strabo (l. 8.) vocat ὑπερεσελκεῖν. naves enim non remigio, sed machinis hunc Isthmum su-

pugnatoribus firmant, ne ab ulla parte Atheniensium naves possint appellere.

θοῦσαι τὰς ἐν Ζακύνθῳ Ἀττικὰς ναῦς, ἀφικνοῦνται ἐπὶ Πύλον· παρῆν δὲ ἤδη καὶ ὁ πεζὸς στρατός. Δημοσθένης δὲ προσπλεόντων ἔτι τῶν Πελοποννησίων ὑπεκπέμπει φθάσας δύο ναῦς, ἀγγεῖλαι Εὐρυμέδοντι καὶ τοῖς ἐν ταῖς ναυσὶν ἐν Ζακύνθῳ Ἀθηναίοις παρεῖναι ὡς τοῦ χωρίου κινδυνεύοντος. καὶ αἱ μὲν νῆες κατὰ τάχος ἔπλεον κατὰ τὰ ἐπεσταλμένα ὑπὸ Δημοσθένους· οἱ δὲ Λακεδαιμόνιοι παρεσκευάζοντο ὡς τῷ τειχίσματι προσβαλοῦντες κατά τε γῆν καὶ κατὰ θάλασσαν, ἐλπίζοντες ῥᾳδίως αἱρήσειν οἰκοδόμημα διὰ ταχέων εἰργασμένον καὶ ἀνθρώπων ὀλίγων ἐνόντων. προσδεχόμενοι δὲ καὶ τὴν ἀπὸ Ζακύνθου τῶν Ἀττικῶν νεῶν βοήθειαν ἐν νῷ εἶχον, ἢν ἄρα μὴ πρότερον ἕλωσι, καὶ τοὺς ἔσπλους τοῦ λιμένος ἐμφράξαι, ὅπως μὴ ᾖ τοῖς Ἀθηναίοις ἐφορμίσασθαι ἐς αὐτόν.

5. Τοῦ χωρίου] τῆς Πύλου. 6. Καὶ αἱ μὲν νῆες] αἱ δύο. 14. Ὅπως μὴ ᾖ] ὅπως

perabant, qui quidem pluries mutavit faciem, modo rescissus et apertus, ut compendium fieret circuitionis totius Leucadiorum peninsulæ, ut a Cypselo Corinthio; postea vero per alluviones redditus pristinæ formæ. Vide Plinium, l. 4. c. 1. *Palmerius* Exercit. pag. 50. Huds. Thucydides eodem, quo hic, verbo, et de eadem re etiam supra utitur III. 15. Καὶ ὁλκοὺς παρεσκεύαζον τῶν νεῶν ἐν τῷ Ἰσθμῷ, ὡς ὑπεροίσοντες ἐκ τῆς Κορίνθου ἐς τὴν πρὸς Ἀθήνας θάλασσαν. Et III. 81. Καὶ ὑπερενεγκόντες τὸν Λευκαδίων Ἰσθμὸν τὰς ναῦς, ὅπως μὴ περιπλέοντες ὀφθῶσιν, ἀποκομίζονται. Duk.

6. ἐπέπλεον N.

Κατὰ τὰ ἐπεσταλμένα ὑπὸ Δημοσθένους] Ammonius ἐπιστεῖλαι coarctat ad litteras: Ἐπιστεῖλαι μέν, inquit, διὰ γραμμάτων. Ἐπισκῆψαι δὲ διὰ λόγων. Sed Thomas Magist. in Ἐπετειλάμην: Ἐπιστεῖλαι οὐ μόνον τὸ διὰ γραμμάτων, ἀλλὰ καὶ τὸ αὐτοπροσώπως κελεῦσαι καὶ ἐπιστολὴ ὡσαύτως. Et hunc usum τοῦ ἐπιστεῖλαι recte ex hoc et alio loco Thucydidis ostendit. Sic Aristoph. Nubib. 608. Ἡ Σελήνη συντυχοῦσ' ἡμῖν ἐπέστειλε φράσαι Πρῶτα μὲν χαίρειν Ἀθηναίοις. Æschyl. Sept. adv. Theb. 1020. Οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν. Plura de hoc, et de ἐπιστολὴ Stanlei. ad Æsch. Prometh. v. 3. Duk.

9. τε om. Q.

κατὰ om. K.

θάλατταν d.i.

10. ὀλίγων ἀνθρώπων e.

11. τὴν om. e.

ἀπὸ ζακύνθου A.B.h. vulgo ἀπὸ τῆς ζακύνθου.

13. ἔσπλους] εὔπλους I. qui et infra εὔπλους et εὔπλου.

14. ἐφορμήσασθαι c.

ἡ γὰρ νῆσος ἡ Σφακτηρία καλουμένη τόν τε λιμένα παρατείνουσα καὶ ἐγγὺς ἐπικειμένη ἐχυρὸν ποιεῖ, καὶ τοὺς ἔσπλους στενοὺς, τῇ μὲν δυοῖν νεοῖν διάπλουν, κατὰ τὸ τείχισμα τῶν Ἀθηναίων καὶ τὴν Πύλον, τῇ δὲ, πρὸς τὴν ἄλλην ἤπειρον, ὀκτὼ ἢ ἐννέα· ὑλώδης τε καὶ ἀτριβὴς πᾶσα ὑπ' ἐρημίας ἦν, καὶ μέγεθος περὶ πεντεκαίδεκα σταδίους μάλιστα. τοὺς μὲν οὖν ἔσπλους ταῖς ναυσὶν ἀντιπρώροις βύζην κλήσειν ἔμελλον· τὴν δὲ νῆσον ταύτην

μὴ δυνατὸν γένηται. 1. Ἡ γὰρ νῆσος ἡ Σφακτηρία] πρὸ τοῦ λιμένος τῆς Πύλου πρόκειται νῆσος Σφακτηρία ἐγγὺς, καὶ διὰ τοῦτο αὐτὴν ἐπικειμένην λέγει. δύο δὲ διὰ τὴν νῆσον γίνεται στόματα τοῦ λιμένος, ἃ διέσπλους ὠνόμασεν. ὧν στομάτων τὸ μὲν ἐγγὺς αὐτῆς τῆς Πύλου στενόν ἐστιν, ὥστε μόλις δύο τριήρεις ἅμα εἰσπλεῖν, τὸ δ' ἕτερον πλατύτερον, ὥστε ὀκτὼ δύνασθαι τριήρεις ἅμα διαπλεῖν. 2. Καὶ ἐγγὺς ἐπικειμένη] τῆς Πύλου παρακειμένη. 8. Βύζην]

3. δυοῖν A.B.F.H.I.K.N.Q.e. f.g. ceteri δυεῖν.

Δυεῖν νεοῖν] Quidam MSS. δυοῖν. De his varie tradit Eustathius. Nam in Iliad. κ'. p. 802. e *Lexico rhetorico* scribit, Atticos δυοῖν in genitivo et dativo dicere: δυεῖν rarum esse apud veteres, sed tamen eo uti Thucydidem, recentiores autem δυεῖν scribere contra analogiam: nam nullum dualem in ειν exire. At in Odyss. φ'. p. 1907. ex Heraclide, veterem linguam Atticam diphthongum οι in ει mutare, ut δυεῖν pro δυοῖν, οἶκει pro οἴκοι, et πεῖος pro ποῖος. Hæc ille. Δυεῖν est apud Æschyl. Prom. 777. Δυεῖν λόγοιν θατέρῳ. Sed Aristoph. Equ. 318. Μεῖζον ἦν δυοῖν δοχμαῖν, et Menander apud Suidam in ἄβρα: Μήτηρ ταῖν ἀδελφαῖν ταῖν δυοῖν. Duk.

νεῶν L.O.e.

4. καὶ] κατὰ K.

8. ἀντιπρώροις F.H.L.O.P.Q.d. h.i. ἀντίπρωροι A.B. vulgo ἀντιπρώρους.

Ἀντιπρώρους] Non adspernandum videtur ἀντιπρώροις, quod nonnulli Codd. habent. Nam ἀντίπρωρος epitheton extra metaphoram ubique navibus adponitur. Thucyd. II. 91. Καὶ ἴσχουσαι ἀντίπρωροι. III. 13. Τὰς μὲν πλείους καὶ μετεώρους ἤδη καὶ ἀντιπρώρους τῶν νεῶν. Arrianus, a Suida in βύζην laudatus, I. de Exped. Alex. 20. Καὶ κατὰ τὸ στόμα τοῦ λιμένος, ᾗπερ τὸ στενότατον ἦν, ἀντιπρώρους βύζην τὰς τριήρεις ὁρμίζοντες, ἀποκέκλεισαν, τῷ μὲν Περσικῷ ναυτικῷ τὸν λιμένα, τοῖς Μιλησίοις δὲ τὴν ἐκ τῶν Περσῶν ὠφέλειαν. Et II. 20. Καὶ ἅμα ἀντιπρώροις τριήρεσι πολλαῖς ὁρῶν πεφραγμένον τὸν ἔσπλουν. Quæ Thucydideis his simillima sunt. Certe multo facilius intelligitur, quid sint naves ἀντίπρωροι, quam ἔσπλοι ἀντίπρωροι. Ἀντιπρώροις etiam probavit Interpres. Quid sit βύζην, exponunt Suidas et Hesychius. Duk.

βύζην] om. A.B. βύζειν i. βύσζειν d. βύσειν margo d.i. σβύζην P. σβύζειν I.

συγκλήσειν A.B. κλείσειν I.e.f.g.i.

φοβούμενοι, μὴ ἐξ αὐτῆς τὸν πόλεμον σφίσι ποιῶνται, ὁπλίτας διεβίβασαν εἰς αὐτὴν, καὶ παρὰ τὴν ἤπειρον ἄλλους ἔταξαν. οὕτω γὰρ τοῖς Ἀθηναίοις τήν τε νῆσον πολεμίαν ἔσεσθαι τήν τε ἤπειρον, ἀπόβασιν οὐκ ἔχουσαν· τὰ γὰρ αὐτῆς τῆς Πύλου ἔξω τοῦ ἔσπλου πρὸς τὸ πέλαγος ἀλίμενα ὄντα, οὐχ ἕξειν ὅθεν ὁρμώμενοι ὠφελήσουσι τοὺς αὐτῶν, σφεῖς δὲ ἄνευ τε ναυμαχίας καὶ κινδύνου ἐκπολιορκήσειν τὸ χωρίον κατὰ τὸ εἰκὸς, σίτου τε οὐκ ἐνόντος καὶ δι' ὀλίγης παρασκευῆς κατειλημμένου. ὡς δ' ἐδόκει αὐτοῖς ταῦτα, καὶ διεβίβαζον ἐς τὴν νῆσον τοὺς ὁπλίτας, ἀποκληρώσαντες ἀπὸ πάντων τῶν λόχων. καὶ διέβησαν μὲν καὶ ἄλλοι πρότερον κατὰ διαδοχὴν, οἱ δὲ τελευταῖοι καὶ ἐγκαταληφθέντες εἴκοσι καὶ τετρακόσιοι ἦσαν, καὶ Εἵλωτες οἱ περὶ αὐτούς· ἦρχε δ' αὐτῶν Ἐπιτάδας ὁ Μολόβρου.

9. Quæ Demosthenes contra molitus sit.

* Δημοσθένης δὲ ὁρῶν τοὺς Λακεδαιμονίους μέλλοντας προσβάλλειν ναυσί τε ἅμα καὶ πεζῷ, παρεσκευάζετο καὶ αὐτὸς, καὶ τὰς τριήρεις, αἵπερ ἦσαν αὐτῷ ἀπὸ

ἀθρόως. οἷον βύσαντες ταῖς ναυσὶ τὸν ἔσπλουν. 4. Ἀπόβασιν οὐκ ἔχουσαν] λείπει, οὔτε εἰς τὴν νῆσον οὔτε εἰς τὴν ἤπειρον. Τὰ γὰρ αὐτῆς τῆς Πύλου] τὰ γὰρ αὐτῆς τῆς Πύλου ἔξω, τὰ ἀλίμενα, τουτέστι, τὰ ἔξω τοῦ εἰσπλου, οὐ παρέξειν προσόρμισιν τοῖς Ἀθηναίοις. 11. Λόχων] λόχοι Λακεδαιμονίων πέντε, αἰδώλιος, σίνης, σαρίνας, πλόας, μεσοάτης. 12. Οἱ δὲ τελευταῖοι καὶ ἐγκαταλειφθέντες] περιττὸς ὁ καὶ. 17. Προσβάλλειν] τῇ Πύλῳ δηλονότι. Ναυσί τε ἅμα καὶ πεζῷ] ἤγουν ἀπό τε τῆς νήσου καὶ ἀπὸ τῆς ξηρᾶς. Παρεσκευάζετο] πολεμικῶς ἡτοιμάζετο. 18. Αἵπερ ἦσαν αὐτῷ] ἃς εἶχε λοιπὰς ἀναστάσας ὑπὸ τὸ τείχισμα προσεσταύρωσε, τουτέστι νεωλκήσας

2. διεβίβαζον Q.
παρὰ A.F.H.K.L.N.O.P.Q.c. f.g. ceteri περί.
3. γὰρ] καὶ d.
νῆσον ταύτην φοβούμενοι πολεμίαν K.
4. τὰ] καὶ B.
6. οὐχ ἕξειν] οὐκ ἐξῆν A.B.h.
τοὺς] τὰς d. ταῖς e.
7. σφᾶς d.i.
τε] τῆς d.
8. κατὰ] ὡς L.O.P.
9. τ' Q.
11. πάντων] στάντων d.i.
12. καὶ post μὲν om. P.
13. καὶ om. d.
ἐγκαταληφθέντες F.H. vulgo ἐγκαταλειφθέντες.
15. μολοβροῦ A.B.F.H.L.O.P.

τῶν καταλειφθεισῶν, ἀναστάσας ὑπὸ τὸ τείχισμα προσεσταύρωσε, καὶ τοὺς ναύτας ἐξ αὐτῶν ὥπλισεν ἀσπίσι τε φαύλαις, καὶ οἰσυΐναις ταῖς πολλαῖς· οὐ γὰρ ἦν ὅπλα ἐν χωρίῳ ἐρήμῳ πορίσασθαι, ἀλλὰ καὶ ταῦτα ἐκ λῃστρικῆς Μεσσηνίων τριακοντόρου καὶ κέλητος ἔλαβον, οἳ ἔτυχον παραγενόμενοι. ὁπλῖταί τε τῶν Μεσσηνίων τούτων ὡς τεσσαράκοντα ἐγένοντο, οἷς ἐχρῆτο μετὰ τῶν ἄλλων. τοὺς μὲν οὖν πολλοὺς τῶν τε ἀόπλων καὶ ὡπλισμένων ἐπὶ τὰ τετειχισμένα μάλιστα καὶ ἐχυρὰ τοῦ χωρίου πρὸς τὴν ἤπειρον ἔταξε, προειπὼν ἀμύνασθαι τὸν πεζὸν, ἢν

ὀρθὰς πρὸ τοῦ τείχους ἔφραξεν. ἔνιοι δὲ, ὅτι ξύλοις ὀρθοῖς προσωχύρωσεν αὐτάς. 1. Ἀναστάσας] ἀπὸ τῶν ἀγκυρῶν δηλονότι. Προσεσταύρωσεν] ὀρθὰς ἔστησεν. 3. Φαύλαις] ταῖς τυχούσαις, ταῖς ἐπιτυχούσαις καὶ εὐτελέσιν. Οὐ γὰρ ἦν ὅπλα] οὐ γὰρ δυνατὸν ἦν ὅπλα, καὶ τὰ ἑξῆς. 4. Ἐκ λῃστρικῆς] ἁλιάσης τριακοντόρου λῃστρικῆς καὶ κέλητος ὑπὸ Ἀθηναίων, τὰ ὅπλα τῶν λῃστῶν ἔλαβον οἱ παρόντες τῷ Δημοσθένει Μεσσήνιοι. ἦγουν ἐκ λῃστρικῆς τῆς τριακοντόρου ἔλαβον οἳ ἔτυχον παραγενόμενοι τῶν Μεσσηνίων. ἔστι δὲ τριακόντορος μὲν ἡ ὑπὸ τριάκοντα ἐρεσσομένη, κέλης δέ ἐστι μικρὸν καὶ στενὸν πλοῖον. 10. Ἀμύνασθαι τὸν πεζὸν, ἢν προσβάλλῃ] ἤγουν ἀποδιώκειν τὸν

1. καταληφθεισῶν A.h.

Ἀναστάσας] Vide Suidam in ἀναστᾷ. Wass.

Προσεσταύρωσε] Mihi verior videtur interpretatio secunda apud Scholiasten, ξύλοις ὀρθοῖς προσωχύρωσεν αὐτάς. Nam et VII, 25. dicit, Syracusanos vallos, σταυροὺς, in mari defixisse, ut intra illos naves suæ stationem haberent, eamque munitionem σταύρωσιν vocat. Et ibid. cap. 38. Niciam ante naves suas σταύρωμα in mari defixum habuisse, quod iis pro portu clauso esset. Add. ad II. 75. Distinctionem quoque non post ἀναστάσας, sed post τείχισμα ponendam puto cum Valla. Dux.

3. Οἰσυΐναις] Locum citat Pollux X. 176. Vid. et Suidam in οἰσυΐναις. Wass. Γέμμα οἰσυΐνα Lucian. Dial. mort. p. 293. Adi Lips. III. de Milit. Rom. 2. et Cerd. ad Virgil. VII. Æneid. 632. Suidas omisso αὐτῶν habet ἐξόπλισεν. Dux.

τοὺς πολλοὺς e.

4. καὶ om. e.

λῃστρικῶν L.P.

Λῃστρικῆς] Noster fere semper alias λῃστικῆς. Wass. Vid. ad I. 4. et 13. De τριακοντόροις Salmas. Observat. ad Jus Attic. et Rom. pag. 705. et seqq. De κέλησι Idem ibid. pag. 698. et Scheffer. II. de Milit. Nav. 2. Dux.

5. τριακοντούρου I.

8. καὶ τῶν ὡπλισμένων K.

9. καὶ om. d.

ὀχυρὰ g.

10. ἀμύνεσθαι d.

Ἀμύνασθαι] Vide Suidam et Hesychium. Wass.

προσβάλλῃ· αὐτὸς δὲ ἀπολεξάμενος ἐκ πάντων ἑξήκοντα ὁπλίτας καὶ τοξότας ὀλίγους, ἐχώρει ἔξω τοῦ τείχους ἐπὶ τὴν θάλασσαν, ᾗ μάλιστα ἐκείνους προσεδέχετο πειράσειν ἀποβαίνειν ἐς χωρία μὲν χαλεπὰ καὶ πετρώδη πρὸς τὸ πέλαγος τετραμμένα, σφίσι δὲ τοῦ τείχους ταύτῃ ἀσθενεστάτου ὄντος ἐπισπάσασθαι αὐτοὺς ἠγεῖτο προθυμήσεσθαι· οὔτε γὰρ αὐτοὶ ἐλπίζοντες ποτὲ ναυσὶ κρατηθήσεσθαι οὐκ ἰσχυρὸν ἐτείχιζον, ἐκείνοις τε βιαζομένοις τὴν ἀπόβασιν, ἀλώσιμον τὸ χωρίον γίγνεσθαι. κατὰ τοῦτο οὖν πρὸς αὐτὴν τὴν θάλασσαν χωρήσας ἔταξε τοὺς ὁπλίτας, ὡς εἶρζων, ἢν δύνηται, καὶ παρεκελεύσατο τοιάδε.

10. Demosthenis oratio ad milites.

* "ΑΝΔΡΕΣ οἱ ξυναράμενοι τοῦδε τοῦ κινδύνου, μηδεὶς ὑμῶν ἐν τῇ τοιᾷδε ἀνάγκῃ ζυνετὸς βουλέσθω δοκεῖν εἶναι, ἐκλογιζόμενος ἅπαν τὸ περιεστὸς ἡμᾶς δεινὸν,

ἀπὸ τῆς ξηρᾶς στρατὸν, ἢν προσβάλῃ τῷ τειχει. 1. Αὐτὸς δὲ ἀπολεξάμενος ἐκ πάντων] ἀποκόψας ἐκ τῶν προσόντων τῷ τείχει. 6. Ἐπισπάσασθαι αὐτοὺς] τὴν κατὰ τοῦτο τὸ μέρος ἀσθένειαν τοῦ τείχους, ἀφορμὴν παρέξειν τοῖς Λακεδαιμονίοις, ὥστε ἐπὶ τὸ αὐτὸ ὁρμῆσαι. περιττὸν δὲ τὸ προθυμήσεσθαι· ἤρκει γὰρ τὸ ἐπισπάσασθαι. ἔνιοι δὲ, ἐφελκύσεσθαι αὐτοὺς ἠγεῖτο εἰς προθυμίαν ἐκεῖνο τὸ μέρος. 7. Αὐτοὶ] οἱ περὶ τὸν Δημοσθένην. Ἐλπίζοντες ποτὲ ναυσὶ κρατήσεσθαι] οἱ Ἀθηναῖοι οὐκ ἰσχυρῶς τὸ πρὸς θάλασσαν ἐτείχισαν τῆς Πύλου, οὐχ ἡγούμενοι ἐντεῦθεν ἐπιθήσεσθαι τοὺς ἐναντίους, ἅτε δὴ θαλαττοκρατούντων Ἀθηναίων. 8. Βιαζομένοις] βιαίως ποιοῦσιν. 9. Ἀλώσιμον τὸ χωρίον γίγνεσθαι] ἑλπὶς ἦν δηλονότι. 10. Χωρίσας] τοὺς ὁπλίτας δηλονότι. 13. Ἄνδρες οἱ ξυναράμενοι] δημηγορία Δημοσθένους. τὸ προοίμιον ἐκ προσοχῆς. εἴρηται δὲ τῷ δυνατῷ μόνῳ. Οἱ ξυναράμενοι] οἱ συνεφαψάμενοι. Τοῦδε τοῦ κινδύνου] τὸ μὲν τοῦδε τοῦ κινδύνου ἀντὶ τοῦ τόνδε τὸν κίνδυνον· ἡ δὲ διάνοια, ἀντὶ τοῦ μηδεὶς ἐν τοιούτῳ κινδύνῳ γενόμενος ἀξεῖτε καὶ ἀναγκαίῳ, συνετὸς βουλέσθω δοκεῖν εἶναι, καὶ ἐξαριθμείτω τὰ περιεστηκότα δεινὰ, ἀλλὰ τοῖς ἐναντίοις θαρσαλέως ἀντιταττέσθω καταφρονήσας τοῦ περιεστηκότος κινδύνου. μᾶλλον γὰρ ὁ τοιοῦτος κρατήσει τῶν πολεμίων. 14. Ἐν

1. προσβάλλῃ B.F.H.Q. vulgo προσβάλῃ.
ἀποδεξάμενος I.
7. κρατηθήσεσθαι A.B.F.H.g. ceteri κρατήσεσθαι.
9. τὴν om. O.
θάλατταν K.
χωρήσας A.B.F.H.N.Q. e.h.i. ceteri χωρίσας.
11. δύνωνται d.
14. τῇ om. c.
βουλευέσθω I.
15. περιεστὸς K. vulgo περιεστώς.

" μᾶλλον ἢ ἀπερισκέπτως εὔελπις ὁμόσε χωρῆσαι τοῖς
" ἐναντίοις, καὶ ἐκ τούτων ἂν περιγενόμενος. ὅσα γὰρ ἐς
" ἀνάγκην ἀφῖκται ὥσπερ τάδε, λογισμὸν ἥκιστα ἐνδε-
" χόμενα κινδύνου τοῦ ταχίστου προσδεῖται. ἐγὼ δὲ καὶ
" τὰ πλείω ὁρῶ πρὸς ἡμῶν ὄντα, ἢν ἐθέλωμέν τε μεῖναι
" καὶ μὴ τῷ πλήθει αὐτῶν καταπλαγέντες τὰ ὑπάρχον-
" τα ἡμῖν κρείσσω καταπροδοῦναι. τοῦ τε γὰρ χωρίου τὸ
" δυσέμβατον ἡμέτερον νομίζω, ὃ μενόντων ἡμῶν ξύμμα-
" χον γίγνεται, ὑποχωρήσασι δὲ καίπερ χαλεπὸν ὂν εὔ-
" πορον ἔσται, μηδενὸς κωλύοντος. καὶ τὸν πολέμιον δει-

τῇ τοιᾷδε ἀνάγκῃ] ἐν τῇ παρεστώσῃ. 2. Ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται] τοῦτο ἐξηγητικόν ἐστι τοῦ προτέρου. οἱ γὰρ ἀναγκαίως περιεστῶτες κίνδυνοι οὐ διαλογισμοῦ χρῄζουσιν ἀκριβοῦς, ἀλλὰ τοῦ διακινδυνεύειν ἀδεκως καὶ ἀμελετήτως. τὸ δὲ ἥκιστα οὐκ ἐπὶ τοῦ ἧττον, ἀλλ' ἐπὶ τοῦ οὐδ' ὅλως κεῖται. Ἐς ἀνάγκην ἀφῖκται] ἤγουν ἀναγκαῖά εἰσι καὶ βίαια. 3. Τάδε] τὰ περιεστῶτα. Ἐνδεχόμενα] τὸ ἐνδέχεται ἐνταῦθα ἀντὶ τοῦ ἁπλῶς δέχεται. 5. Πρὸς ἡμῶν ὄντα] ἡμῖν σύμμαχα καὶ ὠφέλιμα ὄντα. 6. Αὐτῶν] τῶν ἐναντίων δηλονότι. Τὰ ὑπάρχοντα ἡμῖν] τὰ παρόντα ἡμῖν πλεονεκτήματα. 8. Ἡμέτερον] εἰς ἡμετέραν βοήθειαν. 9. Ὑποχωρήσασι δὲ] ὑποχωρησάντων δὲ, καίπερ δυσέμβατον ὄν, εὐεπίβατον γενήσεται τοῖς Λακεδαιμονίοις. Χαλεπὸν] εἰς ἐπίβασιν δηλονότι. Εὔπορον] εὐεπίβατον. 10. Καὶ τὸν πολέμιον δεινότερον ἕξομεν] ἡ διάνοια τοιαύτη. οἱ πολέμιοι (φησίν) ὑποχωρησάντων ἡμῶν, ἀποβάντες τῶν νεῶν καὶ ἐπελθόντες τῷ τείχει, χαλε-

1. ἢ] δ' L.O.P.Q.c.f.g. om. A.B.F.H.K.N.e.

χωρήσας L.N.O.P.c.f.h.i.

2. Ὅσα—προσδεῖται] Stobæus pag. 360. qui τάδε. Græv. τοιάδε. Wass.

ἐς] ἐκ' L.d.

3. τοιάδε K. τόδε Stobæus.

4. καὶ om. Q.

5. ἡμᾶς K.

θέλωμέν I.d.e.

7. Τοῦ τε γὰρ—ἔσται] Dionys. Halic. II. 135. qui etiam legit, ἃ, μενόντων μὲν ἡμῶν. Wass. Duo hic notat Dionysius tamquam a communi usu sermonis recedentia: primum, quod tempora verborum γίγνεται et ἔσται non conveniunt; secundum, quod, quum posuisset genitivos μενόντων ἡμῶν, deinde in tertio casu dicit ὑποχωρήσασι. Nam convenientius fuisse, hoc quoque eodem casu efferri. Duk.

8. ὃ om. A.B.F.H.K.L.M. N.O.P.b.d.e.f.g.h.i.

9. γίγνεσθαι K.d.

Εὔπορον] Cl. in marg. εὔπορον ἅτε μηδενὸς, minus sincere. Wass.

10. ἔσται] ἅτε A.

Καὶ τὸν πολέμιον—ἀναχωρήσεως] Dionys. Halicarn. l. d. p. 134. ubi inter ea, quæ Thucydidi peculiaria sunt, hoc quoque recenset, quod singularibus pro pluralibus utitur, ut ὁ πολέμιος pro οἱ

" νότερον ἔζομεν, μὴ ῥᾳδίας αὐτῷ πάλιν οὔσης τῆς ἀνα-
" χωρήσεως, ἣν καὶ ὑφ' ἡμῶν βιάζηται· ἐπὶ γὰρ ταῖς
" ναυσὶ ῥᾷστοί εἰσιν ἀμύνεσθαι, ἀποβάντες δὲ ἐν τῷ ἴσῳ
" ἤδη. τό τε πλῆθος αὐτῶν οὐκ ἄγαν δεῖ φοβεῖσθαι· κατ'
" ὀλίγον γὰρ μαχεῖται καίπερ πολὺ ὄν, ἀπορίᾳ τῆς προσ-
" ορμίσεως. καὶ οὐκ ἐν γῇ στρατός ἐστιν ἐκ τοῦ ὁμοίου
" μείζων, ἀλλ' ἀπὸ νεῶν, αἷς πολλὰ τὰ καίρια δεῖ ἐν
" τῇ θαλάσσῃ ξυμβῆναι. ὥστε τὰς τούτων ἀπορίας ἀντι-
" πάλους ἡγοῦμαι τῷ ἡμετέρῳ πλήθει· καὶ ἅμα ἀξιῶ
" ὑμᾶς, Ἀθηναίους ὄντας καὶ ἐπισταμένους ἐμπειρίᾳ τὴν

πότεροι ἡμῖν ἔσονται. εἰδότες γὰρ ὅτι, ἂν μὴ κρατήσωσιν, οὐ ῥᾳδίως ἀποχωρῆσαι δυνήσονται ὀπίσω διὰ τὴν χαλεπότητα τοῦ χωρίου, μετὰ ἀπονοίας ἡμῖν μαχοῦνται, ἢ ἀπολέσθαι ζητοῦντες ἢ κρατῆσαι τοῦ χωρίου. ῥᾷστον γὰρ (φησίν) ἐστὶν ἔτι αὐτοὺς ὄντας ἐπὶ τῶν νεῶν ἀμύνασθαι. 3. Ἀποβάντες δὲ] ἀποβάντες δὲ (φησί) τῶν νεῶν ἴσοι γίνονται ἡμῖν. κατασκευάζει δὲ διὰ τούτου, ὅτι οὐδ' ὅλως δεῖ αὐτοῖς συγχωρῆσαι κατελθεῖν εἰς τὴν γῆν. Ἐν τῷ ἴσῳ ἤδη τότε] ἀπὸ κοινοῦ, ἡμῖν ἔσονται ἴσοι εἰς τὸν πόλεμον, διὰ τὸ ἀπορεῖν ποῦ χρὴ προσορμισθῆναι μετὰ ἀσφαλείας, διὰ τὸ δυσέμβατον. 6. Καὶ οὐκ ἐν γῇ στρατός ἐστι] καὶ μείζων μέν ἐστιν ὁ στρατὸς αὐτῶν, ἀλλ' οὐκ ἀπὸ γῆς ὁρμώμενος οὐδὲ ἐν γῇ παρατατόμενος ὅπου πλεονεκτοῦσι Λακεδαιμόνιοι, ἀλλ' ἐν θάλασσῃ, ὅπου πολλὰ γίνεται ἀπροσδόκητα καὶ ἀπὸ τοῦ κλυδωνίου καὶ ἀπὸ τῶν ἀνέμων καὶ ἐξ ἄλλων πολλῶν. 7. Αἷς πολλὰ τὰ καίρια] αἷς τισὶ πολλῶν χρεία τῶν ἐπιτηδείων, οἷον εἰπεῖν, ἀνέμου καὶ χωρίων φιλανθρώπων καὶ εἰρεσίας εὐκαίρου, ἵνα δυνηθῶσιν ἀντιταχθῆναι τοῖς ἐν γῇ. Δεῖ] τὸ δεῖ ἀντὶ τοῦ εἰῶθεν. 8. Ὥστε τὰς τούτων ἀπορίας] ὡς ἂν εἰ ἔλεγεν, ἐπειδὴ πλείονες ἡμῶν εἰσιν, ἡμεῖς δὲ ἐλάχιστοι, ὥσπερ ἐξισοῖ τὸ πλῆθος πρὸς τὸ ἡμέτερον τὸ πολὺ τῆς ἀπορίας, ἣν ἔχουσι. 9. Τῷ ἡμετέρῳ πλήθει] ἔξεστι λέγειν τὸ πλῆθος καὶ ἐπὶ ὀλίγων. Ὅμηρος· Πλήθει τε σφετέρῳ, καὶ ὑπερδέα δῆμον ἔχοντες (Il. 17, 330.) 10. Ἀθηναίους ὄντας] ὥσπερ διὰ τῆς προσηγορίας ἐνέφηνεν αὐτῶν τὸ ἀξίωμα τῆς κατὰ θάλασσαν ἐπιστήμης.

πολέμιοι, ὁ Συρακούσιος, ὁ Ἀθηναῖος, pro οἱ Συρακούσιοι, οἱ Ἀθηναῖοι. Sed H. Stephanus in Animadv. ad Lib. de Dialect. pag. 46. et Append. ad al. Script. de Dial. p. 130. hoc Thucydidi peculiare esse negat, et alios quoque Scriptores Græcos, eorumque imitatione Latinos, ita loqui ostendit. Duk.

1. ῥαδίως B.F.H.K.N.b.h. πάλιν αὐτῷ B.Q.i. αὐτῷ om. d. 5. προσορμήσεως Q.d.i. 9. Πλήθει] Ἐπ' ὀλίγων Suidas h. v. Euripides πλῆθος ὀλίγον. Hesych. τῷ πλήθει ἡνιόχων, δίδυμοι γὰρ ἦσαν οἱ ἡνιοχοῦντες. Vox est relativa, ut bene ad Aphor. II. 17. observat Galenus: πλῆθος τὸ κατὰ τὸ ἔγχυμα, aut πρὸς ἀγγεῖα. Wass.

ἀξιῶ ἅμα h.

" ναυτικὴν ἐπ' ἄλλους ἀπόβασιν, ὅτι, εἴ τις ὑπομένοι καὶ
" μὴ φόβῳ ῥοθίου καὶ νεῶν δεινότητος κατάπλου ὑποχω-
" ρείη, οὐκ ἄν ποτε βιάζοιτο, καὶ αὐτοὺς νῦν μεῖναί τε
" καὶ ἀμυνομένους παρ' αὐτὴν τὴν ῥαχίαν σώζειν ἡμᾶς
" τε αὐτοὺς καὶ τὸ χωρίον."

* Τοσαῦτα τοῦ Δημοσθένους παρακελευσαμένου οἱ Ἀθηναῖοι ἐθάρσησάν τε μᾶλλον, καὶ ἐπικαταβάντες ἐτάξαντο παρ' αὐτὴν τὴν θάλασσαν. οἱ δὲ Λακεδαιμόνιοι 11. Lacedæmonii terra marique aggredi muni-

1. Ἐπ' ἄλλους ἀπόβασιν] τὴν κατ' ἄλλων ἀπόβασιν εἰδότας ὅτι, ἐάν τις καρτερήσας προσδέχηται θαῤῥῶν, καὶ μὴ φύγῃ καταπλαγεὶς τῷ φόβῳ τῆς δεινότητος τοῦ κατάπλου, πάντα κατορθοῖ. ῥόθιον δέ ἐστιν ὁ ἦχος τῆς εἱρεσίας. 4. Τὴν ῥαχίαν] ῥαχία ἐστὶ πετρώδης τόπος, περὶ ὃν περιῤῥήγνυται ἡ θάλασσα καὶ ὁ κλύδων καὶ ἡ τῆς θαλάσσης ὁρμή. ὅθεν καὶ τὸ νώτιον ὀστοῦδες ῥάχις καλεῖται, ὡς ἀπὸ τῆς ῥαχίας τῆς πέτρας. 7. Ἐτάξαντο] ἀντὶ τοῦ παρετά-

1. ὑπομένει e.

2. Ῥοθίου] Harpocrat. παρὰ τὸν ἐκ τῶν κωπῶν ἀκούομενον ῥόθον, ὅταν σφοδρῶς ἐλαύνωσιν. usi Hyperides, Aristophanes, Arrianus VI. ῥοθίῃ νηῒ navi irruenti Anthol. apud Homerum fere ἐπιθετικῶς. Confer Suidam. Audi Apollonium I. 540:—πέπληγον ἐρετμοῖς Πόντου λάβρον ὕδωρ, ἐπὶ δὲ ῥόθια κλύζοντο. Ἀφρῷ δ' ἔνθα καὶ ἔνθα κελαινὴ κήκιεν ἅλμη, Δεινὸν μορμύρουσα ἐρισθενέων μένει ἀνδρῶν.—μακραὶ δ' αἰὲν ἐλευκαίνοντο κέλευθοι, Ἀτραπὸς ὡς χλοεροῖο διειδομένη πεδίοιο. vid. II. IIII. et I. 370. et Schol. Æschyli, Ed. Steph. pag. 87. Wass. Scholiastæ Æschyli ad hoc in Prometh. v. 1047. Κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ συγχώσειε, exponunt ἐν τραχεῖ, et ἐν σφοδρῷ ῥεύματι. Eustath. in Homer. Odyss. έ. p. 1540. Οἱ μεθ' Ὅμηρον τὸ ῥεῦμα οὕτω καλοῦσι. Schol. Apollon. II. IIII. Ῥόθιον, τὸ κῦμα. Hesychius: Ῥόθιον, ῥεῦμα, κῦμα, τὸ μετὰ ψόφου γινόμενον. Schol. Arati Phænom. pag. 53. Ed. Oxon. Ῥόθια, τὰ ῥεύματα. κυρίως δὲ αἱ τοῦ κλύδωνος ὁρμαί. Duk.

καὶ τῶν νεῶν δεινότητος e. καὶ δεινότητος νεῶν f.

4. ῥαχίαν καὶ σώζειν L.O.P.

Ῥαχίαν] Ita MSS. et Suidas. Herodotus τὴν πλημμύραν pag. 319. ῥηχίην vocat. vid. Galenum in Lex. et Fœsium. de terra utitur D. Halicarn. Wass. Cap. 9. hæc dixerat χωρία χαλεπὰ, καὶ πετρώδη πρὸς τὸ πέλαγος τετραμμένα. Schol. Æschyli Prometh. v. 712. ῥαχίαις, θαλασσίαις πέτραις. Scholiastes Morelli in Dion. Chrysostomi Orat. VII. Ῥαχία, ὁ τραχὺς καὶ λιθώδης αἰγιαλός· καὶ ἴσως ἀπὸ τοῦ ἐκεῖσε τὸ προσκλύζον κῦμα οἱονεὶ ῥήγνυσθαι. Add. Eustath. ad Homer. Odyss. έ. p. 1540. Respicit huc Plutarch. de Glor. Atheniens. pag. 618. Ὁ παρὰ τὴν ῥαχίαν αὐτῆς Πύλου παρατάττων τοὺς Ἀθηναίους Δημοσθένης. Duk.

7. ἐθάρρησάν h.

8. ἑαυτὴν B.h. om. i. cum Thoma M. v. παρά.

tiones Atheniensium parant, sed navibus caventes. Brasidæ studium—

ἄραντες τῷ τε κατὰ γῆν στρατῷ προσέβαλλον τῷ τείχισματι, καὶ ταῖς ναυσὶν ἅμα, οὔσαις τεσσαράκοντα καὶ τρισί· ναύαρχος δὲ αὐτῶν ἐπέπλει Θρασυμηλίδας ὁ Κρατησικλέους, Σπαρτιάτης. προσέβαλλε δὲ ἦπερ ὁ Δημοσθένης προσεδέχετο. καὶ οἱ μὲν Ἀθηναῖοι ἀμφοτέρωθεν, ἔκ τε γῆς καὶ ἐκ θαλάσσης, ἠμύνοντο· οἱ δὲ κατ' ὀλίγας ναῦς διελόμενοι, διότι οὐκ ἦν πλείοσι προσσχεῖν, καὶ ἀναπαύοντες ἐν τῷ μέρει τοὺς ἐπίπλους ἐποιοῦντο, προθυμίᾳ τε πάσῃ χρώμενοι καὶ παρακελευσμῷ, εἴ πως ὠσάμενοι ἕλοιεν τὸ τείχισμα. πάντων δὲ φανερώτατος Βρασίδας ἐγένετο. τριηραρχῶν γὰρ, καὶ ὁρῶν τοῦ χωρίου χαλεποῦ ὄντος τοὺς τριηράρχους καὶ κυβερνήτας, εἴ πῃ καὶ δοκοίη δυνατὸν εἶναι σχεῖν, ἀποκνοῦντας καὶ φυλασσομένους τῶν νεῶν, μὴ ξυντρίψωσιν, ἐβόα λέγων ὡς

ξαντο ἢ ἐτάχθησαν καὶ ηὐτρεπίσθησαν. 2. Ταῖς ναυσὶν] οὐ ταῖς τῶν πολεμίων, ἀλλὰ ταῖς ἑαυτῶν. 4. Ἦπερ ὁ Δημοσθένης προσεδέχετο] κατὰ τὸ μέρος τὸ νεῦον ἐπὶ τὸ πετρῶδες, ὅπου καὶ προσεδόκα ὁ Δημοσθένης. 7. Διότι οὐκ ἦν πλείοσι προσσχεῖν] ἐπειδὴ οὐ δυνατὸν ἦν πλείοσι προσορμίσασθαι, διὰ τὸ πετρῶδες, διὰ τοῦτο ὀλίγαις ὥρμησαν ναυσὶν καὶ κατὰ διαδοχὴν, ἢ τὰς ναῦς ἀναπαύοντες ἢ αὐτοὶ ἀναπαυόμενοι. 9. Παρακελευσμῷ] παρακινήσει. 10. Ὠσάμενοι] τοὺς ἐναντίους δηλονότι. Πάντων δὲ φανερώτατος] σπουδαιότατος καὶ ἐπίδηλος ὑπὲρ πάντας ὁ Βρασίδας ἐγένετο ἐν ἐκείνῳ τῷ ἔργῳ εἰς προθυμίαν· καὶ ὁρῶν τοὺς τριηράρχους ὀκνοῦντας διὰ τὸ χαλεπὸν τὸ χωρίου, περὶ τῶν νεῶν φυλασσομένους, ὅπως μὴ συντρίψωσιν αὐτάς. 13. Σχεῖν] προσχεῖν. 14. Τῶν νεῶν] ἤγουν τινὰς τῶν νεῶν.

1. ἄραντες om. d.
προσέβαλον K.L.O.P.Q.b.c.d. e.g.
4. προσέβαλε K.L.O.c.d.e.
5. ἀμφοτέρωθεν om. f.
6. τε] τῆς P. τε τῆς K.
ἐκ om. Q.
9. δὲ K.
παρασκευασμῷ P.e.
10. παρωσάμενοι L.O.P.
11. βρασίδας A.B.F.H.K.L.N. O.d.e.g. vulgo ὁ βρασίδας.
Ὁ Βρασίδας] Confer Plutarchum de Gloria Atheniensium pag. 347. ubi in versu Homeri ex Ald. et Bas. pro λέγειν scribendum est λέγων, et Tzetzem Chil. XII. 389. Wass.
γὰρ] δὲ g. om. d.
12. εἴ πῃ A.B.H.N.b. ceteri εἴ που.
13. δυνατὸν] χαλεπὸν c.f.g.
14. συντρίψωσιν Q.g.
Λέγων] Alia dixisse narrat Diodor. 318. b. et ἐπιβάθραν maluit. Wass.

οὐκ εἰκὸς εἴη ξύλων φειδομένους τοὺς πολεμίους ἐν τῇ χώρᾳ περιιδεῖν τεῖχος πεποιημένους, ἀλλὰ τάς τε σφετέρας ναῦς, βιαζομένους τὴν ἀπόβασιν, καταγνύναι ἐκέλευε, καὶ τοὺς ξυμμάχους μὴ ἀποκνῆσαι ἀντὶ μεγάλων εὐεργεσιῶν τὰς ναῦς τοῖς Λακεδαιμονίοις ἐν τῷ παρόντι ἐπιδοῦναι, ὀκείλαντας δὲ καὶ παντὶ τρόπῳ ἀποβάντας τῶν τε ἀνδρῶν καὶ τοῦ χωρίου κρατῆσαι. * καὶ ὁ μὲν τούς τε ἄλλους τοιαῦτα ἐπέσπερχε, καὶ τὸν ἑαυτοῦ κυβερνήτην ἀναγκάσας ὀκεῖλαι τὴν ναῦν ἐχώρει ἐπὶ τὴν ἀποβάθραν· καὶ πειρώμενος ἀποβαίνειν ἀνεκόπη ὑπὸ τῶν Ἀθηναίων, καὶ τραυματισθεὶς πολλὰ ἐλειποψύχησέ τε, καὶ πεσόντος αὐτοῦ ἐς τὴν παρεξειρεσίαν ἡ ἀσπὶς περιερρύη ἐς τὴν θάλασσαν, καὶ ἐξενεχθείσης αὐτῆς ἐς τὴν γῆν οἱ Ἀθη-

12. Et fortis animi exemplum. Vulneratur et clypeum amittit. Pugnatur utrimque atrocissime.

3. Βιαζομένους] σὺν βίᾳ ποιοῦντας. 4. Ἀντὶ μεγάλων εὐεργεσιῶν] ἐνταῦθα τιμῶν λέγει, ἃν μέλλουσιν ὕστερον εὐεργετηθῆναι αὐτοὶ οἱ σύμμαχοι καὶ τιμηθῆναι. Ἢ εὐεργεσιῶν, ἃν αὐτοὺς εὐεργέτησαν ἤδη οἱ Λακεδαιμόνιοι. 6. Ὀκείλαντας] προσπελάσαντας καὶ προσεγγίσαντας. 8. Ἐπέσπερχεν] ἐπεσπαδάζεν. 9. Ὀκεῖλαι] προσοκεῖλαι, ἐλλιμενίσαι. Ἐπὶ τὴν ἀποβάθραν] ἡ ἀπὸ τῶν νεῶν ἐπὶ τὴν γῆν ἔξοδος, ἀποβάθρα καλεῖται. 12. Ἐς τὴν παρεξειρεσίαν] παρεξειρεσία ἐστιν ὁ ἔξω τῆς εἰρεσίας τῆς νεὸς τόπος, καθ' ὃ μέρος οὐκέτι κώπαις κέχρηται. ἔστι δὲ τοῦτο τὸ ἀκρότατον τῆς πρύ-

1. εἴη εἰκὸς K.
2. ποιουμένους O.
3. ἐπίβασιν e.
καταγνῦναι I.
ἐκέλευσε Q.
6. ἀποδοῦναι P.e.
9. Ἀποβάθραν] Vid. Poll. I. 93. et ibi Interpretes. Ἀποβάθραν dicit Lucian. Dial. mort. pag. 278. et ἀναβάθραν ibid. pag. 281. Ἐπιβάθραν Diodorus Sic. cum in hac historia, tum alibi. Βάθραν Plutarch. l. d. Vid. Leopard. XIV. Emendat. 10. Duk.
11. ἐλιποψύχησε Q. ἐλειποθύμησε I.L.P.d.e. ἐλιποθύμησε O.
Ἐλειποψύχησε] Confer Schol. Aristoph. in Equit. 55. Locum sic adducit Demetrius §. 55. Καὶ πρῶτος ἀναβαίνων ἐπὶ τὴν ἀποβάθραν, ἐλειποψ. Dion. Halic. II. 134. εἰς τὴν παρεξ. Herodotus VII. 229. Ἀριστόδημον λειποψυχέοντα λειφθῆναι, ubi pro μέγιστον vel invito Mediceo legendum ὀφθαλμιῶντες ἐς τὸ ἔσχατον. Wass. Vulgatam lectionem ἐλειποψύχησε confirmant Pollux III. 106. Demetrius Phaler. Plutarchus et Diodorus. De παρεξειρεσίᾳ rursus Scholiastes ad VII. 34. quo respexit Pollux I. 124. Suidas et Hesychius, apud quem est παρεξειρέσιον. Duk.
12. περιερρύει L. ἀπερρύη O.
ἐς] ἐπὶ Q.

ναῖοι ἀνελόμενοι ὕστερον πρὸς τὸ τροπαῖον ἐχρήσαντο, ὃ ἔστησαν τῆς προσβολῆς ταύτης. οἱ δ' ἄλλοι προὐθυμοῦντο μὲν ἀδύνατοι δ' ἦσαν ἀποβῆναι, τῶν τε χωρίων χαλεπότητι, καὶ τῶν Ἀθηναίων μενόντων καὶ οὐδὲν ὑποχωρούντων. ἐς ταὐτό τε περιέστη ἡ τύχη, ὥστε Ἀθηναίους μὲν ἐκ γῆς τε, καὶ ταύτης Λακωνικῆς, ἀμύνεσθαι ἐκείνους ἐπιπλέοντας, Λακεδαιμονίους δὲ ἐκ νεῶν τε καὶ ἐς τὴν ἑαυτῶν πολεμίαν οὖσαν ἐπ' Ἀθηναίους ἀποβαίνειν· ἐπὶ πολὺ γὰρ ἐποίει τῆς δόξης ἐν τῷ τότε τοῖς μὲν ἠπειρώταις μάλιστα εἶναι καὶ τὰ πεζὰ κρατίστοις, τοῖς δὲ θαλασσίοις τε καὶ ταῖς ναυσὶ πλεῖστον προέχειν.

13. Dum ad obsidionem se parant, advenit

* Ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ τῆς ὑστεραίας μέρος τι προσβολὰς ποιησάμενοι ἐπέπαυντο· καὶ τῇ τρίτῃ ἐπὶ ξύλα ἐς μηχανὰς παρέπεμψαν τῶν νεῶν τινὰς ἐς Ἀσί-

νης καὶ τῆς πρώρας. 1. Πρὸς τὸ τροπαῖον ἐχρήσαντο] ἀντὶ τοῦ τροπαίου ἐχρήσαντο αὐτῇ, ἢ ἀποτροπαίῳ· καὶ αὐτὴν ἔστησαν πλείονος ἕνεκα κόσμου καὶ δόξης. 2. Τῆς προσβολῆς] ἀντὶ τοῦ τῆς μάχης. Οἱ δ' ἄλλοι] Λακεδαιμόνιοι δηλονότι. 4. Καὶ τῶν Ἀθηναίων μενόντων] ὡς ἂν εἰ ἔλεγεν, ἀμυνομένων πρὸ τοῦ φρουρίου, ὃ ἐποιήσαν, καὶ μὴ ἐώντων μηδένα τῶν Λακεδαιμονίων ἀποβῆναι ἀπὸ τῶν νεῶν ἐς τὴν γῆν. τὸ δὲ "καὶ οὐδὲν ὑποχωρούντων" ἀντὶ τοῦ κατ' οὐδὲν ὑποχωρούντων. 5. Ἐς ταὐτό τε περιέστη ἡ τύχη] ὡς ἂν εἰ ἔλεγεν, ἐς τοῦτο περιέστη ἡ τύχη Ἀθηναίοις καὶ Λακεδαιμονίοις, ὥστε Ἀθηναίους μὲν ἐκ τῆς Λακωνικῆς ἀντιτάττεσθαι Λακεδαιμονίοις, Λακεδαιμονίους δὲ ἐπὶ τὴν γῆν τὴν ἑαυτῶν ζητεῖν ἐκ νεῶν ἀποβαίνειν, καὶ τοῦτο κωλύεσθαι. 9. Ἐπὶ πολὺ] κατὰ πολὺ γὰρ ἐν τοῖς χρόνοις ἐκείνοις ἔβρεπε τὰ τῆς δόξης, τοῖς μὲν Λακεδαιμονίοις εἰς τὰ πεζὰ μεγίστοις οὖσιν ἀεί, νῦν δοκεῖν εἰς τὴν ναυμαχίαν κρατίστοις εἶναι· τοῖς δὲ Ἀθηναίοις, εἰς τὰ ναυτικὰ τεχνίτας οὖσιν ἀεί, νῦν δοκεῖν ἀρίστοις εἶναι τὰ πεζά. 13. Ἐπὶ ξύλα] ἀντὶ τοῦ ἐπὶ

1. ἀνελόμενοι οἱ ἀθηναῖοι e.
5. τε] δὲ d. τότε c.f.g.
6. μὲν om. K.
7. ἐκ τῶν νεῶν c.
9. ἐπῆει L.
10. Ἀσίνην] False insulam vocat Lloydius. Lucanus VIII. 195. *Quas* Asiæ *cautes, et quas Chios asperat undas.* Ubi reponendum *Asine* ex 2. MSS. Mela, in *Asinæo* flumen Pamissum. In Cyparissio, Alpheus. Nomen dedere *urbes* in litore sitæ. neque aliter Plin. Emendationem egregie firmat Auctor Itinerar. Anon. *Hinc* Asines *scopulos cauti, Acritæque minacis Linquimus.* Strabonis Ep. Τῇ Μεθώνῃ συνεχής ἐστιν ὁ Ἀκρίτας ἄκρα, οὖσα ἀρχὴ τοῦ Μεσσηνιακοῦ κόλπου· καλεῖ-

νην, ἐλπίζοντες τὸ κατὰ τὸν λιμένα τεῖχος ὕψος μὲν ἔχειν, ἀποβάσεως δὲ μάλιστα οὔσης ἑλεῖν μηχαναῖς. ἐν τούτῳ δὲ αἱ ἐκ τῆς Ζακύνθου νῆες τῶν Ἀθηναίων παραγίγνονται τεσσαράκοντα· προσεβοήθησαν γὰρ τῶν τε φρουρίδων τινὲς αὐτοῖς τῶν ἐκ Ναυπάκτου καὶ Χῖαι τέσσαρες. ὡς δὲ εἶδον τήν τε ἤπειρον ὁπλιτῶν περίπλεων τήν τε νῆσον, ἔν τε τῷ λιμένι οὔσας τὰς ναῦς καὶ οὐκ ἐκπλεούσας, ἀπορήσαντες ὅπῃ καθορμίσωνται, τότε μὲν ἐς Πρώτην τὴν νῆσον, ἣ οὐ πολὺ ἀπέχει ἔρημος οὖσα, ἔπλευσαν καὶ ηὐλίσαντο, τῇ δ' ὑστεραίᾳ παρασκευασάμενοι ὡς ἐπὶ ναυμαχίαν ἀνήγοντο, ἣν μὲν ἀντεκπλεῖν ἐθέλωσι σφίσιν ἐς τὴν εὐρυχωρίαν, εἰ δὲ μὴ, ὡς αὐτοὶ ἐπεσπλευσούμενοι. καὶ οἱ μὲν οὔτε ἀντανήγοντο, οὔτε ἃ διενοήθησαν, φράξαι τοὺς ἔσπλους, ἔτυχον ποιήσαντες, ἡσυχάζοντες δ' ἐν τῇ γῇ τάς τε ναῦς ἐπλήρουν καὶ παρεσκευάζοντο, ἣν

classis Atheniensium, cui non audet obviam ire Peloponnesiorum classis.

ξυλα ἐπιτήδεια πρὸς μηχανὰς, ποιηθησομένας πρὸς καθαίρεσιν τειχῶν. ἡ δὲ Ἀσίνη πόλις ἐστὶ Λακωνική. 6. Τήν τε νῆσον] τὴν Σφακτηρίαν. 7. Τὰς ναῦς] τῶν Λακεδαιμονίων δηλονότι. 11. Ἣν μὲν ἀντεκπλεῖν ἐθέλωσι σφίσι] τὸ σχῆμα ἀνανταπόδοτον. καὶ Ὅμηρος· Ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ, Ἄρσαντες κατὰ θυμὸν, ὅπως ἀντάξιον ἔσται· Εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι. 13. Οἱ μὲν] οἱ Λακεδαιμόνιοι.

ται δ' Ἀσίναιος, ἀπὸ Ἀσίνης πόλεως. Aliud etiam agit Berkelius ad Stephanum. Solus, inquit, Scylax Laconicam agnoscit. Idem enim diserte tradit Xenophon Hist. Gr. VII. p. 618. ne Thucyd. Scholiasten et alios memorem. vid. Polybium p. 511. Herodot. VIII. 73. Pausaniæ tempore prorsus interciderat. Wass. De loco Lucani lege, quæ ibi scripsit Oudendorpius. Duk.

4. πεντήκοντα N. quæ erat conjectura Aem. Porti.

7. τῷ om. L.O.P.
πλεούσας b.
8. ὅποι Q.
καθορμίσωνται I.
9. πρωτὴν H.
Πρώτην τὴν ν.] Πρώτην esse proprium insulæ nomen, patet ex articulo τὴν, aliter dixisset Thucydides ἐς πρώτην νῆσον. Manet etiam hodie ejus nominis vestigium; vocatur enim *Prodene*. Huds.
11. ἣν] εἰ K.
ἀντιπλεῖν c.
15. τε om. N.

ἐσπλέῃ τις, ὡς ἐν τῷ λιμένι ὄντι οὐ σμικρῷ ναυμαχήσοντες. 14. * οἱ δ' Ἀθηναῖοι γνόντες καθ' ἑκάτερον τὸν ἔσπλουν ὥρμησαν ἐπ' αὐτούς, καὶ τὰς μὲν πλείους καὶ μετεώρους ἤδη τῶν νεῶν καὶ ἀντιπρώρους προσπεσόντες ἐς φυγὴν κατέστησαν, καὶ ἐπιδιώκοντες ὡς διὰ βραχέος ἔτρωσαν μὲν πολλὰς, πέντε δ' ἔλαβον, καὶ μίαν τούτων αὐτοῖς ἀνδράσι· ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ καταπεφευγυίαις ἐνέβαλλον. αἱ δὲ καὶ πληρούμεναι ἔτι, πρὶν ἀνάγεσθαι, ἐκόπτοντο· καί τινας καὶ ἀναδούμενοι κενὰς εἵλκον, τῶν ἀνδρῶν ἐς φυγὴν ὡρμημένων. ἃ ὁρῶντες οἱ Λακεδαιμόνιοι, καὶ περιαλγοῦντες τῷ πάθει, ὅτι περ αὐτῶν οἱ ἄνδρες ἀπελαμβάνοντο ἐν τῇ νήσῳ, παρεβοήθουν, καὶ ἐπεσβαίνοντες ἐς τὴν θάλασσαν ξὺν τοῖς ὅπλοις ἀνθεῖλκον ἐπιλαμβανόμενοι τῶν νεῶν, καὶ ἐν τούτῳ κεκωλῦσθαι ἐδόκει ἕκαστος, ᾧ μή τινι καὶ αὐτὸς ἔργῳ παρῆν. ἐγένετό τε ὁ θόρυβος μέγας καὶ ἀντηλλαγμένος τοῦ ἑκατέρων τρόπου περὶ τὰς ναῦς· οἵ τε γὰρ Λακεδαιμόνιοι ὑπὸ προθυμίας καὶ ἐκπλήξεως, ὡς εἰπεῖν, ἄλλο οὐδὲν ἢ ἐκ γῆς ἐναυμά-

14. Sed Athenienses eam ab utroque aditu portis adoriuntur, totamque vel delent, vel capiunt; ab utrisque acerrime pugnatur, nec moribus et studio utrorumque circa naves convenienter. Athenienses victores tropæum erigunt, insulamque navibus circumdantes, eos, qui in ea erant, intercludunt. Peloponnesii in castris ad

2. Γνόντες] τὴν βουλὴν ἐκείνων δηλονότι. Καθ' ἑκάτερον τὸν ἔσπλουν] ἤγουν τόν τε στενὸν καὶ τὸν πλατύν. 14. Καὶ ἐν τούτῳ κεκωλῦσθαι] ἐν τούτῳ ἐδόκει κεκωλύσθαι ἕκαστος τὰ πράγματα, ἐν ᾧ ἕκαστοι μὴ εὐρεθείησαν.

1. μικρῷ K.N.

Σμικρῷ] Gr. Cl. malo exemplo μικρῷ. Olim ζμικρὸς, inquit Eustath. Attici ζ in σ mutarunt. Apud Herodotum, pro σμάραγδον minus recte μάραγδον ex Mediceo reponit Gronovius: Menandrum ita usum esse scio. In hac voce utriusque auctores linguæ servant ζ vel σ. Immo Homerum ζμερδνὸς, ζβεννυμενάων, ζμῶδιξ et ζβέσαι reliquisse admodum probabile est. vid. Ælium Dionysium apud Eustath. et Nostrum etiam ζμικρός. vid. Etymologum. Wass.

ναυμαχήσαντες e.i.

5. διαβραχέως F.

7. ἐνέβαλον Q.e.

8. καὶ post δὲ om. c.f.g.

11. περ] παρ' P.Q.

13. ἐπιλαμβανόμενοι A.B.F.H. I.L.N.O.P.c.d.e.f.g.h.i.vulgo ἀντιλαμβανόμενοι.

14. Ἐν τούτῳ κεκωλύσθαι ἐδόκει ἕκαστος] Vid. ad II. 9. Duk.

16. ἑκατέρου K.g.

18. ἐκ τῆς γῆς e. i.

χουν, οἵ τε Ἀθηναῖοι κρατοῦντες, καὶ βουλόμενοι τῇ παρούσῃ τύχῃ ὡς ἐπὶ πλεῖστον ἐπεξελθεῖν, ἀπὸ νεῶν ἐπεζομάχουν. πολύν τε πόνον παρασχόντες ἀλλήλοις καὶ τραυματίσαντες διεκρίθησαν, καὶ οἱ Λακεδαιμόνιοι τὰς κενὰς ναῦς, πλὴν τῶν τὸ πρῶτον ληφθεισῶν, διέσωσαν. καταστάντες δὲ ἑκάτεροι ἐς τὸ στρατόπεδον, οἱ μὲν τροπαῖόν τε ἔστησαν καὶ νεκροὺς ἀπέδοσαν καὶ ναυαγίων ἐκράτησαν, καὶ τὴν νῆσον εὐθὺς περιέπλεον καὶ ἐν φυλακῇ εἶχον, ὡς τῶν ἀνδρῶν ἀπειλημμένων· οἱ δ' ἐν τῇ ἠπείρῳ Πελοποννήσιοι, καὶ ἀπὸ πάντων ἤδη βεβοηθηκότες, ἔμενον κατὰ χώραν ἐπὶ τῇ Πύλῳ. Pylum positis se continent.

15. Spartani magistratus summos in castra mittunt, qui, rebus inspectis, de tempore consilium capiant. Hi optimum factu esse rati, pacisci cum Atheniensibus, ut viros interclusos servent, neve periclitari sinant, inducias pan-

* Ἐς δὲ τὴν Σπάρτην ὡς ἠγγέλθη τὰ γεγενημένα περὶ Πύλον, ἔδοξεν αὐτοῖς, ὡς ἐπὶ ξυμφορᾷ μεγάλῃ, τὰ τέλη καταβάντας ἐς τὸ στρατόπεδον βουλεύειν παράχρῆμα ὁρῶντας, ὅ τι ἂν δοκῇ. καὶ ὡς εἶδον ἀδύνατον ὂν τιμωρεῖν τοῖς ἀνδράσι, καὶ κινδυνεύειν οὐκ ἐβούλοντο ἢ

2. Ἐπεξελθεῖν] πλέον ἐργάσασθαι. 8. Ἐν φυλακῇ εἶχον] τὴν νῆσον δηλονότι. 9. Οἱ δ' ἐν τῇ ἠπείρῳ Πελοποννήσιοι] οἵ τε ἐκ τῆς Πελοποννήσου, καὶ οἱ ἀπὸ τῶν ἄλλων ξυμμάχων αὐτοῖς προσελθόντες νῦν. 13. Τὰ τέλη] τοὺς ἄρχοντας τῶν Σπαρτιατῶν. 14. Πρὸς τὸ χρῆμα] πρὸς τὸ χρήσιμον καὶ τὸ κατεπεῖγον. δύο γάρ εἰσι λέξεις, τὸ παρὰ καὶ τὸ χρῆμα. ἔστι δὲ καὶ ἑτέρα γραφὴ δύο τοῦ ρ, πρόσχημα, ἵνα νοήσωμεν ὅτι ἂν αὐτοῖς ἁρμόττον φαίνηται.

2. ὡς om. O.
5. καινὰς B.h.
τὸ πρῶτον] πρώτων L.O.
7. τε om. L.O.
10. βεβοηκότες
13. περὶ τὴν πύλον L.O.P.c.d.e. f.g.h.i.
14. ἐς] ἐπὶ L.O.P.d.e.i.
παραχρῆμα A.B.F.H.I.K.L.N. O.Q.c.d.e.f.g.h.i. vulgo πρὸς τὸ χρῆμα.
Πρὸς τὸ χρῆμα] Valla legit παραχρῆμα: nam vertit, *quamprimum*. Et sic plerique MSS. Πρὸς τὸ χρῆμα Portus vertit *ex tempore*. Wass. *pro tempore*: quod III. 29. est βουλεύεσθαι ἐκ τῶν παρόντων. Βουλεύειν πρός τι etiam est *deliberare* et *statuere de re aliqua*, etsi hoc frequentius dicitur περί τινος βουλεύειν. Thucyd. I. 81. et IV. 87. Πρὸς τάδε βουλεύεσθε εὖ. Æschyl. Prometh. 1039. Πρὸς ταῦτα βούλευε. Duk.
16. ἐβούλοντο ἢ ὑπὸ A.F.H.K. L.O.P.Q.c.d.e.f.g.h.i. vulgo omittunt ἢ.

gere constituunt cum Atheniensium ducibus.

ὑπὸ λιμοῦ τι παθεῖν αὐτοὺς ἢ ὑπὸ πλήθους βιασθέντας κρατηθῆναι, ἔδοξεν αὐτοῖς, πρὸς τοὺς στρατηγοὺς τῶν Ἀθηναίων, ἣν ἐθέλωσι, σπονδὰς ποιησαμένους τὰ περὶ Πύλον, ἀποστεῖλαι ἐς τὰς Ἀθήνας πρέσβεις περὶ ξυμβάσεως, καὶ τοὺς ἄνδρας ὡς τάχιστα πειρᾶσθαι κομίσασθαι.

16. Pactione igitur inter utrumque exercitum facta, legati Athenas mittuntur Lacedæmoniorum, qui de ea re agerent.

* δεξαμένων δὲ τῶν στρατηγῶν τὸν λόγον ἐγίγνοντο σπονδαὶ τοιαίδε, Λακεδαιμονίους μὲν τὰς ναῦς ἐν αἷς ἐναυμάχησαν, καὶ τὰς ἐν τῇ Λακωνικῇ πάσας, ὅσαι ἦσαν μακραὶ, παραδοῦναι κομίσαντας ἐς Πύλον Ἀθηναίοις, καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ τειχίσματι μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν, Ἀθηναίους δὲ τοῖς ἐν τῇ νήσῳ ἀνδράσι σῖτον ἑᾶν τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους ἐκπέμπειν τακτὸν καὶ μεμαγμένον, δύο χοίνικας ἑκάστῳ Ἀττικὰς ἀλφίτων καὶ δύο κοτύλας οἴνου καὶ κρέας, θεράποντι δὲ τούτων ἡμίσεα· ταῦτα δὲ ἑρώντων τῶν Ἀθηναίων ἐσπέμπειν καὶ πλοῖον μηδὲν ἐσπλεῖν λάθρα· φυλάσσειν

3. Τὰ περὶ Πύλον] καλῶς ἡ προσθήκη, ἵνα δηλώσῃ ὅτι οὐ περὶ πάντων τῶν πραγμάτων οὐδὲ παντὸς τοῦ πολέμου, ἀλλὰ περὶ μόνων τῶν κατὰ Πύλον. ἵνα νοήσωμεν, εἰς τὰ κατὰ Πύλον μόνα. 10. Ἐπιφέρειν] ἀντὶ τοῦ προσφέρειν καὶ ἄγειν. Μήτε κατὰ γῆν] μήτε τοῖς ἐν τῇ Πύλῳ μήτε τοῖς ἐν τῇ Σφα-

1. λοιμοῦ P.

βιασθέντας κρατηθῆναι I. L, O.P.Q.d.e.f.g.h.i. βιασθέντες κρατηθῆναι c. βιασθέντας ἢ κρατηθῆναι A.B.F.H.N. vulgo βιασθέντας ἢ κρατηθέντας.

2. αὐτοὺς c.f.g.

3. θέλωσι L.O,P.d.e.

6. στρατιωτῶν K.L.O.P.e.f.g.

8. τῇ om. N.

10. καὶ τὰ ὅπλα Q.

11. θφλαττειν K.

12. τοὺς om. d.i.

13. Μεμαγμένων] Descripsit hunc locum Thom. Magister in μάττω. Quod Thucydides dicit δύο χοίνικας ἀλφίτων, id sine dubio de binis in diem accipiendum est. Hoc Portus Lacedæmonios de industria pactos putat, ut, si inter ipsos et Athenienses non conveniret, suis in insula aliquantum commeatus supereſſet. Nam vulgo una χοῖνιξ in diurnum alimentum hominis sufficere credebatur. Vid. Perizon. ad Ælian. V. H. 1, 26. De voce κατθλη vid. ad VII. 87. Duk.

14. ἀλφίτου d.

16. πέμπειν Q.

πλοῖον μὲν μηδὲν Q. πλοῖων μηδὲν I.K.e.

δὲ καὶ τὴν νῆσον Ἀθηναίους μηδὲν ἧσσον, ὅσα μὴ ἀποβαίνοντας, καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ Πελοποννησίων στρατῷ μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν. ὅ τι δ' ἂν τούτων παραβαίνωσιν ἑκάτεροι καὶ ὁτιοῦν, τότε λελύσθαι τὰς σπονδάς. ἐσπεῖσθαι δὲ αὐτὰς μέχρι οὗ ἐπανέλθωσιν οἱ ἐκ τῶν Ἀθηνῶν Λακεδαιμονίων πρέσβεις· ἀποστεῖλαι δὲ αὐτοὺς τριήρει Ἀθηναίους, καὶ πάλιν κομίσαι. ἐλθόντων δὲ τάς τε σπονδὰς λελύσθαι ταύτας, καὶ τὰς ναῦς ἀποδοῦναι Ἀθηναίους ὁμοίας οἵασπερ ἂν παραλάβωσιν. αἱ μὲν σπονδαὶ ἐπὶ τούτοις ἐγένοντο, καὶ αἱ νῆες παρεδόθησαν, οὖσαι περὶ ἑξήκοντα, καὶ οἱ πρέσβεις ἀπεστάλησαν. ἀφικόμενοι δὲ ἐς τὰς Ἀθήνας ἔλεξαν τοιάδε.

17—20. Horum oratio coram Atheniensibus habita. Declarant Lacedæmoniorum pacis desiderium, docentque hoc tempore Athe-

" ΕΠΕΜΨΑΝ ἡμᾶς Λακεδαιμόνιοι, ὦ Ἀθηναῖοι, περὶ
" τῶν ἐν τῇ νήσῳ ἀνδρῶν πράξοντας, ὅ τι ἂν ὑμῖν τε
" ὠφέλιμον ὂν τὸ αὐτὸ πείθωμεν, καὶ ἡμῖν ἐς τὴν ξυμφο-
" ρὰν ὡς ἐκ τῶν παρόντων κόσμον μάλιστα μέλλῃ οἴ-
" σειν. τοὺς δὲ λόγους μακροτέρους οὐ παρὰ τὸ εἰωθὸς
" μηκυνοῦμεν, ἀλλ' ἐπιχώριον ὂν ἡμῖν, οὗ μὲν βραχεῖς
" ἀρκοῦσι, μὴ πολλοῖς χρῆσθαι, πλείοσι δὲ ἐν ᾧ ἂν καί-

κτηρίᾳ. 7. Αὐτοὺς] ἤγουν τοὺς πρέσβεις τῶν Λακεδαιμονίων. Ἀθηναίους ὁμοίας] ἤγουν ἀκαταλύτους ἀποδοῦναι τοῖς Λακεδαιμονίοις. 13. Ἐπέμψαν ἡμᾶς Λακεδαιμόνιοι] τὸ προοίμιον ἐκ προσοχῆς καὶ ἐξ αὐτοῦ τοῦ πράγματος. τέμνεται δὲ πολλῷ τῷ συμφέροντι. ἔστι δ' ὅτε ἔχει καὶ τὸ δυνατὸν παραμεγνύμενον. 15. Καὶ ἡμῖν ἐς τὴν ξυμφορὰν] καὶ ὃ ἂν ὑμῖν ὠφέλιμον ἐσόμενον ἐπιδείξωμεν, καὶ ἅμα ἡμῖν εὐπρεπὲς ἐν τῇ παρούσῃ συμφορᾷ. 17. Τοὺς δὲ λόγους μακροτέρους] περιττὸν τὸ μακροτέρους· ἤρκει γὰρ εἰπεῖν,

2. μὴ post ὅσα om. Q.
πελοποννησίῳ A.B.F.H.
3. ὅτε L.O.P.d.i.
6. οἱ om. c.f.g.
ἀθηναίων b.
8. τε om. B.
ταύτας om. g.
11. καὶ οἱ πρέσβεις] Vide Palmer. Exercit. p. 51. et 727. ad Schol. Aristoph. Equit. v. 791. Dux.
οἱ μὲν πρέσβεις Q.
13. ἡμᾶς οἱ λακεδαιμόνιοι N.
14. πράξαντας A.B.Q.g.
16. παρώντων] παραδόντων I.
17. λόγους om. h.
18. ἂν om.L.O.P.
μὲν ἂν βραχεῖς Dissen. p. 19.
19. ἀρκοῦσι Q.

niensibus et utile et gloriosum apud omnes Græcos fore, si æquis conditionibus pacem concesserint.

" ρὸς ἢ διδάσκοντάς τι τῶν προὔργου λόγοις τὸ δέον
" πράσσειν. λάβετε δὲ αὐτοὺς μὴ πολεμίως, μηδ' ὡς
" ἀξύνετοι διδασκόμενοι, ὑπόμνησιν δὲ τοῦ καλῶς βου-
" λεύσασθαι πρὸς εἰδότας ἡγησάμενοι. ὑμῖν γὰρ εὐτυ-
" χίαν τὴν παροῦσαν ἔξεστι καλῶς θέσθαι, ἔχουσι μὲν
" ὧν κρατεῖτε, προσλαβοῦσι δὲ τιμὴν καὶ δόξαν, καὶ μὴ
" παθεῖν ὅπερ οἱ ἀήθως τι ἀγαθὸν λαμβάνοντες τῶν ἀν-
" θρώπων· ἀεὶ γὰρ τοῦ πλέονος ἐλπίδι ὀρέγονται διὰ τὸ
" καὶ τὰ παρόντα ἀδοκήτως εὐτυχῆσαι. οἷς δὲ πλεῖ-
" σται μεταβολαὶ ἐπ' ἀμφότερα ξυμβεβήκασι, δίκαιοί
" εἰσι καὶ ἀπιστότατοι εἶναι ταῖς εὐπραγίαις. ὃ τῇ τε
" ὑμετέρᾳ πόλει δι' ἐμπειρίαν καὶ ἡμῖν μάλιστ' ἂν ἐκ
18. " τοῦ εἰκότος προσείη. * γνῶτε δὲ καὶ ἐς τὰς ἡμετέρας νῦν
" ξυμφορὰς ἀπιδόντες, οἵτινες ἀξίωμα μέγιστον τῶν Ἑλ-

τοὺς δὲ λόγους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν. 1. Διδάσκοντάς τι] διδάσκοντας λόγοις τὸ δέον, τῶν προὔργου τι πράσσειν. Ἵνα ἦ τοιοῦτον, πείθοντας λόγῳ δεόντως διαπράττεσθαι τὰ προσήκοντα. παραίτησιν δὲ ἡ λέξις περιέχει τῆς ἐσομένης μακρολογίας, οὐκ ὄντος Λακωνικοῦ τοῦ μακρολογεῖν. Τῶν προὔργου] τῶν σπουδαίων. 2. Λάβετε δὲ αὐτοὺς] ἀκούσατε δὲ τῶν λόγων μήτε δυσμενῶς, ὡς πολεμίων ἀκούοντες, μήτε ἀσυνέτως· ἀλλ' οἷα δὴ συνετοὶ. ὑπομνήσεως μόνης ἕνεκεν αὐτοὺς νομίσατε λέγεσθαι πρὸς εἰδότας ὑμᾶς ἕκαστα. Μὴ πολεμίως] ἤγουν μὴ διαθέσει πολεμικῇ. 5. Καλῶς θέσθαι] ἐπαινετῶς διοικῆσαι. 6. Καὶ μὴ παθεῖν] ἀπὸ κοινοῦ τὸ ἔξεστι. τὸ δὲ ἀγαθόν τι λαμβάνοντες ἐπὶ τοῦ εὐπραγοῦντες κεῖται. 8. Ἀεὶ γὰρ τοῦ πλέονος ἐλπίδι ὀρέγονται] ἀεὶ γὰρ ὀρέγονται τοῦ πλείονος, ἐλπίζοντες αὐτοῦ τεύξεσθαι. προσυπακοῦσαι δὲ δεῖ ἔξωθεν τὸ καὶ διὰ τοῦτο ἐκπίπτουσι τῆς εὐτυχίας. 9. Ἀδοκήτως εὐτυχῆσαι] ἤγουν μετὰ εὐτυχίας λαβεῖν τὰ παρόντα. Οἷς δὲ πλεῖσται μεταβολαὶ] οἷς τισὶ δὲ ἐπ' ἀμφότερα, ἐπί τε δηλονότι τὰ ἀγαθὰ καὶ τὰ κακά. 10. Δίκαιοί εἰσι] τούτους (φησί) μὴ πιστεύειν ταῖς εὐπραγίαις προσήκει. 11. Καὶ ἀπιστότατοι] περιττὸς ὁ καί. Ὃ] τὸ μὴ πιστεύειν δηλονότι ταῖς εὐπραγίαις. 12. Δι' ἐμπειρίαν] τούτου τοῦ πράγματος.

2. πολεμίως c.
3. βουλεύεσθαι h.
7. ἄηθές B.h.
τῶν om. A.
8. πλείονος B.L.O.c.g.h.
9. εὐτυχεῖσθαι A.
11. εἶναι om. A.
13. εἰκότως I.L.M.O.
προσήει Q.
γνῶναι I. γνῶτε—ἀπιδόντες om. B.h.
ἡμετέρας om. L.O.P.
νῦν om. A.F.H.N. ante ἡμετέρας ponit Q.
14. ἀποδιδόντες d.

" λήνων ἔχοντες ἤκομεν παρ' ὑμᾶς, πρότερον αὐτοὶ κυ-
" ριώτεροι νομίζοντες εἶναι δοῦναι ἐφ' ἃ νῦν ἀφιγμένοι
" ὑμᾶς αἰτούμεθα. καίτοι οὔτε δυνάμεως ἐνδείᾳ ἐπάθο-
" μεν αὐτὸ οὔτε μείζονος προσγενομένης ὑβρίσαντες, ἀπὸ
" δὲ τῶν ἀεὶ ὑπαρχόντων γνώμῃ σφαλέντες, ἐν ᾧ πᾶσι
" τὸ αὐτὸ ὁμοίως ὑπάρχει. ὥστε οὐκ εἰκὸς ὑμᾶς διὰ τὴν
" παροῦσαν νῦν ῥώμην πόλεώς τε καὶ τῶν προσγεγενη-
" μένων καὶ τὸ τῆς τύχης οἴεσθαι ἀεὶ μεθ' ὑμῶν ἕσεσθαι.
" σωφρόνων δὲ ἀνδρῶν οἵτινες τἀγαθὰ ἐς ἀμφίβολον
" ἀσφαλῶς ἔθεντο· καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ εὐξυνε-
" τώτερον ἂν προσφέροιντο, τόν τε πόλεμον νομίσωσι μὴ
" καθ' ὅσον ἄν τις αὐτοῦ μέρος βούληται μεταχειρίζειν,
" τούτῳ ξυνεῖναι, ἀλλ' ὡς ἂν αἱ τύχαι αὐτῶν ἡγήσωνται.
" καὶ ἐλάχιστ' ἂν οἱ τοιοῦτοι πταίοντες, διὰ τὸ μὴ τῷ

1. Κυριώτεροι] δικαιότεροι. 2. Ἐφ' ἃ νῦν] τὰς σπονδὰς λέγει. 3. Οὔτε δυνάμεως] ἤγουν ὡς ἀδύνατοι ὄντες. 4. Αὐτὸ] τὰς νῦν δηλωθεῖσι συμφοράς. Προσγενομένης] δυνάμεως, ἀπὸ κοινοῦ. Ἀπὸ δὲ τῶν ἀεὶ ὑπαρχόντων] τῆς συνήθους δυνάμεως, τῶν ὄντων ἀεὶ τοῖς ἀνθρώποις. 5. Ἐν ᾧ] ἐν τῷ δύνασθαι γνώμῃ σφαλῆναι. 9. Σωφρόνων δὲ ἀνδρῶν] σώφρονές εἰσιν, οἵτινες, ἀδήλου ὄντος τοῦ ἀποβησομένου, ἐκ τῆς παρούσης εὐπραγίας ἐπὶ ἀσφαλέστερον ῥέπουσι, καὶ οὐκ ἐξυβρίζουσιν, ὡς παραμενούσης αὐτοῖς ἀεὶ τῆς εὐπραγίας, ἀλλὰ συμβαίνουσι τοῖς ἐναντίοις. 10. Καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ] καὶ γὰρ τὰς συμφορὰς οὗτοι δεξιώτερον ἂν καὶ ὡς συνετοὶ προδέχοιντό τε καὶ φέροιεν. 11. Τόν τε πόλεμον νομίσωσιν] ἀπὸ κοινοῦ τὸ " σωφρόνων δὲ " ἀνδρῶν, οἵτινες ἂν μετὰ τῶν ἄλλων" καὶ τὰ ἑξῆς. ἡ δὲ διάνοια, σώφρονές εἰσιν, οἵτινες οἴονται τὰ ἐκ τῶν πολέμων μὴ κατὰ προαίρεσιν ἡμετέραν ἀποβαίνειν, ἀλλὰ κατὰ τύχην. ἔνιοι δὲ τόνδε τὸν τρόπον ἐξηγήσαντο· σώφρονές εἰσιν οἱ νομίζοντες τὸν πόλεμον, τουτέστι τὴν ἐκ τοῦ πολέμου νίκην, μὴ καθ' ὃ μέρος ἄν τις αὐτοῦ μεταχειρίζηται, οἷον ναυμαχῶν ἢ πεζομαχῶν, κατὰ τοῦτο συντυγχάνειν, ἀλλ' ὡς ἂν ἡ τύχη ἡγῆται τοῦ πολέμου. 14. Καὶ ἐλάχιστ'

1. πρότεροι c.
κυριώτεροι g.
2. δοῦναι om. K.
4. προσγεγενημένης L.
5. γνώμης I.
6. ὥστε] οὔτε B.
ὑμᾶς om. c.f.g.
7. προγεγενημένων I.O.
8. ἀεὶ om. c.f.g.
9. ἐς] ἐπ' K.
10. εὐξυνετώτεροι i.
12. βούλεται A.F.H.Q.
13. τούτῳ ξυνεῖναι om. A. τούτῳ ἐξεῖναι d.
14. διὰ—πιστεύοντες om. F.H.

" ὀρθουμένῳ αὐτοῦ πιστεύοντες ἐπαίρεσθαι, ἐν τῷ εὐτυχεῖν
" ἂν μάλιστα καταλύοιντο. ὃ νῦν ὑμῖν, ὦ Ἀθηναῖοι, κα-
" λῶς ἔχει πρὸς ἡμᾶς πρᾶξαι, καὶ μήποτε ὕστερον, ἢν
" ἄρα μὴ πειθόμενοι σφαλῆτε, ἃ πολλὰ ἐνδέχεται, νο-
" μισθῆναι τύχῃ καὶ τὰ νῦν προχωρήσαντα κρατῆσαι, 5
" ἔχον ἀκίνδυνον δόκησιν ἰσχύος καὶ ξυνέσεως ἐς τὸ ἔπει-
19. " τα καταλιπεῖν. * Λακεδαιμόνιοι δὲ ὑμᾶς προκαλοῦν-

ἂν οἱ τοιοῦτοι πταίοντες] οἱ μὴ πιστεύοντες ταῖς κατὰ πόλεμον εὐπραγίαις· τὸ γὰρ ὀρθούμενον τὴν εὐπραγίαν λέγει. οὗτοι (φησὶν) ἐλάχιστα πταίοιεν ἂν οἱ τὸν πόλεμον ἐν τῷ εὐπραγεῖν αὐτοὶ κατατιθέμενοι. ἐξηγητικὸν δέ ἐστι τοῦτο τοῦ " σωφρόνων δὲ ἀνδρῶν, οἵτινες τὰ ἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς " ἔθεντο." 1. Ἐν τῷ εὐτυχεῖν] ἀντὶ τοῦ εἰ εὐτυχοῖεν. 2. Καταλύοιντο. ἀνακαλύοιντο. Ὅ] ἐν εὐπραγίᾳ καταλύσασθαι, ἀντὶ τοῦ ἀποθέσθαι τὸν πόλεμον. 3. Καὶ μή ποτε ὕστερον] ἵνα μὴ, ἐάν ποτε σφαλῆτε ὕστερον, ἀπιθήσαντες ἡμῖν, (ἐνδέχεται γάρ) νομισθῆτε καὶ τὰ νῦν ἄλλως ηὐτυχηκέναι καὶ χωρὶς συνέσεως, ἐξουσίας ὑμῖν οὔσης, εἰρήνης γενομένης ἄνευ κινδύνων, εὐβουλίας τε καὶ ἀνδρίας δόξαν τοῖς μετὰ ταῦτα ἀνθρώποις καταλιπεῖν, ἰσχύος μὲν διὰ τὸ μεῖναι ὑμῖν τὴν εὐτυχίαν καὶ μὴ μεταβληθῆναι, εὐβουλίας δὲ, ὅτι ἐσπείσασθε ἐν τῷ εὐτυχεῖν, εἰδότες τὸ τῆς τύχης ἄστατον. 7. Λακεδαιμόνιοι δὲ] κατὰ τὸ φρόνημα τῶν Λακεδαιμονίων τά τε ἄλλα καὶ μάλιστα τοῦτο εἴρηται. οὐ γὰρ κολακεύουσι τοὺς Ἀθηναίους, καίτοι γε πταίσαντες, ἀλλὰ μένουσιν ἐπὶ τοῦ φρονήματος· καὶ λέγουσιν ὅτι Λακεδαιμόνιοι ὑμῖν εἰρήνῃ διδόα-

1. αὐτοὺς A.B.
2. μάλιστα ἂν c.f.g.
ὃ om. F.c.g.
3. Καὶ μήποτε ὕστερον νομισθῆναι] Stephanus vertit, *et non committetis, ut — existimemini.* Portus, *et cavebitis, ne existimemini.* Putarunt, quantum ex hoc supplemento intelligi potest, ante μήποτε deese ὁρᾶτε, σκοπεῖτε, aut aliud hujusmodi, quæ ellipsis frequens est ante ὅπως. Eam etiam in his verbis M. Antonini IV. 34. τῶν εἰς ἑαυτὸν μήποτε ἄμεινον τ' ἀναγκαῖα πράσσειν statuit Gatakerus, ut et in Actor. Apost. V. 39. et alibi in Libris sacris; in qua sententia etiam H. Stephanus in Dissert. de stilo Novi Testam. Beza, Grotius, et alii docti Interpretes ad d. l. Actor. sunt. Et hæc quoque admitti potest in plerisque aliis locis, ubi μήποτε est *nescio an*, vel *fortassis*, quorum multa Budæus habet in Commentar. Ling. Gr. pag. 909, 910. Nam in his recte suppletur σκεπτέον, vel simile quid. Sed in hoc loco Thucydidis Infinitivus νομισθῆναι fortassis respuit hoc supplementum, et pendet a præcedentibus καλῶς ἔχει, ut hæc conjungantur, καλῶς ἔχει ὑμῖν πρᾶξαι, καὶ μήποτε νομισθῆναι. Duk.
5. προσχωρήσαντα f.
7. προσκαλοῦνται g. παρακαλοῦντες d.i.

Προκαλοῦνται ἐς σπονδὰς] Hoc Aristophanes Equit. 791. de eadem re agens sine præpositione dicit: Ἀρχεπτολέμου δὲ φέροντος

" ται ἐς σπονδὰς καὶ διάλυσιν πολέμου, διδόντες μὲν
" εἰρήνην καὶ ξυμμαχίαν, καὶ ἄλλην φιλίαν πολλὴν καὶ
" οἰκειότητα ἐς ἀλλήλους ὑπάρχειν, ἀνταιτοῦντες δὲ τοὺς
" ἐκ τῆς νήσου ἄνδρας, καὶ ἄμεινον ἡγούμενοι ἀμφοτέροις
" μὴ διακινδυνεύεσθαι, εἴτε βίᾳ διαφύγοιεν παρατυχού-
" σης τινὸς σωτηρίας, εἴτε καὶ ἐκπολιορκηθέντες μᾶλλον
" ἂν χειρωθεῖεν. νομίζομέν τε τὰς μεγάλας ἔχθρας
" μάλιστ' ἂν διαλύεσθαι βεβαίως, οὐκ ἢν ἀνταμυνόμε-
" νός τις καὶ ἐπικρατήσας τὰ πλέω τοῦ πολέμου, κατ'
" ἀνάγκην ὅρκοις ἐγκαταλαμβάνων μὴ ἀπὸ τοῦ ἴσου
" ξυμβῇ, ἀλλ' ἢν παρὸν τὸ αὐτὸ δρᾶσαι, πρὸς τὸ ἐπιεικὲς

σω, ὡς ὄντες τούτου κύριοι, ἀνταιτοῦντες δὲ τοὺς ἐν τῇ νήσῳ ἄνδρας δηλονότι. καὶ ἐντεῦθεν κύριοι νομίζουσιν εἶναι τοῦ ποιήσασθαι τὴν εἰρήνην οἱ Λακεδαιμόνιοι, οὗ γε, ὡς αὐτοὶ διδόντες αὐτὴν, ἀντ' αὐτῆς αὐτοῦσι τοὺς ἄνδρας. 4. Καὶ ἄμεινον ἡγούμενοι ἀμφοτέροις] ἡμῖν καὶ ὑμῖν, ὡς Ἀντύλλος φησὶν, ἵνα δοκῶσι Λακεδαιμόνιοι καὶ τοῦ τῶν Ἀθηναίων προνοεῖσθαι συμφέροντος. Ἡ ἀμφοτέρων λέγει ἐν ἀμφοτέροις, ἢ διαφυγεῖν τοὺς ἄνδρας ἢ ἐκπολιορκηθῆναι. ὃ καὶ μᾶλλον εἰκός ἐστιν. 5. Εἴτε βίᾳ διαφύγοιεν] τὸ διακινδυνεύεσθαι ἐξηγεῖται, πῶς μέλλει διακινδυνεύεσθαι αὐτοῖς ἡ δίξα. εἴτε (φησί) βίᾳ διαφύγοιεν οἱ ἄνδρες, παρακεκουσῆς τινὸς διὰ τῆς τύχης σωτηρίας, καὶ γενησόμεθα πάλιν ἴσοι ὑμῖν. εἴτε καὶ ἐκπολιορκηθέντες παρ' ὑμῶν, τουτέστιν ἁλόντες διὰ τῆς πολιορκίας, παρασκευάσουσιν ἡμᾶς καὶ ἐφελκύσονται, πρὸς τῇ κοινῇ ἔχθρᾳ, καὶ ἑτέραν ἔχειν ἰδίαν Λακεδαιμονίους καὶ Ἀθηναίους. 7. Νομίζομέν τε τὰς] νομίζομέν τε τὰς μεγάλας ἔχθρας παύεσθαι βεβαίως, οὐκ ἐπειδὰν κατὰ κέλευμόν τις πλεονεκτήσας τῶν ἐναντίων ἀναγκάσῃ δι' ὅρκων αὐτοὺς ἄκοντας συμβῆναι, καὶ μὴ δικαίως (τουτέστι συνθήκας ποιῆσαι πλεονεκτικὰς καὶ ἀδίκους καὶ ἀνίσους, καὶ ὡς ἂν συμφέρῃ τῷ νενικηκότι), ἀλλ' ἐὰν δυνάμενος αὐτὰ ταῦτα ποῖσαι τὸν ἡττηθέντα τὰ ἄδικα καὶ πλεονεκτικὰ συνθέσθαι, μηδὲν τούτων ἀπαιτήσῃ αὐτὸν, ἀλλ' ἐκ τοῦ ἴσου διαλλαγῇ, καὶ τῇ φιλανθρωπίᾳ αὐτὸ τὸ πλεονεκτικὸν κατακρατήσῃ παρὰ τὴν ἐλπίδα τοῦ κεκρατημένου. δῆλον γὰρ ὅτι ὁ κεκρατημένος ἐλπίζει παρὰ τοῦ κρατήσαντος ἀδικεῖσθαι καὶ πλεονεκτεῖσθαι· οὐδεὶς γὰρ νικήσας ἀνέχεται ἐμοίως καὶ ἐν ἴσῃ τάξει στένδεσθαι τῷ νενικημένῳ, ἀλλ' ἀεὶ τὸ πλέον ἐθέλει ἔχειν. 11. Τὸ αὐτὸ] ἤγουν τὸ νικῆ-

Τὴν εἰρήνην ἐξεσκέδασας, τὰς πρεσβείας τ' ἀπελαύνεις Ἐκ τῆς πόλεως, βαθυπτυγίζων, αἱ τὰς σπονδὰς προκαλοῦνται. Thucyd. infr. cap. 21. Οὔτε Ἀθηναίους ἐπὶ μετρίοις ποιήσοντας ἃ προὐκαλοῦντο. Duk.

2. πολλὴν om. L.O.P.
4. ἀμφότεροι h.
5. κινδυνεύεσθαι K.
7. νομίζοντες e.
9. διαλύσασθαι d.i.
11, παρὸν] παρὰ K.
αὐτὸ A.B.F.H.N.P.Q.e.f.g.

" καὶ ἀρετῇ αὐτὸ νικήσας, παρὰ ἃ προσεδέχετο, με-
" τρίως ξυναλλαγῇ. ὀφείλων γὰρ ἤδη ὁ ἐναντίος μὴ
" ἀνταμύνεσθαι ὡς βιασθεὶς ἀλλ' ἀνταποδοῦναι ἀρετὴν,
" ἑτοιμότερός ἐστιν αἰσχύνῃ ἐμμένειν οἷς ξυνέθετο. καὶ
" μᾶλλον πρὸς τοὺς μειζόνως ἐχθροὺς τοῦτο δρῶσιν οἱ
" ἄνθρωποι ἢ πρὸς τοὺς τὰ μέτρια διενεχθέντας· πεφύ-
" κασί τε τοῖς μὲν ἑκουσίως ἐνδοῦσιν ἀνθησσᾶσθαι μεθ'
" ἡδονῆς, πρὸς δὲ τὰ ὑπεραυχοῦντα καὶ παρὰ γνώμην
20. " διακινδυνεύειν. * ἡμῖν δὲ καλῶς, εἴπερ ποτὲ, ἔχει ἀμφο-
" τέροις ἡ ξυναλλαγὴ, πρίν τι ἀνήκεστον διὰ μέσου γενό-
" μενον ἡμᾶς καταλαβεῖν, ἐν ᾧ ἀνάγκη ἀΐδιον ὑμῖν
" ἔχθραν πρὸς τῇ κοινῇ καὶ ἰδίαν ἔχειν, ὑμᾶς δὲ στερη-

σαι. 1. Μετρίως] μετὰ ταπεινοφροσύνης. 2. Ὀφείλων γὰρ ἤδη] ὁ ἐναντίος. ὁ γὰρ δι' ἐναντίας, ὡς ἂν μὴ βιασθεὶς ἀλλ' ἐπεικείᾳ πεισθεὶς, εἰδὼς τὸ οὐκ ἀμύνεσθαι δίκαιον ἀλλ' ἀμείβεσθαι τὴν ἀρετὴν, ἕτοιμός ἐστιν ἐμμένειν ταῖς συνθήκαις, αἰσχυνόμενός τι παραβῆναι. τῷ δὲ ἑτοιμότερος προσπακουστέον τὸ ἐκείνου, ἤτοι τοῦ μὴ πεισθέντος, ἀλλὰ βιασθέντος σπείσασθαι. 4. Καὶ μᾶλλον πρὸς τοὺς μειζόνως ἐχθροὺς] καὶ μᾶλλον πρὸς τοὺς μειζόνως ἐχθροὺς τοῦτο δρῶσι, τὸ εὐγνωμονῆσαι ἤτοι προθύμως ἐμμένειν ταῖς συνθήκαις. ὡς γὰρ ἐκ μεγάλων ἐχθρῶν ἐκφυγόντες καὶ σωθέντες, ἀσμένως φέρουσι τὸ ἡσυχάζειν, κέρδος νομίζοντες τὸ μὴ πάλιν κινδυνεύειν πρὸς μείζω μαχόμενοι, ἥπερ πρὸς ἐκείνους τοὺς περὶ εὐτελῶν καὶ μετρίων αὐτοῖς διενεχθέντας. ἔστι δὲ ἀντίπτωσις· ἀντὶ γὰρ τοῦ περὶ μετρίων εἴρηκε τὰ μέτρια. 6. Πεφύκασί τε] πεφύκασί τε οἱ ἄνθρωποι τοῖς μὲν εὐγνωμόνως συνθεμένοις μαλακώτεροι γίγνεσθαι πρὸς τὸ ἐκείνοις σπένδεσθαι, πρὸς δὲ τοὺς ἐναντιουμένους παρὰ προαίρεσιν διακινδυνεύειν. 9. Ἡμῖν δὲ καλῶς, εἴπερ ποτὲ, ἔχει] ἡμῖν δὲ καλῶς ἔχει (φησὶ) τὸ διαλλαγῆναι πρὸ τοῦ ἀνήκεστόν τι παρ' ἑκατέρωσιν γενόμενον, εἰς ἀνάγκας ἡμᾶς καταστῆσαι ἀΐδιον ἔχθρας. τὸ δὲ πρὸς τῇ κοινῇ καὶ ἰδίαν ἔχειν

1. περὶ M.b.e.
2. ἤδη om. Q.
3. ἀνταμύνασθαι B.h.

Βιασθεὶς] Vid. Suidam. in ἐβιάζοντο. ἐβιάζοντο alibi ἐπὶ τῶν παισχόντων. Homerus: Αἴας δ' οὐκέτ' ἔμμενε· ΒΙΑΊΖΕΤΟ γὰρ βελέεσσι. D. Halic. βεβιασμένα σχήματα: Interpres, per vim figuras. immo, figuras coactas. Ὀφείλων—ἀρετὴν Thom. Mag. in βούλομαι, qui ἀνταμύνασθαι habet. Wass.

6. τοὺς om. P.
τοὺς μέτρια K.c.e.f.g. τοὺς μετρίως d.
7. ἑκουσίως] ἑκοῦσιν Lex. Seg. p. 126, 1.
ἀντίσασθαι Q.
12. ὑμᾶς A.B.F.H.K.L.M.N. O.c.d.e.f.g.h.i. vulgo ἡμᾶς.

" θῆναι ὧν νῦν προκαλούμεθα. ἔτι δ' ὄντων ἀκρίτων, καὶ
" ὑμῖν μὲν δόξης καὶ ἡμετέρας φιλίας προσγιγνομένης,
" ἡμῖν δὲ πρὸ αἰσχροῦ τινὸς ξυμφορᾶς μετρίως κατατι-
" θεμένης, διαλλαγῶμεν, καὶ αὐτοί τε ἀντὶ πολέμου
5" εἰρήνην ἐλώμεθα, καὶ τοῖς ἄλλοις Ἕλλησιν ἀνάπαυσιν
" κακῶν ποιήσωμεν· οἳ καὶ ἐν τούτῳ ὑμᾶς αἰτιωτέρους
" ἡγήσονται. πολεμοῦνται μὲν γὰρ ἀσαφῶς ὁποτέρων
" ἀρξάντων· καταλύσεως δὲ γιγνομένης, ἧς νῦν ὑμεῖς τὸ
" πλέον κύριοί ἐστε, τὴν χάριν ὑμῖν προσθήσουσιν. ἤν τε
10" γνῶτε, Λακεδαιμονίοις ἔξεστιν ὑμῖν φίλους γενέσθαι
" βεβαίως, αὐτῶν τε προκαλεσαμένων, χαρισαμένοις τε
" μᾶλλον ἢ βιασαμένοις. καὶ ἐν τούτῳ τὰ ἐνόντα ἀγαθὰ
" σκοπεῖτε ὅσα εἰκὸς εἶναι· ἡμῶν γὰρ καὶ ὑμῶν ταὐτὰ

τυυεῦτον· νῦν μὲν κοινὴν ἔχομεν Πελοποννήσιοι πάντες πρὸς ὑμᾶς ἔχθραν· εἰ δὲ μὴ εἴξετε τοῖς λόγοις ἡμῶν, καὶ ἰδίᾳ Λακεδαιμόνιοι ἐχθροὶ ὑμῶν ἐσόμεθα. 1. Ἔτι δ' ὄντων ἀκρίτων] ἔτι δε ὄντων ἀδιακρίτων καὶ ἀμφιβόλων τῶν πραγμάτων τῶν κατὰ τὴν Σφακτηρίαν, εἴτε ἁλίσκονται οἱ ἄνδρες εἴτε διαφεύγουσι, καὶ ὑμῖν μὲν δόξης προσγινομένης καὶ φιλίας παρ' ἡμῶν, ἐὰν σπεισώμεθα ὥσπερ νῦν ἔχομεν, ἡμῖν δὲ τοῖς Λακεδαιμονίοις, πρὶν αἰσχροῦ τινὸς πειραθῆναι (ἀντὶ τοῦ πρὶν ἁλῶναι τοὺς ἄνδρας) τῆς συμφορᾶς μετρίως κατατιθεμένης, διαλλαγῶμεν. 6. Οἳ καὶ ἐν τούτῳ ὑμᾶς] ἐν τῷ αὐτῷ γενέσθαι δηλονότι τὴν εἰρήνην, ὑμᾶς νομιοῦσιν αἰτιωτέρους. ἀντὶ τοῦ, πλέων τῶν Λακεδαιμονίων ὑμῖν τὴν χάριν τῆς εἰρήνης ὁμολογήσουσιν. ὁ δὲ καί σύνδεσμος οὐ περιττῶς κεῖται, ἀλλ' ἀναγκαίως. λέγει γὰρ ὅτι τοῦ τε νομίσαι ὑμᾶς νενικηκέναι, καὶ τὴν χάριν τῆς εἰρήνης εἰς ὑμᾶς μέλλουσιν ἀνενεγκεῖν. 7. Πολεμοῦνται μὲν γὰρ ἀσαφῶς] πολεμοῦνται γὰρ, ἀδήλου ὄντος τοῦ πράγματος, τίς ἐστιν ὁ προκαταρξάμενος τοῦ πολέμου, εἴτε ὁ Λακεδαιμόνιος, εἴτε ὁ Ἀθηναῖος, καὶ τὰ ἑξῆς. 9. Ἤν τε γνῶτε, Λακεδαιμονίοις] ἄν τε πεισθῆτε, ἔξεστιν ὑμῖν Λακεδαιμονίοις φίλους γενέσθαι, χάριν δοῦσιν μᾶλλον, ἥπερ βιασθεῖσιν ὑπ' αὐτῶν. 11. Προκαλεσαμένων] θελησάντων καὶ προτρεψάντων ὑμᾶς ἐπὶ ταῦτα. 13. Εἶναι] ἀντὶ τοῦ συμβήσεσθαι. Ἡμῶν γὰρ καὶ ὑμῶν ταὐτὰ

2. προγιγνομένης i. προσγεγενημένης L.
3. πρὸς I.
συμφορᾶς c.h.
διατιθεμένης d.i.
6. καλῶν e.i.
7. ἡγήσωνται B.
πολεμούντων e. πολεμοῦντας f.
μὲν addidi sumptum ex A.B. F.H.L.O.P.c.d.e.f.g.
σαφῶς P.
8. γιγνομένης A.B.F.H.h. vulgo γενομένης.
11. βεβαίους K.
13. ταῦτα F.

" λεγόντων, τό γε ἄλλο Ἑλληνικὸν ἴστε ὅτι ὑποδεέστε-
" ρον ὂν τὰ μέγιστα τιμήσει."

21. Dura Atheniensium, instigante Cleone, postulatio, ut primum ii, qui in insula essent, et arma et se ipsos tradant, Athenasque deportarentur; deinde Lacedæmonii, si Niseam, Pegas, Troezenem et Achaiam iterum Atheniensibus permisissent, eos domum reducerent.

Οἱ μὲν οὖν Λακεδαιμόνιοι τοσαῦτα εἶπον, νομίζοντες τοὺς Ἀθηναίους ἐν τῷ πρὶν χρόνῳ σπονδῶν μὲν ἐπιθυμεῖν, σφῶν δὲ ἐναντιουμένων κωλύεσθαι, διδομένης δὲ εἰρήνης ἀσμένως δέξεσθαί τε καὶ τοὺς ἄνδρας ἀποδώσειν. οἱ δὲ τὰς μὲν σπονδὰς, ἔχοντες τοὺς ἄνδρας ἐν τῇ νήσῳ, ἤδη σφίσιν ἐνόμιζον ἑτοίμους εἶναι ὁπόταν βούλωνται ποιεῖσθαι πρὸς αὐτοὺς, τοῦ δὲ πλέονος ὠρέγοντο. μάλιστα δὲ αὐτοὺς ἐνῆγε Κλέων ὁ Κλεαινέτου, ἀνὴρ δημαγωγὸς κατ' ἐκεῖνον τὸν χρόνον ὢν καὶ τῷ πλήθει πιθανώτατος· καὶ ἔπεισεν ἀποκρίνασθαι ὡς χρὴ τὰ μὲν ὅπλα καὶ σφᾶς αὐτοὺς τοὺς ἐν τῇ νήσῳ παραδόντας πρῶτον κομισθῆναι Ἀθήναζε, ἐλθόντων δὲ ἀποδόντας Λακεδαιμονίους Νίσαιαν καὶ Πηγὰς καὶ Τροιζῆνα καὶ Ἀχαΐαν, ἃ οὐ πολέμῳ ἔλαβον ἀλλ' ἀπὸ τῆς προτέρας ξυμβάσεως, Ἀθηναίων ξυγχωρησάντων κατὰ ξυμφορὰς καὶ ἐν τῷ τότε δεομένων

λεγόντων] ἡμῶν γὰρ καὶ ὑμῶν ταυτὰ σπενδομένων καὶ ὁμοσούντων, τὸ ἄλλο Ἑλληνικὸν ὑπήκοον ὂν μεγάλως ἡμᾶς τιμήσει. 7. Τὰς μὲν σπονδὰς] τὸ ἐξῆς, τὰς σπονδὰς ποιεῖσθαι. 10. Ἐνῆγε] κατέπειθεν. 16. Ἀθηναίων ξυγχωρησάντων] Ἀθηναίων τὰ προειρημένα χωρία Λακεδαιμονίοις ξυγχωρησάντων ἐν ταῖς προτέραις σπονδαῖς, διὰ τὸ ἐν συμφοραῖς εἶναι. πᾶν γὰρ τὸ

1. τότε A.L.O.P.d.g.h.i.
3. οὖν om. L.O.P.
5. διδομένης εἰρήνης d.i.
6. ἀσμένους δέξεσθαί τε L.O. P.c.f.g. ἀσμένους δέξεσθαί τε I.K. i. ἀσμένως δέξασθαί τε H.e. ἀσμένους δέξασθαί τε F.Q. ἀσμένως δέχεσθαί τε h. ἀσμένως δέχεσθαί τε A.B. vulgo δέξεσθαί τε ἀσμένους.
9. πρὸς αὐτοὺς ποιεῖσθαι h. μᾶλλον L.
10. κλεαινέτα P.
11. καὶ om. Q.
12. εἶπεν ἀποκρίνεσθαι d,
13. πρῶτον om. d.i.
14. νίκαιαν P.
Πηγὰς] Ita fere p. 57. Conjungit Andocides p. 266. et Aristides I. 274. II. 247. alibi Πηγὰς Νίσαν, ubi Νίσαιαν legendum. vid. Thucyd. 201. Pegas et Pagas pro varia apud Græcos dialecto scribunt Latini. Wass.
τροίζηνα F.H.K.n.
17. κατὰ συμφορὰς e. κατὰ τὰς ξυμφορὰς L.

τι μᾶλλον σπονδῶν, νομίσασθαι τοὺς ἄνδρας καὶ σπονδὰς ποιήσασθαι, ὁπόσον ἂν δοκῇ χρόνον ἀμφοτέροις. * οἱ δὲ πρὸς μὲν τὴν ἀπόκρισιν οὐδὲν ἀντεῖπον, ξυνέδρους δὲ σφίσιν ἐκέλευον ἑλέσθαι, οἵτινες λέγοντες καὶ ἀκούοντες περὶ ἑκάστου ξυμβήσονται κατὰ ἡσυχίαν, ὅ τι ἂν πείθωσιν ἀλλήλους. Κλέων δὲ ἐνταῦθα δὴ πολὺς ἐνέκειτο, λέγων γιγνώσκειν μὲν καὶ πρότερον οὐδὲν ἐν νῷ ἔχοντας δίκαιον αὐτοὺς, σαφὲς δ' εἶναι καὶ νῦν, οἵτινες τῷ μὲν πλήθει οὐδὲν ἐθέλουσιν εἰπεῖν, ὀλίγοις δὲ ἀνδράσι ξυνέδροι βούλονται γίγνεσθαι· ἀλλὰ εἴ τι ὑγιὲς διανοοῦνται, λέγειν ἐκέλευσεν ἅπασιν. ὁρῶντες δὲ οἱ Λακεδαιμόνιοι οὔτε σφίσιν οἷόν τε ὂν ἐν πλήθει εἰπεῖν, εἴ τι καὶ ὑπὸ τῆς ξυμφορᾶς ἐδόκει αὐτοῖς ξυγχωρεῖν, μὴ ἐς τοὺς ξυμμάχους διαβληθῶσιν εἰπόντες καὶ οὐ τυχόντες, οὔτε τοὺς Ἀθηναίους ἐπὶ μετρίοις ποιήσοντας ἃ προὐκαλοῦντο, ἀνεχώρησαν ἐκ τῶν Ἀθηνῶν ἄπρακτοι. * ἀφικομένων δὲ αὐτῶν διελύοντο εὐθὺς αἱ σπονδαὶ αἱ περὶ Πύλον, καὶ τὰς ναῦς οἱ Λακεδαιμόνιοι ἀπῄτουν, καθάπερ ξυνέκειτο· οἱ δ' Ἀθηναῖοι ἐγκλήματα

22. Lacedæmonii non palam ad ea respondent, sociorum causa, sed ad colloquium provocant, quibuscum de re secreto ageretur. Adversante Cleone, infecta re domum redeunt Lacedæmonii.

23. Athenienses autem, sponsione sublata,

ἐστασιάσθαι ὑπὸ τῶν Λακεδαιμονίων συνεχώρουν. 1. Μᾶλλον] τῶν Λακεδαιμονίων. τὸ δὲ τι παρέλκει. 2. Οἱ δὲ] οἱ Λακεδαιμόνιοι. 3. Ξυνέδρους δὲ] τοὺς διαλεξομένους περὶ τούτων καὶ συνδοκιμάσοντας. 5. Ξυμβήσονται] φιλιωθήσονται. 13. Διαβληθῶσιν] ψεχθῶσι, μισηθῶσι. 18. Καθάπερ ξυνέκειτο] ἀντὶ τοῦ ὥσπερ ἐν ταῖς συνθήκαις ἦν δεδογμένον. Ἐγκλήματα

2. ὁπόσον I.
4. ἐκέλευον om. A.
6. δὴ om. d.
7. καὶ om. P.
ἐν νῷ om. e.
8. σαφεῖς d.
9. ἐθέλουσιν K.
10. δὲ om. b.
12. εἴ τι Poppo: libri omnes εἴτε.
12. καί τι ὑπὸ d.
τὰς ξυμφορὰς P. τῆς συμφορᾶς e.
13. διαβληθῶσιν post εἰπόντες ponunt c.f. post τυχόντες d.g.
15. ποιήσαντας A.B.P.h.
προκαλοῦνται d.
ἀθηναίων i.
16. διεκελεύοντο e.
εὐθέως K.
17. περὶ τὴν πύλον N. περὶ τὸν πύλον K.

naves reddere recusant, quod per inducias munimenta aggressi essent Lacedæmonii. Præterea illi insulam navibus diligenter custodiunt, bellumque reparant utrique.

ἔχοντες, ἐπιδρομήν τε τῷ τειχίσματι παράσπονδον, καὶ ἄλλα οὐκ ἀξιόλογα δοκοῦντα εἶναι, οὐκ ἀπεδίδοσαν, ἰσχυριζόμενοι ὅτι δὴ εἴρητο, ἐὰν καὶ ὁτιοῦν παραβαθῇ, λελύσθαι τὰς σπονδάς. οἱ δὲ Λακεδαιμόνιοι ἀντέλεγόν τε, καὶ ἀδίκημα ἐπικαλέσαντες τὸ τῶν νεῶν, ἀπελθόντες, ἐς πόλεμον καθίσταντο. καὶ τὰ περὶ Πύλον ὑπ' ἀμφοτέρων κατὰ κράτος ἐπολεμεῖτο, Ἀθηναῖοι μὲν δυοῖν ἐναντίαιν ἀεὶ τὴν νῆσον περιπλέοντες τῆς ἡμέρας (τῆς δὲ νυκτὸς καὶ ἅπασαι περιώρμουν, πλὴν τὰ πρὸς τὸ πέλαγος, ὁπότε ἄνεμος εἴη· καὶ ἐκ τῶν Ἀθηνῶν αὐτοῖς εἴκοσι νῆες ἀφίκοντο ἐς τὴν φυλακήν, ὥστε αἱ πᾶσαι ἑβδομήκοντα ἐγένοντο), Πελοποννήσιοι δὲ ἐν τῇ ἠπείρῳ στρατοπεδευόμενοι, καὶ προσβολὰς ποιούμενοι τῷ τείχει, σκοποῦντες καιρὸν, εἴ τις παραπέσοι, ὥστε τοὺς ἄνδρας σῶσαι.

ἔχοντες] ἀντὶ τοῦ ἐγκλήματα ἐπιφέροντες κατὰ Λακεδαιμονίων. 1. Παράσπονδον] παρὰ τὰ ἐν ταῖς σπονδαῖς συγκείμενα. 2. Οὐκ ἀξιόλογα] εὐτελῆ τινὰ καὶ ψυχρά. 3. Ἰσχυριζόμενοι] ἐπαρειδόμενοι, ὡς ἰσχυρὸν πάνυ προτείνοντες οἱ Ἀθηναῖοι. Ἐὰν καὶ ὁτιοῦν παραβαθῇ] ἐὰν βραχὺ ἀθετηθῇ. 5. Καὶ ἀδίκημα ἐπικαλέσαντες] καὶ ἐγκαλοῦντες ἠδικῆσθαι διὰ τὸ τὰς ναῦς μὴ ἀπειληφέναι. Ἀπέλθοντες ἐς πόλεμον καθίσταντο] μετὰ τὴν ἀκρόασιν τὴν ἐλθοῦσαν ἀπὸ τῶν Ἀθηναίων, ἀναχωρήσαντες ἐπὶ τὴν Σπάρτην, παρεσκευάζοντο ἐπὶ τὸν πόλεμον. 7. Ἀθηναῖοι μὲν δυοῖν] ἀντὶ τοῦ, Ἀθηναίων μὲν δύο ναυσὶν ἐναντίαις περικλεόντων τὴν νῆσον. τοῦτο δὲ, ἵνα μὴ ἐν τῷ μέσῳ διὰ τὸ ἀπαντᾶν, μὴ ἐάσωσι τοὺς ἐν τῇ Σφακτηρίᾳ ἐξελθεῖν. 13. Καὶ προσβολὰς ποιούμενοι τῷ τείχει] ἀπὸ κοινοῦ τὸ εἰς πόλεμον καθίσταντο.

2. ἀξιόλογα] ὀλίγα f.g.
ἀπέδοσαν c.g.
3. καὶ om. d.i.
παραβασθῇ d.
5. ἐπελθόντες Q.
6. ὑπ' I.
ἀμφοτέρους c.f.g.
7. κατὰ κράτος om. e.g.
δυοῖν O. post δυοῖν cum A.B. F.H.h. omisi νεοῖν.
ἐναντίαν B.
9. Περιώρμουν] Περιωρμεῖν est, ut ait Pollux I. 122. τὸ ἐν κύκλῳ περιπλεῖν νῆσον, καὶ προσκαθῆσθαι πολιορκητικῶς νήσῳ ἀπὸ νεῶν. Sic infr. cap. 26. III. 6. dicit περιωρμίζεσθαι· καὶ περιορμισάμενοι τὸ πρὸς νότον τῆς πόλεως. DUK.
πρὸς] περὶ L.O.P.
12. ἔν τε τῇ F.H.K.N.c.e.f.g. h.i.
στρατευόμενοι f.

Ἐν τούτῳ δὲ οἱ ἐν τῇ Σικελίᾳ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, πρὸς ταῖς ἐν Μεσσήνῃ Φρουρούσαις ναυσὶ τὸ ἄλλο ναυτικὸν ὃ παρεσκευάζοντο προσκομίσαντες, τὸν πόλεμον ἐποιοῦντο ἐκ τῆς Μεσσήνης. καὶ μάλιστα ἐνῆγον οἱ Λοκροὶ τῶν Ῥηγίνων κατὰ ἔχθραν· καὶ αὐτοὶ δὲ ἐσβεβλήκεσαν παυδημεὶ ἐς τὴν γῆν αὐτῶν. καὶ ναυμαχίας ἀποπειρᾶσθαι ἐβούλοντο, ὁρῶντες τοῖς Ἀθηναίοις τὰς μὲν παρούσας ὀλίγας ναῦς, ταῖς δὲ πλείοσι καὶ μελλούσαις ἥξειν πυνθανόμενοι τὴν νῆσον παλιορκεῖσθαι. εἰ γὰρ κρατήσειαν τῷ ναυτικῷ, τὸ Ῥήγιον ἤλπιζον πεζῇ τε καὶ ναυσὶν ἐφορμοῦντες ῥᾳδίως χειρώσασθαι, καὶ ἤδη σφῶν ἰσχυρὰ τὰ πράγματα γίγνεσθαι· ξύνεγγυς γὰρ κειμένου τοῦ τε Ῥηγίου ἀκρωτηρίου τῆς Ἰταλίας τῆς τε Μεσσήνης τῆς Σικελίας, τοῖς Ἀθηναίοις τε οὐκ ἂν εἶναι ἐφορμεῖν, καὶ τοῦ πορθμοῦ κρατεῖν. ἔστι δὲ ὁ πορθμὸς ἡ μεταξὺ Ῥηγίου θάλασσα καὶ Μεσσήνης, ἥπερ βραχύτατον Σικελία τῆς ἠπείρου ἀπέχει· καὶ ἔστιν ἡ Χάρυβδις κληθεῖσα τοῦτο, ἣ Ὀδυσσεὺς λέγεται διαπλεῦσαι. διὰ στενότητα δὲ καὶ ἐκ μεγάλων πελαγῶν, τοῦ τε Τυρσηνικοῦ καὶ τοῦ Σικελικοῦ, ἐσῳίπτουσα ἡ θάλασσα ἐς αὐτὸ καὶ ῥοώδης οὖσα εἰκότως χαλεπὴ ἐνομίσθη. * ἐν τούτῳ οὖν

24. Syracusiorum copiæ Messanam congregatæ una cum Locrensibus terra marique Rhegium invadere parant.

25. Pugna in

5. Αὐτοὶ] οἱ Λοκροί. 9. Τὴν νῆσον] τὴν Σφακτηρίαν. Εἰ γὰρ κρατήσειαν] οἱ Λοκροὶ δηλονότι. 15. Ἡ μεταξὺ Ῥηγίου θάλασσα καὶ Μεσσήνης] ἡ εἰς τὸ μεταξὺ Ῥηγίου καὶ Μεσσήνης ποταμηδὸν ῥέουσα. 18. Τοῦτο] τὸ μέρος τῆς θαλάσσης. 21. Χαλεπὴ] εἰς τὸ πλεῦσαι δηλονότι.

1. ἐν σικελία A.b.
καὶ ξύμμαχοι e. καὶ οἱ σύμμαχοι H.c.h.
4. ἐποιοῦντο τῆς A.B.
5. ἐσεβεβλήκεσαν B.F.H.K.L. N.O.P.h. ἐσεβεβήκεσαν d.i.
11. χειρώσασθαι A.B.F.H.I.Q. d.e.f.h.i. ceteri χειρώσεσθαι.
σφῶν g.
13. τοῦ ῥηγίου L.
τῆς τε] καὶ τῆς Q.
14. ἀθηναίοις οὐκ L.O.P.
ἂν εἶναι A.B.F.H.K.g. vulgo ἀνεῖναι.
19. τοῦ τυρσηνικοῦ d.
21. ἐν] καὶ I.

freto Siculo commissa, qua vincunt Atheniensis; non item postea ad Messanam. Camarina proditione Syracusiis tradita. Messenii contra Naxum tendunt, sed profligantur a Naxiis, maxima clade affecti. Dein Leontini cum Atheniensibus Messanam aggrediuntur, et excursione facta a Messeniis, vincunt postremo Athenienses.

τῷ μεταξὺ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ναυσὶν ὀλίγῳ πλείοσιν ἢ τριάκοντα ἠναγκάσθησαν ὀψὲ τῆς ἡμέρας ναυμαχῆσαι περὶ πλοίου διαπλέοντος, ἀντεπαναγόμενοι πρός τε Ἀθηναίων ναῦς ἑκκαίδεκα καὶ Ῥηγίνας ὀκτώ. καὶ νικηθέντες ὑπὸ τῶν Ἀθηναίων διὰ τάχους ἀπέπλευσαν, ὡς ἕκαστοι ἔτυχον, ἐς τὰ οἰκεῖα στρατόπεδα, τό τε ἐν τῇ Μεσσήνῃ καὶ ἐν τῷ Ῥηγίῳ, μίαν ναῦν ἀπολέσαντες· καὶ νὺξ ἐπεγένετο τῷ ἔργῳ. μετὰ δὲ τοῦτο οἱ μὲν Λοκροὶ ἀπῆλθον ἐκ τῆς Ῥηγίνων· ἐπὶ δὲ τὴν Πελωρίδα τῆς Μεσσήνης συλλεγεῖσαι αἱ τῶν Συρακοσίων καὶ ξυμμάχων νῆες ὥρμουν, καὶ ὁ πεζὸς αὐτοῖς παρῆν. προσπλεύσαντες δὲ οἱ Ἀθηναῖοι καὶ Ῥηγῖνοι, ὁρῶντες τὰς ναῦς κενὰς ἐνέβαλον, καὶ χειρὶ σιδηρᾷ ἐπιβληθείσῃ μίαν ναῦν αὐτοῖς ἀπώλεσαν, τῶν ἀνδρῶν ἀποκολυμβησάντων. καὶ μετὰ τοῦτο τῶν Συρακοσίων ἐσβάντων ἐς τὰς ναῦς καὶ παραπλεόντων ἀπὸ κάλω ἐς τὴν Μεσσήνην, αὖθις

7. Ἀπολέσαντες] οἱ Ἀθηναῖοι δηλονότι. 8. Καὶ νὺξ ἐπεγένετο] ἤγουν γενομένη γὰρ νὺξ ἐπέσχε τὸ ἔργον. 9. Τὴν Πελωρίδα] Πελωρὶς ἀκρωτήριον Σικελίας τὸ βορειότατον. 13. Καὶ χειρὶ σιδηρᾷ] δηλονότι ὑπὸ τῶν Συρακουσίων ἐπιβληθείσῃ Ἀττικῇ νηΐ. μίαν οὖν ἀπόλεσαν οἱ Ἀθηναῖοι. 16. Ἀπὸ κάλω] τῇ λε-

3. πλοίου δὲ διαπλέοντος L. O. P.e.
ἀντεπαγόμενοι A.B.F.H.L.N.h.
4. ῥηγίας K. ῥηγίνων e.
5. ὑπὸ ἀθηναίων N.
7. ῥηγίνῳ g.
8. ἐγένετο O.P.
δὲ om. O.
9. ἐκ τῆς ῥηγίνων A.B.F.H.K.L. N.O.P.d.f.i. ἐκ ῥηγίνων g. ἐκ τῆς τῶν ῥηγίνων vulgo.
13. Χειρὶ σιδηρᾷ] Vide Schefferi Milit. Naval. l. 2. c. 7. Huds. De dativo αὐτοῖς vid. ad III. 98. Μέχρι μὲν οὖν οἱ τοξόται εἶχόν τε τὰ θέλη αὐτοῖς. Duk.
14. αὐτοὶ K.N.d.e.f.g.
15. τῶν] καὶ i. om. d.
ἐσβάντων A.B.F.H.I.K.N.O. P.e.h.i. vulgo ἐμβάντων.
Ἐμβάντων] MSS. varie ἐμβάντων et ἐσβάντων. Sic III. 80. ἐμβῆναι et ἐσβῆναι. et ibid. cap. 89. ἐσβαλοῦντες et ἐμβαλοῦντες. Wass.
ἐς ante τὰς om. K.
16 Ἀπὸ κάλω] Pollux I. 113. Ἐπλέομεν ἀπὸ κάλων. et, ἐν χρῇ τῆς γῆς παραπλέοντες, ἐκ κάλων ἕλκοντες τὴν ναῦν. Polybius, Strabo, et Diodorus Sicul. dicunt ῥυμουλκεῖν, et ῥυμουλκεῖσθαι: Latini remulco trahere, et trahi. Vid. Suid. in ῥυμουλκῇ, Sigon. ad Liv. XXV. 30. et Scheffer. II. de Milit. Nav. 5. Genitivus κάλως,

προσβαλόντες οἱ Ἀθηναῖοι, ἀποσιμωσάντων ἐκείνων καὶ προεμβαλόντων, ἑτέραν ναῦν ἀπολλύουσι. καὶ ἐν τῷ παράπλῳ καὶ τῇ ναυμαχίᾳ τοιουτοτρόπῳ γενομένῃ οὐκ ἔλασσον ἔχοντες οἱ Συρακόσιοι παρεκομίσθησαν ἐς τὸν ἐν τῇ Μεσσήνῃ λιμένα. καὶ οἱ μὲν Ἀθηναῖοι, Καμαρίνης ἀγγελθείσης προδίδοσθαι Συρακοσίοις ὑπ' Ἀρχίου καὶ τῶν μετ' αὐτοῦ, ἔπλευσαν ἐκεῖσε· Μεσσήνιοι δ' ἐν τούτῳ πανδημεὶ κατὰ γῆν καὶ ταῖς ναυσὶν ἅμα ἐστράτευσαν ἐπὶ Νάξον τὴν Χαλκιδικήν, ὅμορον οὖσαν. καὶ τῇ πρώτῃ

Dehinc sine Atheniensium auxilio Siculæ civitates inter se bellum gerunt.

γεμένῃ παρέλκῳ· οἱ γὰρ παρ' αὐτὴν τὴν γῆν πλέοντες οὐ δύνανται ἐρέττειν. 1. Προσβαλόντες] τοῖς Συρακουσίοις δηλονότι. Ἀποσιμωσάντων] ὑπαναχωρησάντων καὶ μετεωρισάντων τὰς ναῦς, ἵνα ἐκ πολλοῦ διαστήματος δυνηθῶσι μετὰ μείζονος ὁρμῆς ἐμβάλλειν τοῖς Ἀθηναίοις. 2. Προεμβαλόντων] τῶν Συρα-

quemadmodum est in Cod. Dan. fortassis nusquam alibi invenitur. Κάλω, et κάλωος dixerunt Attici, teste Eustathio in Homer. Iliad. χ'. pag. 1271. Unde nominativus κάλωες apud Apollon. Rhod. II. Argonaut. 727. Stephan. Append. ad script. al. de Dialect. pag. 149. Duk.

κάλως P.

1. προσβάλλοντες Q.

οἱ om. c.g.

Ἀποσιμωσάντων] Pausanias in Lexico apud Eustath. ad Homer. Iliad. ξ'. pag. 965. ἀπεσίμωσε exponit ὕψωσε, καὶ πρὸς τὸ λαμπρότατον ἤγαγε· quomodo et ex illo Hesychius: ἀπεσίμωσεν, ὕψωσεν, πρὸς μετέωρον ἀνήγαγεν. Vid. Suidam in ἀποσιμῶσαι. Apud Herodotum, sed alio sensu, passim. Wass. Addit Eustathius, ἀποσιμοῦσθαι etiam esse ἀπὸ σιμοῦ καὶ κοίλου τόπου ἀνῆχθαι ὑψοῦ, et apud Thucydidem ἀποσιμῶσαι, μετεωρίσαι τὰς ναῦς. Et hoc sequutus est in versione Portus. Auctor Etymolog. M. inter alias significationes τοῦ ἀποσιμοῦν etiam hanc adfert: λέγεται καὶ ἐπὶ νεῶν τὸ ἐκ διαστήματος ἐμβάλλειν. Verba Hesychii in ἀπεσίμωσεν, σίμαι γὰρ αἱ μετέωροι πρὸς ἀναβάσεις. Heinsius cap. XV. Lection. Theocrit. ita laudat: σιμαὶ γὰρ αἱ μετέωροι ἀναβάσεις. bene σιμαὶ; sed melius Salmasius προσαναβάσεις. Rursum in Hesychio v. ἀποσιμοῦν perperam editur ἀποστρέφειν, πρὸς τὸν σιμὸν φέρειν, quod recte in Thes. Stephani est πρὸς τὸ σιμὸν φ. Et Etymol. M. ἀποσιμοῦν, ἀποτρέχειν πρὸς τὸ σιμόν. σιμὰ δὲ ἐκάλουν τὰ προσάντη χωρία· ubi pro ἀποτρέχειν, fortassis ex Hesychio reponendum est ἀποστρέφειν. Nam et sic in postrema significatione hujus vocabuli Idem Etymol. καὶ ἐπὶ σιδήρου, τὸ ἀποστρέφειν τὴν ἀκήν. Duk.

2. ἐμβαλόντων d.i.

ἀπολέσουσι I.Q.

3. καὶ—γενομένῃ om. H.P. καὶ ἐν τῇ—γιγνομένῃ e.

τοιούτῳ τρόπῳ F.L.

5. τῇ om. Q.

ἡμέρᾳ τειχήρεις ποιήσαντες τοὺς Ναξίους ἐδῄουν τὴν γῆν, τῇ δ' ὑστεραίᾳ ταῖς μὲν ναυσὶ περιπλεύσαντες κατὰ τὸν Ἀκεσίνην ποταμὸν τὴν γῆν ἐδῄουν, τῷ δὲ πεζῷ πρὸς τὴν πόλιν ἐσέβαλλον. ἐν τούτῳ δὲ οἱ Σικελοὶ ὑπὲρ τῶν ἄκρων πολλοὶ κατέβαινον βοηθοῦντες ἐπὶ τοὺς Μεσσηνίους. καὶ οἱ Νάξιοι, ὡς εἶδον, θαρσήσαντες, καὶ παρακελευόμενοι ἐν ἑαυτοῖς ὡς οἱ Λεοντῖνοι σφίσι καὶ οἱ ἄλλοι Ἕλληνες ξύμμαχοι ἐς τιμωρίαν ἐπέρχονται, ἐκδραμόντες ἄφνω ἐκ τῆς πόλεως προσπίπτουσι τοῖς Μεσσηνίοις, καὶ τρέψαντες ἀπέκτειναν τε ὑπὲρ χιλίους, καὶ οἱ λοιποὶ χαλεπῶς ἀπεχώρησαν ἐπ' οἴκου· καὶ γὰρ οἱ βάρβαροι ἐν ταῖς ὁδοῖς ἐπιπεσόντες τοὺς πλείστους διέφθειραν. καὶ αἱ νῆες σχοῦσαι ἐς τὴν Μεσσήνην ὕστερον ἐπ' οἴκου ἕκασται διεκρίθησαν. Λεοντῖνοι δὲ εὐθὺς καὶ οἱ ξύμμαχοι μετὰ Ἀθηναίων ἐς τὴν Μεσσήνην ὡς κεκακωμένην ἐστράτευον, καὶ προσβάλλοντες οἱ μὲν Ἀθηναῖοι κατὰ τὸν λιμένα ταῖς ναυσὶν ἐπείρων, ὁ δὲ πεζὸς πρὸς τὴν πόλιν. ἐπεκ-

κουσίων πρὸ τῶν Ἀθηναίων δηλονότι ἐμβαλόντων. 1. Τειχήρεις ποιήσαντες] ἐντὸς, δηλονότι τῶν τειχῶν, ἀποκλείσαντες. 3. Πρὸς τὴν πόλιν] τὴν Νάξων. 4. Ὑπὲρ τῶν ἄκρων] ἀντὶ τοῦ οἱ ἐπὶ τῶν ἄκρων ὄντες καὶ τῶν ὀρεινῶν, ὡς ἐκεῖ οἰκούντων αὐτῶν. 5. Ἐπὶ τοὺς Μεσσηνίους] κατὰ τῶν Μεσσηνίων. 12. Αἱ νῆες] τῶν Συρακουσίων. 13. Ἐπ' οἴκου ἕκασται διεκρίθησαν] ἀπέπλευσαν ἐπ' οἴκου διακριθεῖσαι. 15. Κεκακωμένην] κακῶς πάσχουσαν, δεδυστυχηκυῖαν. 17. Ἐπείρωντο] γράφεται ἐπείρων. τὴν Μεσσήνην δηλονότι.

2. μὲν τεσσαράκοντα ναυσὶ e.
3. ἀσεκίνην d.
Ἀκεσίνην] Vereor (inquit Cluverius) ne in Thucydidis exemplaribus corrupta sit illa vox additione syllabæ κε. Vide Cluverii Siciliam, p. 92. Huds. Ἀκεσίνην. Sunt et ejusdem nominis Fluvii in Taurica et India. Naxos postea *Tauromenium*. vid. Theophrast. IV. 5. et XII. p. 93. Wass.
4. ἐσέβαλλον A.B.F.H.K. c. ceteri ἐσέβαλον.
7. αὐτοῖς P.
καὶ ἄλλοι A.B.
8. ἐσέρχωνται h.
ἐσδραμόντες c.
13. ἕκασται om. A.
14. λεοντῖνοι] λατῖνοι b.
μετὰ τῶν ἀθηναίων Q.
15. κεκακωμένοι f.
ἐστράτευσαν O.P.d.e.i.
16. προσβαλόντες K.L.N.O.Q. f.i.
17. ἐπείρων A.B.F.H.I.K.L.N. O.P.c.f.g.h.i. vulgo ἐπειρῶντο.
ἀπεκδρομὴν g.

δρομὴν δὲ ποιησάμενοι οἱ Μεσσήνιοι καὶ Λοκρῶν τινὲς μετὰ τοῦ Δημοτέλους, οἳ μετὰ τὸ πάθος ἐγκατελείφθησαν φρουροὶ, ἐξαπιναίως προσπεσόντες τρέπουσι τοῦ στρατεύματος τῶν Λεοντίνων τὸ πολὺ καὶ ἀπέκτειναν πολλούς. ἰδόντες δὲ οἱ Ἀθηναῖοι καὶ ἀποβάντες ἀπὸ τῶν νεῶν ἐβοήθουν, καὶ κατεδίωξαν τοὺς Μεσσηνίους πάλιν ἐς τὴν πόλιν, τεταραγμένοις ἐπιγενόμενοι· καὶ τροπαῖον στήσαντες ἀνεχώρησαν ἐς τὸ Ῥήγιον. μετὰ δὲ τοῦτο οἱ μὲν ἐν τῇ Σικελίᾳ Ἕλληνες ἄνευ τῶν Ἀθηναίων κατὰ γῆν ἐστράτευον ἐπ' ἀλλήλους.

26. Interim Athenienses custodias Sphacteriæ insulæ continuant, sine successu, quia Lacedæmoniis, ab Helotibus maxime, alimenta afferuntur.

Ἐν δὲ τῇ Πύλῳ ἔτι ἐπολιόρκουν τοὺς ἐν τῇ νήσῳ Λακεδαιμονίους οἱ Ἀθηναῖοι, καὶ τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον τῶν Πελοποννησίων κατὰ χώραν ἔμενεν. ἐπίπονος δ' ἦν τοῖς Ἀθηναίοις ἡ φυλακὴ σίτου τε ἀπορίᾳ καὶ ὕδατος· οὐ γὰρ ἦν κρήνη ὅτι μὴ μία, ἐν αὐτῇ τῇ ἀκροπόλει τῆς Πύλου, καὶ αὕτη οὐ μεγάλη, ἀλλὰ διαμώμενοι τὸν κάχληκα οἱ πλεῖστοι ἐπὶ τῇ θαλάσσῃ ἔπινον οἷον εἰκὸς ὕδωρ. στενοχωρίᾳ τε ἐν ὀλίγῳ στρατοπεδευομένοις ἐγίγνετο, καὶ τῶν νεῶν οὐκ ἐχουσῶν ὅρμον αἱ μὲν σῖτον ἐν

6. Κατεδίωξαν] ἤγουν διώξαντες ἐνέβαλον. 7. Τεταραγμένοις] τοῖς Μεσσηνίοις. Ἐπιγενόμενοι] ἐπιτεθέντες. 13. Κατὰ χώραν ἔμενεν] ἤγουν ἡσύχαζεν. 15. Ὅτι μὴ μία] ἤγουν εἰ μὴ μία. 16. Διαμώμενοι] ἀντὶ τοῦ διασκάπτοντες. εἴρηται δὲ ἀπὸ τοῦ ἄμη, ὅ ἐστι σκαφίον πλατύ. βούλεται δὲ εἰπεῖν ὅτι διαστέλλοντες τὸν κάχληκα, καὶ βόθρους ἐπὶ τὸν αἰγιαλὸν ποιοῦντες, ἤρισκον ὕδωρ, οἷον ἄν τις εἰς ἀνάγκην πίοι δι' ἄκραν δίψαν. 18. Ἐν ὀλίγῳ]

3. προσπεσόντες om. A.
8. οἱ ἐν e.
10. ἀλλήλοις Q.
14. τε om. d.i.
καὶ ὕδατος ἀπορίᾳ e.
16. Διαμώμενοι] Laudat Suidas v. διαμώμενος. Etymolog. in κάχλας, κάχλακας. cum nostro Josephus. Wass. Hesychius, διαμώμενοι, διϊστάντες. Ab ἄμη cum Scholiaste derivat Etymol. M. qui dicit, ἄμην esse γεωργικὸν ἐργαλεῖον, τὴν λεγομένην δρεπάνην. Suidas τεκτονικὸν ἐργαλεῖον. de quo vide, quem ibi laudat Kusterus, Salmasium ad Trebell. Poll. Claud. C. XIV. Duk.
19. ἐγένετο c.
Καὶ τῶν—ὅρμουν] Suidas in σῖτος, qui omittit κατὰ μέρος. Wass.

τῇ γῇ ἠροῦντο κατὰ μέρος, αἱ δὲ μετέωροι ὥρμουν. ἀθυμίαν τε πλείστην ὁ χρόνος παρεῖχε παρὰ λόγον ἐπιγιγνόμενος, οὓς ᾤοντο ἡμερῶν ὀλίγων ἐκπολιορκήσειν, ἐν νήσῳ τε ἐρήμῃ καὶ ὕδατι ἀλμυρῷ χρωμένους. αἴτιον δὲ ἦν οἱ Λακεδαιμόνιοι προεισπόντες ἐς τὴν νῆσον ἐσάγειν σῖτόν τε τὸν βουλόμενον ἀλφιτεμένον καὶ οἶνον καὶ τυρὸν καὶ εἴ τι ἄλλο βρῶμα, οἷον ἂν ἐς πολιορκίαν ξυμφέρῃ, τάξαντες ἀργυρίου πολλοῦ, καὶ τῶν Εἱλώτων τῷ ἐσαγαγόντι ἐλευθερίαν ὑπισχνούμενοι. καὶ ἐσῆγον ἄλλοι τε παρακινδυνεύοντες καὶ μάλιστα οἱ Εἵλωτες, ἀπαίροντες ἀπὸ τῆς Πελοποννήσου ὁπόθεν τύχοιεν, καὶ καταπλέοντες ἔτι νυκτὸς ἐς τὰ πρὸς τὸ πέλαγος τῆς νήσου. μάλιστα δὲ ἐτήρουν ἀνέμῳ καταφέρεσθαι· ῥᾷον γὰρ τὴν φυλακὴν τῶν τριήρων ἐλάνθανον, ὁπότε πνεῦμα ἐκ πόντου εἴη· ἄπορον

διαστήματι δηλονότι τῆς γῆς. 1. Κατὰ μέρος] ἀντὶ τοῦ κατὰ διαδοχήν. Μετέωροι] ἦγουν ἐπ' ἀγκυρῶν. 2. Παρὰ λόγον ἐπιγιγνόμενος] παρὰ προσδοκίαν συμβαίνων. 3. Ἡμερῶν ὀλίγων] ἐντὸς δηλονότι. Ἐν νήσῳ τε ἐρήμῃ] ὄντας δηλονότι. 7. Τάξαντες] τὸ εἰσάγειν. 8. Ἀργυρίου] ἕνεκεν δηλονότι. 12. Ἐς τὰ πρὸς τὸ πέλαγος] ἐς τὰ ἀφορῶντα. 13. Καταφέρεσθαι. κατάγεσθαι. 14. Ἄπορον γὰρ ἐγίγνετο περιορμεῖν] ἄπορον γὰρ ἦν,

2. πλείστην καὶ ὁ L.O.Q.

3. Ἐν νήσῳ τε ἐρήμῃ] Thomas Mag. ἔρημος χώρα dixit esse Atticum, ἐρήμη χώρα poëticum. Sed Eustathius in Odyss. γ'. p. 1467. Τὸ δὲ ἐρήμη οὐ μόνον ποιητικόν ἐστιν, ἀλλὰ καὶ ἄλλως ἀττικόν. ὡς δηλοῖ καὶ ὁ γράψας τὸ, ἐρήμην αὐτὴν ἄνεμοι καταπνέουσιν. Et in Odyss. μ'. p. 1725. Τὸ ἐρήμη σύνηθες τοῖς ῥήτορσιν· οἱ οὐ μόνον ἔρημον, ἀλλὰ καὶ ἐρήμην φασίν. Henr. Stephanus quoque Xenophontem et Lucianum ἐρήμη χώρα dicere ostendit. Duk.

4. ἐρήμῳ L.O.Q.

Αἴτιον δὲ ἦν οἱ Λακεδ.] Cass. et Gr. post ἦν distinctionem habent. recte. Sic III. 93. Αἴτιον δὲ ἦν· οἵ τε Θεσσαλοί. Duk.

ἦν λακεδαιμόνιοι K.

5. σῖτον τὸν K.

6. ἀλφιτεμένον A. F. K. ceteri ἀλφιτεσμένον.

Ἀλφιτεσμένον] Suidas h. v. immutato verborum ordine citat. Wass. Habet etiam ἀργυρίου πολλοῦ ὠνήσασθαι, et alia omittit. Vid. Kuster. Duk.

7. οἷον] οἳ I. om. d.

ξυμφέρῃ A.H.h. ξυμφέρον e. vulgo ξυμφέροι.

8. τῶν om. d.i.

11. ὅθεν O.P.

14. τριηρῶν H.K.

εἴη] ἦει e.

γὰρ ἐγίγνετο περιορμεῖν, τοῖς δὲ ἀφειδὴς ὁ κατάπλους καθεστήκει· ἐπώκελλον γὰρ τὰ πλοῖα, τετιμημένα χρημάτων, καὶ οἱ ὁπλῖται περὶ τὰς κατάρσεις τῆς νήσου ἐφύλασσον. ὅσοι δὲ γαλήνῃ κινδυνεύσειαν, ἡλίσκοντο. ἐσένεον δὲ καὶ κατὰ τὸν λιμένα κολυμβηταὶ ὕφυδροι, καλωδίῳ ἐν ἀσκοῖς ἐφέλκοντες μήκωνα μεμελιτώμενην καὶ λίνου σπέρμα κεκομμένον· ὧν τὸ πρῶτον λανθανόντων φυλακαὶ ὕστερον ἐγένοντο. παντί τε τρόπῳ ἑκάτεροι ἐτεχνῶντο, οἱ μὲν ἐσπέμπειν τὰ σιτία, οἱ δὲ μὴ λανθάνειν σφᾶς.

Ἐν δὲ ταῖς Ἀθήναις πυνθανόμενοι περὶ τῆς στρατιᾶς ὅτι ταλαιπωρεῖται, καὶ σῖτος τοῖς ἐν τῇ νήσῳ ὅτι ἐσπλεῖ, ἠπόρουν, καὶ ἐδεδοίκεσαν μὴ σφῶν χειμὼν τὴν φυλακὴν 27. Quare jam pœnitebat Athenienses, pacem

δηλονότι ταῖς ναυσὶ, περιορμεῖν τὴν νῆσον. 1. Ἀφειδὴς ὁ κατάπλους καθεστήκει] ἤγουν ἀφειδοῦντες ἑαυτῶν κατέπλεον. 2. Ἐπώκελλον γὰρ τὰ πλοῖα] ἐξεδίδοσαν (φησί) τῇ πέτρᾳ τὰ πλοῖα ὠνηθέντα χρημάτων ὑπὸ Λακεδαιμονίων. ὑπέσχοντο γὰρ τοῖς ναυκλήροις δώσειν τὰς τιμὰς, εἰ ἀπόληται τὰ αὐτῶν πλοῖα. 3. Περὶ τὰς κατάρσεις] κατάρσεις λέγει τοὺς ἐπιτηδείους εἰς καταγωγὴν τόπους καὶ εἰς τὸ προσορμίζεσθαι. τὸ δὲ ἐφύλασσον ἀντὶ τοῦ φρουροὶ ἦσάν τινες τῶν πολιορκουμένων, ἵνα εὐθὺς ἀπολάβωσι τὰς τροφάς. 5. Ἐσένεον] εἰσεκολύμβων, εἰσήρχοντο (εἰσενήχοντο Baverus). 6. Μήκωνα μεμελιτωμένην] εἶδος βοτάνης ἡ μήκων, ἧς ὁ μὲν ὀπὸς θανάσιμος, ὡς λέγεται, τὸ δὲ σῶμα γλυκύτατον. δύναται δὲ πείνης ἀπαλλάττειν μιγνυμένη μέλιτι. 7. Λίνου σπέρμα κεκομμένον] τοῦτο δίψης ἀπαλλάττει. θεραπεύει γὰρ αὐτὴν πρὸς ὀλίγον τινὰ καιρόν. ὅθεν καὶ τοῖς πυρέττουσι προσάγεται παρὰ τῶν ἰατρῶν. τὸ δὲ κεκομμένον, ἀληλεσμένον. 12. Ἐν τῇ νή-

2. καθειστήκει Q.c.d.f.g.i.
ὤκελλον i.
Ἐπώκελλον—χρημάτων] Suidas τετιημένα legit. Hesychius τετιημένοι, τετιμωρημένοι. τίω vix alibi hoc significatu: MSS. etiam constanter τετιμημένα. illud etiam Poëtarum tantum esse affirmat Eustathius. Wass.
4. ὅση c.g.
5. ἐσένουν d. ἐπένεον margo N.
Ἐσένεον—κεκομμένον] Suidas in ὕφυδρος. Wass.
δὲ om. A.B.F.H.h.
κολυμβητοὶ A.B.H.K. c.d.e. f.g.
6. καλῴδια Suidas v. ὕφυδρος.
Μήκωνα μεμελιτ.] Laudat Eustathius ad Hom. Odyss. α'. pag. 1390. Wass.
καταμεμελιττωμένην e.
8. τε] γε A. τε τῷ K.b.
9. ἐτεχνῶντο] ἐχρῶντο K.c.g.
ἐκπέμπειν i.
11. δὲ om. P.

denegasse, veritos, ne Lacedæmonii, opportunitatem quandam nacti, ex insula evaderent, ipsique omnibus adeo pacis oblatæ commodis privarentur. Sed Cleon nuntios verum dicere negabat, et inter exploratores Pylum mittendos lectus, omnem culpam in duces Athenienses conferebat.

ἐπιλάβοι, ὁρῶντες τῶν τε ἐπιτηδείων τὴν περὶ τὴν Πελοπόννησον κομιδὴν ἀδύνατον ἐσομένην ἅμα ἐν χωρίῳ ἐρήμῳ, καὶ οὐδ' ἐν θέρει οἷοί τε ὄντες ἱκανὰ περιπέμπειν, τόν τε ἔφορμον χωρίων ἀλιμένων ὄντων οὐκ ἐσόμενον, ἀλλ' ἢ σφῶν ἀνέντων τὴν φυλακὴν περιγενήσεσθαι τοὺς ἄνδρας, ἢ τοῖς πλοίοις, ἃ τὸν σῖτον αὐτοῖς ἤγε, χειμῶνα τηρήσαντας ἐκπλεύσεσθαι. πάντων δὲ ἐφοβοῦντο μάλιστα τοὺς Λακεδαιμονίους, ὅτι ἔχοντάς τι ἰσχυρὸν αὐτοὺς ἐνόμιζον οὐκέτι σφίσιν ἐπικηρυκεύεσθαι· καὶ μετεμέλοντο τὰς σπονδὰς οὐ δεξάμενοι. Κλέων δὲ γνοὺς αὐτῶν τὴν ἐς αὐτὸν ὑποψίαν περὶ τῆς κωλύμης τῆς ξυμβάσεως, οὐ τἀληθῆ ἔφη λέγειν τοὺς ἐξαγγέλλοντας. παραινούντων δὲ τῶν ἀφιγμένων, εἰ μὴ σφίσι πιστεύουσι, κατασκόπους τινὰς πέμψαι, ἠρέθη κατάσκοπος αὐτὸς μετὰ Θεογένους

σφ] τῇ Σφακτηρίᾳ. 1. Ἐπιλαβῇ] κωλύσῃ. 5. Περιγενήσεσθαι] ἀντὶ τοῦ περισωθῆναι, ζήσειν. 8. Ἔχοντάς τι ἰσχυρὸν] ἤγουν ἔχοντας πολλὴν δύναμιν. 9. Ἐπικηρυκεύεσθαι] πρεσβείαν πέμπειν.

1. ἐπιλάβῃ c.g.
περὶ πελοπόννησον P.d.e.
3. οἷόν I.
4. Ἔφορμον] Thomas Magist.h. v. e memoria, ut videtur: τόν τε ἔφορμον οὐκ ἔλιχον, χωρίων ἀλιμένων ὄντων. Dux.
5. ἀφέντων K.
περιγενέσθαι g.
6. ἃ σῖτον c.
τὸν χειμῶνα L.
7. δὲ A.F.H.L.N.O.Q.h. vulgo τε.
11. κωλύμης I.
Κωλύμης] Hoc inter poëtica apud Thucydidem recenset Dionys. Halicarn. Epist. 2. ad Ammæum, pag. 133. Dux.
14. θεαγένους L.O.c.d.f.g.
Θεογένους] Quidam libri Θεαγένους. Ita sæpius hoc nomen scribi invenias, quam Θεογένης. Θεαγένης tyrannus Megarensium, socer Cylonis Thucyd. I. 126. et Pausan. Attic. XXXVIII. Alius Θεαγένης Atheniensis apud Thucyd. V. 24. qui tamen ibid. cap. 19. Θεαγένης. Θεαγένης athleta apud Pausan. VI. 6. 11. et 15. Plutarch. πολιτικοῖς παραγγέλμ. Lucian. de Conscrib. Histor. pag. 626. et Deor. concil. p. 714. Et plures alii apud Xenophontem VII. Ἀναβάσ. pag. 410. Lucian. Catapl. p. 427. Suidam, Vossium de Histor. Græc. Lib. III. et Jonsium I. 3. de Scriptor. Histor. Philos. Nec dubito, quin Thomas Gale in inscriptione cap. VI. Eroticorum Parthenii pro Διογένης e Stephano in Παλλήνη recte reponat Θεαγένης. In Xenoph. I. Histor. Græc. pag. 438. et II.

ὑπ' Ἀθηναίων. καὶ γνοὺς ὅτι ἀναγκασθήσεται ἢ ταὐτὰ λέγειν οἷς διέβαλλεν, ἢ τἀναντία εἰπὼν ψευδὴς φανήσεσθαι, παρῄνει τοῖς Ἀθηναίοις, ὁρῶν αὐτοὺς καὶ ὡρμημένους τι τὸ πλέον τῇ γνώμῃ στρατεύειν, ὡς χρὴ κατασκόπους μὲν μὴ πέμπειν μηδὲ διαμέλλειν καιρὸν παρέντας, εἰ δὲ δοκεῖ αὐτοῖς ἀληθῆ εἶναι τὰ ἀγγελλόμενα, πλεῖν ἐπὶ τοὺς ἄνδρας. καὶ ἐς Νικίαν τὸν Νικηράτου στρατηγὸν ὄντα ἀπεσήμαινεν, ἐχθρὸς ὢν καὶ ἐπιτιμῶν, ῥᾴδιον εἶναι παρασκευῇ, εἰ ἄνδρες εἶεν οἱ στρατηγοί, πλεύσαντας λαβεῖν τοὺς ἐν τῇ νήσῳ, καὶ αὐτός γ' ἂν, εἰ ἦρχε, ποιῆσαι τοῦτο. * ὁ δὲ Νικίας τῶν τε Ἀθηναίων τι ὑποθορυβησάντων ἐς τὸν Κλέωνα, ὅτι οὐ καὶ νῦν πλέει, εἰ ῥᾴδιόν γε αὐτῷ φαίνεται, καὶ ἅμα ὁρῶν αὐτὸν ἐπιτιμῶντα, ἐκέλευεν ἥν τινα βούλεται δύναμιν λαβόντα τὸ ἐπὶ σφᾶς εἶναι ἐπιχειρεῖν. ὁ δὲ τὸ μὲν πρῶτον οἰόμενος

28. Ergo Nicias, unus eorum, tum præsens Athenis, imperium suum illi offert. Ille

8. Ἀπεσήμαινεν] ἀπεσκώπτων ἐδήλου. Ἐχθρὸς ὢν] τῷ Νικίᾳ δηλονότι. Ἐπιτιμῶν] ἐγκαλῶν, ἐπιμεμφόμενος, ὠνειδίζων. 12. Ὑποθορυβησάντων] μετὰ θορύβου εἰπόντων. 14. Τὸ ἐπὶ σφᾶς εἶναι ἐπιχειρεῖν] ἤτοι ἐπὶ τοὺς ἐν

461. est Θεογένης. Et in Sueton. Aug. XCIV. Theogenes mathematicus. Duæ.

2. διέβαλεν L.Q.d.e.i.
φανήσεσθαι] γενήσεσθαι B.h.
3. ὡρμημένους τὸ A.
4. τῆς γνώμης L.N.
6. δοκῇ K.
7. τὸν νικίαν νικηράτου K.
8. ἀπεσήμανεν e. ἀπεσήμαινεν ante στρατηγὸν ponunt O.P.
9. εἰ οἱ ἄνδρες K.
10. πλεύσαντας O.g.
12. ὑποθορυβησάντων τι e. πλέει d. πλεῖ O.P.
13. ῥᾴδιον αὐτῷ O.P.d. αὐτῷ f.
14. Τὸ ἐπὶ σφᾶς εἶναι] Laborasse in hoc loco Interpretes ex eorum versionibus intelligi potest. Portus sequutus est Antyllum, qui, ut Scholiastes significare videtur, legebat ἐπὶ σφίσιν. Nam Attici dicunt τὸ ἐπ' ἐμοὶ εἶναι, *quod ad me attinet*, non, τὸ ἐπ' ἐμὲ εἶναι. Thucyd. VIII. 48. τὸ μὲν ἐπ' ἐκείνους εἶναι. Xenophon. III. Histor. Græc. cap. 5. §. 8. Ed. Oxon. ὥστε, τὸ μὲν ἐπ' ἐκείνους εἶναι, ἀπολόλατε. Sed omnes libri hic habent scripturam vulgatam, quæ, si recta est, vix aliam interpretationem recipit, quam eam, quæ a Scholiaste primo loco ponitur. Nec tamen eam magnopere probo; quod non facile ostendi posse credo, Græcos τὸ ἐπί τινα εἶναι dicere, pro *adversus aliquem*. Plane particulæ τὸ et εἶναι favent

primo, quod non serio Niciam agere existimat, promptus, mox, cum errorem suum cognosset, renuit, sed a populo instante urgetur adeo, ut tandem imperium recipiat. Magniloquentia hominis risum movet, prudentibus vero etiam expectationem, fore, ut aut rem bene gerant, aut

αὐτὸν λόγῳ μόνον ἀφιέναι ἑτοῖμος ἦν, γνοὺς δὲ τῷ ὄντι παραδωσείοντα ἀνεχώρει, καὶ οὐκ ἔφη αὐτὸς ἀλλ' ἐκεῖνον στρατηγεῖν, δεδιὼς ἤδη καὶ οὐκ ἂν οἰόμενός οἱ αὐτὸν τολμῆσαι ὑποχωρῆσαι· αὖθις δὲ ὁ Νικίας ἐκέλευε, καὶ ἐξίστατο τῆς ἐπὶ Πύλῳ ἀρχῆς, καὶ μάρτυρας τοὺς Ἀθηναίους ἐποιεῖτο. οἱ δὲ, οἷον ὄχλος φιλεῖ ποιεῖν, ὅσῳ μᾶλλον ὁ Κλέων ὑπέφευγε τὸν πλοῦν καὶ ἐξανεχώρει τὰ εἰρημένα, τόσῳ ἐπεκελεύοντο τῷ Νικίᾳ παραδιδόναι τὴν ἀρχὴν καὶ ἐκείνῳ ἐπεβόων πλεῖν. ὥστε οὐκ ἔχων ὅπως τῶν εἰρημένων ἔτι ἐξαπαλλαγῇ, ὑφίσταται τὸν πλοῦν, καὶ παρελθὼν οὔτε φοβεῖσθαι ἔφη Λακεδαιμονίους, πλεύσεσθαί τε λαβὼν ἐκ μὲν τῆς πόλεως οὐδένα, Λημνίους δὲ καὶ Ἰμβρίους τοὺς παρόντας, καὶ πελταστὰς οἳ ἦσαν ἔκ τε Αἴνου βεβοηθηκότες, καὶ ἄλλοθεν τοξότας τετρακο-

τῇ Σφακτηρίᾳ· ἢ μέρος τὸ ἐφ' ἑαυτῶν εἶναι. τὸ δὲ εἶναι παρέλκει Ἀττικῶς. ἢ, ὡς Ἀντυλλος, ἐπὶ σφίσι, τοῖς στρατηγοῖς δηλονότι. 2. Παραδωσείοντα] ἐφιέμενον παραδώσειν τὴν Νικίαν. Ἀνεχώρει] ἀντὶ τοῦ ἀνεδύετο. Ἀλλ' ἐκεῖνον στρατηγεῖν] ἀλλ' ἐκεῖνον δεῖν στρατηγεῖν. 5. Ἐξίστατο] παρεχώρει. 7. Ἐξανεχώρει] ἀντὶ τοῦ ἀνεδύετο ποιεῖν ἅπερ ὑπέσχετο. ὑπέφευγεν.

sententiæ Antylli. De pleonasmo τοῦ εἶναι, quem hic, et ad VIII. 48. adnotat Scholiastes, vid. Stephan. ad Corinth. artic. 29. et Append. ad Script. de Dialect. pag. 170. Dux.

1. μόνῳ H.e.
τῷ ὄντι] ὅτι Q.
2. αὐτὸν i.
3. οἱ om. e.
4. ἀπεχωρῆσαι d.
ἐκέλευσε Q.
5. πύλου B.h.
6. ὅσα B.
7. ἐξέφευγε O.

Ἐξανεχώρει τὰ εἰρημένα] Thomas Magist. exponit παρέβαινε. Melius Scholiastes. Τὰ εἰρημένα sunt illa, de quibus est in fine cap. præcedentis. Dux.

8. τόσῳ O.P.d.e.i.
τὸν νικίαν e.
9. ὅστε] ὅσπερ c.
10. ἔτι om. c.g.
ὑπεξελλαγῇ e. ἐκαλλαγῇ c.
12. ἐκ τῆς Q.
13. ἐμβρίους O.
14. τε] τῆς O.P.

Αἴνου] Ænos urbs, alio nomine Αἶνθος, ad Hebri ostia sita est: Provinciæ Rhodopæ circa A. Chr. 367. Ammiano teste deputabatur. vid. Aristot. Pol. p. 154. Schol. Nicandri 44. a. Athenæum 419. Ælian. de Animal. V. 6. L. Chalcocondylas IX. 257. Αἶνον. πόλιν memorat, καὶ πρίσοδον ἀπὸ τῆς αὐτοῦ ταύτῃ ἀλικῆς. In Annal. Turcicis Ygnos et Meri Azam voca-

σίους· ταῦτα δὲ ἔχων ἔφη πρὸς τοῖς ἐν Πύλῳ στρατιώ- certe Cle-
ταις ἐντὸς ἡμερῶν εἴκοσιν ἢ ἄξειν Λακεδαιμονίους ζῶντας one liberen-
ἢ αὐτοῦ ἀποκτενεῖν. τοῖς δὲ Ἀθηναίοις ἐνέπεσε μέν τι καὶ tur.
γέλωτος τῇ κουφολογίᾳ αὐτοῦ, ἀσμένοις δ' ὅμως ἐγίγ-
νετο τοῖς σώφροσι τῶν ἀνθρώπων, λογιζομένοις δυοῖν ἀγα-
θοῖν τοῦ ἑτέρου τεύξεσθαι, ἢ Κλέωνος ἀπαλλαγήσεσθαι,
ὃ μᾶλλον ἤλπιζον, ἢ σφαλεῖσι γνώμης Λακεδαιμονίους
σφίσι χειρώσασθαι. * καὶ πάντα διαπραξάμενος ἐν τῇ 29.
ἐκκλησίᾳ, καὶ ψηφισαμένων Ἀθηναίων αὐτῷ τὸν πλοῦν, Demosthe-
τῶν τε ἐν Πύλῳ στρατηγῶν ἕνα προσελόμενος Δημοσθέ- nem assum-
νην, τὴν ἀγωγὴν διὰ τάχους ἐποιεῖτο. τὸν δὲ Δημοσθένην pturus, pro-
προσέλαβε, πυνθανόμενος τὴν ἀπόβασιν αὐτὸν ficiscitur.
σον διανοεῖσθαι. οἱ γὰρ στρατιῶται, κακοπαθοῦντες τοῦ Hunc au-
χωρίου τῇ ἀπορίᾳ καὶ μᾶλλον πολιορκούμενοι ἢ πολιορ- tem præ ce-
κοῦντες, ὥρμηντο διακινδυνεῦσαι. καὶ αὐτῷ ἔτι ῥώμην teris elege-
καὶ ἡ νῆσος ἐμπρησθεῖσα παρέσχε. πρότερον μὲν γὰρ rat, quia et
ipse insulam
invadere du-
bium opta-
verat, sed
post incen-
dium in in-
sula ortum
demum fieri

13. Οἱ γὰρ στρατιῶται] τῶν Ἀθηναίων. 15. Διακινδυνεῦσαι] παράβολόν τι διαπράξασθαι. Αὐτῷ] τῷ Δημοσθένει προθυμίαν ἐνεποίησεν, ἢ ἐπέρωσεν.

tur. v. Cantacuzenum p. 581. 821. et Annam Comnenam p. 450. ibique pro ἄλλα rescribe ἀλλ' ἅττα ex MS. Coisliniano. Wass.

1. Ἔφη] Confer Scholiast. Aristoph. in Equit. v. 55. Wass.

τοῖς—στρατιώταις A.B.F.H.K. Q.c.d.f.g.h.i. vulgo τοὺς—στρατιώτας.

2. ἄξειν] ἕξειν I.

ζῶντας om. L.Q.

3. ἐνέπεσέ τι K.c.e.g.

Ἐνέπεσε] Huc etiam spectat Scholiast. Aristoph. ad Equit. v. 1051. Wass.

4. Κουφολογίᾳ] Plutarchus in libello de Herodoti malignitate Thucydidem laudat, quod hoc Cleonis vitium κουφολογίαν maluit appellare, quam θρασύτητα aut μανίαν. Acacius. Huds.

ἐγένετο O.

5. δυεῖν F.I.O.

7. μάλιστα B.h.

8. χειρώσασθαι A.B.F.H.I.Q. d.f. vulgo χειρώσεσθαι.

10. τῶν ἐν O.P.

ἐν τῇ πύλῳ d.

11. ἀγωγὴν A.B.F.H. vulgo ἀναγωγήν. Conf. VI. 29.

τάχος P.

12. αὐτὸν om. b.

15. αὐτῷ ἔτι] ἔτι τῷ ἔτι B.

16. παρέσχε A.B.F.H.K.L.N. b.c.g.

μὲν om. c.

hoc posse constituerat.

αὐτῆς οὔσης ὑλώδους ἐπὶ τὸ πολὺ καὶ ἀτριβοῦς διὰ τὴν ἀεὶ ἐρημίαν, ἐφοβεῖτο, καὶ πρὸς τῶν πολεμίων τοῦτο ἐνόμιζε μᾶλλον εἶναι· πολλῷ γὰρ ἂν στρατοπέδῳ ἀποβάντι ἐξ ἀφανοῦς χωρίου προσβάλλοντας αὐτοὺς βλάπτειν. σφίσι μὲν γὰρ τὰς ἐκείνων ἁμαρτίας καὶ παρασκευὴν ὑπὸ τῆς ὕλης οὐκ ἂν ὁμοίως δῆλα εἶναι, τοῦ δὲ αὐτῶν στρατοπέδου καταφανῆ ἂν εἶναι πάντα τὰ ἁμαρτήματα, ὥστε προσπίπτειν ἂν αὐτοὺς ἀπροσδοκήτως, ἢ βούλοιντο· ἐπ' ἐκείνοις γὰρ ἂν εἶναι τὴν ἐπιχείρησιν. εἰ δ' αὖ ἐς δασὺ χωρίον βιάζοιτο ὁμόσε ἰέναι, τοὺς ἐλάσσους ἐμπείρους δὲ τῆς χώρας κρείττους ἐνόμιζε τῶν πλεόνων ἀπείρων· λανθάνειν τε ἂν τὸ ἑαυτῶν στρατόπεδον πολὺ ὂν διαφθειρόμενον, οὐκ οὔσης τῆς προσόψεως ᾗ χρὴν ἀλλήλοις ἐπιβοηθεῖν.

30. Sed cum forte virgulta combusta essent,

* ἀπὸ δὲ τοῦ Αἰτωλικοῦ πάθους, ὃ διὰ τὴν ὕλην μέρος τι ἐγένετο, οὐχ ἥκιστα αὐτὸν ταῦτα ἐσήει. τῶν δὲ στρατιωτῶν ἀναγκασθέντων διὰ τὴν στενοχωρίαν τῆς νήσου

4. Αὐτοὺς] τοὺς Λάκωνας δηλονότι. 5. Σφίσι] τοῖς Ἀθηναίοις. Ἐκείνων] τῶν Λακεδαιμονίων. 6. Αὐτῶν] τῶν Ἀθηναίων. 8. Ὥστε προσπίπτειν ἂν αὐτοὺς] τοῖς Ἀθηναίοις δηλονότι προσπίπτειν τοὺς Λακεδαιμονίους. 9. Ἐπ' ἐκείνοις γὰρ εἶναι ἂν] αὐτοὺς τοὺς Λάκωνας ἐπ' ἐκείνοις τοῖς Λακεδαιμονίοις. 10. Ὁμόσε ἰέναι] ἀντὶ τοῦ εἰς χεῖρας, καὶ πλησίον, ὅ ἐστι συστάδην μαχομένους. 11. Τῶν πλεόνων ἀπείρων] τῶν Ἀθηναίων. 13. Τῆς προσόψεως] τῆς θεωρίας. 15. Μέρος] τοῦ πάθους δηλονότι. Τῶν δὲ στρατιωτῶν]

1. αὐτῆς οὔσης A.B.h. vulgo οὔσης αὐτῆς.
ἐπὶ πολὺ O.
τὴν ἐρημίαν h.
2. ἐφοβεῖτο πρὸς A.B.
ἐνόμιζε μᾶλλον τοῦτο εἶναι c.g. τοῦτο ἐνόμιζεν εἶναι μᾶλλον O.
3. ἀποβάντας d.i.
4. προσβαλόντας L.O.Q. προσβαλοῦντας e.
6. ἀπὸ L.Q.c.g.
εἶναι δῆλα O.P.d.e.
8. προπίπτειν F.
ἂν om. K.Q.
9. ἂν εἶναι A.B.F.H.f.h. εἶναι N. vulgo εἶναι ἂν.
αὖ] οὖν K.
10. βιάζοιντο d.e.
11. κρείσσους e.
πλειόνων L.
12. τὸ] αὐτὸ b.
ἑαυτὸν A. ἑαυτοῦ O.
13. οὐκ om. b.
ἐχρῆν O.

τοὺς ἐσχάτοις προσίσχοντας ἀριστοποιεῖσθαι διὰ προφυλακῆς, καὶ ἐμπρήσαντός τινος κατὰ μικρὸν τῆς ὕλης ἄκοντος, καὶ ἀπὸ τούτου πνεύματος ἐπιγενομένου, τὸ πολὺ αὐτῆς ἔλαθε καταφλαυθέν. οὕτω δὴ τούς τε Λακεδαιμονίους μᾶλλον κατιδὼν πλείους ὄντας, ὑπονοῶν πρότερον ἐλάσσοσι τὸν σῖτον αὐτοῦ ἐσπέμπειν, τότε ὡς ἐπ' ἀξιόχρεων τοὺς Ἀθηναίους μᾶλλον σπουδὴν ποιεῖσθαι, τήν τε νῆσον εὐαποβατωτέραν οὖσαν, τὴν ἐπιχείρησιν παρεσκευάζετο, στρατιάν τε μεταπέμπων ἐκ τῶν ἐγγὺς ξυμμάχων καὶ τὰ ἄλλα ἑτοιμάζων. Κλέων δὲ ἐκείνῳ τε προπέμψας ἄγγελον ὡς ἥξων, καὶ ἔχων στρατιὰν ἣν ᾐτήσατο, ἀφικνεῖται ἐς Πύλον. καὶ ἅμα γενόμενοι πέμπουσι πρῶτον ἐς τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον κήρυκα, προκαλούμενοι εἰ βούλοιντο ἄνευ κινδύνου τοὺς ἐν τῇ νήσῳ ἄνδρας σφίσι τά τε ὅπλα καὶ σφᾶς αὐτοὺς κελεύειν παραδοῦναι, ἐφ' ᾧ φυλακῇ τῇ μετρίᾳ τηρήσονται, ἕως ἄν τι περὶ τοῦ πλέονος ξυμβαθῇ.* οὐ προσδεξαμένων δὲ αὐτῶν μίαν μὲν ἡμέραν ἐπέσχον, τῇ δ' ὑστεραίᾳ ἀνηγάγοντο μὲν νυκτὸς, ἐπ'

insulam aggrediendam censuit. Interim Cleon cum auxiliis advenit. Quo facto Lacedæmonios, qui in continente erant, per præconem jubent, eos, qui in insula essent, sibi cum armis tradere, donec pax convenisset.

31. Id cum Lacedæmonii

τῶν Ἀθηναίων στρατιωτῶν. 5. Κατιδὼν] ὁ Δημοσθένης δηλαδή. 6. Αὐτοῦ] τὸ αὐτοῦ τοπικὸν ἐπίρρημα. καὶ Ὅμηρος· Αὐτοῦ ἐρυκακέειν. (Il. v. 262.) 10. Ἐκείνῳ] τῷ Δημοσθένει. 12. Ἅμα γενόμενοι] ἦγουν συνελθόντες ὁ Κλέων καὶ ὁ Δημοσθένης. Ἐς τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον] τῶν Λακεδαιμονίων. 15. Ἐφ' ᾧ] ἀντὶ τοῦ οἷ χάριν. 16. Τῇ μετρίᾳ] ἦγουν φιλανθρώπῳ. Περὶ τοῦ πλέονος ξυμβαθῇ] ἦγουν περὶ σπονδῶν σύμβασις γένηται, ὡς ἂν εἰ ἔλεγε, καὶ περὶ τῶν ἄλλων πραγμάτων. ἕως τέλειαι σπονδαὶ γένωνται, καὶ πάντὸς

1. προῖσχοντας A.B.F.H. προσχοντες N.
ἀριστοποιήσασθαι d.i.
φυλακῆς b.
3. τῆς om. d.e.
9. μεταπεμπόντων B.
13. προκαλούμενον d.g.
16. τηρήσωνται H.
περὶ πλέονος B.
17. συμβαθῇ h.
δεξαμένων g.
αὐτῶν] αὖ K.Q.b.c.g.
18. ἀνηγάγοντο A.B.F.G.H.K. N.b.c.d.e.f.g. vulgo ἀνήγαγον.
Ἀνήγαγον] Sic et lib. III. cap. 15. accipiunt ἀναγαγόντες. Hic quum optimi Mss. habeant ἀνηγάγοντο, eoque et Thucydides, et alii omnes frequentius utantur, nulla causa est, cur id præferri non debeat. Pollux, Suidas, et Hesychius non habent

denegassent, ab utraque insulæ parte adoriuntur Athenienses. Dispositio Lacedæmoniorum in insula.

ὀλίγας ναῦς τοὺς ὁπλίτας πάντας ἐπιβιβάσαντες, πρὸ δὲ τῆς ἕω ὀλίγον ἀπέβαινον τῆς νήσου ἑκατέρωθεν, ἔκ τε τοῦ πελάγους καὶ πρὸ τοῦ λιμένος, ὀκτακόσιοι μάλιστα ὄντες ὁπλῖται, καὶ ἐχώρουν δρόμῳ ἐπὶ τὸ πρῶτον Φυλακτήριον τῆς νήσου. ὧδε γὰρ διετετάχατο. ἐν ταύτῃ μὲν τῇ πρώτῃ Φυλακῇ ὡς τριάκοντα ἦσαν ὁπλῖται, μέσον δὲ καὶ ὁμαλώτατόν τε καὶ περὶ τὸ ὕδωρ οἱ πλεῖστοι αὐτῶν καὶ Ἐπιτάδας ὁ ἄρχων εἶχε, μέρος δέ τι οὐ πολὺ αὐτὸ τὸ ἔσχατον ἐφύλασσε τῆς νήσου, τὸ πρὸς τὴν Πύλον, ὃ ἦν ἔκ τε θαλάσσης ἀπόκρημνον καὶ ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον· καὶ γάρ τι καὶ ἔρυμα αὐτόθι ἦν παλαιὸν, λίθων λογάδην πεποιημένον, ὃ ἐνόμιζον σφίσιν ὠφέλιμον ἂν εἶναι, εἰ καταλαμβάνοι ἀναχώρησις βεβαιοτέρα. οὕτω μὲν τεταγμένοι

τοῦ πολέμου ἀπαλλαγή. 4. Ἐχώρουν δρόμῳ] ἤγουν ἔτρεχον. Ἐπὶ τὸ πρῶτον φυλακτήριον] δραμόντες ἐπέθεντο τοῖς πρώτοις φυλάσσουσιν. 5. Διετετάχατο] διατεταγμένοι καὶ μεμερισμένοι ἦσαν οἱ ἐν τῇ νήσῳ. Τῇ πρώτῃ φυλακῇ] πρώτην φυλακὴν φησιν αὐτοὺς τοὺς φύλακας. ἐπιφέρει γὰρ ὅτι τρία τάγματα ἦν Λακεδαιμονίων τὰ φυλάττοντα τὴν νῆσον, ἓν μὲν ἐν τῷ ἄκρῳ τῆς νήσου τῷ πρὸς τὸ πέλαγος, ἕτερον δὲ ἐν τῷ ἄκρῳ τῷ πρὸς τὸν λιμένα, ἕτερον δὲ ἐν τῷ μέσῳ τῆς νήσου, ὅπου τὸ ὕδωρ. πρώτην οὖν φυλακὴν λέγει τὴν πρὸς τὸ πέλαγος. 7. Ὁμαλώτατόν τε] ἔνθα (φησὶν) ἦν τὸ ὁμαλὲν καὶ ἰσόπεδον καὶ οὐκ ἐν ὕψει κείμενον τῆς νήσου μέρος. 9. Ὃ ἦν] ὅπερ (φησὶ) μέρος τὸ ἔσχατον, καὶ προέχον ἐπὶ τὴν Πύλον, τραχύ τι ἦν καὶ δύσβατον. 11. Ἔρυμα] φρούριον. 12. Λογάδην] ἐπιλέκτως.

ἀνάγειν hac significatione. Paullo post etiam probanda videtur eorumdem Codd. scriptura πρὸς τοῦ λιμένος. III. 21. πρός τε Πλαταιῶν. IV. 130. περιπλεύσαντες ἐς τὸ πρὸς Σκιώνης. Duk.

2. ἐπέβαινον d.i.
τὴν νῆσον O.
3. πρὸς A.B.F.H.K.N.c.f.g.h.
8. εἶχε] ἦρχε P.d.e.
αὐτῇ f. ceteri αὐτοῦ.
τὸ ἔσχατον A.B.F.H.K.L.N.O. P.d.e.f.g.h.i. vulgo omittunt articulum. Sed malim τοὔσχατον, quod est III. 36.
9. νήσου πρὸς K.d.i.
10. τε τῆς θαλάσσης Q.f.
Ἐπίμαχον] Vid. Thom. Magist. h. v. Sic mox cap. 35. et supra cap. 4. Duk.
11. καὶ γὰρ καί τι καὶ f.
ἔρημα H.
λίθῳ K.
12. ἃ om. O. P.
ἂν om. Q.
13. καταλαμβάνει K.c.e.f.g.
βεβαιοτέρα B.F.H.I.L.N.O.Q.e. h.i. et correctus A. vulgo βεβαιοτέρα.
βεβαιοτέρα] Valla et Portus sequuti sunt alteram lectionem βεβαιοτέρα, quorum sententiæ ac-

ἦσαν. * οἱ δὲ Ἀθηναῖοι τοὺς μὲν πρώτους φύλακας, οἷς ἐπέδραμον, εὐθὺς διαφθείρουσιν, ἔν τε ταῖς εὐναῖς ἔτι ἀναλαμβάνοντας τὰ ὅπλα, καὶ λαθόντες τὴν ἀπόβασιν, οἱ δὲ μένων αὐτῶν τὰς ναῦς κατὰ τὸ ἔθος ἐς ἔφορμον τῆς νυκτὸς πλεῖν. ἅμα δὲ ἕῳ γιγνομένῃ καὶ ὁ ἄλλος στρατὸς ἀπέβαινον, ἐκ μὲν νεῶν ἑβδομήκοντα καὶ ὀλίγῳ πλειόνων, πάντες πλὴν θαλαμίων, ὡς ἕκαστοι ἐσκευασμένοι, τοξόται τε ὀκτακόσιοι καὶ πελτασταὶ οὐκ ἐλάσσους τούτων, Μεσσηνίων τε οἱ βεβοηθηκότες, καὶ ἄλλοι ὅσοι περὶ Πύλον κατεῖχον, πάντες πλὴν τῶν ἐπὶ τοῦ τείχους φυλάκων. Δημοσθένους δὲ τάξαντος διέστησαν κατὰ διαπεσίους τε καὶ πλείους, ἔστι δ' ἧ ἐλάσσους, τῶν χωρίων

32. Athenienses primos propugnatores statim occidunt, cum ex improviso advenissent. Demosthenis ratio hujus prœlii committendi.

1. Οἷς] ἦγον καθ' ὅν. 3. Λαθόντες] λαθραίαν ποιήσαντες. 7. Ἐσκευασμένοι] ἦγουν ὡπλισμένοι. 9. Οἱ βεβοηθηκότες] οἱ παραγενόμενοι τῷ Δημοσθένει ἐξ ἀρχῆς εἰς βοήθειαν. 11. Διέστησαν] ἐτάχθησαν μεμερισμένως.

cedo. Nam καταλαμβάνειν fere dicitur de malis et calamitatibus. II. 18. ὁπότε πόλεμος καταλάβοι. Ibid. 54. ἢν δέ γε ποτὲ ἄλλος πόλεμος καταλάβῃ. IV. 20. πρὶν τι ἀνήκεστον διὰ μέσου γενόμενον ἡμᾶς καταλαβεῖν. DUK.

4. ἐς om. P.

5. καὶ ἄλλος P.

6. ἐπέβαινον A.B.F.H.I.K.L, O.c.e.f.g.h.i. ἐπέβαινεν d.

μὲν τῶν νεῶν Q.

ἑβδήκοντα I.O.P.d.e.i.

7. ἕκαστος ἐσκευασμένος d.i.

Θαλαμίων] Thalamii infimus remigum ordo, medius Zugitæ, superior vero Thranitæ. Vide Palmerium in Gr. Auct. p. 176. et Schefferum de Militia Navali lib. II. cap. 2. HUDS. Item Meibomium in Libello de Fabrica Triremium, et, qui eum confutavit, Oppelium, id est, Schefferum. Quod in Suida v. θαλαμακεῖς legitur, ἡ δὲ ἄνω θρανῖται. ἡ θρανίτης ὁ πρὸς τῇ πρώρᾳ, vel corruptum, vel negligenter, e Scholiaste Aristophanis ad Ran. v. 1106. descriptum est: nam hic ita scribit, ἡ δὲ ἄνω θρανῖται. θρανίτης οὖν, ὁ πρὸς τὴν πρύμναν· ζυγίτης, ὁ μέσος· θαλαμίτης, ὁ πρὸς πρῴραν. Et sic ipse Suidas deinde in θρανίτης. DUK.

8. ἐλάττους O.e.

ἐλάσσους] Cod. C. ἐλάττους perperam. Noster semper cum σσ. Sophocles Elect. 1004. ἔλαττον, sed raro. Æschylus opinor numquam: semel Agam. 1240. εὖ πράττειν. Alexis bis terque. WASS.

τούτων om. L.

9. καὶ ἄλλοι A.B.F.H.Q.f.h. vulgo καὶ οἱ ἄλλοι.

11. δὲ] τε L.Q.

12. τε om. O.P.

τὰ μετεωρότατα λαβόντες, ὅπως ὅτι πλείστη ἀπορία ἦ τοῖς πολεμίοις πανταχόθεν κεκυκλωμένοις, καὶ μὴ ἔχωσι πρὸς ὅ τι ἀντιτάξωνται, ἀλλ' ἀμφίβολοι γίγνωνται τῷ πλήθει, εἰ μὲν τοῖς πρόσθεν ἐπίοιεν, ὑπὸ τῶν κατόπιν βαλλόμενοι, εἰ δὲ τοῖς πλαγίοις, ὑπὸ τῶν ἑκατέρωθεν παρατεταγμένων. κατὰ νώτου τε ἀεὶ ἔμελλον αὐτοῖς, ἢ χωρήσειαν, οἱ πολέμιοι ἔσεσθαι ψιλοὶ καὶ οἱ ἀπορώτατοι, τοξεύμασι καὶ ἀκοντίοις καὶ λίθοις καὶ σφενδόναις ἐκ πολλοῦ ἔχοντες ἀλκήν. οἷς μηδὲ ἐπελθεῖν οἷόν τε ἦν· φεύγοντές τε γὰρ ἐκράτουν καὶ ἀναχωροῦσιν ἐπέκειντο. τοσαύτῃ μὲν γνώμῃ ὁ Δημοσθένης τό τε πρῶτον τὴν ἀπόβασιν ἐπενόει καὶ ἐν τῷ ἔργῳ ἔταξεν. * οἱ δὲ περὶ τὸν

33. Lacedæmo-

3. Ἀμφίβολοι] ἑκατέρωθεν βαλλόμενοι. πανταχόθεν. Τῷ πλήθει] ὑπὸ τοῦ πλήθους. 7. Οἱ ἀπορώτατοι, τοξεύμασιν] οἱ μὲν ἐξηγήσαντο, οἱ ἄποροι ὄπλων καὶ τοξεύμασι μόνοις χρώμενοι· οἱ δὲ λέγουσιν, οἱ εἰς ἀπορίαν καθιστάντες τοὺς ἀντιτεταγμένους τοῖς τοξεύμασιν. ὃ καὶ βέλτιον. καὶ γὰρ καὶ Ὅμηρος ἐχρήσατο τῇ τοιαύτῃ λέξει, χλωρὸν ἐπεὶν δέος [Il. vii. 479.] οὐκ αὐτὸ ἔχον τὴν χλωρότητα, ἀλλ' ἑτέρους αὐτὴν ἐμποιοῦν. καὶ τὸν Διόνυσον φασὶ μαινόμενον, οὐχ ὅτι αὐτὸς μαίνεται, ἀλλ' ὅτι ποιεῖ μαίνεσθαι. 9. Ἐκ πολλοῦ ἔχοντες ἀλκήν] ὡς ἂν εἰ ἔλεγεν, ἐκ πολλοῦ διαστήματος τὴν δύναμιν

1. μετεωρότερα P. μετέωρα Q.
ὅτι] ἔτι c.f.g.
2. πολεμίοις] ἐναντίοις P.d.
κεκυκλωμένοις F.H.K.N.b.c.g. κυκλω κεκυκλυμένοις A.B. κυκλουμένοις O. P.
ἔχωσι A.B.I.K.Q.c.f.g.h.i.
3. ὅ τι] ὃ i.
ἀντιτάξονται i. τάξωνται Q.
Ἀμφίβολοι] Ita cap. 36. Schol. βαλλόμενοι, Hesychii exemplaria παραβαλλόμενοι. Wass. Suidas quoque ἀμφίβολοι exponit πανταχόθεν βαλλόμενοι. Et Eustath. in Odyss. α'. pag. 1406. ἀμφιβάλλειν δὲ, καὶ τὸ ἑκατέρωθεν βάλλειν. ὡς δῆλον ἐκ τοῦ ἀμφίβολος, ὃς παρά τε Ἀβιανῷ (respicit ad locum Arriani apud Suidam) καὶ ἑτέροις τὸν ἀμφοτέρωθεν βαλλόμενον σημαίνει. Et ita hic accipiendum esse ex sequentibus liquet. In Hesychio περιβαλλόμενοι legit Guyetus; quæ significatio itidem huic voci convenire potest. Nam et ἀμφιβαλεῖν est περιλαβεῖν, περικλεῖσαι, περισχεῖν, ut Eustathius in Odyss. ρ'. pag. 1823. et Od. ψ'. 1944. Duk.
γίγνωνται L. γίγνοιντο c.f.g.
6. τε καὶ ἀεὶ L.O.P.Q.
ἦ] οἳ d.
7. ψιλοὶ ἔσεσθαι Q.
10. γὰρ om. Q.d.i.
ἐκράτουν K.
11. τοσαύτην μὲν γνώμην L.
πρώτην L.

Ἐπιτάδαν, καὶ ὅπερ ἦν πλεῖστον τῶν ἐν τῇ νήσῳ, ὡς εἶδον τό τε πρῶτον φυλακτήριον διεφθαρμένον καὶ στρατὸν σφίσιν ἐπιόντα, ξυνετάξαντο καὶ τοῖς ὁπλίταις τῶν Ἀθηναίων ἐπῆσαν, βουλόμενοι ἐς χεῖρας ἐλθεῖν· ἐξ ἐναντίας γὰρ οὗτοι καθεστήκεσαν, ἐκ πλαγίου δὲ οἱ ψιλοὶ καὶ κατὰ νώτου. τοῖς μὲν οὖν ὁπλίταις οὐκ ἠδυνήθησαν προσμίξαι, οὐδὲ τῇ σφετέρᾳ ἐμπειρίᾳ χρήσασθαι. οἱ γὰρ ψιλοὶ ἑκατέρωθεν βάλλοντες εἶργον, καὶ ἅμα ἐκεῖνοι οὐκ ἀντεπῆσαν ἀλλ' ἡσύχαζον· τοὺς δὲ ψιλοὺς, ἢ μάλιστα αὐτοῖς προσθέοντες προσκέοιντο, ἔτρεπον, καὶ οἱ ὑποστρέφοντες ἠμύνοντο, ἄνθρωποι κούφως τε ἐσκευασμένοι καὶ προλαμβάνοντες ῥᾳδίως τῆς φυγῆς, χωρίων τε χαλεπότητι, καὶ ὑπὸ τῆς πρὶν ἐρημίας τραχέων ὄντων, ἐν οἷς οἱ Λακεδαιμόνιοι οὐκ ἠδύναντο διώκειν, ὅπλα ἔχοντες. * χρόνον μὲν οὖν τινα ὀλίγον οὕτω πρὸς ἀλλήλους ἠκροβολίσαντο· τῶν δὲ Λακεδαιμονίων οὐκέτι ὀξέως ἐπεκθεῖν ἢ προσπίπτοιεν δυναμένων, γνόντες αὐτοὺς οἱ ψιλοὶ βραδυτέρους ἤδη ὄντας

nii contra procedunt, sed a sagittariis et peltastis male afficiuntur, quibus successu animi augebantur.

34.

ἔχοντες. πόρρωθεν γὰρ τὸ τόξον ἰσχύει. 4. Ἐς χεῖρας ἐλθεῖν] συμπλακῆναι. 5. Οὗτοι] οἱ Ἀθηναῖοι. 6. Τοῖς μὲν οὖν ὁπλίταις] τῶν Ἀθηναίων. 7 Τῇ σφετέρᾳ] ἵνα λέγῃ τῇ πεζομαχείᾳ, καθ' ἣ μᾶλλον ἔμπειροί εἰσιν οἱ Λακεδαιμόνιοι. Ἐμπειρίᾳ] τῇ ἐπιστήμῃ τῇ πολεμικῇ. 10. Καὶ οἱ ὑποστρέφοντες ἠμύνοντο] οἱ ψιλοὶ τοὺς Λακεδαιμονίους τῆς διώξεως ὑποστρέφοντες ἠμύνοντο. 11. Κούφως τε ἐσκευασμένοι] ψιλῇ ὁπλίσει ὡπλισμένοι. Προλαμβάνοντες] φθάνοντες, ὥστε μὴ καταλαμβάνεσθαι. 15. Ἠκροβολίσαντο] οἱονεὶ πόρρωθεν ἔβαλον αὐτούς. 16. Ἢ προσπίπτοιεν] οἱ ψιλοὶ

3. συνετάξαντο A.d.e.
ξύλοις c.g.
6. νῶτον K.
8. οὐ κατεστήκεσαν K.
10. ἐπιθέοντες L.O.P.Q.d.f.i.
καὶ οἱ ὑποστρέφοντες A. καὶ ὑποστρέφοντες K. καὶ οἱ ὑποφεύγοντες e.
11. κοῦφοί d.
τε om. O.
προσλαμβάνοντες P.c.d.f.

14. ἠδύναντο A.B.F.K.L.O. ceteri ἐδύναντο.
16. ἐπελθεῖν Q. d. e.
17. γνόντες δὲ αὐτοὺς H.
Γνόντες αὐτοὺς] Tractat h. l. Dion. Hal. p. 148. τῇ ὄψει πολλαπλάσιοι φαινόμενοι. Sibi cum maxime ob prosperum successum visi multo numerosiores; ita cum Schol. capit Abr. p. 407. GOTTL.

τῷ ἀμύνασθαι, καὶ αὐτοὶ τῇ τε ὄψει τοῦ θαρσεῖν τὸ πλεῖστον εἰληφότες, πολλαπλάσιοι φαινόμενοι, καὶ ξυνειθισμένοι μᾶλλον μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως σφίσι φαίνεσθαι, ὅτι οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐπεκόνθεσαν, ὥσπερ ὅτε πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι ὡς ἐπὶ Λακεδαιμονίους, καταφρονήσαντες καὶ ἐμβοήσαντες ἀθρόοι ὥρμησαν ἐπ' αὐτούς, καὶ ἔβαλλον λίθοις τε καὶ τοξεύμασι καὶ ἀκοντίοις, ὡς ἕκαστός τι πρόχειρον εἶχε. γενομένης δὲ τῆς βοῆς ἅμα τῇ ἐπιδρομῇ ἔκπληξίς τε ἐνέπεσεν ἀνθρώποις ἀήθεσι τοιαύτης μάχης, καὶ ὁ κονιορτὸς τῆς ὕλης νεωστὶ κεκαυμένης ἐχώρει πολὺς ἄνω, ἄπορόν

δηλωθτι. 1. Τῇ τε ὄψει] ἐθάρρησαν τῇ ὄψει, ἰδόντες ἑαυτοὺς πολλαπλασίους τῶν ἐναντίων ὄντας. ἢ πολλαπλασίους ἑαυτοὺς δόξαντες τῶν κατὰ τὴν ἀλήθειαν ὄντων. 4. Ὅτι οὐκ εὐθὺς ἄξια] ὅτι (φησὶν) οὐκ ἔπαθον τοιαῦτα οἱ Ἀθηναῖοι ὑπὸ τῶν Λακεδαιμονίων, οἷα προσεδόκων παθεῖν ὑπ' αὐτῶν ἐξ ἀρχῆς εὐθὺς, ὅτε ἐπέβησαν τῆς νήσου. Τῆς προσδοκίας] ἀντὶ τοῦ τῆς δειλίας. 5. Τῇ γνώμῃ δεδουλωμένοι] ὡς ἂν εἰ ἔλεγε, τεταπεινωμένοι φόβῳ, ἕνεκα τῆς ὑπολήψεως τῶν Λακεδαιμονίων, ἧς εἶχον περὶ αὐτῶν, ὡς ὅτι σφόδρα

3. ὁμοίους i.
4. ἐπεπόθησαν P.
5. τὸ πρῶτον L.f.
ἐπέβαινον correctus A.

Τῇ γνώμῃ δεδουλωμένοι] Observat Kuhnius ad Ælian. V. H. 2, 14. imitari hoc Arrianum II. de Exped. Alex. 10. Καὶ ταύτῃ εὐθὺς δῆλος ἐγένετο (Darius) τοῖς ἀμφ' Ἀλέξανδρον τῇ γνώμῃ δεδουλωμένος. Duk.

6. καταφρονήσαντες οὖν αὐτῶν καὶ Dionysius.

Καταφρονήσαντες—αὐτούς] Dicit Dionysius II. p. 148. collocationem membrorum hujus periodi contortam facere orationem, et ostendit, quo ordine ex sententia sua collocari debuissent, ut clarior et suavior fieret oratio. Sed in iis, quæ ibi leguntur, τῶν δὲ Λακεδαιμονίων οὐκέτι ἀπελθεῖν ἢ προσκέπτειν δυναμένων, mihi suspectum est ἀπελθεῖν, quod hujus loci sententiæ non convenit. Fortassis Dionysius, pro ἐπεκθεῖν quod Thucydides dicit, scripserit ἐπελθεῖν, nam et hoc est *invadere, incurrere*. Thucyd. I. 2. ἄδηλον δν ὁπότε τις ἐπελθὼν—ἄλλος ἀφαιρήσεται. Sic paullo ante cap. 32. οἷς μηδὲ ἐπελθεῖν οἷόν τε ἦν. Et infra cap. 92. ὅστις—ἐκών τινι ἐπέρχεται. Vid. Budæum Commentar. p. 100. et Polluc. I. 172. Duk.

καὶ ἐμβοήσαντες] om. O.P.e. καὶ ἐκβοήσαντες d.i. καὶ ἐμβοηθήσαντες L.b.

7. ἀθρόοι om. Q.
ἔβαλλον d.
9. τε] τις e.
11. πολὺς] πολλῷ O.

τε ἦν ἰδεῖν τὸ πρὸ αὐτοῦ ὑπὸ τῶν τοξευμάτων καὶ λίθων ἀπὸ πολλῶν ἀνθρώπων μετὰ τοῦ κονιορτοῦ ἅμα φερομένων. τό τε ἔργον ἐνταῦθα χαλεπὸν τοῖς Λακεδαιμονίοις καθίστατο. οὔτε γὰρ οἱ πῖλοι ἔστεγον τὰ τοξεύματα, δοράτιά τε ἐναποκέκλαστο βαλλομένων, εἶχόν τε οὐδὲν σφίσιν αὐτοῖς χρήσασθαι ἀποκεκλημένοι μὲν τῇ ὄψει τοῦ προσῤῥᾶν, ὑπὸ δὲ τῆς μείζονος βοῆς τῶν πολεμίων τὰ ἐν αὐτοῖς παραγγελλόμενα οὐκ ἐσακούοντες, κινδύνου τε πανταχόθεν περιεστῶτος, καὶ οὐκ ἔχοντες ἐλπίδα καθ' ὅτι χρὴ ἀμυνομένους σωθῆναι. * Τέλος δὲ τραυματιζομένων ἤδη πολλῶν διὰ τὸ ἀεὶ ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι, ξυγκλήσαντες ἐχώρησαν ἐς τὸ ἔσχατον ἔρυμα τῆς νήσου, ὃ οὐ πολὺ ἀπεῖχε, καὶ τοὺς ἑαυτῶν φύλακας. ὡς δὲ ἐνέδοσαν, ἐνταῦθα ἤδη πολλῷ ἔτι πλέονι βοῇ τεθαρσηκότες οἱ ψιλοὶ ἐπέκειντο, καὶ τῶν Λακεδαιμονίων ὅσοι μὲν ὑποχωροῦντες ἐγκατελαμβάνοντο, ἀπέθνησκον, οἱ δὲ πολλοὶ διαφυγόντες ἐς τὸ ἔρυμα μετὰ τῶν ταύτῃ φυλάκων ἐτάξαντο παρὰ πᾶν, ὡς ἀμυνούμενοι, ἥπερ ἦν ἐπίμαχον.

35. Lacedæmonii tandem conferti in propugnaculum se recipiunt, et facilius ibi se defendunt;

εἰσὶ πεζομάχοι καὶ πολεμικοί. 4. Οἱ πῖλοι] πῖλοί εἰσι τὰ ἐξ ἐρίου πηκτὰ ἐνδύματα, ὅστερ θωράκιά τινα ὑπὸ τὰ στήθη, ἃ ἐνδυόμεθα· οἱ δὲ τὰ ἐπικείμενα ταῖς περικεφαλαίαις. 11. Ξυγκλήσαντες] συναστείσαντες, πυκνώσαντες, συναχθέντες. 13. Ἐνέδοσαν] ἔκλιναν, ἐχαυνώθησαν. 17. Μετὰ τῶν ταύτῃ φυλάκων] ἐν τῷ ἐρύματι. 18. Παρὰ πᾶν] παρὰ πᾶν μέρος τοῦ ἐρύματος, ὅσον ἦν μέρος ἐπίμαχον, τουτέστι καθ' ὃ ἐδύναντο οἱ Ἀθηναῖοι προσ-

1. ὑπὸ τοξευμάτων e.
3. τό τε] τότε Q.
τοῖς Λακεδαιμονίοις χαλεπὸν e.
5. ἐναπεκέκλαστο d.
εἶχον δὲ Q.
6. ἀπεκεκλειμένοι Q.d. ἀποκεκλεισμένοι I.L.N.e. ἐναποκεκλημένοι c.f.g.
7. ἐν αὐτοῖς] ἑαυτοῖς c.
8. ἐσακούσαντες L.O.Q.
11. ἀναστρέφοντες B.
ξυγκλείσαντες Q.d.e.i.
12. ἐπὶ d.i.
14. πλέονι A.F.H.I.K.L.N.O. c.e.f.g.i. vulgo πλέον.
τεθαρρηκότες A.B.F.H.I.O.P. Q.d.e.h.
15. ἐσέκειντο F.e. ἐνέκειντο L. O.P.Q.
17. ἀποφυγόντες d.i.
φυλακῶν L.O.
18. παράπαν K.
ἀμυνόμενοι A.B.F.H.L.N.O.

καὶ οἱ Ἀθηναῖοι ἐπισπόμενοι περίοδον μὲν αὐτῶν καὶ κύκλωσιν χωρίου ἰσχύϊ οὐχ εἶχον, προσιόντες δὲ ἐξ ἐναντίας ὥσασθαι ἐπειρῶντο. καὶ χρόνον μὲν πολὺν, καὶ τῆς ἡμέρας τὸ πλεῖστον, ταλαιπωρούμενοι ἀμφότεροι ὑπό τε τῆς μάχης καὶ δίψους καὶ ἡλίου ἀντεῖχον, πειρώμενοι οἱ μὲν ἐξελάσασθαι ἐκ τοῦ μετεώρου, οἱ δὲ μὴ ἐνδοῦναι, ῥᾷον δ' οἱ Λακεδαιμόνιοι ἠμύναντο ἢ ἐν τῷ πρίν, οὐκ οὔσης σφῶν τῆς κυκλώσεως ἐς τὰ πλάγια. * ἐπειδὴ δὲ ἀπέραντον ἦν, προσελθὼν ὁ τῶν Μεσσηνίων στρατηγὸς Κλέωνι καὶ Δημοσθένει ἄλλως ἔφη πονεῖν σφᾶς. εἰ δὲ βούλονται ἑαυτῷ δοῦναι τῶν τοξοτῶν μέρος τι καὶ τῶν ψιλῶν, περιιέναι κατὰ νώτου αὐτοῖς ὁδῷ ᾗ ἂν αὐτὸς εὕρῃ, δοκεῖν βιάσασθαι τὴν ἔφοδον. λαβὼν δὲ ἃ ἠτήσατο, ἐκ τοῦ ἀφανοῦς ὁρμήσας ὥστε μὴ ἰδεῖν ἐκείνους, κατὰ τὸ ἀεὶ παρεῖκον

36. donec Messeniorum dux quidam cum parva manu iis a tergo conspiciatur. Tum vero de salute sua desperantes,

ελθόντες μάχεσθαι. 1. Καὶ κύκλωσιν] λείπει τὸ ποιήσασθαι. 8. Ἐς τὰ πλάγια] ἀντὶ τοῦ ἐκ τῶν πλαγίων. Ἀπέραντον ἦν] τὸ ἔργον τοῦ πολέμου. 10. Ἄλλως] ματαίως. 13. Ἐκ τοῦ ἀφανοῦς] ἀντὶ τοῦ ἐκ τοῦ μὴ βλεπομένου τοῖς Λακεδαιμονίοις. 14. Ἐκείνους] ἤγουν τοὺς Λακεδαιμονίους. Κατὰ τὸ ἀεὶ παρῆκον] τουτέστι κατὰ τὸ ἐνδιδοῦν καὶ ἀνάβασιν παρέχον.

1. ἐπισπόμενοι A.B.F.H. vulgo ἐπισπώμενοι.
2. προσιέντας P. προσιόντες L.O.
3. ὧσεσθαι I.e.
4. ὑπὸ τῆς P.i.
5. δίψης d.i.
6. ἐξελάσεσθαι P.
ἐκ μετεώρου K.L.O.c.e.g.
ῥᾴδιον c.g.
7. ἠμύναντο A.B.F.H.Q.f.h. ceteri ἠμύνοντο.
8. ἐς] ὡς O.
δὲ om. H.
10. Ἄλλως] Hoc pro ματαίως poni ex Aristophane, Euripide, et Homero ostendit Auctor Etymologici M. Addit, καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἀντὶ τοῦ μάτην ἐχρῶντο οἱ Ἀττικοὶ τῷ ἄλλως. καὶ γὰρ παρὰ Θουκυδίδῃ συνεχῶς ἐστὶν αὐτὸ εὑρεῖν κείμενον. Sed non tam frequenter τῷ ἄλλως hac significatione utitur Thucydides: ac multo crebrius ac prope συνεχῶς apud eum legas ἄλλως τε καὶ, pro *quum præsertim*, vel *præterea*. Duk.
11. προϊέναι N.
14. ἐκείνους καὶ κατὰ L.O.P.
παρεῖκον F.H.I.L.N.O.P.b.i. et correctus A. vulgo παρῆκον.
Κατὰ τὸ ἀεὶ παρῆκον τοῦ κρημνώδους] Stephanus, cujus versionem adoptavit Portus, in interpretandis his verbis sequutus est Scholiasten, quem legisse παρεῖκον, ex eo intelligitur, quod id exponit ἐνδιδοῦν· nam παρείκειν est ἐνδοῦναι. Ego et παρῆκον, et Vallæ inter-

τοῦ κρημνώδους τῆς νήσου προβαίνων, καὶ ἢ οἱ Λακεδαιμόνιοι χωρίου ἰσχύϊ πιστεύσαντες οὐκ ἐφύλασσον, χαλεπῶς τε καὶ μόλις περιελθὼν ἔλαθε, καὶ ἐπὶ τοῦ μετεώρου ἐξαπίνης ἀναφανεὶς κατὰ νώτου αὐτῶν τοὺς μὲν τῷ ἀδοκήτῳ ἐξέπληξε, τοὺς δὲ ἃ προσεδέχοντο ἰδόντας πολλῷ μᾶλλον ἐπέῤῥωσε. καὶ οἱ Λακεδαιμόνιοι βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη, καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι, ὡς μικρὸν μεγάλῳ εἰκάσαι, τῷ ἐν Θερμοπύλαις, ἐκεῖνοί τε γὰρ τῇ ἀτραπῷ περιελθόντων τῶν Περσῶν διεφθάρησαν, οὗτοί τε ἀμφίβολοι ἤδη ὄντες οὐκέτι ἀντεῖχον, ἀλλὰ πολλοῖς τε ὀλίγοι μαχόμενοι, καὶ ἀσθενείᾳ σωμάτων διὰ τὴν σιτοδείαν, ὑπεχώρουν· καὶ οἱ Ἀθηναῖοι ἐκράτουν ἤδη τῶν ἐφόδων. * γνοὺς δὲ ὁ Κλέων καὶ ὁ Δημοσθένης ὅτι, 37.

Cleone sponsionem offerente,

5. Τοὺς δὲ] ἦγον Ἀθηναίους.

pretationem, *assidue secundum præruptа insulæ pergens*, præfero. Τὸ ἀεὶ παρῆκον τοῦ κρημνώδους sunt *continentes rupes, continens tractus præruptarum rupium*. Græci regiones, montes, et alia dicunt ἀνήκειν, διήκειν, καθήκειν, et παρήκειν, quod Latini *porrigi, pertinere, pertingere*. Scylax p. 25. Edit. Oxon. Ἡ δὲ Θετταλία παρήκει ἐν μεσογείᾳ ὑπὲρ Ἀνιάνων— μέχρι Τεμπῶν. Marcianus Heracl. Peripl. pag. 30. Παρήκει δὲ οὗτος (Sinarum sinus) μέχρι τῆς μεσημβρινῆς ἀγνώστου γῆς. Strabo IV. pag. 209. Τὸ δὲ μῆκος (Alpium) ἐστὶ διοχιλίων καὶ διακοσίων σταδίων τὸ παρῆκον παρὰ τὰ πεδία. Pollux IX. 18. Καὶ ἡ μὲν ἐν μέσῳ τῆς θαλάττης ἑκατέρωθεν παρήκουσα γῆ. Et sic quamplurimis locis apud omnes. Παρεῖκον videtur quidem defendi auctoritate Polybii III. 37. Καλεῖται δὲ τὸ μὲν (τῆς Εὐρώπης μέρος) κατὰ τὴν καθ' ἡμᾶς (θάλασσαν) παρεῖκον ἕως Ἡρακλείων στηλῶν, Ἰβηρία. Sed ibi quoque παρῆκον legendum existimo. Τὸ ἀεὶ παρῆκον autem dicit, ut cap. 29. τὴν ἀεὶ ἐρημίαν, et cap. 47. τὴν ἀεί ποτε ἔχθραν. Nec displicet προβαίνων, quod est in Reg. Duk.

1. προβαίνων B.d.g. vulgo προσβαίνων.

ἤ om. L.O.P.

3. ἐπὶ] ἐκ c.

7. Ὡς μικρὸν] Herodotus II. 10. ὡς εἶναι σμικρὰ ταῦτα μεγάλοισι συμβαλέειν. ubi pro καλεύμενον MS. Bodl. καλεόμενον· aliter Med. sed male. vid. I. 6. 164. II. 14. Wass.

10. ἤδη om. d.i.

11. ὀλίγα H.

13. ἐφοδίων L.O.P.

Ὅτι—διαφθαρησομένους αὐτοὺς] Henr. Stephanus in Append. ad Script. de Dialect. pag. 77. putat hic vacare ὅτι ante participium, quum alioqui dicen-

εἰ καὶ ὀπωσοῦν μᾶλλον ἐνδώσουσι, διαφθαρησομένους αὐτοὺς ὑπὸ τῆς σφετέρας στρατιᾶς, ἔπαυσαν τὴν μάχην καὶ τοὺς ἑαυτῶν ἀπεῖρξαν, βουλόμενοι ἀγαγεῖν αὐτοὺς Ἀθηναίοις ζῶντας, εἴ πως, τοῦ κηρύγματος ἀκούσαντες ἐπικλασθεῖεν τῇ γνώμῃ τὰ ὅπλα παραδοῦναι, καὶ ἡσσηθεῖεν τοῦ παρόντος δεινοῦ. ἐκήρυξάν τε εἰ βούλοιντο τὰ ὅπλα παραδοῦναι καὶ σφᾶς αὐτοὺς Ἀθηναίοις, ὥστε βουλεῦσαι ὅ τι ἂν ἐκείνοις δοκῇ. * οἱ δὲ ἀκούσαντες παρῆκαν τὰς ἀσπίδας οἱ πλεῖστοι καὶ τὰς χεῖρας ἀνέσεισαν, δηλοῦντες προσίεσθαι τὰ κεκηρυγμένα. μετὰ δὲ ταῦτα γενομένης τῆς ἀνακωχῆς ξυνῆλθον ἐς λόγους ὅ τε Κλέων καὶ ὁ Δημοσθένης καὶ ἐκείνων Στύφων ὁ Φάρακος, τῶν πρότερον ἀρχόντων τοῦ μὲν πρώτου τεθνηκότος Ἐπιτάδου, τοῦ δὲ μετ' αὐτὸν Ἱππαγρέτου ἐφηρημένου ἐν τοῖς

38. arma seque ipsos tradunt, et cum tandem iis de se deliberandi a ceteris Lacedæmoniis potestas facta esset, idem con-

3. Ἀπεῖρξαν] τῆς μάχης δηλονότι. 4. Ἀκούσαντες] οἱ Λακεδαιμόνιοι. 5. Ἐπικλασθεῖεν] χαυνωθεῖεν. 8. Παρῆκαν] ἀφῆκαν. 14. Ἐφηρημένου]

dum fuisset, ὅτι διαφθαρήσονται αὐτοί· neque tamen Thucydidi peculiarem esse hunc usum particulæ ὅτι, nam eam apud alios quoque abundare sequente infinitivo. Posterioris generis pleonasmi multa exempla congesserunt Gronovius ad Arrian. II. de Exped. Alex. 16. et Raphelius ad Acta Apostol. XXVII. 10. in quibus omnibus ὅτι post se habet infinitivum expressum, vel tacitum cum accusativo. His plane similis foret hæc forma loquendi, γνοὺς ὅτι διαφθαρήσεσθαι αὐτούς. Sed quum Thucydides pro infinitivo maluerit uti participio, quærendum est, an alii quoque ita loquantur. Duk.

1. ὁπωσοῦν Q.

5. καὶ τὰ ὅπλα O.

7. καὶ σφᾶς ἀθηναίοις ὡς αὐτούς τε βουλ. K.

11. γινομένης Q.

12. Καὶ ἐκείνων] Non indiget locus emendatione Stephani καὶ μετ' ἐκείνων. Vid. Perizon. ad Ælian. I. 33. 6. et ad Sanct. Minerv. IV. 3. 9. Notum est hoc Julii Cæsaris apud Suetonium Cæs. LXXXII. Καὶ σὺ ἐκείνων; Thucydides V. 19. Ὤμνυον δὲ οἵδε, καὶ ἐστένδετο, Λακεδαιμονίων μὲν, Πλειστόλας—Ἀθηναίων δὲ οἵδε, Λάμαχος. Duk.

14. Ἱππαγρέτου] De Hippagretis apud Lacedæmonios agit etiam Cragius II. de Republ. Lacedæmonior. 14. Videtur ergo Thucydides secundum hunc Ducem non proprio, ut alios, sed muneris nomine appellare. Paullo post conjungo ἐφηρημένος κατὰ νόμον. Nam indicat Thucydides, quod etiam illa, εἴτι ἐκεῖνος πάσχοιεν, ostendunt, horum

νεκροῖς ἔτι ζῶντος κειμένου ὡς τεθνεῶτος, αὐτὸς τρίτος ἐφῃρημένος ἄρχειν κατὰ νόμον, εἴ τι ἐκεῖνοι πάσχοιεν. ἔλεγε δὲ ὁ Στύφων καὶ οἱ μετ' αὐτοῦ ὅτι βούλονται διακηρυκεύσασθαι πρὸς τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους, ὅ τι χρὴ σφᾶς ποιεῖν. καὶ ἐκείνων μὲν οὐδένα ἀφέντων, αὐτῶν δὲ τῶν Ἀθηναίων καλούντων ἐκ τῆς ἠπείρου κήρυκας, καὶ γενομένων ἐπερωτήσεων δὶς ἢ τρὶς, ὁ τελευταῖος διαπλεύσας αὐτοῖς ἀπὸ τῶν ἐκ τῆς ἠπείρου Λακεδαιμονίων ἀνὴρ ἀπήγγειλεν ὅτι "οἱ Λακεδαιμόνιοι κελεύουσιν ὑμᾶς "αὐτοὺς περὶ ὑμῶν αὐτῶν βουλεύεσθαι, μηδὲν αἰσχρὸν ποι- "οῦντας." οἱ δὲ καθ' ἑαυτοὺς βουλευσάμενοι τὰ ὅπλα πα-

firmant, seque in manus Atheniensium tradunt.

ἀστὶ τοῦ μετ' ἐκεῖνον ᾑρημένου καὶ χειροτονηθέντος. 2. Εἴτι ἐκεῖνοι πάσχοιεν] ἤγουν ἀποθάνοιεν. 3. Διακηρυκεύσασθαι] ἐν ἴσῳ μέν πως ἐστὶ τῷ ἐπικηρυκεύσασθαι. εἰ μή τις εἴποι τὸ μὲν διακηρυκεύεσθαι πρὸς φίλους, τὸ δ' ἐπικηρυκεύεσθαι πρὸς πολεμίους. 5. Ὅ, τι χρὴ σφᾶς ποιεῖν] καίτοι εἶπεν ἄνω, ὅτι ἔδοξεν αὐτοῖς παραδοῦναι τὰ ὅπλα καὶ προσίεσθαι τὰ κεκηρυκευμένα. ἀλλὰ λέγομεν ὅτι ἐκεῖ μὲν ἔλεγε περὶ τῶν στρατιωτῶν, ἐνταῦθα δὲ περὶ τοῦ αὐτῶν στρατηγοῦ. Ἐκείνων μὲν οὐδένα ἀφέντων] τῶν Λακεδαιμονίων τῶν ἐν τῇ Σφακτηρίᾳ. ἀφέντων δε λέγει, ὥστε ἐξελθεῖν διακηρυκεύεσθαι πρὸς τοὺς ἐν τῇ Πύλῳ. 10. Μηδὲν αἰσχρὸν ποιοῦντας] αἰνίττεται ὡς ὅτι μᾶλλον βέλτιον ἐστὶ πεσεῖν, ἢ αἰχμα-

Ducum alios aliis non suffragiis militum, qui in præsidio erant, sed antequam hi in insulam trajicerentur, publice ex lege subrogatos fuisse, ut in locum priorum, si quid his accidisset, succederent: quemadmodum in militia navali navarcho legatus addi solebat, quem ἐπιστολέα vocat Xenophon II. Hist. Græc. in princ. IV. pag. 536. et alibi. de quo Jungermann. ad Polluc. I. 96. et Schefferus de Milit. Nav. IV. 5. Stephanus conjungit ἄρχειν κατὰ νόμον, ac vertit, *qui legitimum imperium obtineret.* Nec tamen negat κατὰ νόμον etiam ad ἐφῃρημένος referri posse. Hoc melius est. Nam hic solo verbo ἄρχειν satis significatur legitimum imperium, et supervacuum est ei addi κατὰ νόμον. Sic paullo ante, τῶν μὲν πρότερον ἀρχόντων, et supra cap. 9. ἦρχε δ' αὐτῶν Ἐπιτάδας. ubi nemo desiderat illa κατὰ νόμον. Duk.

1. τεθνεώτος g.

4. ἠπείρῳ καὶ Λακεδαιμονίους P.

7. γενομένων ἐπερωτήσεων A.B. F.H.N.O.d.e.f.h.i. γενομένων ἐπ' ἐρωτήσεως K.L.P.b.c.g. γενομένων ἐπερωτημάτων Q.

10. αὐτῶν om. d.

βουλεύσεσθαι c.g.

ρέδοσαν καὶ σφᾶς αὐτούς. καὶ ταύτην μὲν τὴν ἡμεραν καὶ τὴν ἐπιοῦσαν νύκτα ἐν φυλακῇ εἶχον αὐτοὺς οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι τροπαῖον στήσαντες ἐν τῇ νήσῳ τἆλλα διεσκευάζοντο ὡς ἐς πλοῦν, καὶ τοὺς ἄνδρας τοῖς τριηράρχοις διεδίδοσαν ἐς φυλακήν, οἱ δὲ Λακεδαιμόνιοι κήρυκα πέμψαντες τοὺς νεκροὺς διεκομίσαντο. ἀπέθανον δ' ἐν τῇ νήσῳ καὶ ζῶντες ἐλήφθησαν τοσοίδε· εἴκοσι μὲν ὁπλῖται διέβησαν καὶ τετρακόσιοι οἱ πάντες· τούτων ζῶντες ἐκομίσθησαν ὀκτὼ ἀποδέοντες τριακόσιοι, οἱ δὲ ἄλλοι ἀπέθανον. καὶ Σπαρτιᾶται τούτων ἦσαν τῶν ζώντων περὶ εἴκοσι καὶ ἑκατόν. Ἀθηναίων δὲ οὐ πολλοὶ διεφθάρησαν· ἡ γὰρ μάχη οὐ σταδία ἦν. * χρόνος δὲ ὁ ξύμπας ἐγένετο, ὅσον οἱ ἄνδρες οἱ ἐν τῇ νήσῳ ἐπολιορκήθησαν ἀπὸ τῆς ναυμαχίας μέχρι τῆς ἐν τῇ νήσῳ μάχης, ἑβδομήκοντα ἡμέραι καὶ δύο. τούτων περὶ εἴκοσιν ἡμέρας, ἐν αἷς οἱ πρέσβεις περὶ τῶν σπονδῶν ἀπῆσαν, ἐσιτοδοτοῦντο, τὰς δὲ ἄλλας τοῖς ἐσπλέουσι λάθρα διετρέφοντο. καὶ ἦν σῖτος ἐν τῇ νήσῳ, καὶ ἄλλα βρώματα ἐγκατελήφθη· ὁ γὰρ ἄρχων Ἐπιτάδας ἐνδεεστέρως ἑκάστῳ παρεῖχεν ἢ πρὸς τὴν ἐξουσίαν. οἱ μὲν δὴ Ἀθηναῖοι καὶ οἱ

39. Per LXXII dies Lacedæmonii in insula inclusi erant inde a pugna navali (c. 14.), nec tamen iis alimenta deerant, sed supererant adeo. Ceterum Cleon promissu steterat.

λίτους ληφθῆναι, ὡς νόμος Λακεδαιμονίοις. 20. Ἢ πρὸς τὴν ἐξουσίαν] τὴν ἰδίαν δηλονότι· ἐξὴν γὰρ αὐτῷ καὶ πλείω παρέχειν, ὡς ἐγένετο δῆλον ἐκ τῶν

1. καὶ τὴν ἐπιοῦσαν νύκτα] om. K.
4. τἆλλα K.
ὡς om. i.
5. τριηράρχαις I.L.O.P.d.g.
διέδοσαν K.N. ἐδίδοσαν d.i.
8. οἱ om. Q.e.
10. ζώντων εἴκοσι Dionysius.
12. δὲ ξύμπας K.
13. οἱ ἄνδρες ἐν f.
14. ἀπὸ ναυμαχίας K.
15. ἡμέρας f.
17. ἐμπλέουσι L.O.P.Q.
18. καὶ τὰ ἄλλα K.N.
ἐγκατελήφθη F.H.I.N.b.d.e. vulgo ἐγκατελείφθη.
Hæc sæpe permutantur: sed ἐγκατελήφθη hic non deterius est vulgato. Et sic Scholiastes quoque videtur legisse: nam paullo post interpretatur τὰ εὑρεθέντα σιτία. Duk.
20. παρεῖχεν ἑκάστῳ d.e.i.

Πελοποννήσιοι ἀνεχώρησαν τῷ στρατῷ ἐκ τῆς Πύλου ἑκάτεροι ἐπ' οἴκου, καὶ τοῦ Κλέωνος καίπερ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέβη· ἐντὸς γὰρ εἴκοσιν ἡμερῶν ἤγαγε τοὺς ἄνδρας, ὥσπερ ὑπέστη. * παρὰ γνώμην τε δὴ μάλιστα τῶν κατὰ τὸν πόλεμον τοῦτο τοῖς Ἕλλησιν ἐγένετο· τοὺς γὰρ Λακεδαιμονίους οὔτε λιμῷ οὔτ' ἀνάγκῃ οὐδεμιᾷ ἠξίουν τὰ ὅπλα παραδοῦναι, ἀλλὰ ἔχοντας, καὶ μαχομένους ὡς ἐδύναντο, ἀποθνήσκειν. ἀπιστοῦντές τε μὴ εἶναι τοὺς παραδόντας τοῖς τεθνεῶσιν ὁμοίους, καί τινος ἐρομένου ποτὲ ὕστερον τῶν Ἀθηναίων ξυμμάχων δι' ἀχθηδόνα ἕνα τῶν ἐκ τῆς νήσου αἰχμαλώτων, εἰ οἱ τεθνεῶτες εὐγενέστατοι σιτίων. 1. Ἀνεχώρησαν τῷ στρατῷ] σὺν παντὶ δηλονότι. 2. Μανιώδης οὖσα] ἀντὶ τοῦ περὶ τοῦ μέλλοντος προπετὴς ἀπόφασις. 4. Ὥστερ ὑπέστη] ὑπεσχέθη. παρὰ γνώμην] ἀντὶ τοῦ παρὰ τὴν οἴησιν καὶ τὴν ὑπόνοιαν καὶ παρὰ προσδοκίαν, διότι οὐδέποτε οὐδεὶς προσεδόκα οὐδεμιᾷ ἀνάγκῃ Λακεδαιμονίους εἴξαντας παραδοῦναι τὰ ὅπλα. 8. Ὡς ἐδύναντο] ἦγον ἕως δύναμις περῆν αὐτοῖς. Ἀπιστοῦντές τε μὴ εἶναι] ἀπιστοῦντες οἱ Ἀθηναῖοι. ἡ δ' ἀπόφασις, περιττή. 9. Τοὺς παραδόντας] ἑαυτοὺς καὶ τὰ ὅπλα. 10. Δι' ἀχθηδόνα] διὰ λύπην. ἡ διάνοια· Ἀθηναίων σύμμαχός τις ἀχθόμενος, ἤτοι τοῖς Ἀθηναίοις ὡς φορτικῶς ἄρχουσιν, ἢ ἀχθόμενος ἐπὶ

40. Græcorum de hac deditione judicium.

1. Ἀνεχώρησαν τῷ στρατῷ] Ellipseos præpositionis σὺν, quam hic adnotat Scholiastes, multa exempla collegit Stephanus in Append. ad Script. de Dialect. pag. 96. Duk.

ἑκάτεροι ἐκ τῆς πύλου c.g.

2. Καίπερ—ἀπέβη] Th. Magister in μαίνομαι. Wass.

3. Ἤγαγε τοὺς ἄνδρας, ὥσπερ ὑπέστη] Thomas Magister scribit, Poëtas ὑφίσταμαι dicere, pro ὑπισχνοῦμαι; sed tamen etiam Thucydidem eo semel sic uti hoc loco. Verum non solus Thucydides, quod Thomas videtur velle, sed etiam Plato ὑφίστημαι pro ὑπισχνοῦμαι dixit. Locum indicavit Budæus Commentar. Ling. Gr. pag. 494. ex Alcib. II. non longe a principio: Εἰ δέ σε ὀρφὴ ἔτι ἔλαττον δοκοῦντα ἔχειν, εἰ μὴ καὶ πάσης Εὐρώπης ὑποσταίη σοι, scil. τύραννον γενέσθαι. Duk.

4. τε om. g.

δὴ om. L.O.P.d.e.i.

5. μετὰ O.

τοῦτον K.

6. τοὺς μὲν γὰρ d.i.

10. ποτε om. d.i.

Δι' ἀχθηδόνα] Ἀχθηδὼν vox apud Thucydidem poëtica, ut dicit Dionysius Halicarnasseus, tom. 2. p. 133. Utitur tamen ea ipse Dionysius in Antiq. Rom. p. 572. Huds. Etiam alios prosæ scriptores hoc vocabulo usos ostendit Wasse in Indice. Add. Lucian. Toxar. pag. 37. μὴ πρὸς ἀχθηδόνα μου ἀκούσῃς. Duk.

11. τεθνηκότες Q.

αὐτῶν καλοὶ κἀγαθοὶ, ἀπεκρίνατο αὐτῷ πολλοῦ ἂν ἄξιον εἶναι τὸν ἄτρακτον (λέγων τὸν ὀϊστὸν), εἰ τοὺς ἀγαθοὺς διεγίγνωσκε, δήλωσιν ποιούμενος ὅτι ὁ ἐντυγχάνων τοῖς τε λίθοις καὶ τοξεύμασι διεφθείρετο.

41. Pylum Athenienses custodia muniunt; Messenii eo tanquam in patriam Naupacto revertuntur, et inde vastant Laconicam. Pressi his calamitati-

* Κομισθέντων δὲ τῶν ἀνδρῶν οἱ Ἀθηναῖοι ἐβούλευσαν δεσμοῖς μὲν αὐτοὺς φυλάσσειν, μέχρι οὗ τι ξυμβῶσιν· ἢν δ' οἱ Πελοποννήσιοι πρὸ τούτου ἐς τὴν γῆν ἐσβάλλωσιν, ἐξαγαγόντες ἀποκτεῖναι. τῆς δὲ Πύλου φυλακὴν κατεστήσαντο· καὶ οἱ ἐκ τῆς Ναυπάκτου Μεσσήνιοι, ὡς ἐς πατρίδα ταύτην (ἔστι γὰρ ἡ Πύλος τῆς Μεσσηνίδος ποτὲ οὔσης γῆς) πέμψαντες σφῶν αὐτῶν τοὺς ἐπιτηδειοτάτους, ἐλήϊζόν τε τὴν

τῇ τῶν Λακεδαιμονίων συμφορᾷ, ἤρετο ἕνα τῶν ἐκ τῆς νήσου. 1. Αὐτῷ] τῷ ἐρωτήσαντι. 3. Ὁ ἐντυγχάνων] ὁ τυχὼν εἴτε καλὸς εἴτε ἀγαθός. 4. Τῶν ἀνδρῶν] τῶν αἰχμαλώτων. 7. Πρὸ τούτου] τοῦ συμβῆναι.

1. καλοὶ om. A.
καὶ ἀγαθοὶ F.H.Q.f.
ἂν om. Q.f.

2. Ἄτρακτον] Hesych. Ἄτρακτος βέλος μεταφορικῶς. Sic opinor distinguendum; supra enim dixerat ἄβρακτον ἰδιον. Usi Sophocles, Euripides, Menander. Contemtim protulit Laco, ut alter ejusdem gentis, Οὐ μέλει μοι τοῦτο, ὅτι ἀποθανοῦμαι, ἀλλ' ὅτι ὑπὸ ΓΥΝΙΑΟΣ τοξότου. Simile quid in pugna Leuctrica quidam narrante Plutarcho p. 231. Λεγόντων τινῶν δεῖξειν τὴν ἡμέραν ταύτην τὸν ἀγαθὸν, πολλοῦ, inquit, τὴν ἡμέραν ἀξίαν εἶναι δυναμένην τὸν ἀγαθὸν δεῖξαι σῶον. Wass. Adnotat e Thucydide hanc vocem Pollux I. 137. Add. Etymolog. M. et Suidam h. v. ibique Kusterum. Locus Euripidis est in Rheso v. 312. Usus est etiam Conon Narrat. III. apud Photium in Biblioth. Galenus in Glossis Hippocrat. Ἄτρακτον, οὐ μόνον τὸν εἰς τὸ ἱερουργὸν χρήσιμον, ἀλλὰ καὶ τὸ ξύλον τοῦ βέλους. Adnotat ibi Stephanus variam lectionem, τὸν εἰς τὴν ἱερουργίαν χρήσιμον. leg. τὴν ἐριουργίαν, vel, τὸ ἐριουργεῖν. Duk.
λέγω d.
5. φυλάττειν d.i.
6. οὔ τι] οὕτοι H.K.
ἢν] εἰ d.i.
οἱ om. Q.
7. ἐσβάλλωσιν A.B.F.H.I. ἐμβάλωσιν L. vulgo ἐσβάλωσιν.
9. ἐς om. L.O.P.
11. ἐληΐζοντο P.d.

Ἐλήϊζον] Vid. ad III. 85. ubi itidem quidam MSS. ἐληΐζοντο. Mox ὁμόφωνοι ὄντες, quæ a quibusdam Codd. absunt, possint videri a studioso quodam adscripta e cap. 3. hujus libri. Sed non est recedendum a scriptura meliorum MSS. consensu confirmata. Nam ipse Thucydides verba illa hic ob eamdem causam repetere potuit, ob quam ea supra addiderat. Duk.
τε] τότε L.O.Q.

Λακωνικὴν καὶ πλεῖστα ἔβλαπτον, ὁμόφωνοι ὄντες. οἱ δὲ Λακεδαιμόνιοι ἀμαθεῖς ὄντες ἐν τῷ πρὶν χρόνῳ λῃστείας καὶ τοιούτου πολέμου, τῶν τε Εἱλώτων αὐτομολούντων, καὶ φοβούμενοι μὴ καὶ ἐπὶ μακρότερον σφίσι τι νεωτερισθῇ τῶν κατὰ τὴν χώραν, οὐ ῥᾳδίως ἔφερον, ἀλλὰ καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς Ἀθηναίοις, ἐπρεσβεύοντο παρ' αὐτοὺς καὶ ἐπειρῶντο τήν τε Πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι. οἱ δὲ μειζόνων τε ὠρέγοντο, καὶ πολλάκις φοιτώντων αὐτοὺς ἀπράκτους ἀπέπεμπον. ταῦτα μὲν τὰ περὶ Πύλον γενόμενα.

bus Lacedæmonii de recipiendis captivis et Pylo legatos mittunt Athenas, sed frustra.

42. Expeditio Atheniensium in Corinthiam. Noctu appellunt, non animadversi.

*Τοῦ δ' αὐτοῦ θέρους μετὰ ταῦτα εὐθὺς Ἀθηναῖοι ἐς τὴν Κορινθίαν ἐστράτευσαν ναυσὶν ὀγδοήκοντα καὶ δισχιλίοις ὁπλίταις ἑαυτῶν, καὶ ἐν ἱππαγωγοῖς ναυσὶ διακοσίοις ἱππεῦσιν· ἠκολούθουν δὲ καὶ τῶν ξυμμάχων Μιλήσιοι καὶ Ἄνδριοι καὶ Καρύστιοι, ἐστρατήγει δὲ Νικίας ὁ Νικηράτου τρίτος αὐτός. πλέοντες δὲ ἅμα ἕῳ ἔσχον μεταξὺ Χερσονήσου τε καὶ Ῥείτου ἐς τὸν αἰγιαλὸν τοῦ

3. Αὐτομολούντων] εἰς τὴν Πύλαν. 8. Πολλάκις φοιτώντων] τῶν πρέσβεων. 15. Ἔσχον] προσέσχον.

1. ὁμόφωνοι ὄντες om. L.O.Q.
2. καὶ τοιούτου A.B.F.H.b. vulgo καὶ τοῦ τοιούτου.
3. γε Q.
5. τῶν om. c.e.i.
τὴν om. Q.
6. ἔνδηλον Q. εὔδηλον f.
7. παρ'] πρὸς e.
8. Καὶ πολλάκις φοιτώντων] Huc respicit Aristoph. Pace v. 636. 637. Add. ibi Scholiast. Duk.
9. περὶ τὴν πύλαν d.g.i.
10. εὐθὺς μετὰ ταῦτα f.
11. οἱ ἀθηναῖοι Q.
κόρινθον K.L. O. P. b. κορινθίων Q.
Ὀγδοήκοντα] Diodori exemplaria ἑξήκοντα, ὁπλίτας τρισχιλίους p. 319. c. ξ' pro ϛ' lapsu haud ita facili. sed ex seqq. patet, ἑξήκοντα a Diodori manu esse. Nostri nihil mutant. Wass.
12. ναυσὶ om. b.
13. ἱππεῦσι διακοσίοις c.g.
δὲ K.
17. ῥήτου I.K.d.e.i.
Ῥείτου] Alveos quosdam aquarum in Attica Ῥείτους dictos memorat Thucyd. II. 19. et Pausan. Attic. cap. XXXVIII. et Corinth. xxiv. Hic quoque fortassis ejusmodi alveus designatur. Sed nihil de hoc Ῥείτῳ apud alios invenio. Fr. Portus in Commentar. scribit esse oppidum, sed sine testimonio Scriptorum veterum. Σολύγης λέφος

χωρίου, ὑπὲρ οὗ ὁ Σολύγιος λόφος ἐστὶν, ἐφ' ὃν Δωριῆς τὰ πάλαι ἱδρυθέντες τοῖς ἐν τῇ πόλει Κορινθίοις ἐπολέμουν, οὖσιν Αἰολεῦσι· καὶ κώμη νῦν ἐπ' αὐτοῦ Σολύγεια καλουμένη ἐστίν. ἀπὸ δὲ τοῦ αἰγιαλοῦ τούτου, ἔνθα αἱ νῆες κατέσχον, ἡ μὲν κώμη αὕτη δώδεκα σταδίους ἀπέχει, ἡ δὲ Κορινθίων πόλις ἑξήκοντα, ὁ δὲ ἰσθμὸς εἴκοσι. Κορίνθιοι δὲ προπυθόμενοι ἐξ Ἄργους ὅτι ἡ στρατιὰ ἥξει τῶν Ἀθηναίων ἐκ πλείονος, ἐβοήθησαν ἐς ἰσθμὸν πάντες, πλὴν τῶν ἔξω ἰσθμοῦ· καὶ ἐν Ἀμπρακίᾳ καὶ ἐν Λευκαδίᾳ ἀπῆσαν αὐτῶν πεντακόσιοι φρουροί· οἱ δ' ἄλλοι πανδημεὶ ἐπετήρουν τοὺς Ἀθηναίους, οἳ κατασχήσουσιν. ὡς δὲ αὐτοὺς ἔλαθον νυκτὸς καταπλεύσαντες καὶ τὰ σημεῖα αὐτοῖς ἤρθη, καταλιπόντες τοὺς ἡμίσεις αὐτῶν ἐν Κεγχρειᾷ, ἣν ἄρα οἱ Ἀθηναῖοι ἐπὶ τὸν Κρομμύωνα ἴωσιν, ἐβοήθουν κατὰ τάχος.

1. Ἐφ' ὃν Δωριεῖς τοπάλαι ἱδρυθέντες] ὅτι τὸ παλαιὸν πρὸ τῶν Δωριέων Αἰολεῖς εἶχον τὴν Κόρινθον. 3. Ἐπ' αὐτοῦ] ἀντὶ τοῦ ἐπάνω αὐτοῦ, τοῦ λόφου. 8. Τῶν ἔξω ἰσθμοῦ] ἀντὶ τοῦ ἐκείνων τῶν Κορινθίων, ἐξ ὧν ἀπῆσαν εἰς βοήθειαν τοῖς συμμάχοις αὐτῶν τοῖς οὖσιν ἐκτὸς τοῦ ἰσθμοῦ. εἶτα ἐπάγει ποίους. 10. Φρουροί] ἐσόμενοι δηλονότι. 11. Οἳ κατασχήσουσιν] ἐλλιμενίσουσιν. ὅπου προσελεύσονται αὐτοὶ οἱ Ἀθηναῖοι. 12. Τὰ σημεῖα αὐτοῖς ἤρθη] αὐτοῖς (φησί) τοῖς Κορινθίοις ἤρθη τὰ σημεῖα παρὰ τῶν φίλων αὐτῶν τῶν ἐν τῇ χώρᾳ, σημαινόντων αὐτοῖς ὅτι πολέμιοι ἐπῆλθον. δεῖ δὲ προσυπακοῦσαι ὅτι ἐπὶ τὸν Κρομμύωνα ἴωσιν, ἐβοήθουν κατὰ τάχος.

Polyæno I. 39. 1. Pinedo ad Stephanum putat hic legendum Σολύγειος, ut in Stephano. Duk.

1. οὗ F.H.Q.c.d. ὧν K.
ὑφ' c.d.
4. ἐστιν om. L.O.P.
ἀπὸ—κώμη] om. L.O.P.
Ἀπὸ δὲ—κατέσχον] Thom. Magist. in προσέσχον. ubi excidit ἔνθα. Duk.
6. εἴκοσι] εἴκοσι καὶ ἑκατὸν Palmerius.
κορίνθιοι δὲ προπυθόμενοι A.B. F.H.K.L.P.Q.c.d.e.f.g.h.i. κορίνθιοι δὲ πυθόμενοι O. vulgo προπυθόμενοι δὲ κορίνθιοι.
7. Ἐκ πλείονος] Ἐκ πλείονος usitatum est Thucydidi VIII. 88. εἰδὼς, ὡς εἰκὸς, ἐκ πλείονος τὴν Τισσαφέρνου γνώμην. Et cum supplemento χρόνου. Ibid. 91. Ταῦτ' οὖν ἐκ πλείονος χρόνου ὁ Θηραμένης διεθρόει. Duk.

Dubium est, utrum ἐκ πλείονος construi voluerit cum προπυθόμενοι, an cum ἐβοήθησαν. v. Duk. et Abresch. pag. 410. Gottl.

9. καὶ ἀμπρακίᾳ P.
11. Οἳ κατασχήσουσιν] Thomas Magist. l. d. ἦ κατασχ. Hæc etiam alibi permutantur. Vid. ad I. 136. Duk.
13. κεγχριᾷ Q.
14. κρομμυῶνα Q.g.

43. Acre prælium committitur cominus.

* καὶ Βάττος μὲν, ὁ ἕτερος τῶν στρατηγῶν (δύο γὰρ ἦσαν ἐν τῇ μάχῃ οἱ παρόντες), λαβὼν λόχον ἦλθεν ἐπὶ τὴν Σολύγειαν κώμην, φυλάξων ἀτείχιστον οὖσαν, Λυκόφρων δὲ τοῖς ἄλλοις ξυνέβαλε. καὶ πρῶτον μὲν τῷ δεξιῷ κέρᾳ τῶν Ἀθηναίων εὐθὺς ἀποβεβηκότι πρὸ τῆς Χερσονήσου οἱ Κορίνθιοι ἐπέκειντο, ἔπειτα δὲ καὶ τῷ ἄλλῳ στρατεύματι. καὶ ἦν ἡ μάχη καρτερὰ καὶ ἐν χερσὶ πᾶσα. καὶ τὸ μὲν δεξιὸν κέρας τῶν Ἀθηναίων καὶ Καρυστίων (οὗτοι γὰρ παρατεταγμένοι ἦσαν ἔσχατοι) ἐδέξαντό τε τοὺς Κορινθίους καὶ ἐώσαντο μόλις· οἱ δὲ ὑποχωρήσαντες πρὸς αἰμασιὰν (ἦν γὰρ τὸ χωρίον πρόσαντες πᾶν), βάλλοντες τοῖς λίθοις καθύπερθεν ὄντες καὶ παιωνίσαντες ἐπήεσαν αὖθις, δεξαμένων δὲ τῶν Ἀθηναίων ἐν χερσὶν ἦν πάλιν ἡ μάχη. λόχος δέ τις τῶν Κορινθίων ἐπιβοηθήσας τῷ εὐωνύμῳ κέρᾳ ἑαυτῶν ἔτρεψε τῶν Ἀθηναίων τὸ δεξιὸν κέρας, καὶ ἐπεδίωξεν ἐς τὴν θάλασσαν· πάλιν δὲ ἀπὸ τῶν νεῶν ἀνέστρεψαν οἵ τε Ἀθηναῖοι καὶ οἱ Καρύστιοι. τὸ

κοῦσαι τὸ ἡμέρας γενομένης. 4. Τοῖς ἄλλοις] σὺν τοῖς ἄλλοις Ἀθηναίοις. 6. Τῷ ἄλλῳ στρατεύματι] τῶν Ἀθηναίων. 10. Καὶ ἐώσαντο μόλις] τῶν Κορινθίων δηλονότι. 12. Παιωνίσαντες] ἀλαλάζοντες. δύο παιᾶνες ἦσαν, Ἐνυάλιος, ὅτε ἤρχον, ὃς καὶ πρὸς τῆς μάχης ἐγίγνετο· καὶ ἕτερος, ὅτε ἐνίκων. 17. Τὸ δὲ ἄλλο στρατόπεδον] τὸ δεξιὸν κέρας τῶν Κορινθίων καὶ τὸ εὐώνυμον

1. βάτος d.
3. σολύγειον e. λοσύγειαν c.
φυλάσσων g.
4. ξυνέβαλλεν A.B.F.H.h.
πρῶτον A.B.F.H.Q.c.g. vulgo πρῶτα.
5. ἀθηναίων καὶ καρυστίων εὐθὺς N.
πρὸς L.O.
9. παρατεταμένοι L.O.
ἔδεξαντο τοὺς Q.
10. ἐσώσαντο N.
ὑπεχωρήσαντες B.F.H.I.K.N. b.c.d.e.f.g.h.i. vulgo ὑπερχωρήσαντες.
Τενχωρήσαντες, quod habent melioris notæ Codices, confirmatur e cap. seq. Καὶ ὑπεχώρησαν πρὸς τὸν λόφον. Duk.
11. πρὸς] ἐς d.
12. παιανίσαντες L.O.
13. ἦν πάλιν A.B.F.H.K.L.O. P.d.e.f. πάλιν αὖ g. vulgo πάλιν ἦν.
14. λόχιος f.
ἐπιβοήσας A.B.F.H.h.i.
15. ἑαυτῷ A.F.f.
ἔστρεψε I.
17. ἀντέστρεψαν B.h. ἀνέτρεψαν d.
καὶ καρύστιοι Q.

δὲ ἄλλο στρατόπεδον ἀμφοτέρωθεν ἐμάχετο συνεχῶς, μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν Κορινθίων, ἐφ' ᾧ ὁ Λυκόφρων ὢν κατὰ τὸ εὐώνυμον τῶν Ἀθηναίων ἠμύνετο· ἤλπιζον γὰρ αὐτοὺς ἐπὶ τὴν Σολύγειαν κώμην πειράσειν.

44. Tandem Corinthii, lento gradu, neque vehementer pressi ab Atheniensibus, in collem quendam se recipiunt, ibique consistunt armati. Tum accurrentibus ex urbe senioribus, item ex Cen-

* χρόνον μὲν οὖν πολὺν ἀντεῖχον οὐκ ἐνδιδόντες ἀλλήλοις· ἔπειτα (ἦσαν γὰρ τοῖς Ἀθηναίοις οἱ ἱππῆς ὠφέλιμοι ξυμμαχόμενοι, τῶν ἑτέρων οὐκ ἐχόντων ἵππους) ἐτράποντο οἱ Κορίνθιοι καὶ ὑπεχώρησαν πρὸς τὸν λόφον, καὶ ἔθεντο τὰ ὅπλα, καὶ οὐκέτι κατέβαινον ἀλλ' ἡσύχαζον. ἐν δὲ τῇ τροπῇ ταύτῃ κατὰ τὸ δεξιὸν κέρας οἱ πλεῖστοί τε αὐτῶν ἀπέθανον καὶ Λυκόφρων ὁ στρατηγός. ἡ δὲ ἄλλη στρατιὰ τούτῳ τῷ τρόπῳ οὐ κατὰ δίωξιν πολλὴν οὐδὲ ταχείας φυγῆς γενομένης, ἐπεὶ ἐβιάσθη, ἐπαναχωρήσασα πρὸς τὰ μετέωρα ἱδρύθη. οἱ δὲ Ἀθηναῖοι, ὡς οὐκέτι αὐτοῖς

τῶν Ἀθηναίων. 3. Ἤλπιζον γὰρ] οἱ Κορίνθιοι. 4. Πειράσειν] προσπαικουστέον τὸ ἐλθεῖν. 7. Τῶν ἑτέρων] τῶν Κορινθίων. 9. Ἔθεντο τὰ ὅπλα] ἀπέθεντο. 11. Ἀπέθανον αὐτῶν] τῶν Κορινθίων. Ὁ στρατηγός] τῶν Κορινθίων δηλονότι. Ἡ δὲ ἄλλη στρατιὰ] τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων καὶ τὸ ἀριστερὸν τῶν Κορινθίων. 12. Τούτῳ τῷ τρόπῳ] τῆς ἀναχωρήσεως δηλονότι. Οὐ κατὰ δίωξιν πολλὴν] οὐ φεύγοντες ταχέως, διωκόντων τῶν Ἀθηναίων.

2. κέρας om. L.O.P.
4. σολύγειαν d.e.
5. ἐνδιδόντες Q.
6. γὰρ ἦσαν f.
οἱ om. L.O.P.d.e.i.
ὠφελίμοι g.
7. συμμαχόμενοι K.
8. Καὶ ἔθεντο τὰ ὅπλα] Muretus ad hæc Xenophontis VII. Cyrip. pag. 107. Ed Steph. p. 180. Ed. Leuncl. ὡς εἶδε—τὰ δὲ τῶν Χαλδαίων ὅπλα ἔρημα, scribit hoc perperam verti *arma sola*, pro *tentoria deserta*. Nam ὅπλα etiam esse locum, in quo milites tendunt, in quo consistunt interquiescendi causa, et ὅπλα θέσθαι dici, quum locum sibi sumunt milites, ubi consistant. Ejus rei ignoratione autem prope innumerabiles locos apud Xenophontem et Thucydidem pessime acceptos esse ab Interpretibus; quorum nonnullos e Xenophonte adponit. Duk.
9. τὰ om. g.
11. αὐτῶν ἀπέθανον A.B.F.H. K.P.d.e.f.g. αὐτῶν om. Q. vulgo ἀπέθανον.
14. πρὸς] ἐς c.g.
ἱδρύθη i.
ὡς om. K.O.

ἐπῆσαν ἐς μάχην, τούς τε νεκροὺς ἐσκύλευον καὶ τοὺς ἑαυτῶν ἀνηροῦντο, τροπαῖόν τε εὐθέως ἔστησαν. τοῖς δ' ἡμίσεσι τῶν Κορινθίων, οἳ ἐν τῇ Κεγχρειᾷ ἐκάθηντο φύλακες μὴ ἐπὶ τὸν Κρομμύωνα πλεύσωσι, τούτοις οὐ κατάδηλος ἡ μάχη ἦν ὑπὸ τοῦ ὄρους τοῦ Ὀνείου· κονιορτὸν δὲ ὡς εἶδον καὶ ὡς ἔγνωσαν, ἐβοήθουν εὐθύς. ἐβοήθησαν δὲ καὶ οἱ ἐκ τῆς πόλεως πρεσβύτεροι τῶν Κορινθίων, αἰσθόμενοι τὸ γεγενημένον. ἰδόντες δὲ οἱ Ἀθηναῖοι ξυμπαντας αὐτοὺς ἐπιόντας, καὶ νομίσαντες τῶν ἐγγὺς ἀστυγειτόνων Πελοποννησίων βοήθειαν ἐπιέναι, ἀνεχώρουν κατὰ τάχος ἐπὶ τὰς ναῦς, ἔχοντες τὰ σκυλεύματα καὶ τοὺς ἑαυτῶν νεκροὺς, πλὴν δυοῖν οὓς ἐγκατέλιπον οὐ δυνάμενοι εὑρεῖν. καὶ ἀναβάντες ἐπὶ τὰς ναῦς ἐπεραιώθησαν ἐς τὰς ἐπικειμένας νήσους, ἐκ δ' αὐτῶν ἐπικηρυκευσάμενοι τοὺς νεκροὺς οὓς ἐγκατέλιπον ὑποσπόνδους ἀνείλοντο. ἀπέθανον δὲ Κορινθίων μὲν ἐν τῇ μάχῃ δώδεκα καὶ διακόσιοι, Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους πεντήκοντα.

chrea, qui praesidio erant relicti, Athenienses recedunt in naves et in insulas proximas transeunt.

Ἄραντες δὲ ἐκ τῶν νήσων οἱ Ἀθηναῖοι ἔπλευσαν αὐθημερὸν ἐς Κρομμύωνα τῆς Κορινθίας· ἀπέχει δὲ τῆς πόλεως εἴκοσι καὶ ἑκατὸν σταδίους. καὶ καθορμισάμενοι τήν τε γῆν ἐδῄωσαν καὶ τὴν νύκτα ηὐλίσαντο. τῇ δ' ὑστε-

45. Inde versus Crommyonem navigant, et vastata regione in Epidauriam praetervecti descendunt, et Chersonesum, in qua Methone

6. Ἐβοήθουν] ἔτρεχον εἰς βοήθειαν.

1. ἐπῆσαν e.
τούς τε νεκροὺς A.B.F.H.I.K.L.N.O.P.b.c.d.e.f.g.i. vulgo τούς τε ἀλλοτρίους νεκροὺς.
ἐσκύλευσαν L.
2. εὐθὺς K.
5. Τοῦ Ὀνείου] Polybius quoque II. 52. τὰ Ὄνεια ὄρη. Plutarch. Cleom. Ὤνια, sed MS. A. τὰ Ὤνεια. Vide Wheleri Itinerar. pag. 437. Wass. Add. Xylandr. ad Plutarch. l. d. Duk.
6. ὡς εἶδον ὡς L.O.P.Q.d.e.f. εὐθὺς] αὐτοῖς d.
ἐβόησαν b.
7. οἱ om. f.
9. αὐτοὺς om. F.K.
12. δυεῖν F.L.O.
ἐγκατέλειπον d.
οὐ A.B.F.H.K.L.N.O.P.Q.c.d.e.f.g.h.i. vulgo μὴ.
19. ἐς ἐπὶ I. ἐπὶ L.O.P.e.
Κρομμύωνα] Gr. passim Κρομμυῶνα, quomodo Strabo IX. pag. 390. Wass.

oppidum situm, muniunt, præsidiumque relinquunt, unde posthac agrum Epidaurium et Troezenium prædantur. Quibus ita constitutis, domum abeunt.

ραίαν παραπλεύσαντες ἐς τὴν Ἐπιδαυρίαν πρῶτον καὶ ἀπόβασίν τινα ποιησάμενοι, ἀφίκοντο ἐς Μεθώνην τὴν μεταξὺ Ἐπιδαύρου καὶ Τροιζῆνος, καὶ ἀπολαβόντες τὸν τῆς Χερσονήσου ἰσθμὸν ἐτείχισαν, ἐν ᾧ ἡ Μεθώνη ἐστὶ, καὶ φρούριον καταστησάμενοι ἐλῄστευον τὸν ἔπειτα χρόνον τήν τε Τροιζηνίαν γῆν καὶ Ἁλιάδα καὶ Ἐπιδαυρίαν. ταῖς δὲ ναυσὶν, ἐπειδὴ ἐξετείχισαν τὸ χωρίον, ἀπέπλευσαν ἐπ' οἴκου.

46. Eurymedon et Sophocles, duces Atheniensis, Pylo in Siciliam trajecturi, Corcyram prætervecti, exsules qui in monte Istone castra stativa posuerant, ad deditionem cogunt, ea lege, ut Atheniensibus permittatur de

Κατὰ δὲ τὸν αὐτὸν χρόνον ταῦτα ἐγίγνετο, καὶ Εὐρυμέδων καὶ Σοφοκλῆς, ἐπειδὴ ἐκ τῆς Πύλου ἀπῆραν ἐς τὴν Σικελίαν ναυσὶν Ἀθηναίων, ἀφικόμενοι ἐς Κέρκυραν ἐστράτευσαν μετὰ τῶν ἐκ τῆς πόλεως ἐπὶ τοὺς ἐν τῷ ὄρει τῆς Ἰστώνης Κερκυραίων καθιδρυμένους, οἳ τότε μετὰ τὴν στάσιν διαβάντες ἐκράτουν τε τῆς γῆς καὶ πολλὰ ἔβλαπτον. προσβαλόντες δὲ τὸ μὲν τείχισμα εἷλον· οἱ δὲ ἄνδρες καταπεφευγότες ἀθρόοι πρὸς μετέωρόν τι ξυνέβησαν ὥστε τοὺς μὲν ἐπικούρους παραδοῦναι, περὶ δὲ σφῶν τὰ ὅπλα παραδόντων τὸν Ἀθηναίων δῆμον διαγνῶναι. καὶ αὐτοὺς ἐς τὴν νῆσον οἱ στρατηγοὶ τὴν Πτυχίαν

3. Ἀπολαβόντες] περικυκλώσαντες. 7. Ἐξετείχισαν] εἰς τέλος ἤγαγον τὸ τεῖχος τοῦ χωρίου. 15. Τὸ μὲν τείχισμα] τὸ ἐπὶ τῆς Ἰστώνης. 16. Ξυνέ-

1. περιπλεύσαντες Q.

2. Μεθώνην] Strabo VIII. 374. locum Μέθανα vocat, sed in nonnullis codicibus Thucydidis Μεθώνη scribi dicit. Et sic ipse Strabo eam vocat I. pag. 59. At Pausan. II. 34. Μέθανα. Scylaci quoque pag. 37. 38. Ed. Gron. duæ urbes sunt Μεθώνη et Μέθανα. Aberrat ille quidem in situ, ut ibi observat Palmerius, sed tamen, quæ Thucydidi Μεθώνη, illi Μέθανα est. Add. Casaubon. ad Strabon. ll. dd. Dux.

3. τροιζῆνος B.F.H.K.L.O.P. g. Infra IV. 118. A.B. τροιζηνι. ἀποβάντες c.

6. ἁλίδα i.

9. χρόνον ταῦτα A.B.F.H.N.h. vulgo χρόνον καθ' ὃν ταῦτα.

13. ἰστώνης g.

14. ἐκράτουν τῆς γῆς καὶ τὰ πολλὰ ἔβλαπτον προσβάλλοντες d.

16. συνέθησαν K.

18. τὸν] τῶν A.B.L.

19. πτυχείαν f.g.

Τὴν Πτυχίαν] Hinc colligitur (inquit Palmer. in Græc. Antiq. p. 362.) eam insulam fuisse Corcyræorum civitati vici-

ἐς φυλακὴν διεκόμισαν ὑποσπόνδους, μέχρι οὗ Ἀθήναζε πεμφθῶσιν, ὥστε, ἂν τις ἀλλῷ ἀποδιδράσκων, ἅπασι λελύσθαι τὰς σπονδάς. οἱ δὲ τοῦ δήμου προστάται τῶν Κερκυραίων, δεδιότες μὴ οἱ Ἀθηναῖοι τοὺς ἐλθόντας οὐκ ἀποκτείνωσι, μηχανῶνται τοιόνδέ τι. τῶν ἐν τῇ νήσῳ πείθουσί τινας ὀλίγους, ὑποπέμψαντες φίλους καὶ διδάξαντες, ὡς κατ' εὔνοιαν δῆθεν, λέγειν ὅτι κράτιστον αὐτοῖς εἴη ὡς τάχιστα ἀποδρᾶναι, πλοῖον δέ τι αὐτοὶ ἑτοιμάσειν· μέλλειν γὰρ δὴ τοὺς στρατηγοὺς τῶν Ἀθηναίων παραδώσειν αὐτοὺς τῷ δήμῳ τῶν Κερκυραίων. * ὡς δὲ ἔπεισαν καὶ μηχανησαμένων τὸ πλοῖον ἐκπλέοντες ἐλήφθησαν, ἐλέλυντό τε αἱ σπονδαὶ καὶ τοῖς Κερκυραίοις παρεδέδοντο οἱ πάντες. ξυνελάβοντο δὲ τοῦ τοιούτου οὐχ ἥκιστα, ὥστε ἀκριβῆ τὴν πρόφασιν γενέσθαι καὶ τοὺς τεχνησαμένους ἀδεέστερον ἐγχειρῆσαι, οἱ στρατηγοὶ τῶν Ἀθηναίων, κατάδηλοι ὄντες τοὺς ἄνδρας μὴ ἂν βούλεσθαι ὑπ' ἄλλων κο-

iis statuere. Interim Corcyræorum principes urbanorum per amicos illorum eos admonent, ut fugam capessant, quia Athenienses duces id agant, ut Corcyræis tradantur.

47. Quibus fidem habentes exsules, capiuntur denuo in fuga, et ob ruptam pacem ab Atheniensium ducibus, qui in Siciliam

βῆσαν] συνεβιβάσθησαν. 4. Οἱ Ἀθηναῖοι] οἱ ἐν ταῖς Ἀθήναις. 5. Τῶν ἐν τῇ νήσῳ] τῇ Πτυχίᾳ. 6. Διδάξαντες] τοὺς ὑποπέμπτους. τὸ ἐξῆς, καὶ διδάξαντες τοὺς ὑποπέμπτους λέγειν, ὡς δῆθεν ἀπὸ εὐνοίας. 11. Μηχανησαμένων] ἀντὶ τοῦ εὐτρεπισάντων. Τὸ πλοῖον] αὐτῶν τῶν ἐν τῇ πόλει Κερκυραίων. 13. Ξυνελάβοντο δὲ] συνελάβοντο δὲ τοῦ τοιούτου πράγματος οὐχ ἥκιστα, ὥστε πιθανὴν καὶ πιστὴν γενέσθαι τοῖς ἐν τῇ Πτυχίᾳ ἀνδράσι τὴν

nam: nec alia, ut puto, potest esse, quam ea, quæ ad os portus *Corfu* civitatis præjacet, et nunc *insula Sancti Viti* vocatur. Huds. Plin. IV. 12. ante Corcyram Ericusa, Marathe, *Ptychia*, Tarachie. sic fere et Steph. Perperam inter oppida Corcyræ recensent Ptolemæus et Niger: Huic est hodie *Palopoli*. Wass.

2. ὥστε — σπονδὰς] om. A.B.F.h.
ἐάν d.
3. δὲ δήμου L.O.
7. δὴ A.B.F.H.I.K.L.N.O.P. d.e.g.h.i. μὴ c. vulgo δῆθεν.
8. ἀποδρᾶναι A.B.F.H.K.L. N.O.P.Q.c.d.e.g. vulgo ἀποδιδράναι.
9. δὴ om. B.h. ἤδη N.
10. δήμῳ κερκυραίων L.O.
12. ἐλέλυντο al d.
παρεδίδοντο A. B. F. H. K. c.g. vulgo παρεδίδοντο.
13. δὲ om. K.
τοῦ om. A.
14. καὶ οἱ στρατηγοὶ L.
16. ἄλλων] ἀλλήλων h.

properabant, Corcyræis ad supplicium traduntur, quo sexaginta ferme affecti sunt.

μισθέντας, διότι αὐτοὶ ἐς Σικελίαν ἔπλεον, τὴν τιμὴν τοῖς ἄγουσι προσποιῆσαι. παραλαβόντες δὲ αὐτοὺς οἱ Κερκυραῖοι ἐς οἴκημα μέγα καθεῖρξαν, καὶ ὕστερον ἐξάγοντες κατὰ εἴκοσιν ἄνδρας δι᾽ ἡγον διὰ δυοῖν στοίχοιν ὁπλιτῶν ἑκατέρωθεν παρατεταγμένων, δεδεμένους τε πρὸς ἀλλήλους, καὶ παιομένους καὶ κεντουμένους ὑπὸ τῶν παρατεταγμένων, εἴ πού τίς τινα ἴδοι ἐχθρὸν ἑαυτοῦ· μαστιγοφόροι τε παριόντες ἐπετάχυνον τῆς ὁδοῦ τοὺς σχολαίτερον προσιόντας. * καὶ ἐς μὲν ἄνδρας ἑξήκοντα ἔλαθον τοὺς ἐν τῷ οἰκήματι τούτῳ τῷ τρόπῳ ἐξαγαγόντες καὶ διαφθείραντες (ᾤοντο γὰρ αὐτοὺς μεταστήσαντάς που ἄλλοσε ἄγειν)· ὡς δὲ ἤσθοντο καί τις αὐτοῖς ἐδήλωσε, τούς τε Ἀθηναίους ἐπεκαλοῦντο καὶ ἐπέλευον σφᾶς, εἰ βούλονται, αὐτοὺς διαφθείρειν, ἔκ τε τοῦ οἰκήματος οὐκέτι ἤθελον ἐξιέναι, οὐδ᾽ ἐσιέναι ἔφασαν κατὰ δύναμιν περιόψεσθαι οὐδένα. οἱ δὲ Κερκυραῖοι κατὰ μὲν τὰς θύρας οὐδ᾽ αὐτοὶ διενοοῦντο βιάζεσθαι, ἀναβάντες δὲ ἐπὶ τὸ

48. Ceteri in carcere diu se acriter defendunt, donec desuper, tecto sublato, Corcyræi eos telis lapidibusque, et ipsi se per noctem telis et laqueis, et si qua alia ratio est, in-

ἀπάτην, οἱ στρατηγοὶ τῶν Ἀθηναίων. εἶτα τὴν αἰτίαν λέγει· ἐπειδὴ (φησὶ) αὐτοὶ ἀπέπλεον ἐπὶ τὴν Σικελίαν, οὐκ ἐβούλοντο δι᾽ ἄλλων τινῶν κομισάντων αὐτοὺς ἐς τὰς Ἀθήνας, καπράσασθαι τὴν δίξαν. 4. Διῆγον] διεβίβαζον. Ὑπὸ τῶν Παρατεταγμένων] ἑκατέρωθεν δηλονότι. 8. Τῆς ὁδοῦ] εἰς τὸ ἔμπροσθεν τῆς ὁδοῦ. 11. Αὐτοὺς] τοὺς Κερκυραίους. 17. Βιάζεσθαι] μετὰ

4. δυοῖν F.L.O.
στίχοιν Q.e.
7. ἴδῃ Q.
8. παριέντες K.
ἐπετάχυναν B. ἐτάχυνον L.O.P.
σχολαιστέραν K.
11. διαφθείροντες A.F.Q.
12. ἄλλοσ᾽ ἐσαγειν A. ἄλλο ἐσάγειν B. ἄλλος ἐκάγειν I.b. ἄλλοσε om. g.
13. ἐκαλοῦντο L.O. ἀπεκαλοῦντο Q.
15. ἔφασάν τε N.
17. Ἀναβάντες—κεράμῳ] Hæc laudat Eustathius in Odyss. α'. pag. 1421. omissis voculis τοῦ οἰκήματος. Wass. Male Gr. στέγος. Thomas Mag. στέγος dici jubet, τέγος autem poëticum esse pronunciat. Verius est, quod addit, στέγος commune, τέγος Atticum esse. Nam τέγος dicunt omnes prosæ scriptores Attici. Vid. Stephan. Thesaur. Demosthenes in Androt. p. 395. ἡ τέγος ὡς τοὺς γείτονας ὑπερβαλοῦσι. Ibi Ulpianus, τέγος τοῦ δώματος ὑπέρτερον μέρος. Dux.

τέγος τοῦ οἰκήματος καὶ διελόντες τὴν ὀροφὴν ἔβαλλον τῷ κεράμῳ καὶ ἐτόξευον κάτω. οἱ δὲ ἐφυλάσσοντό τε ὡς ἠδύναντο, καὶ ἅμα οἱ πολλοὶ σφᾶς αὐτοὺς διέφθειρον, ἱστοὺς τε, οὓς ἀφίεσαν ἐκεῖνοι, ἐς τὰς σφαγὰς καθιέντες, καὶ ἐκ κλινῶν τινῶν, αἳ ἔτυχον αὐτοῖς ἐνοῦσαι, τοῖς σπάρτοις, καὶ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες,

terimant. Is finis turbarum Corcyræarum; exsulum fere nemo cædis superstes.

βίας εἰσέρχεσθαι. 2. Οἱ δὲ] οἱ ἐν τῷ οἰκήματι. 4. Ἐς τὰς σφαγὰς] ἤγουν εἰς τὸ μέρος τοῦ σώματος, ἔνθα σφάττονται τὰ ζῶα. σφαγὴν καλοῦσι τὸ κατὰ τὴν κλεῖδα τοῦ ἀνθρώπου μέρος, δι' οὗ καθιᾶσι τὰ σιδήρια οἱ θέλοντες ἑαυτοὺς ἀναλεῖν. 6. Παραιρήματα ποιοῦντες] ὡς ἂν εἰ ἔλεγε, τελαμῶνάς τινας ἀποσχίζοντες τῶν ἱματίων, ὥσπερ ζώνας ἐποιοῦν καὶ πλέκαντες αὐτὰ, καὶ ποιοῦντες ὥσπερ σχοινία, οὕτως αὐτοῖς ἐχρῶντο πρὸς τὸ ἀπάγχεσθαι.

1. στέγος K.
ἔβαλλον H.K.L.O.f.i.
2. ἐφύλασσον τότε L.O.
3. διέφθειραν K.d.e.f.
οὓς om. A.

4. Ἐς τὰς σφαγὰς] Suidas voc. σφαγάς, Καὶ ἱστοὺς καθίεσαν ἐς τὰς σφαγὰς, minus sincere. Pollux II. 133. τὸ κοῖλον οὗ διεστᾶσιν αἱ κλεῖδες. ut ibid. 165. τὸ ὑπὸ τὸ στέρνον ἔγκοιλον. Vide Hippocratem p. 56. Aristot. Hist. Anim. IV. 4. Venæ jugulares Celso σφαγιτίδες. Hinc σφαγὶς *cultrus* Gloss. et σφάγιον vas, quo recipitur victimarum sanguis, apud Eustath. Odyss. γ'. 1476. apud Lycophr. v. 196. σφαγεῖον. Aristoph. Thesmophor. 761. Wass. Gloss. σφαγὴ, jugulus, jugulum. Add. Hesych. et Etymolog. M. Lucian. Tyrannicid. p. 701. τί δὲ κατέλιπεν τὸ ξίφος ἐν τῇ σφαγῇ; ibid. 706. ἀποστάσας δὲ τῆς σφαγῆς, καὶ τοῦ τραύματος ἐξελὼν τὸ ξίφος. et Phalar. I. 734. γυμνὴν ὑπέχειν τὴν σφαγήν: ubi interpretem recte reprehendit Gronovius. Plutarch. Galb. τὴν σφαγὴν προτείνας, δρᾶτε, εἶπε: quod Suetonius Galb. XX. dicit, *obtulisse ultro jugulum*. Antonin. Liberal. cap. XXV. ἐπάταξαν ἑαυτὰς τῇ κερκίδι παρὰ τὴν κλεῖδα, καὶ ἀνήρρηξαν τὴν σφαγήν. Duk.

6. παραιρήματα L.O.P.i. παρυρήματα I.

Παραιρήματα] Agnoscit παραιρήματα Mœris Atticista, et Pollux VII. 64. explicat τὰ πρὸς ταῖς ὠαῖς. Ulpianus ad Demosthenem pag. 333. ἀφαιρήματα. Wass. Apud Suidam in παραιρήσεται, ubi hic locus citatur, cum alia non recte leguntur, tum pro τοῖς σπάρτοις male σπάρτα scribitur: ut ibi adnotat Kusterus. In Scholiasta Demosthenis ad Philippic. secundam pag. 46. Edit. Paris. eadem ad verbum leguntur quæ in Suida, addito etiam loco Scriptoris anonymi, qui est apud Suidam, nisi quod ibi pro σπάρτα novo errore est σπάρτας: unde adparet, alterum hæc ex altero descripsisse. Si Suidas id, quod in Thucydide est τοῖς σπάρτοις, de industria mutavit in σπάρτα, eo errasse videtur, quod putavit, casum hujus nominis debere convenire cum sequenti παραιρήματα. Particulam ex hoc loco decerptam, ἐκ κλινῶν τοῖς σπάρτοις ἀπαγχόμενοι, in

ἀπαγχόμενοι, παντὶ τρόπῳ τὸ πολὺ τῆς νυκτός (ἐπεγένετο γὰρ νὺξ τῷ παθήματι) ἀναλαῦντες σφᾶς αὐτοὺς καὶ βαλλόμενοι ὑπὸ τῶν ἄνω διεφθάρησαν. καὶ αὐτοὺς οἱ Κερκυραῖοι, ἐπειδὴ ἡμέρα ἐγένετο, φορμηδὸν ἐπὶ ἁμάξας ἐπιβαλόντες ἀπήγαγον ἔξω τῆς πόλεως. τὰς δὲ γυ- 5
ναῖκας, ὅσαι ἐν τῷ τειχίσματι ἑάλωσαν, ἠνδραποδίσαντο. τοιούτῳ μὲν τρόπῳ οἱ ἐκ τοῦ ὄρους Κερκυραῖοι ὑπὸ τοῦ δήμου διεφθάρησαν, καὶ ἡ στάσις πολλὴ γενομένη ἐτελεύτησεν ἐς τοῦτο, ὅσα γε κατὰ τὸν πόλεμον τόνδε· οὐ γὰρ ἔτι ἦν ὑπόλοιπον τῶν ἑτέρων ὅ τι καὶ ἀξιόλογον. οἱ δὲ 10
Ἀθηναῖοι ἐς τὴν Σικελίαν, ἵναπερ τὸ πρῶτον ὥρμηντο, ἀποπλεύσαντες μετὰ τῶν ἐκεῖ ξυμμάχων ἐπολέμουν.

49. Athenienses, Naupacto profecti, una cum Acarnanibus Anactorium Corinthiis eripiunt, atque ipsi oppidum tenent.

Καὶ οἱ ἐν τῇ Ναυπάκτῳ Ἀθηναῖοι καὶ Ἀκαρνᾶνες, ἅμα τελευτῶντος τοῦ θέρους στρατευσάμενοι, Ἀνακτόριον Κορινθίων πόλιν, ἣ κεῖται ἐπὶ τῷ στόματι τοῦ Ἀμπρα- 15
κικοῦ κόλπου, ἔλαβον προδοσίᾳ· καὶ ἐκπέμψαντες Κορινθίους αὐτοὶ Ἀκαρνᾶνες οἰκήτορες ἀπὸ πάντων ἔσχον τὸ χωρίον. καὶ τὸ θέρος ἐτελεύτα.

οὐδετέρως δὲ τὸ στάρτον. 1. Ἐπεγένετο γὰρ νὺξ τῷ παθήματι] ἐπειδὴ εἶπε τὸ πολὺ τῆς νυκτὸς, ἵνα μή τις εἴπῃ "καίτοι ἐν ἡμέρᾳ ταῦτα ἐγένετο," λέγει ἐν τῷ μέσῳ τὸ ἐπεγένετο γὰρ νύξ. 4. Φορμηδὸν] ὡς ἐάν τις πλέξῃ φορμοὺς, τοὺς καλυμένους ψιάθους, τοὺς μὲν κατὰ μῆκος αὐτῶν τιθέντες ἄλλοὺς δὲ πλαγίως ἐκβάλλοντες κατ' αὐτῶν. ἐμφαίνει δὲ τοῦτο τῶν Κερκυραίων τὴν ὠμότητα ἐς τοὺς ἀποθανόντας, ὅτι οὐδὲ μετὰ τὸν ἐκείνων θάνατον τοῦ πρὸς ἐκείνους μίσους ἐπαύσαντο. 6. Ἠνδραποδίσαντο] ὡς ἀνδραπόδοις ἐχρήσαντο. 16. Ἐκπέμψαντες] ἀντὶ τοῦ καὶ ἐκβαλόντες τοὺς ὄντας ἐκεῖ Κορινθίους. 17. Αὐτοὶ Ἀκαρνᾶνες οἰκήτορας] ἀφ' ἑκαστης γὰρ τό-

Onomasticon suum contulit Pollux X. 37. Duk.

1. ἐγένετο e.
2. ἀναλαῦντες Heilmannus post Vallam: ἀναδούμενοι Q. vulgo ἀναδοῦντες.
3. ἄνωθεν Q.
ἐφθάρησαν g.
4. ἐπειδὴ A.B.F.I.b.c.d.e.f.g.h. i. vulgo ἐπειδὰν.
ἁμάξαις B.h.
8. γινομένη L.
9. τοῦτον] τόνδε f.
10. ὅτι om. L.O.P.
15. τῷ om. g.
τοῦ om. F.
17. οἰκήτορες A.F.H. καὶ οἰκήτορας L.O.P.Q. vulgo οἰκήτορας.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀριστείδης ὁ Ἀρχίπ- 50.
που, εἷς τῶν ἀργυρολόγων νεῶν Ἀθηναίων στρατηγὸς, αἳ ἐξεπέμφθησαν πρὸς τοὺς ξυμμάχους, Ἀρταφέρνην ἄνδρα Πέρσην, παρὰ βασιλέως πορευόμενον ἐς Λακεδαίμονα, ξύλλαμβάνει ἐν Ἠιόνι τῇ ἐπὶ Στρυμόνι. καὶ αὐτοῦ κομισθέντος οἱ Ἀθηναῖοι τὰς μὲν ἐπιστολὰς μεταγραψάμενοι ἐκ τῶν Ἀσσυρίων γραμμάτων ἀνέγνωσαν, ἐν αἷς πολλῶν ἄλλων γεγραμμένων κεφάλαιον ἦν πρὸς Λακεδαιμονίους, οὐ γιγνώσκειν ὅ τι βούλονται· πολλῶν γὰρ ἐλθόντων πρέσβεων οὐδένα ταὐτὰ λέγειν· εἰ οὖν βούλονται σαφὲς λέγειν, πέμψαι μετὰ τοῦ Πέρσου ἄνδρας ὡς αὐτόν. τὸν δὲ Ἀρταφέρνην ὕστερον οἱ Ἀθηναῖοι ἀποστέλλουσι τριήρει ἐς Ἔφεσον, καὶ πρέσβεις ἅμα· οἱ πυθόμε-

Persico legato ad Lacedæmonio misso, ab Athenienses bus capto, epistolæ, quas ferebat, adimuntur. Quarum sententia cognita, Athenienses eum cum ipsorum legatis Ephesum remittunt. Interim Artaxerxes moritur, ergo legati infecta re

λεως Ἀκαρνανίας ἀπέστειλαν τοὺς οἰκήσοντας. 5. Κομισθέντος] ἀχθέντος ὑπὸ τοῦ Ἀριστείδου. 6. Μεταγραψάμενοι] μεθερμηνεύσαντες.

1. ἐπιγενομένου g.
5. ἐν] ἐπ' K.
ἐπὶ τῷ στρυμῶνι Q.
κομισθέντες c.
7. Ἐκ τῶν Ἀσσυρίων γραμμάτων] Brissonius lib. I. de regno Persar. pag. 141. dicit, Thucydidem referre has literas Assyrio sermone scriptas fuisse. Et Fr. Portus hic adnotat: Fortasse quod lingua Assyriorum longius latiusque pateret, et gentibus esset notior, ideo Persæ ea utebantur familiarius. Non video, cur Ἀσσύρια γράμματα hic pro sermone Assyrio accipi debeant: nam hoc potius dixisset ἐκ τῆς Ἀσσυρίας γλώσσης, ut I. 138. Περσίδα γλῶσσαν; vel διαλέκτου, ut Plutarch. Apophthegm. pag. 325. τὴν Περσίδα διάλεκτον. Nec scio ab aliis proditum, Persas tum lingua Assyria usos fuisse. Fortassis hoc significat Thucydides, Persas non habuisse suas ac proprias litterarum formas, sed ad scribendum adhibuisse literas Assyrias, quas pro antiquissimis habet Plinius H. N. VII. 56. et ab Assyriis ad Phœnices aliosque Orientis populos venisse Viri docti existimant. Assyriæ literæ quidem exponi possent Persicæ, latissime accepta significatione nominis Assyrius, quo multæ gentes comprehendebantur: nam et quidam, auctore Suida in Ἀσσύριοι, dicebant Assyrios esse Persas. Sed nec Thucydides, nec, ut puto, alii probati Historici Assyrios pro Persis dicunt. Duk.
ἀσυρίων h.
10. οὖν βούλονται A.B.F.H.N.h. vulgo οὖν τι βούλονται. Conf. IV. 98.
11. ἀνδρὸς A.B.F.H.
12. οἱ om. f.

domum redeunt.

ναι αὐτόθι βασιλέα Ἀρτοξέρξην τὸν Ξέρξου νεωστὶ τεθνηκότα (κατὰ γὰρ τοῦτον τὸν χρόνον ἐτελεύτησεν) ἐπ' οἴκου ἀνεχώρησαν.

51. Chii, jussu Atheniensium, muros evertunt. Finis septimi anni belli Peloponnesiaci.

Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Χῖοι τὸ τεῖχος περιεῖλον τὸ καινὸν κελευσάντων Ἀθηναίων καὶ ὑποπτευσάντων ἐς αὐτούς τι νεωτερεῖν, ποιησάμενοι μέντοι πρὸς Ἀθηναίους πίστεις καὶ βεβαιότητα ἐκ τῶν δυνατῶν, μηδὲν περὶ σφᾶς νεώτερον βουλεύσειν. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ἕβδομον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

52. Lesbii exsules urbes olim Lesbiorum in continente sitas occupare constituunt, et vero Antandrum proditione capiunt.

Τοῦ δ' ἐπιγιγνομένου θέρους εὐθὺς τοῦ τε ἡλίου ἐκλειπές τι ἐγένετο περὶ νουμηνίαν, καὶ τοῦ αὐτοῦ μηνὸς ἱσταμένου ἔσεισε. καὶ οἱ Μυτιληναίων φυγάδες καὶ τῶν ἄλλων Λεσβίων, ὁρμώμενοι οἱ πολλοὶ ἐκ τῆς ἠπείρου, καὶ μισθωσάμενοι ἔκ τε Πελοποννήσου ἐπικουρικὸν καὶ αὐτόθεν ξυναγείραντες, αἱροῦσι Ῥοίτειον· καὶ λαβόντες δισχιλίους στατῆρας Φωκαῖται ἀπέδοσαν πάλιν, οὐδὲν ἀδικήσαντες· καὶ μετὰ τοῦτο ἐπὶ Ἀνταν̓δρον στρατεύσαντες

4. Περιεῖλον] καθεῖλον. 7. Ἐκ τῶν δυνατῶν] ἀντὶ τοῦ πάνυ, καὶ ὡς ἐνεδέχετο. 15. Αὐτόθεν] ἀπὸ τῆς ἠπείρου.

1. ἀρτοξέρξην c. ceteri ἀρταξέρξην.
τὸν] τοῦ c. οὐ τοῦ h.—τεθνηκότος d.
4. καὶ οἱ χῖοι O.
5. κελευσάντων τῶν ἀθηναίων L. P.
ἑαυτοὺς K.Q.
6. νεωτερεῖν L.O.P.
9. ὃν ὁ θουκυδίδης K.
11. ἐτεγεναμένου c.
τε om. L.O.P.i.
12. ἱσταμένου om. d.
16. ῥοίτειον A.B.H.h. vulgo ῥοίτιον.
Ῥοίτειον] Stephanus, qui Thucyd. fere sequitur, Ῥοίτειον scribit. Atque ita Strabo, Scylax, Herodotus, Xenophon, Philostratus, Didymus, Geopon. Suidas, Epit. Strabonis, Apollonii Schol. Dicta etiam urbs ἀπὸ Ῥοιτείας τῆς Πρατέως θυγατρὸς, ut nos docet Apollonii Schol. I. Argon. v. 929. Denique Ῥοίτιον haud longe a Megalopoli. vid. Plutarch. Cleom. p. 815. Est et Ῥοιτία urbs Bactrorum. Orus apud Steph. Suidas, Xenophon, Schol. Apollon. promontorium faciunt. Antipater Epig. III. ἀπὸ Ῥοιτηΐων ἀκταΐς. Apollon. I. Ῥοιτειάδος ἔνδοθεν ἀκτῆς. Strabonis tempore urbs erat ἔρημος. Wass.
17. οὐδὲν A.B.F.H.K.N.Q.c.e. g.i. ceteri μηδὲν.

προδοσίας γενομένης λαμβάνουσι τὴν πόλιν. καὶ ἦν αὐτῶν ἡ διάνοια τάς τε ἄλλας πόλεις τὰς Ἀκταίας καλουμένας, ἃς πρότερον Μυτιληναίων νεμομένων Ἀθηναῖοι εἶχον, ἐλευθερῶν, καὶ πάντων μάλιστα τὴν Ἄντανδρον, καὶ κρατυνάμενοι αὐτὴν (ναῦς τε γὰρ εὐπορία ἦν ποιεῖσθαι αὐτόθεν, ξύλων ὑπαρχόντων καὶ τῆς Ἰδης ἐπικειμένης,) καὶ τῇ ἄλλῃ παρασκευῇ ῥᾳδίως ἀπ' αὐτῆς ὁρμώμενοι τήν τε Λέσβον ἐγγὺς οὖσαν κακώσειν, καὶ τὰ ἐν τῇ ἠπείρῳ Αἰολικὰ πολίσματα χειρώσασθαι. καὶ οἱ μὲν ταῦτα παρασκευάζεσθαι ἔμελλον.

53. Athenienses LX navibus bellum Cytheris inferunt. Ejus insulæ brevis descriptio.

Ἀθηναῖοι δὲ ἐν τῷ αὐτῷ θέρει ἑξήκοντα ναυσὶ καὶ δισχιλίοις ὁπλίταις ἱππεῦσί τε ὀλίγοις, καὶ τῶν ξυμμάχων Μιλησίους καὶ ἄλλους τινὰς ἀγαγόντες, ἐστράτευσαν ἐπὶ Κύθηρα· ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου καὶ Νικόστρατος ὁ Διοτρέφους καὶ Αὐτοκλῆς ὁ Τολμαίου. τὰ δὲ Κύθηρα νῆσός ἐστιν, ἐπίκειται δὲ τῇ

4. Πάντων μάλιστα] σημείωσαι ὅτι πάντων λέγει, καὶ οὐ τινῶν.

3. Ἃς πρότερον, Μιτυληναίων νεμομένων, Ἀθηναῖοι εἶχον] De his est III. 50. Παρέλαβον δὲ καὶ τὰ ἐν τῇ ἠπείρῳ πολίσματα οἱ Ἀθηναῖοι, ὅσων Μιτυληναῖοι ἐκράτουν. Has Ἀκταίας vocatas dicit, haud dubie, quod in propinqua Lesbo ora Asiæ sitæ erant. Strabo lib. XIII. pag. 605. ad sinum Adramyttenum dicit esse τὸν τῶν Μιτυληναίων αἰγιαλὸν κύμας τινὰς ἔχοντα τῶν κατὰ τὴν ἤπειρον τῶν Μιτυληναίων. Et pag. 607. Ἐν δὲ τῇ παραλίᾳ τῇ ἐφεξῆς αἱ τῶν Μιτυληναίων κῶμαι Κορυφαντίς τε, καὶ Ἡράκλεια. Berkelius ad Stephan. v. Ἀκτὴ hæc verba Thucydidis laudat inter loca Polybii et Diodori Sic. in quibus de Acte Peloponnesi agitur. Voluit, credo, hoc testimonio ostendere, omnia oppida in ora maris posita posse vocari Ἀκταῖα. De Æolicis oppidis continentis, quæ paullo post memorat, est etiam apud Melam I. 18. *Gargara et Asson, Æoliorum colonias.* Et apud Strab. XIII. p. 610. Duk.

5. κρατησάμενοι d.i.
γὰρ om. B.
ποιεῖν e.
7. σκευῇ A.B.H.I.K.c.d.e.f.g.
ἐπ' K.
9. χειρώσασθαι A.B.F.H.I.K. L.N.O.c.d.e.f.g.h.i. vulgo χειρώσεσθαι.
11. Αὐτῷ θέρει] Diodor. 320. a. ubi MSS. perperam ρ' pro ξ': centum pro sexaginta. Wass. Sexaginta habet etiam Dion. Halicarn. tom. II. pag. 142. Duk.

Λακωνικῆ κατὰ Μαλέαν· Λακεδαιμόνιοι δ' εἰσὶ τῶν περιοίκων, καὶ κυθηροδίκης ἀρχὴ ἐκ τῆς Σπάρτης διέβαινεν αὐτόσε κατὰ ἔτος, ὁπλιτῶν τε φρουρὰν διέπεμπον ἀεὶ καὶ πολλὴν ἐπιμέλειαν ἐποιοῦντο. ἦν γὰρ αὐτοῖς τῶν τε ἀπ' Αἰγύπτου καὶ Λιβύης ὁλκάδων προσβολή, καὶ λῃσταὶ ἅμα τὴν Λακωνικὴν ἧσσον ἐλύπουν ἐκ θαλάσσης, ἢπερ μόνον οἷόν τ' ἦν κακουργεῖσθαι· πᾶσα γὰρ ἀνέχει πρὸς τὸ Σικελικὸν καὶ Κρητικὸν πέλαγος. * κατασχόντες οὖν οἱ Ἀθηναῖοι τῷ στρατῷ, δέκα μὲν ναυσὶ καὶ δισχιλίοις Μιλησίων ὁπλίταις τὴν ἐπὶ θαλάσσῃ πόλιν, Σκάνδειαν καλουμένην, αἱροῦσι, τῷ δὲ ἄλλῳ στρατεύματι ἀποβάντες τῆς νήσου ἐς τὰ πρὸς Μαλέαν τετραμμένα ἐχώρουν ἐπὶ τὴν ἐπὶ θαλάσσῃ πόλιν τῶν Κυθηρίων, καὶ εὗρον εὐθὺς αὐτοὺς ἐστρατοπεδευμένους ἅπαντας. καὶ μάχης γενομένης ὀλίγον μέν τινα χρόνον ὑπέστησαν οἱ Κυθήριοι, ἔπειτα τραπόμενοι κατέφυγον ἐς τὴν ἄνω πό-

54. Recepta Scandea urbe maritima, Cythera quoque aggrediuntur et, compositione facta, capiunt, et utrobique præsidium relinquunt. Ceteris navibus Laconicam septem fer-

5. Προσβολὴ] ἀντὶ τοῦ προσόρμισις καὶ καταγωγή. ἐπίθεσις. 6. Ἧσσον] ἀντὶ τοῦ οὐδαμοῦ. 7. Κακουργεῖσθαι] ἤγουν ληστεύεσθαι. Ἀνέχει] ἀνατείνει καὶ ἀναπέπταται. 8. Κατασχόντες οὖν] ἀντὶ τοῦ προσορμίσαντες ἐν αὐτοῖς τοῖς Κυθήροις. Ἰστέον δὲ ὅτι δύο πόλεις ἦσαν αὐτῶν τῶν Κυθήρων, μία μὲν ὁμώνυμος, ἑτέρα δὲ, ἡ Σκάνδεια καλεῖται, ἐν τῇ νήσῳ τῶν

3. τε om. Q.
4. ἐποιοῦντο ἐπιμέλειαν e.
αὐτῆς A.B.
8. πρὸς] ὡς Lex. Seguer. p. 400, 6.
10. ὁπλίταις μιλησίων f.
πόλει A.B.
13. ἐπὶ τὴν] ἐς τὴν i.
κυθήρων L.
14. αὐτοὺς om. d.i. ante εὐθὺς ponit c.
15. γενομένης A.B.F.c.d.e.f.g. h.i. vulgo γιγνομένης.
χρόνον om. d.i.
ὑπέστησαν κορίνθιοι P.
16. κατέφευγον K.g.
Τὴν ἄνω πόλιν] Stephanus hic adnotat, Scholiasten alicubi τὴν ἄνω πόλιν exponere ἀκρόπολιν. Is locus est cap. 66. hujus lib. Hic ἡ ἄνω πόλις fortassis est ἀκρόπολις. Alio sensu lib. III. cap. 34. ἡ ἄνω πόλις Colophoniorum, et cap. 57. hujus libri ἡ ἄνω πόλις Æginetarum, qui Thyream tenebant, dicitur; quomodo hic quoque Valla videtur accepisse: nam vertit, *ad urbem superiorem*, id est, eam, quæ aliquanto spatio ab illa, quæ ad mare erat, distabat. quod non caret ratione, si quis alia loca, ubi eodem modo loquitur Thucydides, cum hoc conferat. Nec accedo Scho-

λιν, καὶ ὕστερον ξυνέβησαν πρὸς Νικίαν καὶ τοὺς ξυνάρ- me dies de-
χοντας Ἀθηναίοις ἐπιτρέψαι περὶ σφῶν αὐτῶν, πλὴν vastant.
θανάτου. ἦσαν δέ τινες καὶ γενόμενοι τῷ Νικίᾳ λόγοι
πρότερον πρός τινας τῶν Κυθηρίων, διὸ καὶ θᾶσσον καὶ
ἐπιτηδειότερον τό τε παραυτίκα καὶ τὸ ἔπειτα τὰ τῆς
ὁμολογίας ἐπράχθη αὐτοῖς· ἀνέστησαν γὰρ ἂν οἱ Ἀθη-
ναῖοι Κυθηρίους Λακεδαιμονίους τε ὄντας καὶ ἐπὶ τῇ Λα-
κωνικῇ τῆς νήσου οὕτως ἐπικειμένης. μετὰ δὲ τὴν ξύμ-
βασιν οἱ Ἀθηναῖοι τήν τε Σκάνδειαν, τὸ ἐπὶ τῷ λιμένι
πόλισμα, παραλαβόντες, καὶ τῶν Κυθήρων φυλακὴν
ποιησάμενοι, ἔπλευσαν ἔς τε Ἀσίνην καὶ Ἦλος καὶ τὰ
πλεῖστα τῶν περὶ θάλασσαν, καὶ ἀποβάσεις ποιούμενοι
καὶ ἐναυλιζόμενοι τῶν χωρίων οὗ καιρὸς εἴη, ἐδῄουν τὴν
γῆν ἡμέρας μάλιστα ἑπτά.

Οἱ δὲ Λακεδαιμόνιοι, ἰδόντες μὲν τοὺς Ἀθηναίους τὰ 55.
Κύθηρα ἔχοντας, προσδεχόμενοι δὲ καὶ ἐς τὴν γῆν σφῶν Lacedæmo-
niorum ap-

Κυθήρων παρὰ θάλασσαν κειμένη. 5. Ἐπιτηδειότερον] ἀντὶ τοῦ συμφερόντως τούτοις τοῖς Κυθηρίοις. 6. Αὐτοῖς] τοῖς Κυθηρίοις. Ἀνέστησαν] ἦγον μετῴκισαν. 13. Ἐναυλιζόμενοι τῶν χωρίων οὗ καιρὸς εἴη] στρατοπε-

liasta infra ad cap. 66. τὴν ἄνω πόλιν Megarensium interpretanti τὴν ἀκρόπολιν. Nam designat ibi ipsam urbem Megara, quam respectu Nisææ, portus Megarensium, octo ab urbe stadiis remotæ, τὴν ἄνω πόλιν vocat. Ita recte Æmil. Portus ad cap. 69. Duk.

4. κυθήρων P.

διὸ θᾶσσον H.

5. ἐπιτηδειότερον παραυτίκα L.O. P.

τὰ om. A.B.F.H.K.L.N.O.P. Q.d.e.f.g.

Τὰ τῆς ὁμολογίας] A plerisque MSS. abest articulus τὰ, vitio, opinor, scribarum, quibus errandi causam præbuit ultima vocis præcedentis syllaba. Nam Attici articulum neutrius generis cum genitivo substantivi pro substantivo ponunt. Thucyd. IV. 18. οὐκ εἰκὸς ὑμᾶς—τὸ τῆς τύχης οἴεσθαι ἀεὶ μεθ' ὑμῶν ἕσεσθαι, pro τὴν τύχην. II. 60. τὰ τῆς ὀργῆς ὑμῶν, pro ἡ ὀργὴ ὑμῶν. Sic τὰ τῆς ὁμολογίας, pro ἡ ὁμολογία, quam mox ξύμβασιν vocat. Vid. Stephan. Append. ad Script. de Dialect. pag. 178. Duk.

6. γὰρ ἂν οἱ Heilmannus: libri omnes γὰρ οἱ.

10. κυθηρίων f.

11. ἐπέπλευσαν Q.

ἔλεος K.

paratus ad defensionem regionis suæ, eorumque remissio et metus ob clades acceptas.

ἀποβάσεις τοιαύτας ποιήσεσθαι, ἐθρόᾳ μὲν οὐδαμοῦ τῇ δυνάμει ἀντετάξαντο, κατὰ δὲ τὴν χώραν φρουρὰς διέπεμψαν, ἀπλιτῶν πλῆθος, ὡς ἑκασταχόσε ἔδει, καὶ τὰ ἄλλα ἐν φυλακῇ πολλῇ ἦσαν, φοβούμενοι μὴ σφίσι νεώτερόν τι γένηται τῶν περὶ τὴν κατάστασιν, γεγενημένου μὲν τοῦ ἐπὶ τῇ νήσῳ πάθους ἀνελπίστου καὶ μεγάλου, Πύλου δὲ ἐχομένης καὶ Κυθήρων, καὶ πανταχόθεν σφᾶς περιεστῶτος πολέμου ταχέος καὶ ἀπροφυλάκτου, ὥστε παρὰ τὸ εἰωθὸς ἱππέας τετρακοσίους κατεστήσαντο καὶ τοξότας, ἔς τε τὰ πολεμικὰ, εἴπερ ποτὲ, μάλιστα δὴ ἀκμηρότεροι ἐγένοντο, ξυνεστῶτες παρὰ τὴν ὑπάρχουσαν σφῶν ἰδέαν τῆς παρασκευῆς ναυτικῷ ἀγῶνι, καὶ τούτῳ πρὸς Ἀθηναίους, οἷς τὸ μὴ ἐπιχειρούμενον ἀεὶ ἐλλιπὲς ἦν τῆς δοκήσεώς τι πράξειν. καὶ ἅμα τὰ τῆς τύχης πολλὰ καὶ ἐν ὀλίγῳ ξυμβάντα παρὰ λόγον αὐτοῖς ἔκπληξιν μεγίστην παρεῖχε, καὶ ἐδεδίεσαν μή ποτε αὖθις ξυμ-

δεύμενοι εἰς τὸ ἐπικαιρότατον τῶν χωρίων. 1. τοιαύτας] ἤγουν πολεμικάς. 2. Διέπεμψαν] διαμερίσαντες ἔπεμψαν. Ὡς ἑκασταχόσε ἔδει] εἰς τὰ ἐν ἑκάστοις τόποις φρούρια. 5. Τῶν περὶ τὴν κατάστασιν] οἷον τῶν περὶ τὴν πολιτείαν αὐτῶν καὶ τὴν χώραν. 8. Περιεστῶτος πολέμου] προσπιπτόντων αἰφνιδίων πάντοθεν τῶν πολεμίων, καὶ ἄνευ τοῦ δύνασθαι προφυλάξασθαι. 13. Οἷς τὸ μὴ ἐπιχειρούμενον] οἷς τισὶν Ἀθηναίοις τὸ μὴ ἐπιχειρεῖν ἀεί τι πράττειν κωλύει, ὑστέρησις ἐδόκει τῶν προσδοκηθέντων. 14. Καὶ ἅμα τὰ τῆς τύχης πολλὰ] διὰ τὸ μὴ πιστεύειν αὐτοὺς μηκέτι μηδενί. κακοπραγήσαντες γὰρ παρ' ἐλπίδα, οὐκ εἰωθότες ἐν τῷ πρὶν χρόνῳ ἀστοχεῖν, οὐδεμίαν περὶ τῶν μελλόντων ἐλπίδα

1. τοιαύτας ποιήσεσθαι A.B.F. H.K.c.d.e.g. ποιήσασθαι, omisso τοιαύτας, Q. vulgo ποιήσεσθαι τοιαύτας.
ἐθρόους Q.
2. φρουροὺς I.e.f.g.
3. ἔδει] ἐδάκει d.
6. ἐπὶ A.B.F.H.f. ceteri ἐν.
7. καὶ πανταχόθεν] πανταχόθεν γε L.O.P.
8. περιεστῶτος τοῦ πολέμου B.b.
ταχέως A.B.F.K.
9. τριακοσίους L.O.P.d.e.i.
κατέστησαν L.O.P.
10. μάλιστα δὴ] δὴ μάλιστα f.
12. τοῦτο g.
14. πρᾶξαι g.
ἅμα τῆς L.O.P.
15. παραλόγων F.K. παράλογον N.

φορά τις αὐτοῖς περιτύχῃ, οἷα καὶ ἐν τῇ νήσῳ. ἀτολμότεροι δὲ δι' αὐτὸ ἐς τὰς μάχας ἦσαν, καὶ πᾶν ὅ τι κινήσειαν ᾤοντο ἁμαρτήσεσθαι διὰ τὸ τὴν γνώμην ἀνεχέγγυον γεγενῆσθαι ἐκ τῆς πρὶν ἀηθείας τοῦ κακοπραγεῖν. * τοῖς δ' Ἀθηναίοις τότε τὴν παραθαλάσσιον δῃοῦσι τὰ μὲν πολλὰ ἡσύχασαν, ὡς καθ' ἑκάστην φρουρὰν γίγνοιτό τις ἀπόβασις, πλήθει τε ἐλάσσους ἕκαστοι ἡγούμενοι εἶναι καὶ ἐν τῷ τοιούτῳ· μία δὲ φρουρὰ, ἥπερ καὶ ἠμύνατο περὶ Κοτύρταν καὶ Ἀφροδισίαν, τὸν μὲν ὄχλον τῶν ψιλῶν ἐσκεδασμένον ἐφόβησεν ἐπιδρομῇ, τῶν δὲ ὁπλιτῶν δεξαμένων ὑπεχώρησε πάλιν, καὶ ἄνδρες τέ τινες ἀπέθανον αὐτῶν ὀλίγοι καὶ ὅπλα ἐλήφθη, τροπαῖόν τε στήσαντες οἱ Ἀθηναῖοι ἀπέπλευσαν ἐς Κύθηρα. ἐκ δὲ αὐτῶν περιέπλευσαν ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν, καὶ δῃώσαντες μέρος

56. Athenienses regionem custoditam videntes redeunt Cythera, et inde versus Thyream, quam Æginetæ Lacedæmoniorum munificentia habitabant.

βεβαίαν εἶχον. 1. Ἀτολμότεροι δὲ] ἐκνηρότεροι. 2. Κινήσειαν] ὑπὲρ ἑαυτῶν δηλονότι. 9. Τὸν μὲν ὄχλον] τὸ πλῆθος. 10. Ἐφόβησεν] εἰς φυγὴν ἔβαλεν. Ἐπιδρομῇ] ἐξ ἐπιδρομῆς. δι' αἰφνιδίας ἐφόδου. -14. Ἐς Ἐπίδαυρον] ἄλλη ἐστὶν Ἐπίδαυρος ἐν τῷ ἰσθμῷ. Τὴν Λιμηρὰν] οὐκ ἐκ λιμοῦ οὕτως ὠνόμασται, ἀλλὰ διὰ τὸ πολλοὺς ἔχειν λιμένας, ἀντὶ τοῦ λιμενηράν.

1. αὐτοῖς om. B.h.
οἷα F.g. vulgo οἷα.
3. διὰ τὴν K.
5. παραθαλασσίαν I.L.O.d.e.i.
9. κοτύρταν A.B.F.H.K.N.g.h. κοττύρταν f. κοττύραν e. vulgo κορτύραν.
Ἀφροδισίαν] Est alia *Aphrodisias*, sita supra *Cardiam*, non longe a Rhædesto. Cum Siberi conjungit Procopius de Ædif. IV. 10. qui muro cinxisse Justinianum etiam tradit. vid. Ptolem. III. 2. Notit. Episc. et Antonini Itin. τὸ ἐθνικὸν in numo Wheleri Ἀφροδεισιεύς. Κορτύταν agnoscunt vitiosa Stephani exemplaria, ut ex literarum serie patet. Lege ergo Κοτύρταν cum Cl. Gr. Atque ita etiam Stephani Codex Perusinus. hujus Gentile Κοτυρταῖος. De hoc oppido nihil omnino Veteres. Wass. Etiam Berkelius ex ordine literarum vidit, in Stephano perperam legi Κότυρτα, et pro eo legebat Κότυτα. Fecit quod potuit, destitutus auxilio Manuscriptorum Thucydidis et Stephani. Duk.
δαψιλῶν P.
10. ἐσκεδασμένον ἐφόβησεν] ἠμύνατο καὶ ἐσκεδασμένον ἂν ἐφόβησεν f.
11. τε om. N.e.
13. ἐπέπλευσαν f.

τι τῆς γῆς ἀφικνοῦνται ἐπὶ Θυρέαν, ἣ ἐστι μὲν τῆς Κυνοσουρίας γῆς καλουμένης, μεθορία δὲ τῆς Ἀργείας καὶ Λακωνικῆς. νεμόμενοι δὲ αὐτὴν ἔδοσαν Λακεδαιμόνιοι Αἰγινήταις ἐκπεσοῦσιν ἐνοικεῖν, διά τε τὰς ὑπὸ τὸν σεισμὸν σφίσι γενομένας καὶ τῶν Εἱλώτων τὴν ἐπανάστασιν εὐεργεσίας, καὶ ὅτι Ἀθηναίων ὑπακούοντες ὅμως πρὸς τὴν ἐκείνων γνώμην ἀεὶ ἔστασαν. * προσπλεόντων οὖν ἔτι τῶν Ἀθηναίων οἱ Αἰγινῆται τὸ μὲν ἐπὶ τῇ θαλάσσῃ, ὃ ἔτυχον οἰκοδομοῦντες, τεῖχος ἐκλείπουσιν, ἐς δὲ τὴν ἄνω πόλιν, ἐν ᾗ ᾤκουν, ἀπεχώρησαν, ἀπέχουσαν σταδίους μάλιστα δέκα τῆς θαλάσσης. καὶ αὐτοῖς τῶν Λακεδαιμονίων φρουρὰ μία τῶν περὶ τὴν χώραν, ἥπερ καὶ ξυνετείχιζε, ξυνεσελθεῖν μὲν ἐς τὸ τεῖχος οὐκ ἠθέλησαν δεομένων τῶν

57. Ibi descendunt toto exercitu, et urbem capiunt, incolas partim in prœlio, partim Athenas abductos necant; Cytheriis au-

5. Σφίσι] τοῖς Λακεδαιμονίοις ὑπὸ τῶν Αἰγινητῶν. 6. Πρὸς τὴν ἐκείνων γνώμην ἀεὶ ἔστασαν] ὁμόφρονες καὶ φίλοι τοῖς Λακεδαιμονίοις ὄντες. 8. Τὸ μὲν ἐπὶ τῇ θαλάσσῃ] ἦγουν τὸ παραθαλάσσιον. 12. Ξυνετείχιζε] συν-

1. ἀφικνοῦντο d.i.

ἐπὶ] ἐς h.i.

Θυρέαν] Cl. hic et alibi Θυραίαν. At Steph. et MS. Perusin. cum vulgatis. Diodor. Θυραίαν. Auctor. Anthol. III. Θυρέα ἦσαν ἄεθλα δορός. Herodot. I. 82. περὶ χώρου καλεομένου Θυρέης. Isocrates Archid. 199. ἐν Θυρεαῖς. Plutarchi codices variant. vid. Suidam in Ὀθρυάδης. WASS. In Codd. Thucyd. plerisque locis varia est scriptura hujus nominis. vid. II. 27. et V. 41. Strabo VIII. p. 376. Θυρέας num. plurali vocat; Stephanus, et alii Θυρέαν. Κυνοσουρίας, quod hic est in marg. Cl. etiam olim legebatur in Strabone l. d. ubi id emendarunt Xylander, et Hartungus tom. II. *Facis* Gruteri pag. 666. Idem vitium e Luciani Icaromenippo pag. 200. sustulit Palmerius in Exercitationib. p. 549. Et sic quoque ibi emendandus est Scholiastes. De Thyrea Æginetis a Lacedæmoniis concessa idem, quod hic, etiam II. 27. scripserat Thucydides. DUK.

κυνοσουρίας A.B.h. κυνουργίας P. vulgo κυνουρίας. Infra V. 14. A.B. κυνοσουρίαν et V. 41. A.B.h. κυνοσουρίας, d.i. κυνουργίας.

4. τῶν σεισμῶν g.

6. ὑπακούσαντες Q.

7. ἔστασι L.O. ἑστᾶσι A.B. F.H.N.Q.e.f.g.h. et g. quidem ante *alei*: ἑστᾶσι K. ἑστᾶσαν I.

13. ξυνελθεῖν L.O.P.d.e.i.

ἠθέλησαν A.B.F.H.K.L.O.P.b. c.d.e.g.h.i. vulgo ἠθέλησεν.

δεομένων δὲ τῶν K.

Αἰγινητῶν, ἀλλ' αὐτοῖς κίνδυνος ἐφαίνετο ἐς τὸ τεῖχος κατακλείεσθαι. ἀναχωρήσαντες δὲ ἐπὶ τὰ μετέωρα, ὡς οὐκ ἐνόμιζον ἀξιόμαχοι εἶναι, ἡσύχαζον. ἐν τούτῳ δὲ οἱ Ἀθηναῖοι κατασχόντες, καὶ χωρήσαντες εὐθὺς πάσῃ τῇ στρατιᾷ, αἱροῦσι τὴν Θυρέαν. καὶ τήν τε πόλιν κατέκαυσαν καὶ τὰ ἐνόντα ἐξεπόρθησαν, τούς τε Αἰγινήτας, ὅσοι μὴ ἐν χερσὶ διεφθάρησαν, ἄγοντες ἀφίκοντο ἐς τὰς Ἀθήνας, καὶ τὸν ἄρχοντα ὃς παρ' αὐτοῖς ἦν τῶν Λακεδαιμονίων, Τάνταλον τὸν Πατροκλέους· ἐζωγρήθη γὰρ τετρωμένος. ἦγον δέ τινας καὶ ἐκ τῶν Κυθήρων ἄνδρας ὀλίγους, οὓς ἐδόκει ἀσφαλείας ἕνεκα μεταστῆσαι. καὶ τούτους μὲν οἱ Ἀθηναῖοι ἐβουλεύσαντο καταθέσθαι ἐς τὰς νήσους, καὶ τοὺς ἄλλους Κυθηρίους οἰκοῦντας τὴν ἑαυτῶν φόρον τέσσαρα τάλαντα φέρειν, Αἰγινήτας δὲ ἀποκτεῖναι πάντας, ὅσοι ἐάλωσαν, διὰ τὴν προτέραν ἀεί ποτε ἔχθραν, Τάνταλον δὲ παρὰ τοὺς ἄλλους τοὺς ἐν τῇ νήσῳ Λακεδαιμονίους καταδῆσαι.

tem tributum quatuor talentorum imperant.

58. Siciliensium de pace

Τοῦ δ' αὐτοῦ θέρους ἐν Σικελίᾳ Καμαριναίοις καὶ Γελῴοις ἐκεχειρία γίγνεται πρῶτον πρὸς ἀλλήλους· εἶτα

ἐπελαμβάνετο τοῦ τειχίσματος. 4. Κατασχόντες] ἀντὶ τοῦ προσορμίσαντες τῇ Θυρέᾳ. οὐ γὰρ λέγει κρατήσαντες. 11. Μεταστῆσαι] μετανάστας ποιῆσαι. 16. Τοὺς ἐν τῇ νήσῳ] τῇ Σφακτηρίᾳ. 19. Ἐκεχειρία] διάλει-

1. αὐτοῖς A.B.F.H.I.K.L.O.c. d.f.g.h.i. vulgo αὐτοὺς.
3. ἀξιόμαχον g.
Ἐν τούτῳ—Ἀθήνας] Dionys. Halicarn. tom. II. pag. 142. Duk.
5. τε om. P.
9. Τάνταλον] Hunc φρούραρχον vocat Diodorus pag. 320. a. Wass.
9. πατοκλέους B.I.L.N.O.P. d.e.h.i. πατοκλέους K.g.
10. τινας ἐκ i.
14. δὲ] τε O.
16. παρὰ] περὶ g.
τοὺς ἄλλους ἐν A.
17. καταδῆσαι λακεδαιμονίους f.
18. καὶ καμαριναίοις L.P.
19. Ἐκεχειρία γίγν.] Vox ἐκεχειρία proprie significat *cessationem ab opere*, atque etiam *festum diem; sive inducias, quæ fiebant ob celebrationem festi.* Sic Polybius ἐκεχειρίαν τῶν Ὀλυμπίων dicit. Vide Casauboni notas ad Strabon. p. 343. Huds. Add. Gell. I. Noct. Attic. 25. Duk.

restituenda concilium.

καὶ οἱ ἄλλοι Σικελιῶται ξυνελθόντες ἐς Γέλαν, ἀπὸ πασῶν τῶν πόλεων πρέσβεις, ἐς λόγους κατέστησαν ἀλλήλοις, εἴ πως ξυναλλαγεῖεν. καὶ ἄλλαι τε πολλαὶ γνῶμαι ἐλέγοντο ἐπ' ἀμφότερα, διαφερομένων καὶ ἀξιούντων, ὡς ἕκαστοί τι ἐλασσοῦσθαι ἐνόμιζον· καὶ Ἑρμοκράτης ὁ Ἕρμωνος Συρακόσιος, ὅσπερ καὶ ἔπεισε μάλιστα αὐτοὺς, ἐς τὸ κοινὸν τοιούτους δὴ λόγους εἶπεν.

59—64. Oratio Hermocratis Syracusani. Delectis A-

"ΟΥΤΕ πόλεως ὢν ἐλαχίστης, ὦ Σικελιῶται, τοὺς "λόγους ποιήσομαι, οὔτε πονουμένης μάλιστα τῷ πολέ- "μῳ, ἐς κοινὸν δὲ τὴν δοκοῦσάν μοι βελτίστην γνώμην

ψις τοῦ πολέμου. 4. Ἀξιούντων] ἀντὶ τοῦ δηλούντων καὶ προσαγγελλόντων, οἷα ἕκαστος παρὰ τοῦ ἑτέρου ἐπλεονεκτήθη. 8. Οὔτε πόλεως ὢν ἐλαχίστης] δημηγορία Ἑρμοκράτους Συρακουσίου. τὸ προοίμιον ἐκ συστάσεως τοῦ ἰδίου προσώπου. τέμνεται ἡ δημηγορία αὕτη τῷ δικαίῳ καὶ τῷ συμφέροντι καὶ τῷ δυνατῷ, οὕτω. δίκαιον μὲν γὰρ (φησί) πρὸς τοὺς ὁμοφύλους συμβῆναι καὶ πρὸς τοὺς Ἀθηναίους αἱρεῖσθαι πόλεμον, εἶτα δὲ καὶ συμφέρον μὴ ἐᾷν καταδουλωθῆναι Σικελίαν. τὸ δὲ δυνατὸν, ὅτι, ἐὰν ὁμονοήσωμεν, ῥᾳδίως τῶν ἐναντίων περιεσόμεθα. Οὔτε πόλεως ὢν ἐλαχίστης, ὦ Σικελιῶται] οἱ περὶ καταλύσεως πολέμου παραινοῦντες, ἀεὶ ὑποπτεύονται, διὰ φόβον καὶ μαλακίαν τὸν πόλεμον φεύγοντες ταῦτα παραινεῖν. διὸ καὶ ὁ Ἑρμοκράτης τοῦτο ποιεῖ. ἅμα δὲ καὶ αὔξει τὸ ὄνομα τῆς ἑαυτοῦ πατρίδος, ἵνα συγγνώμην ἔχωσιν αὐτῷ οἱ λόγοι μετὰ παῤῥησίας καὶ φρονήματος προερχόμενοι. τὸ δὲ οὐ πονουμένης προσέθηκεν, ἵνα μή τις εἴπῃ ὡς ὅτι διὰ τοῦτο ἐρᾷ τῆς εἰρήνης, ὅτι ἡ πόλις αὐτῶν καταπονεῖται. 9. Οὔτε πονουμένης] κατ' ἀμφότερα συνιστᾷ ἑαυτὸν ὁ Ἑρμοκράτης, καὶ κατὰ τὸ εἶναι ἐνδόξου πόλεως, καὶ κατὰ τὸ μὴ πονεῖν τῷ πολέμῳ τὴν πόλιν αὐτοῦ. δι' ἃ μάλιστα οἰώθασιν ἀπιστεῖν πρὸς τοὺς λέγοντας. Διὰ δύο αἰτίας εἰώθαμεν ἀπιστεῖν τοῖς συμβουλεύουσιν. ἢ διὰ τὸ εἶναι ἄδοξον τὸ πρόσωπον, ἢ διὰ τὸ οἰκειῶν ἕνεκα χρειῶν λέγειν. τοῦ πρώτου παράδειγμα Ὅμηρος· Δαιμόνι' ἀτρέμας ἧσο, καὶ ἄλλων μῦθον ἄκουε, Οἳ σέο φέρτεροί εἰσι (Il. II. 200.) τοῦ δευτέρου· Σῷ οἴκῳ δῶρον ποτιδέγμενος αἴκε πόρῃσιν, καὶ τὰ ἑξῆς (Od. II. 186.): ἅπερ ἀμφότερα μαρτυρεῖ ἑαυτῷ ὁ

1. Σικελιῶται] Infra cap. 64. καὶ ὄνομα ἓν κεκλημένους Σικελιώτας. Wass. Idem, quod inter Σικελοὺς et Σικελιώτας discrimen statuit Stephanus Byzant. apud Cluverium, etiam faciunt Scholiastes Thucydidis V. 5. Eustathius in Homer. Odyss. ν'. in fin. ex Ælio Dionysio, et Ammonius in Ἰταλοί. Duk.

ἐξελθόντες Q. συνελθόντες i.
2. ἀλλήλους c.
ἐλέγοντο δὴ ἐπ' e. ἐλέγοντο ὑπ' g.
ἀμφοτέροις i.
5. τι om. c.g.
καὶ ὁ ἑρμοκράτης ὁ B.h.
6. μᾶλλον d.i.
7. τοιούτοις f.
δὲ K.
9. λόγοις f.

" εἶναι ἀποφαινόμενος τῇ Σικελίᾳ πόλῃ. καὶ περὶ μὲν
" τοῦ πολεμεῖν, ὡς χαλεπὸν, τί ἂν τις πᾶν τὸ ἐνὸν ἐκ-
" λέγων ἐν εἰδόσι μακρηγοροίη; οὐδεὶς γὰρ οὔτε ἀμαθίᾳ
" ἀναγκάζεται αὐτὸ δρᾶν, οὔτε φόβῳ, ἢν οἴηταί τι
" πλέον σχήσειν, ἀποστρέπεται. ξυμβαίνει δὲ τοῖς μὲν
" τὰ κέρδη μείζω φαίνεσθαι τῶν δεινῶν, οἱ δὲ τοὺς κιν-
" δύνους ἐθέλουσιν ὑφίστασθαι πρὸ τοῦ αὐτίκα τι ἐλασ-
" σοῦσθαι· αὐτὰ δὲ ταῦτα εἰ μὴ καιρῷ τύχοιεν ἑκάτεροι
" πράσσοντες, αἱ παραινέσεις τῶν ξυναλλαγῶν ὠφέλιμοι.
" ὃ καὶ ἡμῖν ἐν τῷ παρόντι πειθομένοις πλείστου ἂν
" ἄξιον γένοιτο. τὰ γὰρ ἴδια ἕκαστοι εὖ βουλευόμενοι δῆ
" θεσθαι τό τε πρῶτον ἐπολεμήσαμεν, καὶ νῦν πρὸς ἀλ-
" λήλους δι' ἀντιλογιῶν πειρώμεθα καταλλαγῆναι, καὶ

thenienſium conſiliis, ſuadet pacis inter ipſos Sicilienſes reſtitutionem atque Atheniensium per ſocios ſuos remiſsionem.

Ἑρμοκράτης μὴ ὑπάρχειν. 1. Καὶ περὶ μὲν τοῦ πολεμεῖν] συμπέρασμα· τὸ γὰρ προοίμιον ὁμολογούμενον. 2. Τί ἂν τις πᾶν τὸ ἐνὸν] τὸ μὲν "πᾶν τὸ ἐνὸν ἐκλέγων" πάντα ὅσα ἔνεστι πολέμῳ κακὰ, φησὶν, ἐπιλεγόμενος. ἡ δὲ διάνοια· περιττὸν ἐν εἰδόσι διηγεῖσθαι ὡς χαλεπόν ἐστι πόλεμος. οὔτε γὰρ ἐφίεταί τις αὐτοῦ δι' ἄγνοιαν οὔτε ἀποτρέπεται διὰ φόβον, ἄν γε δὴ σχήσειν πλέον ἐλπίσῃ. 5. Ξυμβαίνει δὲ τοῖς μὲν] συμβαίνει δὲ τοῖς μὲν ἐρᾶσι τῶν χρημάτων, τὰ κέρδη ποιεῖν αὐτοὺς καταφρονεῖν τῶν δεινῶν τῶν ἐν τῷ πολέμῳ· τοῖς δὲ ὑπὲρ τοῦ μὴ πλεονεκτηθῆναι παρὰ τῶν ἄλλων καὶ δουλεῦσαί τινι. 6. Οἱ δὲ] οἱ πολεμησείαντες. 8. Εἰ μὴ ἐν καιρῷ] εἰ δὲ μὴ ἐν καιρῷ ἑκάτεροι πολεμεῖν ἐθέλοιεν, οἵ τε τῶν ἐξ αὐτοῦ κερδῶν δηλονότι ἐφιέμενοι καὶ οἱ ἀηχανίζόμενοι μὴ ἐλασσοῦσθαι, ὠφελιμώτατα ἂν διαλλαγεῖεν. συνίστησι δὲ διὰ τούτων, ὅτι οὐ δεῖ τὸν περὶ εἰρήνης συμβουλεύοντα πολέμου κατηγορεῖν (ἔωλον γὰρ) ἀλλὰ μᾶλλον τῆς κατ' αὐτὸν ἀκαιρίας. Ἑκάτεροι πράσσοντες] οἵ τε διὰ κέρδος ἴδιον πολεμοῦντες δηλονότι, καὶ οἱ διὰ τὸ μὴ ἀφαιρεθῆναί τι τῶν ὑπαρχόντων αὐτοῖς. 11. Τὰ γὰρ ἴδια] τὰ ἐξῆς, τὰ ἴδια εὖ θέσθαι. Ἕκαστοι] τῶν Σικελιωτῶν. Θέσθαι] οἰκονομῆσαι. 12. Καὶ νῦν πρὸς ἀλλήλους] τὸ μὲν δι' ἀντιλογιῶν τὸ δι' ἀντιῤῥήσεων καὶ λόγων δηλοῖ, τὸ δὲ καταλλαγῆναι τὸ διαλλαγῆναι ἴσον δέ φησι τὸ προσῆκον ἑκάστῳ καὶ δίκαιον. τὸ δ' ὡς ἐγὼ κρίνω, ὡς ἐγὼ νομίζω. ἡ δὲ διάνοια, νῦν (φησὶν) ἐὰν μὴ προχωρήσῃ ἐκ τῆς ἐκκλησίας ταύτης τὸ νομίζειν ἕκαστον ἔχοντα τὸ ἴδιον ἀπελθεῖν, ἀλλὰ τοὐναντίον ἀδικεῖσθαι, ὕστερον πάλιν πολεμήσομεν, ἂν δόξῃ, μετὰ τὸ ἀπελθεῖν τοὺς Ἀθηναίους· τέως δὲ νῦν βέλτιόν ἐστι τὸ διαλλαγῆναι, ἐν ὅσῳ ἐπίκειονται

1. τοῦ μὲν L.
4. τις B.
συμβαίνει B.
7. τι om. f.
8. καιρῷ A.B.F.H.K.L.O.P.c.
e.g.h. vulgo ἐν καιρῷ.
11. βουλόμενοι b.c.d.
12. πρότερον L.O.P.
13. ἀντιλογίαν K.
διαλλαγῆναι K.

" ἦν ἄρα μὴ προχωρήσῃ ἴσον ἑκάστῳ ἔχοντι ἀπελθεῖν,
" πάλιν πολεμήσομεν. * καίτοι γνῶμαι χρὴ ὅτι οὐ περὶ
" τῶν ἰδίων μόνον, εἰ σωφρονοῦμεν, ἡ ξύνοδος ἔσται, ἀλλ'
" εἰ ἐπιβουλευομένην τὴν πᾶσαν Σικελίαν, ὡς ἐγὼ κρίνω,
" ὑπ' Ἀθηναίων δυνησόμεθα ἔτι διασῶσαι· καὶ διαλλακ-
" τὰς πολὺ τῶν ἐμῶν λόγων ἀναγκαιοτέρους περὶ τῶνδε
" Ἀθηναίους νομίσαι, οἳ δύναμιν ἔχοντες μεγίστην τῶν
" Ἑλλήνων τάς τε ἁμαρτίας ἡμῶν τηροῦσιν, ὀλίγαις
" ναυσὶ παρόντες, καὶ ὀνόματι ἐννόμῳ ξυμμαχίας τὸ
" φύσει πολέμιον εὐπρεπῶς ἐς τὸ ξυμφέρον καθίστανται.
" πόλεμον γὰρ αἱρομένων ἡμῶν καὶ ἐπαγομένων αὐτοὺς,
" ἄνδρας οἳ καὶ τοὺς μὴ ἐπικαλουμένους αὐτοὶ ἐπιστρα-
" τεύουσι, κακῶς τε ἡμᾶς αὐτοὺς ποιούντων τέλεσι τοῖς

ἡμῖν οἱ Ἀθηναῖοι. 1. Ἴσον ἑκάστῳ ἔχοντι] Ὅμηρος· Μή τίς μοι ἀτεμβόμενος κίοι ἴσης (Od. IX. 42.) 3. Ἡ ξύνοδος] ἡ συναγωγὴ ἡ ἐνθάδε. 5. Καὶ διαλλακτὰς] λείπει τὸ χρή. βούλεται γὰρ εἰπεῖν, ὅτι καὶ χρὴ διαλλακτάς. ἀπὸ κοινοῦ δὲ ἀκουστέον τὸ ὡς ἐγὼ κρίνω. 7. Οἳ δύναμιν ἔχοντες] ἤγουν δυνατώτατοι ὄντες. 8. Ὀλίγαις ναυσὶ παρόντες] τινὰ τῶν βιβλίων τὸ ὀλίγαις ναυσὶν οὐκ ἔχουσι. 9. Καὶ ὀνόματι ἐννόμῳ] πρόσχημα μὲν ποιοῦνται τὴν πρὸς τοὺς Χαλκιδεῖς συμμαχίαν, ὡς διὰ συγγένειαν νομίμως αὐτοῖς ξυμμαχοῦντες· φύσει δὲ πολέμιοι πᾶσιν ὄντες Σικελιώταις, τὸ ἴδιον συμφέρον διὰ τῆς πρὸς τὸ συμμαχεῖν εὐπρεπείας κατασκευάζονται, τουτέστι θηρῶνται. 10. Εὐπρεπῶς] πιθανῶς. Ἐς τὸ ξυμφέρον] εἰς τὸ ἑαυτοῖς ξυμφέρον. 11. Τοὺς, ἄνδρας] τοὺς Ἀθηναίους δηλονότι. 13. Ποιούντων] ἀπὸ κοινοῦ τὸ ἡμῶν. Τέλεσι] ταῖς δαπάναις. ὅθεν καὶ εὐτελὴς καὶ πολυτελής.

2. περὶ τὴν τῶν K.

3. μόνων e.

5. δεησόμεθα i.

8. Ὀλίγαις ναυσὶ] Non agnoscunt quidam, inquit Scholiasta. at nostri servant, idque opinor recte; nam paulo infra: πλέοσί ποτε στόλῳ ἐλθόντας αὐτοὺς huc spectant. Wass.

11. αἱρουμένων i.

Αἱρομένων] Αἵρεσθαι πόλεμον est etiam I. 80. III. 39. et apud alios. Duk.

αὐτοὺς H.L.N.O.Q.g. vulgo αὖ τοὺς.

12. τοὺς μὴ ἐπικαλουμένους A.B.F. H.K. vulgo τοῖς μὴ ἐπικαλουμένοις.

Τοῖς ἐπικαλουμένοις] Cass. τοὺς ἐπικαλουμένους. Sic infra cap. 92. Εἰώθασι—τὸν μὲν ἡσυχάζοντα—ἀδεέστερον ἐπιστρατεύειν. Et Stephanus aliique ex Euripide adferunt οἱ τήνδ' ἐπεστράτευσαν πόλιν. Duk. Conf. Valckenar. ad Eurip. Phœn. vs. 292. et ad Hippol. vs. 526. p. 224. Gottl.

13. Κακῶς—οἰκείοις] Thomas Magister voc. τέλος. Wass.

ποιούντων τέλεσι] τελοῦσι P.

" οἰκείοις, καὶ τῆς ἀρχῆς ἅμα προκοπτόντων ἐκείνοις,
" εἰκὸς, ὅταν γνῶσιν ἡμᾶς τετρυχωμένους, καὶ πλέονί
" ποτε στόλῳ ἐλθόντας αὐτοὺς τάδε πάντα πειράσασθαι
" ὑπὸ σφᾶς ποιεῖσθαι. * καίτοι τῇ ἑαυτῶν ἑκάστους, εἰ 61.
" σωφρονοῦμεν, χρὴ τὰ μὴ προσήκοντα ἐπικτωμένους
" μᾶλλον ἢ τὰ ἑτοῖμα βλάπτοντας ξυμμάχους τε ἐπά-
" γεσθαι καὶ τοὺς κινδύνους προσλαμβάνειν, νομίσαι τε
" στάσιν μάλιστα φθείρειν τὰς πόλεις καὶ τὴν Σικελίαν,
" ἧς γε οἱ ἔνοικοι ξύμπαντες μὲν ἐπιβουλευόμεθα, κατὰ

1. Ἐκείνους] τοῖς Ἀθηναίοις. τὸ δὲ προκοπτόντων, προοδοποιούντων καὶ εὐτρεπιζόντων, ἤγουν προκοπὴν καὶ ἐπίδοσιν ποιούντων ἡμῶν τῇς ἀρχῆς ἐκείνων. 4. Καίτοι τῇ ἑαυτῶν] ὁ νοῦς τῶν λεγομένων τοιοῦτος· χρὴ, εἰ σωφρονοῦμεν, ἑκάστους ἡμῶν τὸν Σικελιωτῶν, τὰ ἀλλότρια ἐπικτωμένους καὶ ἁρπάζοντας, μᾶλλον τοὺς συμμάχους ἐπάγεσθαι, ἤπερ τὰ ἕτοιμα βλάπτοντας. τουτέστιν, ὅταν τῶν ἰδίων ἡμῶν καλῶς ἐχόντων καὶ ἀδεῶς διακειμένων, βουλόμεθα κατὰ πλεονεξίαν ἀλλότρια ἐπικτήσασθαι, τότε δεῖ τοὺς συμμάχους ἐπάγεσθαι καὶ τοὺς κινδύνους ὑφίστασθαι, καὶ μὴ ὅταν ὁ κίνδυνος περὶ τῶν οἰκείων ἡμῶν γίγνηται. 5. Τὰ μὴ προσήκοντα] τὰ ἀλλότρια. 6. Βλάπτοντας] ἀπὸ κοινοῦ τὸ χρή. 8. Τὰς πόλεις καὶ τὴν Σικελίαν] τὴν Σικελίαν πᾶσαν ὡς μίαν πόλιν ἔλαβε. καὶ φησὶν ὅτι, εἰ πόλεμον ἔξομεν, διαφθαρησόμεθα. ὅπερ ἐπὶ μιᾶς πόλεως συμβαίνει. ἡ δὲ διάνοια· τῶν Σικελιωτῶν ἡμῶν αὐτῶν κακῶς αὐτοὺς διαθέντων τοῖς οἰκείοις δαπανήμασι, καὶ περιαιρούντων καὶ περικοπτόντων τῆς ἡμετέρας ἀρχῆς πρὸς τὸ ἐκείνοις συμφέρον, εἰκὸς τοὺς Ἀθηναίους, ὅταν γνῶσιν ἡμᾶς ἐκτετρυχωμένους, ἐπελθόντας πλείονι στρατῷ καταδουλώσεσθαι τὰ ἐνταῦθα. 9. Ἐπιβουλευόμεθα] ἐξ ἐπιβουλῆς πάσχομεν. Κατὰ πόλεις δὲ διέστα-

1. οἰκείοις] ἰδίοις d.i.

προκοπτόντων L.O. Vide Coraën Isocrat. II. p. 121.

Προκοπτόντων] Stephanus in Thes. scribit, Scholiasten paullo post aliter legere, nempe, περικοπτόντων, eamque lectionem commodiorem videri posse. Non habeo aliud exemplum hujus significationis προκόπτω· nam quod adfertur e VII. 56. dubium est, et aliam syntaxin habet. Sed quia omnia exemplaria Thucydidis habent προκοπτόντων, nec Stephanus postea ad hunc locum quidquam monuit, non putem hanc scripturam deserendam esse : quum præsertim et Scholiastes eam hic agnoscat, apud quem illa ἡμῶν αὐτῶν περιαιρούντων καὶ περικοπτόντων τῆς ἡμετέρας ἀρχῆς vicem paraphraseos fungi possunt. Dux.

ἐκεῖνοι L.O.P. ἐκείνων d.

3. ἐπελθόντας Q.

πειράσασθαι A.B.F.H.f.h. vulgo πειράσεσθαι.

6. Τὰ ἕτοιμα βλάπτοντας] Τὰ ἕτοιμα, *sua*, opponit τοῖς μὴ προσήκουσι, *alienis*. I. 70. ὑμεῖς δὲ τῷ ἐπελθεῖν (οἴεσθε) καὶ τὰ ἕτοιμα ἂν βλάψαι. Vide ibi Scholiasten. Dux.

7. προλαμβάνειν L.O.

9. γε om. d.i.

" πόλεις δὲ διέσταμεν. ἃ χρὴ γνόντας, καὶ ἰδιώτην ἰδιώ-
" τῃ καταλλαγῆναι καὶ πόλιν πόλει, καὶ πειρᾶσθαι
" κοινῇ σώζειν τὴν πᾶσαν Σικελίαν, παρεστάναι δὲ μη-
" δενὶ ὡς οἱ μὲν Δωριῆς ἡμῶν πολέμιοι τοῖς Ἀθηναίοις,
" τὸ δὲ Χαλκιδικὸν τῇ Ἰάδι ξυγγενείᾳ ἀσφαλές. οὐ γὰρ 5
" τοῖς ἔθνεσιν, ὅτι δίχα πέφυκε τοῦ ἑτέρου, ἔχθει ἐπία-
" σιν, ἀλλὰ τῶν ἐν τῇ Σικελίᾳ ἀγαθῶν ἐφιέμενοι, ἃ
" κοινῇ κεκτήμεθα. ἐδήλωσαν δὲ νῦν ἐν τῇ τοῦ Χαλκιδι-
" κοῦ γένους παρακλήσει· τοῖς γὰρ οὐδεπώποτε σφίσι
" κατὰ τὸ ξυμμαχικὸν προσβοηθήσασιν αὐτοὶ τὸ δίκαιον 10
" μᾶλλον τῆς ξυνθήκης προθύμως παρέσχοντο. καὶ τοὺς
" μὲν Ἀθηναίους ταῦτα πλεονεκτεῖν τε καὶ προνοεῖσθαι
" πολλὴ ξυγγνώμη, καὶ οὐ τοῖς ἄρχειν βουλομένοις μέμ-
" φομαι ἀλλὰ τοῖς ὑπακούειν ἑτοιμοτέροις οὖσι. πέφυκε
" γὰρ τὸ ἀνθρώπειον διὰ παντὸς ἄρχειν μὲν τοῦ εἴκοντος, 15
" φυλάσσεσθαι δὲ τὸ ἐπιὸν. ὅσοι δὲ γιγνώσκοντες αὐτὰ

μεν] διηρημένως κατοικοῦμεν. 2. Καὶ πειρᾶσθαι] μὴ νομιζέτωσαν διὰ τὸ συγγενεῖς (φησίν) εἶναι τοῖς Ἀθηναίοις οἱ Χαλκιδεῖς, ἐν ἀσφαλείᾳ καθεστάναι. οὐ γὰρ διότι πολεμίων ἐστι τὸ Δωρικὸν γένος τῷ Ἰωνικῷ, διὰ τοῦτο ἐχθροὶ ὄντες οἱ Ἀθηναῖοι τοῖς Δωριεῦσιν ἐπίασιν, ἀλλ' ἐφιέμενοι τῶν ἐν τῇ Σικελίᾳ ἀγαθῶν. τὸ δὲ αὐτοὶ τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης παρέσχοντο, ἀντὶ τοῦ, προθυμότερον ἢπερ ἐχρῆν, κατὰ συμμαχίαν ἐβοήθησαν. 3. Κοινῇ] γνώμῃ δηλονότι. Παρεστάναι δὲ] δόξαν ἐπέρχεσθαι. 5. Τῇ Ἰάδι ξυγγενείᾳ] ὡς ἀναφέρον δηλονότι τὸ γένος εἰς τοὺς Ἴωνας. Ἀσφαλές] εἰρηναῖον, ἐπιτήδειον, ἀκίνδυνον. 6. Δίχα πέφυκεν] ἡ Σικελία δηλονότι. Ἐπίασιν] οἱ Ἀθηναῖοι. 7. Ἃ κοινῇ κεκτήμεθα] ἤγουν ἃν κοινὴν κεκτήμεθα τὴν ἐπίλαυσιν. 9. Σφίσι] τοῖς Ἀθηναίοις. 12. Προνοεῖσθαι] ἀντὶ τοῦ προσκέπτεσθαι. 14. Ἑτοιμοτέροις] ἀντὶ τοῦ ἑτοίμοις. Πέφυκε] φύσιν ἔχει. 16. Τὸ ἐπιὸν] ἤγουν τὸ κρεῖττον. Ὅσοι δὲ γιγνώσκοντες αὐτὰ] ὅσοι (φησί) γιγνώσκοντες αὐτὸ, ὅτι πέφυκεν ἄνθρωπος διὰ παντὸς ἄρχειν μὲν ἐθέλειν τοῦ εἴκοντος, φυλάττεσθαι δὲ τὸ ἐπιὸν, μὴ ὀρθῶς προνοοῦμεν καὶ προσκοποῦμεν, ἁμαρ-

4. μὲν om. Q.
5. ἰάδι] ἰδίᾳ I.K.O.
τοῖς om. g.
6. ἐπίασιν P.
7. τῇ om. i.
ἀγαθῶν] καλῶν i.
9. οὐδεπώποτε B.F.H.I.K.L.N. O.f.h.i. vulgo οὐδέποτε.
10. κατὰ ξυμμαχικὸν Q.
12. τε om. d.i.
13. συγγνώμη K.Q.
14. Πέφυκε—τὸ ἐπιὸν] Stobæus Serm. LII. pag. 364. Duk.
15. εἰκότος K.P.

" μὴ ὀρθῶς προσκοπῶμεν, μηδὲ τοῦτό τις πρεσβύτατον
" ἥκει κρίνας, τὸ κοινῶς φοβερὸν ἅπαντας εὖ θέσθαι,
" ἁμαρτάνομεν. τάχιστα δ' ἂν ἀπαλλαγὴ αὐτοῦ γένοι-
" το, εἰ πρὸς ἀλλήλους ξυμβαίημεν· οὐ γὰρ ἀπὸ τῆς
" αὐτῶν ὁρμῶνται Ἀθηναῖοι, ἀλλ' ἐκ τῆς τῶν ἐπικαλε-
" σαμένων. καὶ οὕτως οὐ πόλεμος πολέμῳ, εἰρήνη δὲ
" διαφοραὶ ἀπραγμόνως παύονται, οἵ τ' ἐπίκλητοι εὐπρε-
" πῶς ἄδικοι ἐλθόντες εὐλόγως ἄπρακτοι ἀπίασι. * Καὶ 62.
" τὸ μὲν πρὸς τοὺς Ἀθηναίους τοσοῦτον ἀγαθὸν εὖ βου-
" λευομένοις εὑρίσκεται· τὴν δὲ ὑπὸ πάντων ὁμολογουμέ-
" νην ἄριστον εἶναι εἰρήνην πῶς οὐ χρὴ καὶ ἐν ἡμῖν αὐτοῖς
" ποιήσασθαι; ἢ δοκεῖτε, εἴ τῳ τι ἔστιν ἀγαθὸν ἢ εἴ

τάνομεν. 2. Φοβερὸν ἅπαντας εὖ θέσθαι] κοινῶς φοβερὸν ἡ δούλωσις ἡ παρὰ τῶν Ἀθηναίων ἐπιβουλευομένη πᾶσιν ὁμοίως ὡς καὶ Ἱπποκράτης· δύο πόνων ἅμα γινομένων ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον (Aphor. II. 46.). τὸ δὲ ἑξῆς, πρεσβύτατον εὖ θέσθαι. τουτέστιν, ἐν πρώτοις τοῦτο φυλάξασθαι καὶ εὖ διαθέσθαι. τουτέστι τὴν δούλωσιν. 3. Τάχιστα δ' ἂν ἀπαλλαγὴ] εἰ πρὸς ἀλλήλους (φησίν) εἰρηνεύσαιμεν, τάχιστα ἂν ἡ τῶν Ἀθηναίων ἐπιβουλὴ ἀδεεστέρα ἔσται. καὶ τὴν αἰτίαν ἐπιφέρει, διότι οὐχὶ ἀπὸ τῆς ἰδίας γῆς ὁρμῶνται πρὸς ἡμᾶς (οὐ γάρ εἰσιν ἀστυγείτονες) ἀλλ' ἐκ τῆς τῶν ἐπικαλεσαμένων. καὶ εἰ τοῦτο ποιήσομεν οὕτως, οὐκέτι πόλεμος πόλεμον διαδέξεται, ἀλλ' εἰρήνη τὴν διαφοράν. σκόπει δὲ πῶς τὸν πόλεμον εὐφήμως διαφορὰν καλεῖ. Αὐτοῦ] τοῦ κοινῶς φοβεροῦ δηλαδή. 5. Τῶν ἐπικαλεσαμένων] ἤγουν τῶν Χαλκιδέων. 6. Οὕτως] οὕτω δηλαδὴ, ὡς εἶπεν. ἤτοι εἰ πρὸς ἀλλήλους ξυμβαίημεν. 7. Οἵ τ' ἐπίκλητοι] οἱ Ἀθηναῖοι δηλονότι. Εὐπρεπῶς ἄδικοι ἐλθόντες] οἱ Ἀθηναῖοι μετὰ προφάσεως εὐπρεποῦς ἐλθόντες, ὡς δῆθεν συμμαχοῦντες τοῖς ἐνθάδε Χαλκιδεῦσιν, εὐλόγως ἄπρακτοι ἀπελεύσονται, διαλλαγέντων ἡμῶν. 8. Εὐλόγως] εὐλόγως φησὶ διὰ τὸ ξυμβῆναι.

1. σκοπεῦμεν H.h.
μηδὲ] μήτε K.
πρεσβύτερον c.f.g.
2. κοινὸν f.
3. αὐτοῦ ἀπαλλαγὴ c.g.
5. οἱ ἀθηναῖοι g.
6. οὐ] ὁ I.O.P.d.e. οὐχ ὁ L.
πολέμῳ] οὐ πολέμῳ I.
7. διαφοραὶ A.B.F.L.O.d.f.h.i. αἱ διαφοραὶ I. διαφορᾷ g. vulgo διαφορὰ.
Οἵ τ'—ἐλθόντες] Thom. Mag. in ἐπίκλητοι. Wass.
12. ἢ εἴ τῳ] ἢ τῳ K.

*Η δοκεῖτε—οὐχ ἡσυχία μᾶλλον, ἢ πόλεμος, τὸ μὲν παῦσαι] Sententia horum verborum satis aperta est; sed syntaxis admodum obscura: nam non liquet, quomodo nominativi ἡσυχία et πόλεμος jungantur infinitivis παῦσαι et διαιτᾶσαι, quibus pro nominativis adponendi videbantur accusativi, hoc modo; ἢ δοκεῖτε—οὐχ

" τῳ τὰ ἐναντία, οὐχ ἡσυχία μᾶλλον ἢ πόλεμος τὸ μὲν
" παύσαι ἂν ἑκατέρῳ, τὸ δὲ ξυνδιασώσαι, καὶ τὰς τιμὰς
" καὶ λαμπρότητας ἀκινδυνοτέρας ἔχειν τὴν εἰρήνην, ἄλλα
" τε ὅσα ἐν μήκει λόγων ἄν τις διέλθοι, ὥσπερ περὶ τοῦ πο-
" λεμεῖν; ἃ χρὴ σκεψαμένους μὴ τοὺς ἐμοὺς λόγους ὑπερι- 5
" δεῖν, τὴν δὲ αὐτοῦ τινὰ σωτηρίαν μᾶλλον ἀπ' αὐτῶν προϊ-
" δεῖν. καὶ εἴ τις βεβαίως τι ἢ τῷ δικαίῳ ἢ βίᾳ πράξειν
" οἴεται, τῷ παρ' ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω, γνοὺς
" ὅτι πλείους ἤδη καὶ τιμωρίαις μετιόντες τοὺς ἀδικοῦντας,
" καὶ ἐλπίσαντες ἕτεροι δυνάμει τινὶ πλεονεκτήσειν, οἱ 10
" μὲν οὐχ ὅσον οὐκ ἠμύναντο ἀλλ' οὐδ' ἐσώθησαν, τοῖς
" δ' ἀντὶ τοῦ πλέον ἔχειν προσκαταλιπεῖν τὰ αὐτῶν ξυ-
" νέβη. τιμωρία γὰρ οὐκ εὐτυχεῖ δικαίως, ὅτι καὶ ἀδι-

7. Καὶ εἴ τίς βεβαίως] ἡ διάνοια· εἴτις βεβαίως τι καὶ πάντῃ πάντως οἴεται πράξειν καὶ κρατήσειν τῶν ἐναντίων, ἤτοι διὰ τὸ δικαίως αὐτοῖς ἐπιέναι νομίζειν, ἢ διὰ τὸ ἰσχυρὸς οἴεσθαι τυγχάνειν, μὴ χαλεπαινέτω, εἰ παρὰ τὴν οἰκείαν οἴησίν τε καὶ ἐλπίδα σφαλλόμενος ἐλέγχεται ὑπ' ἐμοῦ, ἐνθυμηθεὶς ὅτι πολλοὶ δικαίως τιμωρήσασθαι τοὺς ἀδικήσαντας διανοηθέντες, οὐ μόνον οὐκ ἠμύναντο αὐτούς, ἀλλὰ καὶ αὐτοὶ προσαπώλοντο. καὶ ἕτεροι δι' ἰσχὺν ἐλπίσαντες πλεονεκτήσειν τῶν πέλας, πρὸς τῷ μὴ σχεῖν πλεῖον, καὶ τὰ ἑαυτῶν ἀπώλεσαν. διὰ τούτων δὲ τὸ μὴ δεῖν αὐτοὺς ἐλεγχομένους χαλεπαίνειν συνάγεται. Βίᾳ] ἰσχύϊ. 10. Οἱ μὲν] οἱ μετιόντες σὺν δίκῃ τοὺς ἀδικοῦντας. 11. Οὐχ ὅσον οὐκ ἠμύναντο] ἤγουν οὐ μόνον οὐκ ἠμύναντο. 12. Προσκαταλιπεῖν] προσζημιωθῆναι. 13. Τιμωρία γὰρ οὐκ εὐτυχεῖ δικαίως] οὐχ ὅτι ἀδικεῖται, εὐτυχεῖ δικαίως. οὐ γὰρ ἐπειδὴ ὁ τιμωρούμενος προηδίκηται, διὰ τοῦτο ἐκεῖνον εὐτυχήσει. δίκαιον μὲν γὰρ τὸν ἀδικηθέντα εὐτυχῆσαι κατὰ τὴν εἴσπραξιν τῆς τιμωρίας, οὐ μὴν καὶ ἀποβαῖνον οὕτως. οὐδὲ ὁ ἰσχυρὸς (φησί) διὰ τὸ ἐλπίζειν ἐκ τῆς δυνάμεως

ἡσυχίαν μᾶλλον, ἢ πόλεμον, τὸ μὲν παῦσαι, τὸ δὲ διασῶσαι, ut in sequenti membro, καὶ τὰς τιμὰς— ἔχειν τὴν εἰρήνην, non ἡ εἰρήνη. Hoc recte animadvertit Æ. Portus, qui ἀνακόλουθον esse putat. Si pro eo haberi debet, nec video, quid aliud dici possit, est notabile et fortassis rarum in hoc genere exemplum. Nam quæ Viri doctissimi Muretus I. Epist. 33. et Interpretes Æliani ad Var. Hist. II. 11. adnotarunt, huic similia non sunt. Duk.

3. καὶ τὰς λαμπρότητας K.N. ἀκινδύνως d.i.

4. λέγων B. qui mox cum h. διεξέλθοι.

7. εἴ τι βεβαίως τις L.O.P.

11. ἐσώσθησαν g.

12. τοὺς I.L.O.d.e.i.

προκαταλιπεῖν K.

" κεῖται· οὐδὲ ἰσχὺς βέβαιον, διότι καὶ εὔελπι. τὸ δὲ
" ἀστάθμητον τοῦ μέλλοντος ὡς ἐπὶ πλεῖστον κρατεῖ,
" πάντων τε σφαλερώτατον ὂν ὅμως καὶ χρησιμώτατον
" φαίνεται· ἐξ ἴσου γὰρ δεδιότες προμηθείᾳ μᾶλλον ἐπ'
" ἀλλήλους ἐρχόμεθα. * καὶ νῦν τοῦ ἀφανοῦς τε τούτου 63.
" διὰ τὸ ἀτέκμαρτον δέος καὶ διὰ τὸ ἤδη φοβεροὺς πα-
" ρόντας Ἀθηναίους, κατ' ἀμφότερα ἐκπλαγέντες, καὶ
" τὸ ἐλλιπὲς τῆς γνώμης, ὧν ἕκαστός τι ὠφέλητο πρά-
" ξειν, ταῖς κωλύμαις ταύταις ἱκανῶς νομίσαντες εἴρχ-
" θῆναι, τοὺς ἐφεστῶτας πολεμίους ἐκ τῆς χώρας ἀπο-
" πέμπωμεν, καὶ αὐτοὶ μάλιστα μὲν ἐς ἀίδιον ξυμβῶ-
" μεν, εἰ δὲ μή, χρόνον ὡς πλεῖστον σπεισάμενοι τὰς
" ἰδίας διαφορὰς ἐς αὖθις ἀναβαλώμεθα. τὸ ξύμπαν
" τε δὴ γνῶμεν πειθόμενοι μὲν ἐμοὶ πόλιν ἔξοντες ἔκα-

κρατήσειν, διὰ τοῦτο καὶ τὸ βέβαιον ἔχει. 1. Τὸ δὲ ἀστάθμητον] τὸ δὲ ἄστατον τῆς τύχης καὶ τὸ ἄδηλον ὡς ἐπιτοπλεῖστον πέφυκε κρατεῖν. ἔστι γὰρ πολλάκις νικῆσαι καὶ ἀπὸ ἰδίας ἀρετῆς, ἐκτὸς τύχης. Κρατεῖ] τὴν ἰσχὺν ἔχει. 4. Προμηθείᾳ] προγνώσει, σκέψει. 5. Καὶ νῦν τοῦ ἀφανοῦς τε τούτου] ἡ διάνοια. καὶ νῦν τῆς μὲν πρὸς ἀλλήλους διαφορᾶς ἐπιλαθώμεθα δὲ ἀμφότερα, διά τε δηλαδὴ τὸ ἄδηλον τυγχάνειν, εἰ πεισόμεθά τι ὑπ' ἀλλήλων, καὶ διὰ τὸ τοὺς Ἀθηναίους ἤδη φοβεροὺς ἡμῖν εἶναι παρόντας, ἱκανὰ νομίσαντες αἴτια τῆς ἀποτροπῆς ταῦτα. 7. Καὶ τὸ ἐλλιπὲς τῆς γνώμης] καὶ τοῦτο (φησὶν) ἐνθυμηθέντες, ὅτι ἃ προσεδοκήσαμεν πρᾶξαι (τουτέστι κρατῆσαι κατὰ τὸν πόλεμον) ἐλλιπῶς ἐγένετο καὶ οὐ κατὰ τὰς ἡμετέρας γνώμας ἀπέβη. ταῦτα οὖν αὐτὰ μὴ κατὰ τὴν ἡμετέραν γνώμην γενόμενα, ἱκανὰ κωλύματα ἡμῖν καὶ ἐμπόδια γεγενῆσθαι νομίσωμεν· καὶ τούτοις εἰρχθέντες εἰς τὸ μὴ προβῆναι ἡμῖν τὰ πράγματα ὡς ἠβουλόμεθα, τοὺς ἐπικειμένους ἡμῖν πολεμίους ἀπράκτους ἀποπεμψώμεθα. 13. Τὸ ξύμπαν τε δὴ, γνώμεν] τὸ σύνολον δὲ εἰδέναι (φησί) χρὴ, ὅτι πεισθέντες μὲν ἐμοὶ τὰς πατρίδας ἐλευθέρας οἰκήσομεν. 14. Πόλιν ἔξοντες ἕκαστος] τὴν ἰδίαν.

1. ὅτι g.
εὔελπις F.H.Q.
2. ὡς om. Q.
3. τε] δὲ O.
καὶ ὅμως καὶ K.
4. προμηθίᾳ A.B.K.h.
5. τε om. d.i.
8. ὃν] ὡς h.
τι B.F.H.M.O.d.h.i. vulgo τις.
ὠφέλητο μὲν A.F.H.
πρᾶξαι P.e. om. d.
9. ταύταις om. Q.
νομίζοντες Q.
10. ἀποπέμπομεν A.B.H.d.f.
13. ἀναβαλλώμεθα e. ἀναλαβώμεθα d.

" στος ἐλευθέραν, ἀφ' ἧς αὐτοκράτορες ὄντες τὸν εὖ καὶ
" κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα· ἢν δὲ ἀπι-
" στήσαντες ἄλλοις ὑπακούσωμεν, οὐ περὶ τοῦ τιμωρή-
" σασθαί τινα, ἀλλὰ καὶ ἄγαν εἰ τύχοιμεν, φίλοι μὲν
" ἂν τοῖς ἐχθίστοις, διάφοροι δὲ οἷς οὐ χρή, κατ' ἀνάγ- 5
64. " κην γιγνόμεθα. * καὶ ἐγὼ μὲν, ἅπερ καὶ ἀρχόμενος
" εἶπον, πόλιν τε μεγίστην παρεχόμενος καὶ ἐπιών τῳ
" μᾶλλον ἢ ἀμυνούμενος, ἀξιῶ προειδομένους αὐτῶν ξυγ-
" χωρεῖν, καὶ μὴ τοὺς ἐναντίους οὕτω κακῶς δρᾶν ὥστε
" αὐτοὺς τὰ πλείω βλάπτεσθαι, μηδὲ μωρίᾳ φιλονει- 10
" κῶν ἡγεῖσθαι τῆς τε οἰκείας γνώμης ὁμοίως αὐτοκρά-
" τωρ εἶναι καὶ ἧς οὐκ ἄρχω τύχης, ἀλλ' ὅσον εἰκὸς
" ἠσσᾶσθαι. καὶ τοὺς ἄλλους δικαιῶ ταὐτό μοι ποιῆ-
" σαι, ὑφ' ὑμῶν αὐτῶν καὶ μὴ ὑπὸ τῶν πολεμίων τοῦτο

1. Αὐτοκρ.] δεσπόται τῆς ἑαυτῶν πόλεως. 2. Ἀμυνούμεθα] τὸ ἀμυνούμεθα ἐπὶ καλοῦ. ἐνταῦθα γὰρ ἐπὶ τῶν δύο σημασιῶν ἔλαβεν αὐτὸ, καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ. Ἀπιστήσαντες] τοῖς ἐμοῖς λόγοις δηλονότι. 3. Οὐ περὶ τοῦ τιμωρήσασθαί τινα] λείπει τὸ, ὁ ἀγὼν ἡμῖν ἔσται, ἀλλὰ περὶ τοῦ βουλεύσηται. τοῦτο γὰρ ἠθικῶς ἀποκέκοπται. 4. Εἰ τύχοιμεν] τιμωρήσασθαί τινα δηλονότι. 5. Τοῖς ἐχθίστοις] τοῖς Ἀθηναίοις. Οἷς οὐ χρὴ] τοῖς Σικελιῶταις. 7. Πόλιν τε μεγίστην παρεχόμενος] ἀντὶ τοῦ ἐκ μεγίστης πόλεως ὁρμώμενος δηλαδή. Καὶ ἐπιὼν τῳ μᾶλλον] καὶ δυνάμενος δηλονότι ἄλλῳ ἐπιέναι. δῆλον δὲ ὡς οὐχ ἁπλῶς περὶ ἑαυτοῦ μόνου λέγει τοῦτο, ἀλλὰ κοινῶς περὶ τῆς πόλεως τῶν Συρακουσίων. 8. προειδομένους αὐτῶν] ἤτοι προγινώσκοντας τὰ πράγματα, ἢ προνοοῦντας ἑαυτῶν, ἵνα ὁ νοῦς ᾖ τοιοῦτος, συμβῶμεν προνοήσαντες ἡμῶν αὐτῶν. 10. Μηδὲ μωρίᾳ φιλονεικῶν ἡγεῖσθαι] οὐδὲ ἀξιῶ διὰ μωρίαν φιλονεικῶν, ἡγεῖσθαι καὶ νομίζειν τῆς τε ἰδίας γνώμης αὐτοκράτωρ εἶναι

1. καὶ] ἢ L.O.P.Q.e.
2. κακῶς] καλῶς h.
ἀμυνόμεθα Q.
ἀπιστήσαντες L.d.e.i. ἀπιστάντες O.P.
3. ἀλλήλοις F.L. ἀλλήλων P. ἀλλήλοις ἄλλους g. ἀλλήλων ἄλλους O.
5. καὶ διάφοροι L.O.P.
6. γιγνόμεθα A.B.F.H.I.K.L. M.O.f.g. vulgo γιγνόμεθα.
7. εἶπον om. Q.
8. ἀμυνούμενος A.B.F.H.K.M. b.e.f.i. ceteri ἀμυνόμενος.
προειδομένους—αὐτοὺς] Quidni προειδόμενος—αὐτὸς ?
13. ἡττᾶσθαι A.B.F.H.K.L. N.O.P.c.d.e.f.g.h.i. Sic et infra F.K.L.O.Q.e.
ταυτά g.
14. αὐτῶν om. H.

" παθεῖν. οὐδὲν γὰρ αἰσχρὸν οἰκείους οἰκείων ἡσσᾶσθαι,
" ἢ Δωριέα τινὰ Δωριέως ἢ Χαλκιδέα τῶν ξυγγενῶν, τὸ
" δὲ ξύμπαν γείτονας ὄντας καὶ ξυνοίκους μιᾶς χώρας
" καὶ περιῤῥύτου, καὶ ὄνομα ἓν κεκλημένους Σικελιώτας.
" οἳ πολεμήσομέν τε, οἶμαι, ὅταν ξυμβῇ, καὶ ξυγχωρη-
" σόμεθά γε πάλιν καθ' ἡμᾶς αὐτοὺς, λόγοις κοινοῖς
" χρεώμενοι.. τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας ἀθρόοι ἀεὶ,
" ἢν σωφρονῶμεν, ἀμυνούμεθα, εἴπερ καὶ καθ' ἑκάστους
" βλαπτόμενοι ξύμπαντες κινδυνεύομεν· ξυμμάχους δὲ
" οὐδέποτε τὸ λοιπὸν ἐπαξόμεθα οὐδὲ διαλλακτάς. τά-
" δε γὰρ ποιοῦντες ἔν τε τῷ παρόντι δυοῖν ἀγαθοῖν οὐ
" στερήσομεν τὴν Σικελίαν, Ἀθηναίων τε ἀπαλλαγῆναι
" καὶ οἰκείου πολέμου, καὶ ἐς τὸ ἔπειτα καθ' ἡμᾶς αὐ-
" τοὺς ἐλευθέραν νεμούμεθα καὶ ὑπὸ ἄλλων ἧσσον ἐπι-
" βουλευομένην."

καὶ αὐτεξούσιος, καὶ τῆς τύχης, ἧς τινὸς οὐκ ἄρχω ἄνθρωπος ὤν. 4. Καὶ περιῤῥύτου] τοῦτο οὐ παρέργως τέθεικεν, ἀλλ' ἐμφῆναι βουλόμενος ὅτι οὐκ ἔστιν ἡμῖν εἰς τοὺς ἄλλους κοινωνία, διὰ τὸ νησιώτας εἶναι. 5. Ὅταν ξυμβῇ] ὅταν καιρὸς γένηται. Ξυγχωρησόμεθα] φιλιωθησόμεθα. 6. Λόγοις κοινοῖς] λόγοις συμβουλευτικοῖς. 7. Τοὺς δὲ ἀλλοφύλους] τοὺς Ἀθηναίους. καὶ ἐν τῇ πρώτῃ " ἀλλοφύλους ἅμα ἡγησάμενοι." 8. Εἴπερ καὶ καθ' ἑκάστους] εἴπερ καὶ ἀντινωοῦν βλαπτομένων ἐν Σικελίᾳ τὸ πᾶν ἔθνος ἀσθενέστερον γινόμενον κινδυνεύει. 10. Οἰκείου] συγγενικοῦ.

1. οὐδὲ e.g.
οἰκείων οἰκείους K.
2. τινος N.Q.
συγγενῶν K.
3. Μιᾶς χώρας] Demetrius §. 113. Γῆς ὄντας μιᾶς, καὶ περιῤῥύτου. ubi Nostrum vocem Homericam usu sibi propriam fecisse ait. MSS. omnes χώρας. Puto respexisse Herodotum, qui I. 174. ἐούσης τε πάσης τῆς Κνιδίης, πλὴν ὀλίγης περιῤῥύου. Πάφον περιῤῥύτων Alcman dicit. Wass.
5. ξυγχωρησόμεθα I.
6. πάλιν] μᾶλλον L.
7. ἀθρόοι ἀεὶ ἢν B.F.H.L.N.O. P.d.e.f.i. ἀθρόοι αἰεὶ ἢν b.c.g.h. ἀθρόοι αἰεὶ εἰ K. vulgo omittunt ἀεί.
Ἀθρόοι, ἢν σωφρονῶμεν] Τὸ ἀεὶ, quod est in MSS. admittendum suadet sequens τολοιπόν. Wass.
8. σωφρονοῦμεν F.H.K.
9. κινδυνεύσομεν O.
10. οὐδέπω τε H.
11. γὰρ om. Q.
ποθοῦντες P.
ἐν τῷ d.
δυεῖν L.O.P.
12. στερησόμεθα e

65. Cujus auctoritati cum paruissent Sicilienses, et Atheniensium duces et ipsi pacis conditiones accepissent, hi, Athenas reversi, a populo suo partim exilio, partim multa damnantur, quod, cum Siciliam occupare potuissent, corrumpi se passi essent.

Τοιαῦτα τοῦ Ἑρμοκράτους εἰπόντος πειθόμενοι οἱ Σικελιῶται αὐτοὶ μὲν κατὰ σφᾶς αὐτοὺς ξυνηνέχθησαν γνώμῃ, ὥστε ἀπαλλάσσεσθαι τοῦ πολέμου ἔχοντες ἃ ἕκαστοι ἔχουσι, τοῖς δὲ Καμαριναίοις Μοργαντίνην εἶναι, ἀργύριον τακτὸν τοῖς Συρακοσίοις ἀποδοῦσιν· οἱ δὲ τῶν Ἀθηναίων ξύμμαχοι, παρακαλέσαντες αὐτῶν τοὺς ἐν τέλει ὄντας, εἶπον ὅτι ξυμβήσονται καὶ αἱ σπονδαὶ ἔσονται κἀκείνοις κοιναί. ἐπαινεσάντων δὲ αὐτῶν ἐποιοῦντο τὴν ὁμολογίαν, καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀπέπλευσαν μετὰ ταῦτα ἐκ Σικελίας. ἐλθόντας δὲ τοὺς στρατηγοὺς οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τοὺς μὲν φυγῇ ἐζημίωσαν, Πυθόδωρον καὶ Σοφοκλέα, τὸν δὲ τρίτον Εὐρυμέδοντα χρήματα ἐπράξαντο, ὡς ἐξὸν αὐτοῖς τὰ ἐν Σικελίᾳ καταστρέψασθαι δώροις πεισθέντες ἀποχωρήσειαν. οὕτω τῇ παρούσῃ εὐτυχίᾳ χρώμενοι ἠξίουν σφίσι μηδὲν ἐναντιοῦσθαι, ἀλλὰ καὶ τὰ δυνατὰ ἐν ἴσῳ καὶ τὰ ἀπορώτερα μεγάλῃ τε ὁμοίως καὶ ἐνδεεστέρᾳ παρασκευῇ κατεργά-

1. Πειθόμενοι] πεισθέντες. 2. Αὐτοὶ μὲν κατὰ σφᾶς αὐτοὺς] ὁμωσάσησαν ἀλλήλοις καθ' ἑαυτούς, μὴ κοινολογησάμενοι τοὺς λόγους τοῖς Ἀθηναίοις. 3. Γνώμῃ] σκέψει. 4. Μοργαντίνην] Σικελικὸν τέλισμα. 5. Τακτὸν] ὡρισμένον. Ἀποδοῦσιν] ἀντὶ τοῦ ἀποδοθῆναι. 6. Αὐτῶν] τῶν Ἀθηναίων δηλονότι. Τοὺς ἐν τέλει ὄντας] τοὺς περὶ Πυθόδωρον. 7. Εἶπον ὅτι ξυμβήσονται] ὡς ἂν εἰ ἔλεγεν, ὅτι οὐδὲν δέονται αὐτῶν εἰς ξυμμαχίαν ἔτι, καθὸ ἐσπείσαντο εἰς ἑαυτοὺς πάντες οἱ Σικελιῶται. τὸ δὲ παρακαλέσαντες ἀντὶ τοῦ εἰς ἑαυτοὺς καλέσαντες. Καὶ αἱ σπονδαὶ ἔσονται] οἷον τοῖς Ἀθηναίοις, ἵνα ἐάν τις βουληθῇ ἀπὸ Σικελίας πλεῦσαι κατ' αὐτῶν, συμβαλλόμενος Πελοποννησίοις, κωλύωσιν αὐτόν. 8. Κἀκείνοις] τοῖς συμμάχοις. Αὐτῶν] τῶν στρατηγῶν τῶν Ἀθηναίων. 13. Καταστρέψασθαι] δουλῶσαι. 16. Καὶ τὰ ἀπορώτερα] ἀδύνατα. 17. Κατεργάζεσθαι] νικᾷν.

1. πιθόμενοι f.
2. κατὰ τὸ σφᾶς Q.
ξυνήχθησαν d.i.
3. ἀπαλλάξεσθαι Q.
4. Μοργαντίνην] Vide Cluverii Siciliam lib. II. p. 335. et Casauboni notas ad Polybium p. 127. Ed. Amst. HUDS.
12. εὐθυμέδοντα d.i.
13. ἐν τῇ σικελίᾳ L.P.
14. ἐπεχώρησαν d.
τῇ τε παρούσῃ A.B.F.H.K.L. N.O.P.b.d.e.h.i.
16. ἀπορώτατα L.O.P.

ζεσθαι. αἰτία δ' ἦν ἡ παρὰ λόγον τῶν πλειόνων εὐπραγία αὐτοῖς, ὑποτιθεῖσα ἰσχὺν τῆς ἐλπίδος.

66. Megarenses et ab Atheniensibus et ab exsulibus pressi, partim hos recipere, partim cum Atheniensibus pacisci statuunt, hisque muros longos post etiam Megara, se tradituros promittunt.

Τοῦ δ' αὐτοῦ θέρους Μεγαρῆς οἱ ἐν τῇ πόλει, πιεζόμενοι ὑπό τε Ἀθηναίων τῷ πολέμῳ, ἀεὶ κατὰ ἔτος ἕκαστον δὶς ἐσβαλλόντων πανστρατιᾷ ἐς τὴν χώραν, καὶ ὑπὸ τῶν σφετέρων φυγάδων τῶν ἐκ Πηγῶν, οἳ στασιασάντων ἐκπεσόντες ὑπὸ τοῦ πλήθους χαλεποὶ ἦσαν λῃστεύοντες, ἐποιοῦντο λόγους ἐν ἀλλήλοις, ὡς χρὴ δεξαμένους τοὺς φεύγοντας μὴ ἀμφοτέρωθεν τὴν πόλιν φθείρειν. οἱ δὲ φίλοι τῶν ἔξω, τὸν θροῦν αἰσθόμενοι, φανερῶς μᾶλλον ἢ πρότερον καὶ αὐτοὶ ἠξίουν τούτου τοῦ λόγου ἔχεσθαι. γνόντες δὲ οἱ τοῦ δήμου προστάται οὐ δυνατὸν τὸν δῆμον ἑσόμενον ὑπὸ τῶν κακῶν μετὰ σφῶν καρτερεῖν, ποιοῦνται λόγους δείσαντες πρὸς τοὺς τῶν Ἀθηναίων στρατηγούς,

1. Αἰτία δ' ἦν] αἰτία δ' ἦν τοῦ ταῦτα νομίζειν ἡ ἐν τοῖς πλείστοις πράγμασιν εὐπραγία παρὰ προσδοκίαν τοῖς Ἀθηναίοις, ἡ ἐλπίδας ἰσχυρὰς παρεῖχε τῷ πάντα κατεργάζεσθαι δύνασθαι. 3. Τοῦ δ' αὐτοῦ θέρους] μετάβασις. 8. Ὡς χρὴ δεξαμένους τοὺς φεύγοντας] ὁ νοῦς τοιοῦτός ἐστιν· οἱ μὲν πλείονες τῶν Μεγαρέων ἐβούλοντο σπείσασθαι πρὸς τοὺς φυγάδας αὐτῶν· οἱ δὲ τοῦ δήμου προστάται, νομίζοντες ἀδύνατόν τι πρᾶγμα τοῦτο ἔσεσθαι, διὰ τὸ μὴ δύνασθαι καρτερεῖν (ὅ ἐστι συμπολιτεύεσθαι) τοὺς δημοτικοὺς μετὰ τῶν φυγάδων διὰ τὰ κακὰ τὰ μέλλοντα ἔσεσθαι παρὰ τῶν φυγάδων, αὐτοι τοῦτο δείσαντες λόγους προσέφερον. 10. Τῶν ἔξω] τῶν φυγάδων. Τὸν θροῦν]

1. παραλόγων F.H.K. παραλόγως L.O.P.e.i.
τῶν πλειόνων om. e.
3. πιεζόμενοι post ἀεὶ ponit N.
5. Erat decreto publico cautum, ut στρατηγοὶ Atheniensium, patrium jusjurandum jurantes, insuper jurarent, ὅτι καὶ δὶς ἀνὰ πᾶν ἔτος εἰς τὴν Μεγαρικὴν ἐμβαλοῦσι. Plutarch. in Pericle pag. 306. Duk.
ἐμβαλλόντων L. ἐμβαλόντων b. ἐκβαλόντων f. ἐμβάντων O.
8. λόγων g.
10. Τὸν θροῦν αἰσθόμενοι] Lexicon MS. Biblioth. Coislin. Montfauconii pag. 483. (Lex. Seg. p. 99, 7). Θροῦς, Θουκυδίδης δ'. sine interpretatione. Scholiastes editus hic exponit ἄλογον: corrupte, sine dubio. Cass. melius σύλλογον; quæ vox ut plurimum quidem circulos et cœtus sermones inter se serentium, sed nonnumquam etiam ipsos sermones notat. vid. Græv. ad Lucian. Revivisc. pag. 391. Rursus ita Thucyd. V. 7. et 30. Duk.
θροῦν] βοῦν I.
μάλιστα Q.
12. δήμου] μήδου g.

Ἱπποκράτην τε τὸν Ἀρίφρονος καὶ Δημοσθένην τὸν Ἀλκισθένους, βουλόμενοι ἐνδοῦναι τὴν πόλιν, καὶ νομίζοντες ἐλάσσω σφίσι τὸν κίνδυνον ἢ τοὺς ἐκπεσόντας ὑπὸ σφῶν κατελθεῖν. ξυνέβησάν τε πρῶτα μὲν τὰ μακρὰ τείχη ἑλεῖν Ἀθηναίους (ἦν δὲ σταδίων μάλιστα ὀκτὼ ἀπὸ τῆς πόλεως ἐπὶ τὴν Νίσαιαν τὸν λιμένα αὐτῶν), ὅπως μὴ ἐπιβοηθήσωσιν ἐκ τῆς Νισαίας οἱ Πελοποννήσιοι, ἐν ᾗ αὐτοὶ μόνοι ἐφρούρουν βεβαιότητος ἕνεκα τῶν Μεγάρων, ἔπειτα δὲ καὶ τὴν ἄνω πόλιν πειρᾶσθαι ἐνδοῦναι· ῥᾷον δ' ἤδη ἔμελλον προσχωρήσειν τούτου γεγενημένου. οἱ οὖν Ἀθηναῖοι, ἐπειδὴ ἀπό τε τῶν ἔργων καὶ τῶν λόγων παρεσκεύαστο ἀμφοτέροις, ὑπὸ νύκτα πλεύσαντες ἐς Μινῴαν τὴν Μεγαρέων νῆσον ὁπλίταις ἑξακοσίοις ὧν Ἱπποκράτης ἦρχεν, ἐν ὀρύγματι ἐκαθέζοντο, ὅθεν ἐπλίνθευον τὰ τείχη καὶ ἀπεῖχεν οὐ πολύ· οἱ δὲ μετὰ τοῦ Δημοσθένους, τοῦ ἑτέρου στρατηγοῦ, Πλαταιῆς τε φίλοι καὶ ἕτεροι περί-

67. Dolo proditores cum Atheniensibus portas longorum murorum occupant.

τὸν λόγων τὸν γιγνόμενον περὶ τῶν φυγάδων, τοῦ δεῖν δέχεσθαι αὐτούς. 2. Ἐνδοῦναι] αὐτοῖς δηλονότι. 7. Αὐτοὶ μόνοι] ἤτοι ἐκτὸς τῶν ἄλλων ξυμμάχων, ὧν εἶχων ἔξωθεν τῆς Πελοποννήσου. ἢ μόνοι λέγει ἀντὶ τοῦ ἐκτὸς τῶν Μεγαρέων. ἄνω δὲ πόλιν αὐτὰ τὰ Μέγαρα καλεῖ. 9. Τὴν ἄνω πόλιν] τὴν ἀκρόπολιν. 14. Ἐπλίνθευον τὰ τείχη] πλίνθους λαμβάνοντες ἐτείχιζον. 15. Ἀπεῖχεν οὐ πολύ] οὐκ ἀπεῖχε (φησί) τῶν Μεγάρων ἡ Μινῴα, ἣ αὐτὸ τὸ ὄρυγμα τὸ ἐν τῇ Μινῴᾳ. 16. Περίπολοι] τῶν φυλάκων οἱ μὲν ὀρυμένοι καλοῦνται, οἱ δὲ περίπολοι· ὀρυμένοι μὲν οὖν εἰσιν οἱ ἀεὶ παρακαθεζόμενοι καὶ

4. πρῶτον i.
7. μόνοι αὐτοὶ c.g.
8. μεγαρέων d.i.
9. ῥάδιον Q.
10. παραχωρήσειν c.g.
11. καὶ τῶν λόγων om. P.
12. Μινῴαν τὴν Μεγ. νῆσον] Promontorium erat juxta Strabonem, quem vide in principio libri noni. Huds. Add. quæ adnotantur supra ad III. 51. Duk.
13. μεγάρων K.
14. ἐπλινθεύοντο I.H.L.O.P.f.
15. τοῦ om. K.
16. περίπολοι] πολλοὶ P.

Περίπολοι] Suidas h. v. Vid. Petitum ad leges Atticas pag. 547. Nostrum pag. 519. Dionys. Halicarn. p. 618. Hesychium, Schol. Sophoclis p. 261. et Xenophontem p. 929. Wass. Agunt de περιπόλοις Atheniensium etiam Maussacus ad Harpocration. h. v. et Valesius ad Notas Maussaci. Adnotant hi ex Ulpiano ad Demosth. Olynth. III. et Artemidoro I. Ouirocrit.

πολοι ἐνήδρευσαν ἐς τὸν Ἐνυάλιον, ὅ ἐστιν ἔλασσον ἄποθεν. καὶ ἤσθετο οὐδεὶς, εἰ μὴ οἱ ἄνδρες οἷς ἐπιμελὲς ἦν εἰδέναι, τὴν νύκτα ταύτην. καὶ ἐπειδὴ ἔως ἔμελλε γίγνεσθαι, οἱ προδιδόντες τῶν Μεγαρέων οὗτοι τοιόνδε ἐποίησαν. ἀκάτιον ἀμφηρικὸν ὡς λῃσταὶ, ἐκ πολλοῦ τεθεραπευκότες τὴν ἄνοιξιν τῶν πυλῶν, εἰώθεσαν ἐπὶ ἀμάξῃ, πείθοντες τὸν ἄρχοντα, διὰ τῆς τάφρου παταχομίζειν τῆς νυκτὸς ἐπὶ τὴν θάλασσαν καὶ ἐκπλεῖν· καὶ πρὶν ἡμέραν εἶναι, πάλιν αὐτὸ τῇ ἀμάξῃ κομίσαντες ἐς τὸ τεῖχος κατὰ τὰς πύλας ἐσῆγον, ὅπως τοῖς ἐκ τῆς Μινώας Ἀθηναίοις ἀφανὴς δῇ εἶη ἡ φυλακὴ, μὴ ὄντος ἐν τῷ λιμένι πλοίου

πολιορκοῦντες, περίκοιλοι δὲ οἱ περιερχόμενοι καὶ περιπολοῦντες τὰ φρούρια ἐν τῇ φυλάττειν. 1. Ἔλασσον ἄπωθεν] ἔλασσον ἀπέχοντες ἤπερ οἱ ἐν τῷ ἱρύγματι καθήμενοι. πρὸς τὸ ἀπεῖχεν οὐ πολὺ τὸ ἔλασσον ἄπωθεν. 2. Ἤσθετο] τῶν Μεγαρέων δηλονότι. 3. Ἕως] ἡμέρα. Οἱ προδιδόντες] οἱ προδιδόντες δηλαδὴ τοῖς Ἀθηναίοις τὰ Μέγαρα, πλοῖον κατέφερον ἑκάστης νυκτὸς ἐπὶ θάλατταν, τεθεραπευκότες τὸν ἐπὶ τῶν πυλῶν ἄρχοντα ὅπως αὐτοὺς μὴ κωλύῃ, ὡς ὄῆθεν ἐπὶ λῃστείας ἐκπλέοντας τῶν Ἀθηναίων τῶν ἐν τῇ Μινῴᾳ φυλαττόντων, καὶ αὖθις πρὸ ἡμέρας ἀνέφερον αὐτὸ εἰς τὸ τεῖχος, ὅπως ἀφανὲς ὂῆθεν ᾖ τοῖς Ἀθηναίοις, τί χρὴ φυλάττεσθαι. οὐ γὰρ ὄντος οὐδενὸς ἐν τῷ Μεγαρικῷ λιμένι πλοίου φανεροῦ, διὰ τὸ ἐντὸς τειχῶν μεθ' ἡμέραν κρύπτεσθαι τὸ ἀκάτιον, ἄπορον ἦν γνῶναι τοῖς Ἀθηναίοις, ὑφ' ὧν τινῶν λῃστεύωνται. 5. Ἀκάτιον ἀμφηρικὸν] πλοιάριον ἑκατέρωθεν ἐρεσσόμενον, ἐν ᾧ

56. περιπόλους non fuisse eductos ad bella ὑπερόρια, id est, externa, quæ extra fines Atticæ gerebantur. Si de his agit Thucydides, quid ergo est, quod cum cetero exercitu in Megaridem profecti fuerunt? Nimirum quia Minoa jam ante ab Atheniensibus occupata, in eaque præsidium positum erat, ut est III. 51. ibi quoque περιπόλους videntur habuisse. Duk.

1. τῷ f.
ἐνάλιον P.Q.
3. εἰδέναι om. f.
4. αὖτοι τῶν μεγαρέων Q.
5. Ἀμφηρικὸν] Suidas h. v. ἀκάτιον—ἀμάξῃ, habet, πυλῶν, ἐκόμιζον τὸ πλοῖον ἀμάξῃ, posteriora sunt ipsius Lexicographi verba. Huc spectant Pollux et Hesych. in ἀμφηρικόν. Wass.
6. εἰώθεσαν] ἐνέθεσαν L.O. ἀνέθησαν P.
Εἰώθεσαν] Suidas in ἐωθὸς, ἐώθεσαν. Idem. Suidas ita in Thucydide esse dicit, sed numerum libri non addit. Duk.
ἀμάξῃ Q.
7. κομίζειν d.i.
τὴν om. g.
10. τὰς om. K.c.g.
ἀθηναίοις om. d.
11. εἴη ἡ] ἤδη K.

φανεροῦ μηδενός. καὶ τότε πρὸς ταῖς πύλαις ἤδη ἦν ἡ ἅμαξα, καὶ ἀνοιχθεισῶν κατὰ τὸ εἰωθὸς ὡς τῷ ἀκατίῳ οἱ Ἀθηναῖοι (ἐγίγνετο γὰρ ἀπὸ ξυνθήματος τὸ τοιοῦτον) ἰδόντες ἔθεον δρόμῳ ἐκ τῆς ἐνέδρας, βουλόμενοι φθάσαι, πρὶν ξυγκλεισθῆναι πάλιν τὰς πύλας καὶ ἔως ἔτι ἡ ἅμαξα ἐν αὐταῖς ἦν, κώλυμα οὖσα προσθεῖναι· καὶ αὐτοῖς ἅμα καὶ οἱ ξυμπράσσοντες Μεγαρῆς τοὺς κατὰ πύλας φύλακας κτείνουσι. καὶ πρῶτον μὲν οἱ περὶ τὸν Δημοσθένην Πλαταιῆς τε καὶ περίπολοι ἐσέδραμον, οὗ νῦν τὸ τροπαῖόν ἐστι, καὶ εὐθὺς ἐντὸς τῶν πυλῶν (ἤσθοντο γὰρ οἱ ἐγγύτατα Πελοποννήσιοι) μαχόμενοι τοὺς προσβοηθοῦντας οἱ Πλαταιῆς ἐκράτησαν, καὶ τοῖς τῶν Ἀθηναίων ὁπλίταις ἐπιφερομένοις βεβαίους τὰς πύλας παρέσχον. * ἔπειτα δὲ καὶ τῶν Ἀθηναίων ἤδη ὁ ἀεὶ ἐντὸς

68. Muris dein

ἕκαστος τῶν ἐλαυνόντων δικαιοῖ ἐρέττει. 1. Τότε] ὅτε προεδίδοντο τὰ Μέγαρα. 2. Ὡς τῷ ἀκατίῳ] ὡς τοῦ ἀκατίου μέλλοντος εἰσκομίζεσθαι. 4. Ἀπὸ ξυνθήματος] τῶν Μεγαρέων δηλονότι. 6. Κώλυμα οὖσα προσθεῖναι] ἀντὶ τοῦ κωλύουσα συγκλεισθῆναι. 10. Καὶ εὐθὺς ἐντὸς τῶν πυλῶν] ὑπερβατόν. τὸ δὲ ἑξῆς, καὶ εὐθὺς ἐντὸς τῶν πυλῶν μαχόμενοι τοὺς προσβοηθοῦντας οἱ Πλαταιῆς ἐκράτησαν. τοὺς δὲ προσβοηθοῦντας λέγει περὶ ὧν ἔφη διὰ μέσου, ἤσθοντο γὰρ οἱ ἐγγύτατα Πελοποννήσιοι. 13. Ἐπιφερομένοις]

1. ἤδη ἦν A.B.F.H.K.L.O.P. Q.c.d.e.f.g.h.i. vulgo ἦν ἤδη.
2. τὸ ἀκάτιον I.
5. ξυγκληθῆναι H.
ἔτι om. B.
6. Προσθεῖναι] Locus Herodoti est lib. III. cap. 78. in quo Suidas προσθεῖναι interpretatur ἀποκλεῖσαι. Pollux X. 25. προσθεῖναι τὴν θύραν. Duk.
αὐτοῖς A.B.F.H.I.K.L.N.O.P. b.c.d.e.f.g.h.i. vulgo αὐτοὶ.
7. κατὰ τὰς πύλας H.L.N.O. P.f.
8. ἀποκτείνουσι O.
13. ὁπλίταις om.g.
βεβαίους c.g.
14. δὲ om. g.

Ἤδη ὁ ἀεὶ ἐντὸς, etc.] Vox ἀεὶ hic loci non significat *semper*. Sic apud Diodorum et Dionem, οἱ ἀεὶ ὕπατοι non eos significant, qui perpetui sunt consules, sed omnes eos, qui consulatu funguntur unus post alium. ita apud Xenophontem Ἑλληνικῶν lib. 2. ἀεὶ ὁ ἀκούων δεδιὼς, hoc est, *cum ut quisque audiverat timeret*, sive, *cum timeret πᾶς ὁ ἀκούων*. Huds. Thucydides III. 77. Παρεσκευάζοντό τε ἅμα ἐξήκοντα ναῦς, καὶ τὰς ἀεὶ πληρουμένας ἐξέπεμπον πρὸς τοὺς ἐναντίους. Add. Scaliger. ad Propert. l. 18. 15. Duk.
ὁ om. P.

γιγνόμενος χωρεῖ ἐπὶ τὸ τεῖχος. καὶ οἱ Πελοποννήσιοι φρουροὶ τὸ μὲν πρῶτον ἀντισχόντες ἠμύνοντο ὀλίγοι, καὶ ἀπέθανόν τινες αὐτῶν, οἱ δὲ πλείους ἐς Φυγὴν κατέστησαν φοβηθέντες, ἐν νυκτί τε πολεμίων προσπεπτωκότων καὶ τῶν προδιδόντων Μεγαρέων ἀντιμαχομένων, νομίσαντες τοὺς ἅπαντας σφᾶς Μεγαρέας προδεδωκέναι. ξυνέπεσε γὰρ καὶ τὸν τῶν Ἀθηναίων κήρυκα ἀφ' ἑαυτοῦ γνώμης κηρῦξαι τὸν βουλόμενον ἰέναι Μεγαρέων μετὰ Ἀθηναίων θησόμενον τὰ ὅπλα. οἱ δ' ὡς ἤκουσαν, οὐκέτι ἀνέμενον, ἀλλὰ τῷ ὄντι νομίσαντες κοινῇ πολεμεῖσθαι κατέφυγον ἐς τὴν Νίσαιαν. ἅμα δὲ ἕῳ, ἐαλωκότων ἤδη τῶν τειχῶν καὶ τῶν ἐν τῇ πόλει Μεγαρέων θορυβουμένων, οἱ πρὸς τοὺς Ἀθηναίους πράξαντες καὶ ἄλλοι μετ' αὐτῶν, πλῆθος ὃ ξυνήδει, ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας καὶ ἐπεξιέναι ἐς μάχην. ξυνέκειτο δὲ αὐτοῖς τῶν πυλῶν ἀνοιχθεισῶν ἐσπίπτειν τοὺς Ἀθηναίους, αὐτοὶ δὲ διάδηλοι

occupatis, Peloponnesiisque custodibus Nisæam fugatis, consilium urbe potiundi, detecta proditione, ab urbanis irritum redditur.

τοῖς ἐπερχομένοις. 2. Ἀντισχόντες] ἦγον ἀντιστάντες. 6. Σφᾶς] ἦγον τοὺς Πελοποννησίους. Ξυνέπεσε] συνέβη. 9. Θησόμενον τὰ ὅπλα] ἦγον ἀποθησόμενον. Οἱ δ'] ἦγον οἱ Πελοποννήσιοι. 12. Οἱ πρὸς τοὺς Ἀθηναίους πράξαντες] ἦγον οἱ συνθέμενοι τοῖς Ἀθηναίοις. 15. Ξυνέκειτο δὲ αὐτοῖς] ἦγαν συμφωνία ἦν. 16. Ἐσπίπτειν] μετὰ βάρους εἰσέρχεσθαι.

1. ἐχώρει I.L.N.O.P.d.f.i.

Χωρεῖ ἐπὶ τὸ τεῖχος] Confer Diodorum XII. 320. Wass.

2. ἠμύναντο A.B.f.h.

7. τῶν om. Q.

9. Θησόμενον τὰ ὅπλα] Hic quoque, ut sæpe alibi, Interpretes θέσθαι τὰ ὅπλα vertunt, *arma deponere*. Diodorus l. d. aliter accepit: nam ita scribit, ἐκήρυξέ τις ἀφ' ἑαυτοῦ, τοὺς βουλομένους τίθεσθαι τὰ ὅπλα μετὰ Ἀθηναίων καὶ Μεγαρέων. Vid. ad cap. 44. Duk.

12. Οἱ πρὸς τοὺς Ἀθηναίους πράξαντες] Suidas in πράξαντες. Θουκυδίδης· Οἱ δὲ μετ' Ἀθηναίων πράξαντες (τουτέστι βουλευθέντες) ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας· ἔμελλον δὲ ἀνοιχθεισῶν εἰσπίπτειν τοῖς Ἀθηναίοις. Portus ibi ex conjectura συνεισπίπτειν. aliter MSS. Wass. Probat conjecturam Porti in Notis ad Suidam Kusterus. Utrumque fugit, ubi apud Thucydidem legerentur, quæ ibi habet Suidas: quod si scivissent, facile vidissent, hæc male a Suida descripta, vel a librariis corrupta, nec locum conjecturis esse. Duk.

13. ἄλλο Q.

14. ἔφθασαν P.

ἔμελλον ἔσεσθαι· λίπα γὰρ ἀλείψεσθαι, ὅπως μὴ ἀδικῶνται. ἀσφάλεια δὲ αὐτοῖς μᾶλλον ἐγίγνετο τῆς ἀνοίξεως· καὶ γὰρ οἱ ἀπὸ τῆς Ἐλευσῖνος κατὰ τὸ ξυγκείμενον τετρακισχίλιοι ὁπλῖται τῶν Ἀθηναίων καὶ ἱππῆς ἑξακόσιοι οἱ τὴν νύκτα πορευόμενοι παρῆσαν. ἀληλιμμένων δὲ αὐτῶν καὶ ὄντων ἤδη περὶ τὰς πύλας καταγορεύει τις ξυνειδὼς τοῖς ἑτέροις τὸ ἐπιβούλευμα. καὶ οἱ ξυστραφέντες ἀθρόοι ἦλθον, καὶ οὐκ ἔφασαν χρῆναι οὔτε ἐπεξιέναι (οὐδὲ γὰρ πρότερόν πω τοῦτο, ἰσχύοντες μᾶλλον, τολμῆσαι) οὔτε ἐς κίνδυνον φανερὸν τὴν πόλιν καταγαγεῖν· εἴ τε μὴ πείσεταί τις, αὐτοῦ τὴν μάχην ἔσεσθαι. ἐδήλουν δὲ οὐδὲν ὅτι ἴσασι τὰ πρασσόμενα, ἀλλ' ὡς τὰ βέλτιστα βουλεύοντες ἰσχυρίζοντο, καὶ ἅμα περὶ τὰς πύλας παρέμενον φυλάσσοντες, ὥστε οὐκ ἐγένετο τοῖς ἐπιβουλεύουσι πρᾶξαι ὃ ἔμελλον. * γνόντες δὲ οἱ τῶν Ἀθηναίων στρατηγοὶ ὅτι ἐναντίωμά τι ἐγένετο καὶ τὴν πόλιν βίᾳ οὐχ οἷοί τε ἔσονται λαβεῖν, τὴν Νίσαιαν εὐθὺς περιετείχιζον, νομίζοντες, εἰ πρὶν ἐπιβοηθῆσαί τινας ἐξέλοιεν, θᾶσσον ἂν καὶ τὰ Μέγαρα προσχωρῆσαι (παρεγένετο δὲ σίδηρός τε

69. Quare Athenienses statim ad oppugnationem Niseæ se accingunt, et opere biduo

1. Μὴ ἀδικῶνται] ἤγουν μὴ βλάπτωνται. 2. Ἀσφάλεια δὲ αὐτοῖς μᾶλλον ἐγίγνετο] ἀντὶ τοῦ, ἐν ἀσφαλείᾳ δὲ μᾶλλον ἔμελλον ἔσεσθαι ἀνοίξαντες τὰς πύλας. 5. Ἀληλιμμένων δὲ αὐτῶν] ἤγουν τῶν προδοτῶν. 6. Καταγορεύει] καταγγέλλει. 7. Τοῖς ἑτέροις] τοῖς μὴ εἰδόσι. Ξυστραφέντες] συσπειραθέντες. 8. Ἐπεξιέναι] κατὰ τῶν Ἀθηναίων. 11. Εἴ τε μὴ πείσεταί τις, αὐτοῦ τὴν μάχην ἔσεσθαι] εἴτε μὴ πείσονται οἱ ἀντιστασιῶται, τὴν μάχην ἔσεσθαι αὐ- πρὸς τοὺς Ἀθηναίους, ἀλλὰ πρὸς ἀλλήλους τοῖς Μεγαρεῦσιν. Ἐδήλουν δὲ οὐδὲν] ἀντὶ τοῦ οὐδὲ ὅλως ἐδήλουν. 15. Οἱ τῶν Ἀθηναίων στρατηγοὶ] οἱ ἐκνὸς ἔτι ὄντες τῶν Μεγάρων καὶ μήπω εἰσελθόντες. 19. Σίδηρός τε] λιθουρ-

1. ἀλείψασθαι P.
6. καὶ πελοποννήσιοι L.N.O.P. d.i.
ἤδη ὄντων O.c.g.
περὶ] ἐπὶ O.
7. ἑταίροις A.B.h.
8. οὔτε] οὐκέτι K.
10. οὔτε] Malim οὐδὲ.
φανερὰν L.O.
11. πείθεταί d.i.
12. οὐδὲ K.c.g.
εἴσασι K.
13. περὶ] παρὰ g.
16. οὐχ οἷοί τε ἔσονται βίᾳ c.g. βίᾳ οὐχ οἷόν τε ἔσονται I.
18. νομίσαντες g.
19. τὰ] κατὰ O.P.

ἐκ τῶν Ἀθηνῶν ταχὺ καὶ λιθουργοὶ καὶ τἆλλα ἐπιτήδεια), ἀρξάμενοι δ' ἀπὸ τοῦ τείχους ὃ εἶχον, καὶ διοικοδομήσαντες τὸ πρὸς Μεγαρέας ἀπ' ἐκείνου ἐκατέρωθεν ἐς θάλασσαν τῆς Νισαίας, τάφρον τε καὶ τείχη διελομένη ἡ στρατιὰ, ἔκ τε τοῦ προαστείου λίθοις καὶ πλίνθοις χρώμενοι, καὶ κόπτοντες τὰ δένδρα καὶ ὕλην ἀπεσταύρουν εἴ πῃ δέοιτό τι· καὶ αἱ οἰκίαι τοῦ προαστείου ἐπάλξεις λαμβάνουσαι αὐταὶ ὑπῆρχον ἕρυμα. καὶ ταύτην μὲν τὴν ἡμέραν ὅλην εἰργάζοντο. τῇ δ' ὑστεραίᾳ περὶ δείλην τὸ τεῖχος ὅσον οὐκ ἀπετετέλεστο, καὶ οἱ ἐν τῇ Νισαίᾳ δείσαντες, σίτου τε ἀπορίᾳ (ἐφ' ἡμέραν γὰρ ἐκ τῆς ἄνω πόλεως ἐχρῶντο) καὶ τοὺς Πελοποννησίους οὐ νομίζοντες ταχὺ ἐπιβοηθήσειν, τούς τε Μεγαρέας πολεμίους ἡγούμενοι, ξυνέβησαν τοῖς Ἀθηναίοις ῥητῷ μὲν ἕκαστον ἀργυρίου ἀπολυθῆναι, ὅπλα παραδόντας, τοῖς δὲ Λακεδαιμονίοις,

tantum non confecto, Peloponnesios ad deditionem cogunt.

γής. 6. Ὅλην] ἄλλην δηλονότι. Ἀπεσταύρουν] χαρακώματα ἐποίουν. 10. Ὅσον οὐκ ἀπετετέλεστο] ἀντὶ τοῦ παρὰ μικρὸν ἀπετελέσθη. Οἱ ἐν τῇ Νισαίᾳ] οἱ Πελοποννήσιοι δηλονότι. 12. Ἐχρῶντο] σίτῳ δηλονότι.

2. οἰκοδομήσαντες K.

5. τε om. L.O.

Λίθοις] Λίθοις—δέοιτό τι, Suidas in ἀπεσταύρουν. Wass. Suidas habet λίθοις δὲ καὶ πλίνθοις, et καὶ ὕλην ἐπιφέροντες, ἀπεσταύρουν. Addidit de suo ἐπιφέροντες, vel quod putaret non aliam esse ὕλην, quam δένδρα, vel certe hic non aliam intelligi posse. Scholiastes statuit ellipsin adjectivi ἄλλην, quem sequitur Stephanus Append. ad Script. de Dialect. pag. 120. Ἀπεσταύρουν Suidas exponit σταυροῖς ἔφραττον. Vid. ad II. 75. Duk.

7. εἶπον c.g. εἶπου e.f.

προαστίου H.

8. αὐταὶ A.B.F.H.L.N.O. vulgo αὖται.

9. δ'] τε d.

παρὰ O.P.

τὸ τεῖχος] τοῦ τείχους τοσοῦτον b.

10. οὐκ] οὔπω e.

ἀπετετέλεστο F.L.O.Q. τετέλεστο e.

13. ἐπιβοηθεῖν K.

14. Ξυνέβησαν] Diodor. lib. XII. pag. 320. c. Wass. Suidas, Ῥητόν. ὡρισμένον, φανερόν. Θουκυδίδης· Συνέβησαν—παραδόντας. Duk.

ἀργύριον P.

15. παραδόντες g. παραδιδόντες d.

τῷ τε ἄρχοντι καὶ εἴ τις ἄλλος ἐνῆν, χρῆσθαι Ἀθηναίους ὅ τι ἂν βούλωνται. ἐπὶ τούτοις ὁμολογήσαντες ἐξῆλθον. καὶ οἱ Ἀθηναῖοι τὰ μακρὰ τείχη ἀπορρήξαντες ἀπὸ τῆς τῶν Μεγαρέων πόλεως, καὶ τὴν Νίσαιαν παραλαβόντες, τἆλλα παρεσκευάζοντο.

70. Interim Brasidas Lacedæmonius, circa Corinthum expeditionem in Thraciam faciendam præparans, comperta re, quæ Megaris gesta erat, necdum Nisæam captam esse ratus, cum firma satis manu Me-

Βρασίδας δὲ ὁ Τέλλιδος Λακεδαιμόνιος κατὰ τοῦτον τὸν χρόνον ἐτύγχανε περὶ Σικυῶνα καὶ Κόρινθον ὢν, ἐπὶ Θράκης στρατιὰν παρασκευαζόμενος. καὶ ὡς ἤσθετο τῶν τειχῶν τὴν ἅλωσιν, δείσας περί τε τοῖς ἐν τῇ Νισαίᾳ Πελοποννησίοις, καὶ μὴ τὰ Μέγαρα ληφθῇ, πέμπει ἔς τε τοὺς Βοιωτοὺς κελεύων κατὰ τάχος στρατιᾷ ἀπαντῆσαι ἐπὶ Τριποδίσκιον, (ἔστι δὲ κώμη τῆς Μεγαρίδος, ὄνομα τοῦτο ἔχουσα, ὑπὸ τῷ ὄρει τῇ Γερανείᾳ), καὶ αὐτὸς ἔχων ἦλθεν ἑπτακοσίους μὲν καὶ δισχιλίους Κορινθίων ὁπλίτας,

Τῷ τε ἄρχοντι] ἡγοῦν τῷ ἄρχοντι τῶν Λακεδαιμονίων. 2. Ὁμολογήσαν-

2. ἂν om. g.
3. τῶν om. N.
6. τε i.
ὁ om. c.
τέλλιος d.i.
7. ἐτύγχανε γὰρ περὶ i.
καὶ ἐπὶ θρᾴκης L.O.
12. τριποδίσκων B.F.H.I.N.c.f. g.h.i. τὸ τριποδίσκον K. ceteri τριποδίσκου.

Ἐπὶ Τριποδίσκου] Usitatius est ἐπὶ Τριποδίσκων, quod hic habent plerique, iique optimi libri. Infra cap. 77. ἡτοιμάζετο ὡς ἐπὶ τὰς Σίφας, ὅταν δέῃ, ἀπαντησόμενος. Sic ἀπαντᾶν ἐπὶ τὸ δικαστήριον, et alia hujusmodi. Alibi cum εἰς dicit Thucydides III. 95. ἀπαντῆσαι τοῖς Ἀθηναίοις ἐς τὴν μεσόγειαν. Duk.

13. Γερανείᾳ] Vid. lib. I. cap. 107. 108. Oppidum vocant Plinius, Aristides: Scylax distinctius τεῖχος. Whelerus ad Olmiam Prom. in sinu Corinthiaco locat. Verum ex Sch. Pindari, Pausan. et Simonidis Epig. inedito patet, sinum Saronicum spectare, saxa adjacere Scyronia, et τὰ Ὦνια montes. vid. Plutarch. Cleom. 813. Arato 1041. Sed et hic *Molyridis petra*, unde Ino se in mare præcipitavit. testis Pausan. 108. vid. Solinum 7. Harpocrat. Γερανία scribitur, gentilia Γερανεὺς et Γερανειάτης. Adi Lucian. Icaromenippo p. 193. et Etymologum. Itaque non stricte accipiendus Statius, "Curva *Palæmo*-" *nio* secluditur unda *Lechæo*." Utroque enim litore Palæmonis arce Theb. VI. 14. ubi cum MS. Arond. *quotiens* rescribe. Wass.

14. ἦλθεν ἔχων f.
χιλίους c.

Φλιασίων, δὲ τετρακοσίους, Σικυωνίων δὲ ἑξακοσίους, καὶ τοὺς μεθ' αὑτοῦ, ὅσοι ἤδη ξυνειλεγμένοι ἦσαν, οἰόμενος τὴν Νίσαιαν ἔτι καταλήψεσθαι ἀνάλωτον. ὡς δὲ ἐπύθετο (ἔτυχε γὰρ νυκτὸς ἐπὶ τὸν Τριποδίσκον ἐξελθών), ἀπολέξας τριακοσίους τοῦ στρατοῦ, πρὶν ἔκπυστος γενέσθαι, προσῆλθε τῇ τῶν Μεγαρέων πόλει λαθὼν τοὺς Ἀθηναίους, ὄντας περὶ τὴν θάλασσαν, βουλόμενος μὲν τῷ λόγῳ, καὶ ἅμα, εἰ δύναιτο, ἔργῳ, τῆς Νισαίας πειρᾶσαι, τὸ δὲ μέγιστον, τὴν τῶν Μεγαρέων πόλιν εἰσελθὼν βεβαιώσασθαι. καὶ ἡᾳδίου δέξασθαι σφᾶς, λέγων ἐν ἐλπίδι εἶναι ἀναλαβεῖν Νίσαιαν. * αἱ δὲ τῶν Μεγαρέων στάσεις φοβούμε-

garis appropinquat. Cum autem de Nisææ deditione audisset, cum trecentis ferme electis militibus cupit Megara intrare, partim ut Nisæam recuperet, partim ut ipsam urbem satis tutam reddat.

71. Sed Megarensium fa-

τες] ἤγουν συμφωνήσαντες. 7. Τῷ λόγῳ] ἀντὶ τοῦ τῇ φήμῃ. 10. Σφᾶς] ἤγουν τοὺς περὶ αὐτόν. 11. Αἱ δὲ τῶν Μεγαρέων στάσεις] οἱ στασιάσαντες.

1. σικυωνίων δὲ] καὶ σικυωνίων L. om. I.O.P.d.e.i. cum ipso ἑξακοσίους.

καὶ om. L.

2. ἑαυτοῦ H.N.O.P.c.d.e.f.g.i.

4. ἐτύγχανε N.

ἐξελθεῖν Q.

ἀπολέξας τριακοσίους τοῦ στρατοῦ] om. c.g.

6. μεγάρων K.

8. πειρᾶσθαι e. cum Prisciano 18. p. 1198, 30.

10. Ἐν ἐλπίδι—Νίσαιαν] Thomas Mag. in βούλομαι. Wass.

11. Αἱ δὲ τῶν Μεγαρέων στάσεις] Non novum est, ut nominibus collectivis adjectiva vel participia diversi generis et numeri adponantur. Hic in verbis αἱ στάσεις φοβούμεναι, οἱ μὲν—οἱ δὲ. etiam alia figura est, nempe quod nominativus αἱ στάσεις pro genitivo partitivo, quem vocant, ponitur; ut in noto illo Homeri Odyss. μ'. v. 73. Οἱ δὲ δύω σκόπελαι, ἡ μὲν—τὴν δὲ, pro τῶν δύω σκοπέλων, ut ibi adnotat Eustathius pag. 1713. Eamdem figuram in Thucyd. I. 89. et infra cap. 94. observat Scholiastes. Sic rursus Thucyd. III. 105. οἱ δὲ Ἀκαρνᾶνες, οἱ μὲν—οἱ δὲ. Scholiastes Luciani ad Dialog. Mortuor. pag. 281. ubi Mercurius rhetorem cymbam Charontis ingressurum cum alia, tum βαρβαρισμοὺς deponere jubet, ad hanc vocem ita commentatur, ἐν σχήματι προφερόμενον τὸν λόγον, χάριτος ἕνεκεν. ὡς τὸ, οἱ δὲ δύο σκό. . . Habuit ante oculos locum Homeri. Sed neque illa, quam adfert, barbarismi definitio est, neque figura illa Homerica pro barbarismo haberi potest. Adnotatio hæc fortassis loco non suo posita est, et alio pertinet. Certe melius conveniebat illis, quæ leguntur in Lucian. Dial. Junonis et Latonæ pag. 212. Οἱ δὲ σοὶ παῖδες, ἡ μὲν αὐτῶν—ὁ δ' Ἀπόλλων. Dux.

μεγάρων Q.

ctiones, suo quæque timore motæ, eum non recipiunt.

ναι, οἱ μὲν μὴ τοὺς φεύγοντας σφίσιν ἐσαγαγὼν αὐτοὺς ἐκβάλῃ, οἱ δὲ μὴ αὐτὸ τοῦτο ὁ δῆμος δείσας ἐπιθῆται σφίσι, καὶ ἡ πόλις ἐν μάχῃ καθ' αὑτὴν οὖσα ἐγγὺς ἐφεδρευόντων Ἀθηναίων ἀπόληται, οὐκ ἐδέξαντο, ἀλλ' ἀμφοτέροις ἐδόκει ἡσυχάσασι τὸ μέλλον περιιδεῖν· ἤλπιζον γὰρ καὶ μάχην ἑκάτεροι ἔσεσθαι τῶν τε Ἀθηναίων καὶ τῶν προσβοηθησάντων, καὶ οὕτω σφίσιν ἀσφαλεστέρως ἔχειν, οἷς τις εἴη εὖνους, κρατήσασι προσχωρῆσαι· ὁ δὲ Βρασίδας, ὡς οὐκ ἔπεισεν, ἀνεχώρησε πάλιν ἐς τὸ ἄλλο στράτευμα.

72. Interim Bœoti, a Brasida arcessiti (c. 70.) et ipsi cupientes, adveniunt.

Ἅμα δὲ τῇ ἕῳ οἱ Βοιωτοὶ παρῆσαν, διανενοημένοι μὲν καὶ πρὶν Βρασίδαν πέμψαι βοηθεῖν ἐπὶ τὰ Μέγαρα ὡς οὐκ ἀλλοτρίου ὄντος τοῦ κινδύνου, καὶ ἤδη ὄντες παντρατιᾷ Πλαταιᾶσιν, ἐπειδὴ δὲ καὶ ἦλθεν ὁ ἄγγελος, πολλῷ μᾶλλον ἐρρώσθησαν, καὶ ἀποστείλαντες διακοσίους καὶ δισχιλίους ὁπλίτας καὶ ἱππέας ἑξακοσίους τοῖς πλείοσιν ἀπῆλθον πάλιν. παρόντος δὲ ἤδη ξύμπαντος τοῦ στρατεύματος, ὁπλιτῶν οὐκ ἔλασσον ἑξακισχιλίων, καὶ

3. Σφίσι] τοῖς Μεγαρεῦσιν. 4. Οὐκ ἐδέξαντο] τὸν Βρασίδαν. 5. Περιιδεῖν] περισκοπῆσαι. 7. Σφίσιν] τοῖς Μεγαρεῦσι. 11. Διανενοημένοι] σκοπὸν ἔχοντες. 12. Πέμψαι] ἄγγελον δηλονότι. 17. Ἀπῆλθον πάλιν]

2. τὸ αὐτὸ τοῦτο i.
ἐπιθῆται F.H. vulgo ἐπίθηται.
3. ἑαυτὴν N.
4. ἀπολεῖται A.B.H.Q.h. ἀπόλληται e. ἀπόλλυται b.
ἐπεδέξαντο c.
5. Περιιδεῖν] Thomas Mag. in περιορᾶν, περιΐδεῖν καὶ ἀντὶ τοῦ περισκοπῆσαι, et adfert ex hoc loco, ἀλλ' ἀμφοτέροις—περιΐδεῖν. Duk.
8. οἷς d.e.i. vulgo ὅς.
τις εἴη εὖνους] τι εἴη εὖνουν d.i. τισιν εὖνους e.
προχωρῆσαι L.O.P.
14. πλαταιάσιν A. πλαταίασιν B. πλαταιεῦσιν F.L.Q. om. O.P.
ἐπεὶ c.
καὶ ἤδη ἦλθεν d.
15. διακοσίους δὲ καὶ K.
16. χιλίους Q.d.i.
18. ἔλαττον A.B.b.d.e.f.h.i.
Ἔλασσον] Etsi autem hoc tantum unius Cod. MS. auctoritate nititur, tamen vel sine ea in contextum admitti potuisset; quum Grammatici veteres testentur, Thucydidem numquam in talibus gemino τ usum fuisse, quod supra plus semel monitum est. Duk.

τῶν Ἀθηναίων τῶν μὲν ὁπλιτῶν περὶ τὴν Νίσαιαν ὄντων καὶ τὴν θάλασσαν ἐν τάξει, τῶν δὲ ψιλῶν ἀνὰ τὸ πεδίον ἐσκεδασμένων, οἱ ἱππῆς οἱ τῶν Βοιωτῶν ἀπροσδοκήτοις ἐπιπεσόντες τοῖς ψιλοῖς ἔτρεψαν ἐπὶ τὴν θάλασσαν· ἐν γὰρ τῷ πρὸ τοῦ οὐδεμία βοήθειά πω τοῖς Μεγαρεῦσιν οὐδαμόθεν ἐπῆλθεν. ἀντεπεξελάσαντες δὲ καὶ οἱ τῶν Ἀθηναίων ἐς χεῖρας ἦεσαν, καὶ ἐγένετο ἱππομαχία ἐπὶ πολὺ, ἐν ᾗ ἀξιοῦσιν ἑκάτεροι οὐχ ἥσσους γενέσθαι. τὸν μὲν γὰρ ἵππαρχον τῶν Βοιωτῶν καὶ ἄλλους τινὰς οὐ πολλοὺς πρὸς αὐτὴν τὴν Νίσαιαν προσελάσαντες οἱ Ἀθηναῖοι καὶ ἀποκτείναντες ἐσκύλευσαν, καὶ τῶν τε νεκρῶν τούτων κρατήσαντες ὑποσπόνδους ἀπέδοσαν, καὶ τροπαῖον ἔστησαν· οὐ μέντοι ἔν γε τῷ παντὶ ἔργῳ βεβαίως οὐδέτεροι τελευτήσαντες ἀπεκρίθησαν, ἀλλ' οἱ μὲν Βοιωτοὶ πρὸς τοὺς ἑαυτῶν, οἱ δὲ ἐπὶ τὴν Νίσαιαν.

73. Uterque exercitus, acie instructa, quieacit, cujus rei causæ exponuntur.

Μετὰ δὲ τοῦτο Βρασίδας καὶ τὸ στράτευμα ἐχώρουν ἐγγυτέρω τῆς θαλάσσης καὶ τῆς τῶν Μεγαρέων πόλεως, καὶ καταλαβόντες χωρίον ἐπιτήδειον παραταξάμενοι ἡσύχαζον, οἰόμενοι σφίσιν ἐπιέναι τοὺς Ἀθηναίους, καὶ τοὺς

ἦγον ἐπανέστρεψαν εἰς τὰς Θήβας. 2. Τῶν δὲ ψιλῶν] τῶν Ἀθηναίων. 6. Οὐδαμόθεν] ἦγουν ἀπὸ οὐδενὸς τόπου. Ἀντεπεξελάσαντες] ἦγουν τοὺς ἵππους κινήσαντες. 7. Εἰς χεῖρας ἦεσαν] συνεπλάκησαν. Ἐπὶ πολὺ] διάστημα χρόνου δηλονότι. 12. Ἀπέδοσαν] τοῖς Βοιωτοῖς. 13. Τῷ παντὶ ἔργῳ] τῷ τῆς μάχης. 15. Πρὸς τοὺς ἑαυτῶν] ἐχώρησαν δηλονότι.

1. περὶ τὴν A.B.c. vulgo περί τε τὴν.
5. μηδεμία K.N.
πω om. L.O.e.
6. ἀπῆλθεν Q.
ἀντεξελάσαντες h.
10. προσελάσαντες] Stephanus quoque videtur probasse προσελάσαντας. Si distinctio post Νίσαιαν ponatur, vulgata scriptura aliquanto tolerabilior erit. Nam et alibi πρὸς cum accusativo de loco dicit Thucydides, pro *ad*, *apud*. Vid. III. 15. et 72. Duk.
13. παντὶ] παρόντι e.,
16. τοῦτο δὲ K.
18. ἐπιτήδειον καὶ παραταξάμενοι e.
ἡσύχαζον L.O.P.

Μεγαρέας ἐπιστάμενοι περιορωμένους ὁποτέρων ἡ νίκη ἔσται. καλῶς δὲ ἐνόμιζον σφίσιν ἀμφότερα ἔχειν, ἅμα μὲν τὸ μὴ ἐπιχειρεῖν προτέρους μηδὲ μάχης καὶ κινδύνου ἐκόντας ἄρξαι, ἐπειδή γε ἐν φανερῷ ἔδειξαν ἑτοῖμοι ὄντες ἀμύνεσθαι, καὶ αὐτοῖς ὥσπερ ἀκοντὶ τὴν νίκην δικαίως ἂν τίθεσθαι, ἐν τῷ αὐτῷ δὲ καὶ πρὸς τοὺς Μεγαρέας ὀρθῶς ξυμβαίνειν. εἰ μὲν γὰρ μὴ ὤφθησαν ἐλθόντες, οὐκ ἂν ἐν τύχῃ γίγνεσθαι σφίσιν, ἀλλὰ σαφῶς ἂν ὥσπερ ἡσσηθέντων στερηθῆναι εὐθὺς τῆς πόλεως· νῦν δὲ κἂν τυχεῖν αὐτοὺς Ἀθηναίους μὴ βουληθέντας ἀγωνίζεσθαι, ὥστε ἁμαχεὶ ἂν περιγενέσθαι αὐτοῖς ὧν ἕνεκα ἦλθον. ὅπερ καὶ ἐγένετο. οἱ γὰρ Μεγαρῆς, ὡς οἱ Ἀθηναῖοι ἐτάξαντο μὲν

1. Περιορωμένους] ἀντὶ τοῦ περιορῶντας. Ὁποτέρων ἡ νίκη ἔσται] εἴτε τῶν Ἀθηναίων εἴτε τῶν Λακεδαιμονίων. 6. Ὀρθῶς ξυμβαίνειν] εἰ μὲν γὰρ οἱ Λακεδαιμόνιοι, ἀμελήσαντες Μεγαρέων, μὴ βοηθήσοντες παρεγένοντο, οὐκ ἂν ἔμελλον οἱ Μεγαρεῖς ἐν τῇ τύχῃ σκοπεῖν καὶ τὸ μέλλον ἔσεσθαι περιμένειν. ἤγουν, εἰ οἱ Λακεδαιμόνιοι παρόντες νικήσουσιν, ἀλλ' εὐθὺς ὡς σαφῶς Λακεδαιμονίων ἡσσηθέντων, Ἀθηναίοις ἔμελλον ἑαυτοὺς παραδώσειν. νῦν δὲ πρὸς τούτῳ, καὶ Ἀθηναίους ἂν τυχεῖν πολεμήσειν μὴ βουληθέντας. 7. Οὐκ ἂν ἐν τύχῃ γίγνεσθαι σφίσιν] οὐκ ἂν ἐπὶ τῇ τύχῃ θέσθαι τοὺς Μεγαρεῖς τὸ μέλλον, καὶ περιμένειν ὁπότεροι κρατήσουσιν. ἡ δὲ διάνοια· εἰ μὴ ὤφθησαν οἱ Πελοποννήσιοι ὑπὸ τῶν Μεγαρέων ἐλθόντες, οὐκ ἂν οἱ Μεγαρεῖς ἐν ἐλπίδι τινὸς ἐγένοντο, ἀλλὰ, καθάπερ ἡττηθέντων Λακεδαιμονίων καὶ διὰ τοῦτο μὴ παραγενομένων, ὡς οὐκ οὔσης αὐτοῖς βοηθείας, εὐθὺς ἂν τοῖς Ἀθηναίοις ὡς νενικηκόσι παρέδοσαν τὴν πόλιν. ὥστε σαφῶς στερηθῆναι τοὺς Λακεδαιμονίους τῶν Μεγάρων· νῦν δὲ ἐλθόντες οἱ Λακεδαιμόνιοι ἐν ἐλπίδι ἐγένοντο κρατήσειν

1. Περιορωμένους] Vide Suidam in περιορᾶσθαι. Wass. Et Thom. Magist. in περιορῶ, qui hic περιορᾶσθαι recte interpretatur περισκοπεῖν. Duk.

2. καλῶς] καὶ ὡς P.
ἔχειν om. e.

3. τὸ ἐπιχειρεῖν e.

4. ἄρξασθαι f.
ἐπειδὴ—ἔδειξαν] om. I.L.O. P.e.

5. ἀκοντὶ d. ἀνοντὶ e.
τὴν νίκην δικαίως ἂν A.B.H.I.K. L.O.P.Q.c.d.e.f.g.h.i. vulgo δικαίως ἂν τὴν νίκην.

7. οὐκ ἂν om. O.P.

11. ἁμαχεὶ A.B.F.H.N. vulgo ἀμαχητί.

Ἀμαχητί] l. ἁμαχεὶ, quomodo Xenoph. Plutarch. Dion. Halic. sæpe ἀμαχητὶ, et semel Joseph. Noster utrumque adhibet. Vid. V. 7. VII. 14. VIII. 105. Wass. Omnibus his locis, ut et I. 143. est ἁμαχεί. Duk.

παρὰ τὰ μακρὰ τείχη ἐξελθόντες, ἡσύχαζον δὲ καὶ αὐτοὶ μὴ ἐπιόντων, λογιζόμενοι καὶ ὁ ἐκείνων στρατηγὸς μὴ ἀντίπαλον εἶναι σφίσι τὸν κίνδυνον, ἐπειδὴ καὶ τὰ πλείω αὐτοῖς προεκεχωρήκει, ἄρξασι μάχης πρὸς πλείονας αὐτῶν ἢ λαβεῖν νικήσαντας Μέγαρα ἢ σφαλέντας τῷ βελτίστῳ τοῦ ὁπλιτικοῦ βλαφθῆναι, τοῖς δὲ ξυμπάσης τῆς δυνάμεως καὶ τῶν παρόντων μέρος ἕκαστον κινδυνεύειν εἰκότως ἐθέλειν τολμᾶν, χρόνον δὲ ἐπισχόντες, καὶ ὡς οὐδὲν ἀφ' ἑκατέρων ἐπεχειρεῖτο, ἀπῆλθον πρότερον οἱ Ἀθηναῖοι ἐς τὴν Νίσαιαν καὶ αὖθις οἱ Πελοποννήσιοι ὅθεν περ ὡρμήθησαν. * οὕτω δὴ τῷ μὲν Βρασίδᾳ αὐτῷ καὶ τοῖς 74. Lacedæmo-

τῶν Μεγαρίων, εἰ μὴ οἱ Ἀθηναῖοι μὴ βούλοιντο διαγωνίζεσθαι. 2. Μὴ ἐπιόντων] τῶν Λακεδαιμονίων. Λογιζόμενοι] ἐνήλλακται ἡ πτῶσις, ἀντὶ τοῦ λογιζομένων καὶ τῶν ἐκείνων στρατηγῶν, τουτέστι τῶν Ἀθηναίων. ἡ δὲ διάνοια τῶν Ἀθηναίων οἱ στρατηγοὶ παρετάξαντο μὲν ὡς ἐς μάχην, ἡσύχαζον δὲ, λογιζόμενοι μὴ ἴσον εἶναι τὸν κίνδυνον αὐτοῖς τε καὶ τοῖς Πελοποννησίοις. ἀναλογιζόμενοι ὅτι νικήσαντες μὲν μικρὰ κερδαίνουσι, Μέγαρα λαβόντες, νικηθέντες δὲ τὸ κράτιστον τῆς πόλεως ἀπολέσουσι. τὸ γὰρ μαχιμώτερον καὶ κράτιστον ἦν αὐτόθι τῶν Ἀθηναίων. Ἐκείνων] τῶν Ἀθηναίων. 6. Τοῖς δὲ] οἱ δὲ Πελοποννήσιοι, στολὴν μὲν ἔχοντες δύναμιν αὐτόθι, ἀφ' ἑκάστης δὲ πόλεως αὐτοῖς ὀλίγου μέρους παρόντος, οὐκ ἐφοβοῦντο τὴν ἧτταν, νομίζοντες, εἰ καὶ κατὰ κράτος ἡττηθεῖεν, οὐ μεγάλως βλάψειν τὰς πατρίδας. 8. Ἐπισχόντες] ἑκάτεροι δηλονότι. 9. Ἀπῆλθον] οἱ Ἀθηναῖοι πρὸ τοῦ ἀπελθεῖν τοὺς Λακεδαιμονίους. 11. Ὡρμήθησαν] ἦλθον. Τοῖς ἀπὸ τῶν πόλεων ἄρ-

1. περὶ] L.O.P.
μικρὰ c.g.

3. Ἀντίπαλον] Alibi hostes ita vocat. Isocrates Paneg. p. 83. Οὐ μὴν ἀλλὰ καὶ περὶ καλλίστων ἐν ἐκείνοις τοῖς χρόνοις ἐφιλονείκησαν, οὐκ ἐχθροὺς, ἀλλ' ΑΝΤΑΓΩΝΙΣΤΑ'Σ, σφᾶς αὐτοὺς εἶναι νομίζοντες. WASS.

4. προεκεχωρήκει P.
ἄρξασθαι d.i.

5. βελτίστῳ] πλείστῳ c.f.g.
Τῷ βελτίστῳ τοῦ ὁπλιτικοῦ] Thomas Magister in βλαφθέντες habet τῷ μεγίστῳ. Potuit ita invenisse in suo exemplari. Nam et in Reg. alia scriptura est. Sed non est cur discedatur a vulgata. Sic III. 98. in prœlio adversus Ætolos dicit periisse Athenienaium CXX ὁπλίτας, βελτίστους ἄνδρας. In eo autem fallitur Thomas, quod βλαβέντες et βλαβῆναι rejicit, ut ἀνάττικα. Βλαβῆναι dicit Thucydides I. 141. Add. Stephanum Append. ad al. Script. de Dialect. p. 147. 156. DUK.

9. οὐδένα ἀφ' ἑκάτερον d.i.

11. περ ὡρμήθησαν] περιορμήθησαν P. περ om. e.

nii tandem a Megarensibus recipiuntur in urbem, exsules reducuntur, amnestia promissa. Sed illi, postquam magistratus assecuti sunt, centum ex inimicis suis a populo condemnatos occidunt. Oligarchia Megaris exstitit.

ἀπὸ τῶν πόλεων ἄρχουσιν οἱ τῶν φευγόντων φίλοι Μεγαρῆς, ὡς ἐπικρατήσαντι καὶ τῶν Ἀθηναίων οὐκέτι ἐθελησάντων μάχεσθαι, θαρσοῦντες μᾶλλον ἀνοίγουσί τε τὰς πύλας, καὶ δεξάμενοι, καταπεπλημμένων ἤδη τῶν πρὸς τοὺς Ἀθηναίους πραξάντων, ἐς λόγους ἔρχονται. καὶ ὕστερον ὁ μὲν διαλυθέντων τῶν ξυμμάχων κατὰ πόλεις, ἐπανελθὼν καὶ αὐτὸς ἐς τὴν Κόρινθον, τὴν ἐπὶ Θρᾴκης στρατείαν παρεσκεύαζεν, ἵνα περ καὶ τὸ πρῶτον ὥρμητο· οἱ δὲ ἐν τῇ πόλει Μεγαρῆς, ἀποχωρησάντων καὶ τῶν Ἀθηναίων ἐπ' οἴκου, ὅσοι μὲν τῶν πραγμάτων πρὸς τοὺς Ἀθηναίους μάλιστα μετέσχον, εἰδότες ὅτι ὤφθησαν, εὐθὺς ὑπεξῆλθον, οἱ δὲ ἄλλοι κοινολογησάμενοι τοῖς τῶν φευγόντων φίλοις κατάγουσι τοὺς ἐκ Πηγῶν, ὁρκώσαντες πίστεσι μεγάλαις μηδὲν μνησικακήσειν, βουλεύσειν δὲ τῇ πόλει τὰ ἄριστα. οἱ δὲ ἐπειδὴ ἐν ταῖς ἀρχαῖς ἐγένοντο καὶ ἐξέτασιν ὅπλων ἐποιήσαντο, διαστήσαντες τοὺς

χουσιν] ἦγον τοῖς συμμάχοις τοῦ Βρασίδου. 4. Δεξάμενοι] τὸν Βρασίδαν δηλονότι. Τῶν πρὸς τοὺς Ἀθηναίους πραξάντων] ἦγον τῶν προδοτῶν. 11. Εἰδότες ὅτι ὤφθησαν] ἐφωράθησαν. 13. Ὁρκώσαντες] εἰς ὅρκους ἐμβαλόντες. 15. Οἱ δὲ] οἱ φυγάδες. Ἐπειδὴ ἐν ταῖς ἀρχαῖς ἐγένοντο]

2. οὐκ, omisso ἔτι, A.
5. τοὺς om. H.K.L.N.O.g.
6. συμμάχων B.F.Q.c.d.e.g.
12. ἐξῆλθον N.
13. ὁρκίσαντες L.O.P.Q. Conf. Lobeck. ad Phrynich. p. 361.

Ὁρκώσαντες] Thom. Magist. in βούλομαι, ὁρκώσαντες μηδὲν μνησικακήσειν. Wass. Pro ἐν τῇ ἕκτῃ apud Thomam scribendum est ἐν τῇ τετάρτῃ. Ὁρκώσαντες, an ὁρκίσαντες, quod quidam MSS. habent, legas, parum interest. Nam utrumque eadem significatione dicitur. Xenoph. VI. Græc. p. 602. Καὶ ἐκέλευσαν τὰ μέγιστα τέλη ἐν ἑκάστῃ πόλει ὁρκῶσαι. Idem Symp. p. 882. Οὐδενὸς γὰρ ὁρκίζοντος ἀεὶ ὀμνύοντες. Sed plerique libri hic habent ὁρκώσαντες, quod et Thomas agnoscit. Et Thucyd. VIII. 75. ὅρκωσαν πάντας τοὺς στρατιώτας τοὺς μεγίστους ὅρκους. Paullo ante Cod. Clar. non recte ἐξῆλθον, pro ὑπεξῆλθον. Dicit Thucydides eos se clam subduxisse: hoc enim est ὑπεξελθεῖν. Vid. III. 34. Lucian. in Dialog. marin. p. 242. Ἔλαθεν ὑπεξελθών σε. Duk.

16. Καὶ ἐξέτασιν ὅπλων ἐποιήσαντο] ἐξέτασιν ὅπλων ποιεῖσθαι est *exercitum recensere*. Xenophon ἐξέτασιν ἐν τοῖς ὅπλοις ποιεῖσθαι dicit: II. Cyrip. p. 56. Ἐξέτασιν δέ ποτε τοῦ Κύρου πάντων ποιουμένου

λόχους, ἐξελεξαντο τῶν τε ἐχθρῶν καὶ οἱ ἐδόκουν μάλιστα ξυμπρᾶξαι τὰ πρὸς τοὺς Ἀθηναίους ἄνδρας ὡς ἑκατόν, καὶ τούτων πέρι ἀναγκάσαντες τὸν δῆμον ψῆφον φανερὰν διενεγκεῖν, ὡς κατεγνώσθησαν, ἔκτειναν, καὶ ἐς ὀλιγαρχίαν τὰ μάλιστα κατέστησαν τὴν πόλιν. καὶ πλεῖστον δὴ χρόνον αὕτη ὑπ' ἐλαχίστων γενομένη ἐκ στάσεως μετάστασις ξυνέμεινεν.

75. Athenienses Antandrum, ab exsulibus Lesbiis ipsis ereptam, recipiunt.

Τοῦ δ' αὐτοῦ θέρους τῆς Ἀντάνδρου ὑπὸ τῶν Μυτιληναίων, ὥσπερ διενοοῦντο, μελλούσης κατασκευάζεσθαι, οἱ τῶν ἀργυρολόγων Ἀθηναίων στρατηγοὶ, Δημόδοκος καὶ Ἀριστείδης, ὄντες περὶ Ἑλλήσποντον (ὁ γὰρ τρίτος αὐτῶν Λάμαχος δέκα ναυσὶν ἐς τὸν Πόντον ἐσεπεπλεύκει), ὡς ᾐσθάνοντο τὴν παρασκευὴν τοῦ χωρίου, καὶ ἐδόκει αὐτοῖς δεινὸν εἶναι μὴ ὥσπερ τὰ Ἄναια ἐπὶ τῇ Σάμῳ γένηται, ἔνθα οἱ φεύγοντες τῶν Σαμίων καταστάντες τούς τε Πελοποννησίους ὠφέλουν ἐς τὰ ναυτικὰ, κυβερνήτας πέμποντες, καὶ τοὺς ἐν τῇ πόλει Σαμίους ἐς ταραχὴν καθίστασαν καὶ τοὺς ἐξιόντας ἐδέχοντο, οὕτω δὴ ξυναγείραντες

ἀντὶ τοῦ ἐκείδη ἄρχειν ἠρίθμησαν. 8. Τοῦ δ' αὐτοῦ θέρους] μετάβασις.

ἐν τοῖς ὅπλοις, καὶ σύνταξιν. Et v. Ἀναβάσ. p. 349. Καὶ ἐξέτασις ἐν τοῖς ὅπλοις γίνεται καὶ ἀριθμὸς, καὶ ἐγένοντο ἑπτακισχίλιοι καὶ ἑξακόσιοι. Duk.

1. ὄχλους c.
2. τοὺς om. g.
3. φανερὰν ψῆφον c.
6. γενομένη A.F.H.K.N.c.f.g.h. vulgo νεμομένη.

Νεμομένη] Γενομένη, quod habent non contemnendi MSS. intelligi potest. An νεμομένη μετάστασις commodo sensu exponi possit, videbunt alii. Ego non adsequor. Duk.

7. συνέμεινεν H.K.

8. Τῆς Ἀντάνδρου] Confer Diodorum lib. XII. pag. 322. ubi pro Ἀριστείδην καὶ Σύμμαχον lege omnino Ἀριστείδην καὶ Δημόδοκον. Wass. De hoc consilio exsulum Mitylenæorum et aliorum Lesbiorum est supr. cap. 52. Duk.

9. παρασκευάζεσθαι N.
12. λαμάχας c.g.
ἐπεπλεύκει d.
14. δεινὸν] δίκαιον e.
τὰ ἄναια] ἄνω Q.

Τὰ Ἄναια] Vid. ad lib. III. cap. 19. et 32. Duk.

15. τῇ om. d.i.

ἀπὸ τῶν ξυμμάχων στρατιὰν καὶ πλεύσαντες, μάχῃ τε νικήσαντες τοὺς ἐκ τῆς Ἀντάνδρου ἐπεξελθόντας, ἀναλαμβάνουσι τὸ χωρίον πάλιν. καὶ οὐ πολὺ ὕστερον ἐς τὸν Πόντον ἐσπλεύσας Λάμαχος, ἐν τῇ Ἡρακλεώτιδι ὁρμήσας ἐς τὸν Κάληκα ποταμὸν, ἀπόλλυσι τὰς ναῦς, ὕδατος ἄνωθεν γενομένου καὶ κατελθόντος αἰφνιδίου τοῦ ῥεύματος. αὐτός τε καὶ ἡ στρατιὰ πεζῇ διὰ Βιθυνῶν Θρᾳκῶν, οἳ εἰσι πέραν ἐν τῇ Ἀσίᾳ, ἀφικνεῖται ἐς Χαλκηδόνα, τὴν ἐπὶ τῷ στόματι τοῦ Πόντου Μεγαρέων ἀποικίαν.

76. Βœoti cum Hippocrate

Ἐν δὲ τῷ αὐτῷ θέρει καὶ Δημοσθένης Ἀθηναίων στρατηγὸς τεσσαράκοντα ναυσὶν ἀφικνεῖται ἐς Ναύπακτον,

7. Βιθυνῶν Θρᾳκῶν] σημείωσαι ὅτι καὶ οἱ Βιθυνοὶ Θρᾷκες. 8. Τὴν ἐπὶ τῷ

1. ἀπὸ—πλεύσαντες om. B.b.

2. ὑπεξελθόντας B.f. ἐπελθόντας d.

3. καὶ ἐκ f.

τὸν om. d.

4. ὁρμήσας A.B.F.H.K.N.Q. d.f.h.i. vulgo ὁρμίσας.

5. κάλικα d. κάλυκα L.O.

Κάληκα] Hujus fluvii nomen apud Auctores multum variat. Arrianus in Periplo Κάληται vocat, Diodorus Κάχητα. Sed Memnon, cui magis credendum, utpote Heracleotæ et Bithyniæ vicino, Κάλλητα nominat. hodie etiam *Chelit* dicitur, ut ait Belonius in suis Observationibus. *Palmerius* in Exercitat. pag. 51. Huds. Κάλητα vocat Eustathius ad Dionys. Perieg. v. 793. Thraces Bithyniæ incolas memorat ibid. ex Herodoto VII. 75. Add. Strab. XII. p. 541. Duk.

6. καὶ om. L.O.P.Q.

8. Χαλκηδόνα] Veram scripturam hujus nominis esse Καλχηδὼν non infirmis argumentis evincit Spanhemius Dissert. II. de Præstant. et Usu Numism. Antiq. p. 117. et Exercitat. II. de Orbe Rom. cap. 18. ubi locis veterum, in quibus perperam Καρχηδὼν pro Καλχηδὼν scriptum observat, add. et alia apud Bochart. I. Chanaan. c. 26. et Palmer. in Exercit. ad Equit. Aristoph. v. 194. et 1299. Duk.

τὴν om. d.

11. Ναύπακτον] Ptolem. Locris adscribit, Ætolis alii. In Mediterraneis locat Mela, quem nomen ipsum ἀπὸ ναυπηγίας ductum redarguit. Maxime vero Wheleri Tabula, Itin. p. 299. Hodie *Epactos*, Turcis *Einebrachi*. Historiam et fortunas ejus dabunt Xenoph. Hist. Gr. IV. 532. Polyb. IV. 16. Livius XXXVI. 30. Pausan. IV. 339. IX. 759. Polyænus I. 9. Hirtius B. Civil. III. 35. Cantacuzen. 321. Theopompus apud Suidam v. φρουρήσεις. Βοντίτζης, Ναυπάκτου Βοθρεντοῦ civitates jungit A. Comnena p. 37. ubi MS. Seguer. pro ἐξορκεῖται habet ἐξηγεῖται. A. C. MCCCCVIII. Venetis dedit Emman. Palæologus,

εὐθὺς μετὰ τὴν ἐκ τῆς Μεγαρίδος ἀναχώρησιν. τῷ γὰρ Ἱπποκράτει καὶ ἐκείνῳ τὰ Βοιώτια πράγματα ἀπό τινων ἀνδρῶν ἐν ταῖς πόλεσιν ἐπράσσετο, βουλομένων μεταστῆσαι τὸν κόσμον καὶ ἐς δημοκρατίαν, ὥσπερ οἱ Ἀθηναῖοι, τρέψαι· καὶ Πτοιοδώρου μάλιστ' ἀνδρὸς φυγάδος ἐκ Θηβῶν ἐσηγουμένου τάδε αὐτοῖς παρεσκευάσθη. Σίφας μὲν ἔμελλόν τινες προδώσειν· αἱ δὲ Σίφαι εἰσὶ τῆς Θεσπικῆς γῆς ἐν τῷ Κρισαίῳ κόλπῳ ἐπιθαλασσίδιοι. Χαιρώνειαν δὲ, ἣ ἐς Ὀρχομενὸν τὸν Μινύειον πρότερον κα-

et Demosthene de mutatione publici status urbium Bœotiarum consilia ineunt. Siphæ et Chæronea ut tradantur, Delium ut expugnetur ab Atheniensibus, constituitur.

στόματι τοῦ Πόντου] τὴν κατὰ τὸ Βυζάντιον. 3. Ἐπράσσετο] ἀντὶ τοῦ προεδίδοτο. 4. Τὸν κόσμον] ἤτοι τὴν πολιτείαν.

MCCCCXCIX. vi cepit Bajazetes II. Pro *Naupactum* apud Plin. IV. 2. rectius MS. Chifflet. *Naupactos*, ut Epiros. Ita scribit et Mela. Wass.

4. τὸν κόσμον] τὴν πολιτείαν K.

Κόσμον] Ita MSS. et Schol. τὴν πολιτείαν Gr. ex interpretamento. Vid. VI. 18. et 41. De statu pristino, sive *loco*, Hippocrates περὶ Γυναικ. uterus οὐκ ἐν κόσμῳ ἐστί. Noster Herodotum sequitur, qui I. 98. κόσμον τόνδε καταστησάμενος eodem sensu dixerat. κόσμων πολιτείας Aristot. et Isocrates Panath. Wass. Thucydides VIII. 48. Ἡ ὅτῳ τρόπῳ ἐκ τοῦ παρόντος κόσμου τὴν πόλιν μεταστήσας ὑπὸ τῶν ἑταίρων παρακληθεὶς κάτεισι. Dux.

5. πτοιοδόρου I.K.

Πτοιοδόρου] Hujus meminit Plutarchus in Dione. Huds. Ratio temporis vix patitur, ut idem esse possit is, de quo hic agit Thucydides, et quem Plutarchus memorat. Nam inter annum VIII. belli Peloponnesiaci et exsilium Dionis in Græcia, qui Ptœodorum Megaris convenit, interjecti sunt anni circiter LX. Sed et Plutarchus Ptœodorum illum Megarensem fuisse significat, et alia de eo narrat, quæ huic non conveniunt. Dux.

6. παρεσκευάσθη τι σίφας P.

7. προδώσειν B.F.H.N.d.f.h.i. vulgo παραδώσειν.

τῆς om. i.

9. Ἐς Ὀρχομενὸν τὸν Μινύειον] Adeundi sunt Strabo IX. p. 401. 411. et 414. Pausanias IX. 36. et Eustath. in Iliad. β'. p. 272. Ὀρχομενὸν Μινύειον dicit Homer. Iliad. β'. v. 511. et Theocrit. Idyll. XVI. v. 104. ubi in Scholiaste pro Ὀργίλῳ τῷ Ὀρχομενίῳ legendum est Ἐργίνῳ τ. Ὀ. ex Apollodoro et aliis. Βοιώτιον, non, ut hic in plerisque libris, Βοιώτειον etiam Eustathius scribit l. d. sed Stephanus in Βοιωτία· τὸ ἐθνικὸν Βοιωτός, λέγεται καὶ Βοιώτιος, καὶ Βοιωτία. Et Etymol. M. in ἀμβρίσιος, Βοιώτιος scribi jubet, ut Αἰγύπτιος, non Βοιώτειος. Dux.

τὸν om. b.

μινύιον H. μινῦιον A.F.Q.

λούμενον νῦν δὲ Βοιώτιον ξυντελεῖ, ἄλλοι ἐξ Ὀρχομενοῦ ἐνεδίδοσαν, καὶ οἱ Ὀρχομενίων φυγάδες ξυνέπρασσον τὰ μάλιστα, καὶ ἄνδρας ἐμισθοῦντο ἐκ Πελοποννήσου· ἔστι δὲ ἡ Χαιρώνεια ἔσχατον τῆς Βοιωτίας, πρὸς τῇ Φανοτίδι τῆς Φωκίδος, καὶ Φωκέων μετεῖχόν τινες. τοὺς δὲ Ἀθηναίους ἔδει Δήλιον καταλαβεῖν, τὸ ἐν τῇ Ταναγραίᾳ πρὸς Εὔβοιαν τετραμμένον Ἀπόλλωνος ἱερὸν, ἅμα δὲ ταῦτα ἐν ἡμέρᾳ ῥητῇ γίγνεσθαι, ὅπως μὴ ξυμβοηθήσωσιν ἐπὶ τὸ Δήλιον οἱ Βοιωτοὶ ἀθρόοι, ἀλλ' ἐπὶ τὰ σφέτερα αὐτῶν ἕκαστοι κινούμενα. καὶ εἰ κατορθοῖτο ἡ πεῖρα καὶ τὸ Δήλιον τειχισθείη, ῥᾳδίως ἤλπιζον, εἰ καὶ μὴ παραυτίκα νεωτερίζοι τι τῶν κατὰ τὰς πολιτείας τοῖς Βοιωτοῖς, ἐχομένων τούτων τῶν χωρίων καὶ λῃστευομένης τῆς γῆς καὶ οὔσης ἑκάστοις διὰ βραχέος ἀποστροφῆς οὐ μενεῖν κατὰ χώραν τὰ πράγματα, ἀλλὰ χρόνῳ τῶν Ἀθηναίων μὲν

6. Τὸ ἐν τῇ Ταναγραίᾳ] ὃν δηλονότι. 9. Ἀθρόοι] ἤγουν παυδημεί. 10. Ἡ πεῖρα] ἤγουν ἡ πρᾶξις. 13. Καὶ οὔσης ἑκάστοις] καὶ οὔσης ἑκάστους οὐκ ἀπὸ πολλοῦ διαστήματος καταφυγῆς τοῖς τῶν Ἀθηναίων λῃσταῖς, διὰ τὸ πλησίον εἶναι τὰ στρατεύματα τῶν Ἀθηναίων, καὶ δύνασθαι αὐτοῖς βοηθεῖν, ἄν τι πάθωσιν ὑπὸ τῶν Βοιωτῶν. 14. Κατὰ χώραν] ἤτοι κατὰ τὴν οἰκείαν

1. *βοιώτιον* A.B.F.H.K.Q.e.f. h. vulgo *βοιώτειον*.

4. *φανότιδι* H.g. *ἀφανότιδι* b. *φότιδι* I.

Φανότιδι] Vide de hac Palmerium Græc. Ant. VI. 15. Duk.

6. *τὸ*] *τῶν* A.B.

ταναγραίᾳ I.

8. *γενέσθαι* c.

10. *ἕκαστος* K.

κινούμενα A.B.F.H. vulgo *κινούμενοι*.

καὶ om. A.B.

εἴ τι κατορθοῖτο c.f.g.

12. *νεωτερίζοιτο* F.Q. *νεωτερίζειν* d.i.

Νεωτερίζοι τι τοῖς Βοιωτοῖς] Adnotat Dionys. Halic. tom. 2. p. 134. Thucydidem interdum uti activis pro passivis; ut *κωλύει* pro *κωλύεται*, et *ἐπιμιγνύντες* pro *ἐπιμιγνύμενοι*. Si omnium librorum scriptura hic sine vitio est, eodem referri debet *νεωτερίζοι* pro *νεωτερίζοιτο*· nam passivam significationem esse apertum est. Mihi tamen hoc suspectum est, ac nonnihil dubito, an ultima syllaba verbi *νεωτερίζοιτο* exciderit propter adfinitatem sequentis voculæ *τι*. Cap. 42. hujus lib. *φοβούμενοι, μὴ σφίσι τὶ νεωτερισθῇ τῶν κατὰ τὴν χώραν*. Duk.

13. *τούτων* om. b.

14. *διὰ βραχέως* F.

μένειν A.F.K.P.g. *βαίνειν* d.i.

προσιόντων τοῖς ἀφεστηκόσι, τοῖς δὲ οὐκ οὔσης ἀθρόας τῆς δυνάμεως, καταστήσειν αὐτὰ ἐς τὸ ἐπιτήδειον. ἡ μὲν οὖν ἐπιβουλὴ τοιαύτη παρασκευάζετο. * ὁ δὲ Ἱπποκράτης αὐτὸς μὲν ἐκ τῆς πόλεως δύναμιν ἔχων, ὁπότε καιρὸς εἴη, ἔμελλε στρατεύειν ἐς τοὺς Βοιωτούς, τὸν δὲ Δημοσθένην προαπέστειλε ταῖς τεσσαράκοντα ναυσὶν ἐς τὴν Ναύπακτον, ὅπως ἐξ ἐκείνων τῶν χωρίων στρατὸν ξυλλέξας Ἀκαρνάνων τε καὶ τῶν ἄλλων ξυμμάχων πλέοι ἐπὶ τὰς Σίφας ὡς προδοθησομένας· ἡμέρα δ' αὐτοῖς εἴρητο ᾗ ἔδει ἅμα ταῦτα πράσσειν. καὶ ὁ μὲν Δημοσθένης ἀφικόμενος, Οἰνιάδας δὲ ὑπό τε Ἀκαρνάνων πάντων κατηναγκασμένους καταλαβὼν ἐς τὴν Ἀθηναίων ξυμμαχίαν, καὶ αὐτὸς ἀναστήσας τὸ ξυμμαχικὸν τὸ ἐκείνῃ πᾶν, ἐπὶ Σαλύνθιον καὶ Ἀγραίους στρατεύσας πρῶτον καὶ προσποιησάμενος τἆλλα ἡτοιμάζετο ὡς ἐπὶ τὰς Σίφας, ὅταν δέῃ, ἀπαντησόμενος. 77. Demosthenes Naupactum profectus, ibi exercitum sociorum comparat, ad Siphas stato die occupandas.

Βρασίδας δὲ κατὰ τὸν αὐτὸν χρόνον τοῦ θέρους πορευόμενος ἑπτακοσίοις καὶ χιλίοις ὁπλίταις ἐς τὰ ἐπὶ Θρᾴ- 78. Brasidas per Thessa-

τάξιν. 1. Τοῖς δὲ] ἦγον τοῖς Βοιωτοῖς. 2. Καταστήσειν αὐτὰ] οἱ Ἀθηναῖοι τὴν δημοκρατίαν. Ἐς τὸ ἐπιτήδειον] αὐτοῖς δηλονότι. 9. Εἴρητο] συνεπεφώνητο. 17. Βρασίδας δὲ] τῶν ἐς τρισκαίδεκα τέλος τῆς ἕκτης, ἀρχὴ

3. ἐπιβολὴ F.

Ἐπιβουλὴ] Non recedendum arbitror a lectione recepta. Ferri tamen potest scriptura Cod. Cass. ἐπιβολή· nam ἐπιβολὴ, cum apud plerosque alios, tum apud Thucydidem pro ratione rei adgrediendæ ponitur: III. 45. Ὁ μὲν τὴν ἐπιβολὴν ἐκφροντίζων. Duk.

παρεσκευάζετο om. d.i.
5. δημοσθένη e.
6. ταῖς om. d.e.
τὴν] τὸ d.i.
7. συλλέξας b.c.d.e.g.
8. συμμάχων c.g.
9. Σίφας] Σίφαι, ἐκείνων τῆς Θεσσαλικῆς. Etymologo Σιφὴ, et apud Hesych. Σίφα χωρία· sic etiam Phavorinus. Τίφα Dorice scribitur apud Pausan. Aristot. Hist. Animal. p. 41. ἐν Σιφαῖς ἡ Λίμνη, et alibi numero plurium, sed Σίφαις quomodo Plinius IV. 3. vid. Ptolemæum III. 15. Wass.
10. ταῦτα ἅμα g.
11. δὲ om. Q.
13. ἐκείνου L.P. ἐκείνων O.
σαλύνθειον g.
14. ἀγραιοὺς K.c.g.
15. τἆλλα] πολλὰ A.B.
ὡς om. B.c.g.

liam transit cum exercitu in Macedoniam.

κης, ἐπειδὴ ἐγένετο ἐν Ἡρακλείᾳ τῇ ἐν Τραχῖνι, καὶ προπέμψαντος αὐτοῦ ἄγγελον ἐς Φάρσαλον παρὰ τοὺς ἐπιτηδείους, ἀξιοῦντος διάγειν ἑαυτὸν καὶ τὴν στρατιάν, ἦλθον ἐς Μελιτίαν τῆς Ἀχαΐας Πάναιρός τε καὶ Δῶρος καὶ Ἱππολοχίδας καὶ Τορύλαος καὶ Στρόφακος, πρόξενος ὢν Χαλκιδέων, τότε δὴ ἐπορεύετο. ἦγον δὲ καὶ ἄλλοι Θεσσαλῶν αὐτὸν καὶ ἐκ Λαρίσσης Νικονίδας, Περδίκκα ἐπιτήδειος ὤν. τὴν γὰρ Θεσσαλίαν ἄλλως τε οὐκ εὔπορον ἦν διιέναι ἄνευ ἀγωγοῦ, καὶ μετὰ ὅπλων γε δὴ καὶ τοῖς πᾶσί γε ὁμοίως Ἕλλησιν ὕποπτον καθεστήκει τὴν τῶν πέλας μὴ πείσαντας διιέναι· τοῖς τε Ἀθηναίοις ἀεί ποτε

τῆς ἑβδόμης. 2. Παρὰ τοὺς ἐπιτηδείους] τοὺς φίλους. 3. Διάγειν] διαβιβάζειν. 6. Ἐπορεύετο] ὁ Βρασίδας. Ἦγον] ὡδήγουν. 8. Ἐπιτήδειος ὤν] φίλος. 9. Διιέναι] διοδεῦσαι. 10. Ἕλλησιν] Ἕλληνας λέγει τοὺς περὶ

1. Ἐν Τραχῖνι] Ἐν Τραχινίᾳ, quod hic rescribi volebat Portus, etiam nonnulli libri habent III. 92. Diodor. Sicul. XII. p. 325. Ἐπὶ τὴν Ἡράκλειαν τὴν ἐν Τραχινίᾳ. Item XV. p. 487. At Idem XIV. 440. Ἡράκλεια ἡ ἐν Τραχῖνι. Strabo I. p. 60. Ἡράκλεια τῆς Τραχῖνος. Thucydides rursum V. 12. Ἀφικόμενοι ἐς Ἡράκλειαν τὴν ἐν Τραχῖνι, et ibid. 51. Ἡρακλεώταις τοῖς ἐν Τραχῖνι. Duk.

3. καὶ ἀξιοῦντος L.O.P.

4. μελητίαν i.

Μελιτίαν] Ita MSS. Μελίταια Nicander ἑτεροιουμ. XIII. Steph. Dicæarchus. Sed Theopompus, et Philo apud Ethnicogr. Μελίτεια, et sic in Sylla Plutarchus p. 465. Plin. Melitæa. Situm ejus unus indicat Ptolemæus. Vid. Gruterum 388. 4. 400. 8. 405. Wass. Antonin. Liberal. cap. 13. Metamorph. e Nicandri Ἑτεροιουμένων β'. narrans historiam de Meliteo, urbem hanc Μελίτην vocat. In Dicæarcho pag. 21. ed. Huds. est Μελιτίαν, pro quo Berkelius ad Stephan. legebat Μελιταίαν. Scylax p. 58. ed. Gron. in Achæis ponit urbem Μελιτιάδας, ubi Salmasius et Vossius hanc urbem designari putant, et Μελιταίαν legunt. Inscriptiones apud Gruter. p. 388. et 400. in quibus memorantur Μελιταῖοι, videntur pertinere ad Melitenses e Melite insula. In tertia Μέναυδρος Μελιτεὺς est Melitensis, e δήμῳ Attico Μελίτῃ, de quo Meursius in libro de Populis Attic. Duk.

πάραιρος c.g.

7. θεσσαλοὶ d.

λαρίσης F.H.

λικονίδας K.

8. Οὐκ εὔπορον—ἀγωγοῦ] Thomas Mag. in ἀγωγός... Wass. Emenda ibi ἐν τῇ τετάρτῃ, pro ἐν τῇ δευτέρᾳ. Duk.

9. τοῖς om. Q.

10. καθειστήκει Q.c.g.

11. ἀθηναίοις οἷς ἀεὶ d.

τὸ πλῆθος τῶν Θεσσαλῶν εὔνουν ὑπῆρχεν. ὥστε, εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τὸ ἐγχώριον οἱ Θεσσαλοὶ, οὐκ ἄν ποτε προῆλθεν, ἐπεὶ καὶ τότε πορευομένῳ αὐτῷ ἀπαντήσαντες ἄλλοι τῶν ταναντία τούτοις βουλομένων ἐπὶ τῷ Ἐνιπεῖ ποταμῷ ἐκώλυον, καὶ ἀδικεῖν ἔφασαν ἄνευ τοῦ πάντων κοινοῦ πορευόμενον. οἱ δὲ ἄγοντες οὔτε ἀκόντων ἔφασαν διάξειν, αἰφνίδιόν τε παραγενόμενον ξένοι ὄντες νομίζειν. ἔλεγε δὲ καὶ αὐτὸς ὁ Βρασίδας τῇ Θεσσαλῶν γῇ καὶ αὐτοῖς φίλος ἂν ἰέναι, καὶ Ἀθηναίοις πολεμίους οὖσι καὶ οὐκ ἐκείνοις ὅπλα ἐπιφέρειν, Θεσσαλοῖς τε οὐκ εἰδέναι

τὰ Φάρσαλα, οἳ Ἀχαιοὶ λέγονται. 1. Δυναστείᾳ μᾶλλον] ὅτι μᾶλλον δυναστείᾳ ἢπερ ἰσονομίᾳ ἐγχωρίως ἐχρῶντο οἱ Θεσσαλοί. 3. Αὐτῷ] τῷ Βρασίδᾳ. 4. Τούτοις] ἦγουν τοῖς ἐάσασι τὸν Βρασίδαν διϊέναι. 6. Οἱ δὲ ἄγοντες] οἱ περὶ τὸν Πάναιρον. 7. Ξένοι ὄντες] φίλοι.

1. Ὥστε εἰ—Θεσσαλοὶ] Dionys. Halic. II. 134. Ἀρσενικῶν καὶ θηλυκῶν, καὶ οὐδετέρων ἀντιμετατάξεις etc. hic neutrum fœminum, inquit, facit τῇ ἐπιχωρίᾳ, pro τῇ ἐπιχωρίᾳ. Sed MS. et Schol. ἐγχώριον servant. Wass. Τὸ ἐγχώριον est pro κατὰ τὸ ἐγχώριον, scil. ἔθος; ut alia hujusmodi. Dux.

2. ἐγχώριον] χωρίον B.h.

3. προῆλθον Q.

4. ἀπαντήσαντες om. c.g.

τούτοις om. i.

5. Ἐνιπεῖ] Est et Macedoniæ flumen. Hoc Pharsalum præterlabitur, illud juxta Dium in mare exit. Vid. Vibium p. 31. Servium ad Virg. Georg. IV. v. 368. Herodot. VII. 129. Lucanus VI. 373. "nunquamque "celer, nisi mixtus, *Enipeus*." ubi v. 384. pro "solum *fregere*," MS. opinor, emendatius *rupere*. Wass.

Ἄνευ τοῦ πάντων κοινοῦ πορευόμενον] Id est: *sine voluntate et consensu* τοῦ κοινοῦ Thessalorum; ut recte Pet. Faber II. Semestr. 18. qua significatione ἄνευ etiam apud Demosthenem in Oratione de Corona, in Epistola Philippi pag. 148. poni, alii ostenderunt: Καὶ ταῦτα συνετάχθη τῇ ναυάρχῳ ἄνευ μὲν τοῦ δήμου τῶν Ἀθηναίων, ὑπὸ δέ τινων ἀρχόντων καὶ ἑτέρων ἰδιωτῶν. Sic jam ante Homerus loquutus fuerat, Iliad. ο'. v. 213. ἄνευ ἐμέθεν καὶ Ἀθηναίης. Et Od. ο'. 530. οὔ τοι ἄνευ θεοῦ ἔπτατο δεξιὸς ὄρνις. Poterat hoc quoque, ut Faber e Xenoph. 4. Ἀπομν. in fin. adnotat, dici ἄνευ τῆς τοῦ πάντων κοινοῦ γνώμης· quomodo etiam Plutarch. in Vita Lycurgi Rhetoris, ἄνευ τῆς τοῦ πρατέρου δεσπότου γνώμης. Quid Τὸ κοινὸν, *Commune* alicujus gentis sit, nemo ignorat. Τὸ κοινὸν Θεσσαλῶν memorat etiam Callistratus in l. XXXVII. D. de Judic. Dux.

7. διάξειν c.

παραγενόμενοι A.h.

8. αὐτοῖς] αὐτὸς d.

καὶ Λακεδαιμονίοις ἔχθραν οὖσαν ὥστε τῇ ἀλλήλων γῇ μὴ χρῆσθαι, νῦν τε ἀκόντων ἐκείνων οὐκ ἂν προελθεῖν (οὐδὲ γὰρ ἂν δύνασθαι), οὐ μέντοι ἀξιοῦν γε εἴργεσθαι. καὶ οἱ μὲν ἀκούσαντες ταῦτα ἀπῆλθον. ὁ δὲ κελευόντων τῶν ἀγωγῶν, πρίν τι πλέον ξυστῆναι τὸ κωλῦσον, ἐχώρει οὐδὲν ἐπισχὼν δρόμῳ. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ, ᾗ ἐκ τῆς Μελιτίας ἀφώρμησεν, ἐς Φάρσαλόν τε ἐτέλεσε καὶ ἐστρατοπεδεύσατο ἐπὶ τῷ Ἀπιδανῷ ποταμῷ, ἐκεῖθεν δὲ ἐς Φάκιον, καὶ ἐξ αὐτοῦ ἐς Περαιβίαν. ἀπὸ δὲ τούτου ἤδη οἱ μὲν τῶν Θεσσαλῶν ἀγωγοὶ πάλιν ἀπῆλθον, οἱ δὲ Περαιβοὶ αὐτὸν, ὑπήκοοι ὄντες Θεσσαλῶν, κατέστησαν ἐς Δῖον τῆς Περδίκκου ἀρχῆς, ὃ ὑπὸ τῷ Ὀλύμπῳ Μα-

2. Οὐκ ἂν προελθεῖν] ἤγουν, ἔφασκεν οὐκ ἂν προελθεῖν. 5. Ξυστῆναι,

1. οὖσαν ἔχθραν g.
γῇ μὴ] γνώμῃ K.
2. τε] δὲ B.
5. πρὶν] πλὴν A.B.K.P.h.i.
ξυνστῆναι H.
8. Ἀπιδανῷ] Apollonius Rhod. Ἔνθα μὲν Ἀπιδανός τε μέγας, καὶ δῖος Ἐνιπεὺς, Ἄμφω συμφορέονται ἀπόπροθεν εἰς ἓν ἰόντες. Hinc secundum quosdam Arcades Apidonei. Priscian. Arcades Apidonei *sub* scopulis Erymanthi. lego *subter*. Nomen fluvii antiquissimum inde apud Ovidium senex audit, quasi ὠγύγιος· *herbosum* vocat Propertius. Describit Livius XLIV. 8. Vide Vibium p. 16. Cedrenum p. 703. Orpheum 162. Euripidem secutus est Ovidius: Ὑδάτων πατέρα Φασὶν Ἀπιδανὸν Πεδία λιπαίνειν Hecub. 453. Valer. Flac. 1. "Segnior Apidani vires ubi sen-"tit Enipeus." Wass.
9. φάσκιον L.O.Q. φάσκων I.
Φάκιον] De hoc Polybius, Diodorus, Livius, et Appianus. Wass. Add. Interpretes Stephani h. v. Duk.
Ἐς Περαιβίαν] Duplex erat Perrhæbia. Antiqua quidem ad Peneum et Larissam sita fuit. at postquam inde pulsi Perrhæbi ad Pindum montem recessere, ibi fuit Perrhæbia, prope Athamanas et Dolopas. *Palmerius*. Huds. Περῤῥαιβοῖς est apud Aristotel. pag. 46. Περῤῥιβαίους Isocrat. ad Philipp. p. 126. Wass.
παρεβίαν L.O.P. παραιβίαν e. et mox παρεβοὶ P. παραιβοὶ e.
ἤδη οἱ μὲν τῶν A.B. ἤδη οἱ μὲν F.H.K.L.N.O. b.c.d.e.f.g. vulgo ἤδη μὲν τῶν.
11. αὐτὸν F.H. vulgo αὐτῶν.
κατέστησαν ἐς A.B.F.H.K.L. N.O.P.b.c.d.e.f.g.h.i. vulgo κατέστησαν αὐτὸν ἐς.
12. δίον A.F.K. et A. infra quoque c. 109. præacute.
Δῖον] Et ἡ Δίων Schol. Homer. ad Iliad. β'. v. 538. ἀπὸ Δίου τοῦ Πανδώρου τοῦ Ἐρεχθέως. Vid. Eustath. ad Il. β'. 538. Gentile

κεδονίας πρὸς Θεσσαλοὺς πόλισμα κεῖται. * τούτῳ τῷ τρόπῳ Βρασίδας Θεσσαλίαν φθάσας διέβαμε, πρίν τινα κωλύειν παρασκευάσασθαι, καὶ ἀφίκετο ὡς Περδίκκαν καὶ ἐς τὴν Χαλκιδικήν. ἐκ γὰρ τῆς Πελοποννήσου, ὡς τὰ τῶν Ἀθηναίων εὐτύχει, δείσαντες οἵ τε ἐπὶ Θράκης ἀφεστῶτες Ἀθηναίων καὶ Περδίκκας ἐξήγαγον τὸν στρατὸν, οἱ μὲν Χαλκιδῆς νομίζοντες ἐπὶ σφᾶς πρῶτον ὁρμήσειν τοὺς Ἀθηναίους (καὶ ἅμα αἱ πλησιόχωροι πόλεις αὐτῶν αἱ οὐκ ἀφεστηκυῖαι ξυνεπῆγον κρύφα), Περδίκκας δὲ πολέμιος μὲν οὐκ ὢν ἐκ τοῦ φανεροῦ, φοβούμενος δὲ καὶ αὐτὸς τὰ παλαιὰ διάφορα τῶν Ἀθηναίων, καὶ μάλιστα βουλόμενος Ἀρριβαῖον τὸν Λυγκηστῶν βασιλέα παραστήσασθαι. ξυνέβη δὲ αὐτοῖς, ὥστε ῥᾷον ἐκ τῆς Πελοποννήσου στρατὸν ἐξαγαγεῖν, ἡ τῶν Λακεδαιμονίων ἐν τῷ παρόντι κακοπραγία. * τῶν γὰρ Ἀθηναίων ἐγκειμένων τῇ Πελοποννήσῳ καὶ οὐχ ἥκιστα τῇ ἐκείνων γῇ, ἤλπιζον ἀποστρέψαι αὐτοὺς μάλιστα, εἰ ἀντιπαραλυποῖεν πέμ-

79. arcessitus a Perdicca et urbibus Thraciæ, quæ ab Atheniensibus defecerant.

80. Qua ratione Lacedæmonii ante Brasidæ

τὸ κωλύσον] συναθροισθῆναι τοὺς κωλύσαντας. 6. Ἐξήγαγον] οἱ ἐκ τῆς Πελοποννήσου δηλονότι. 10. Πολέμιος μὲν οὐκ ὤν] τοῖς Ἀθηναίοις δηλονότι. 11. Αὐτοῖς] ἦγουν τῷ Περδίκκᾳ καὶ τοῖς ἐπὶ Θράκης ἀφεστῶσι τῶν Ἀθηναίων. 16. Τῇ ἐκείνων γῇ] ἦγουν τῇ Λακωνικῇ.

Διεύς; Dienses etiam Διαστὰς vocasse Pausaniam ait Stephanus. Duravit usque ad Antonini Pii tempora, ut ex numo ejus patet. Historiam tradunt Polybius IV. 62. Arrian. I. 47. Livius XLIV. 7. MS. Ptolemæi Coislin. Δῖον κολώνεια in marg. ἡ Πλαταμών. Wass.

1. πόλις καλεῖται Q.
τοιούτῳ τρόπῳ f.
3. κωλύσειν d.i.
4. ἐς om. L.
Χαλκιδικὴν] Supra sinum Toronaicum: nunc inquit Herodotus VII. 122. Σιθωνίην. Vid. Aristot. Pol. 166. 140. Cantacuzenum 267. ibi Glossa marg. ὃ νῦν καλεῖται Βόλερον. Idem sæpius Χαλκηδικῆς exhibet, sed mendose. Wass.

5. ηὐτύχει Q.c.g.

8. Πλησιόχωροι] Thomas Mag. πρόσχωρος λέγε οὐ πλησιόχωρος. Atqui sic rursus Thucydides infra cap. 92. et Dionys. Halic. aliquoties. Πρόσχωρος habet Thucydides VIII. 11. Duk.

12. ἀρριβαιον A.H.L.O.
τὸν] τῶν A.O.
14. ἐν τῷ παρόντι om. K.
17. ἀποτρέψαι H.b.d.e.f.i. ἀποτρέψειν L.O.P.

profectionem ab Helotibus sibi caverint.

ψαντες ἐπὶ τοὺς ξυμμάχους αὐτῶν στρατιὰν, ἄλλως τε καὶ ἑτοίμων ὄντων τρέφειν τε καὶ ἐπὶ ἀποστάσει σφᾶς ἐπικαλουμένων. καὶ ἅμα τῶν Εἱλώτων βουλομένοις ἦν ἐπὶ προφάσει ἐκπέμψαι, μή τι πρὸς τὰ παρόντα τῆς Πύλου ἐχομένης νεωτερίσωσιν, ἐπεὶ καὶ τόδε ἔπραξαν, φοβούμενοι αὐτῶν τὴν νεότητα καὶ τὸ πλῆθος· ἀεὶ γὰρ τὰ πολλὰ Λακεδαιμονίοις πρὸς τοὺς Εἵλωτας τῆς φυλακῆς πέρι μάλιστα καθεστήκει. προεῖπον αὐτῶν ὅσοι ἀξιοῦσιν ἐν τοῖς πολεμίοις γεγενῆσθαι σφίσιν ἄριστοι, κρίνεσθαι, ὡς ἐλευθερώσοντες, πεῖραν ποιούμενοι, καὶ ἡγούμενοι τούτους σφίσιν ὑπὸ φρονήματος, οἵπερ καὶ ἠξίωσαν πρῶτος ἕκαστος ἐλευθεροῦσθαι, μάλιστα ἂν καὶ ἐπιθέσθαι. καὶ προκρίναντες ἐς δισχιλίους, οἱ μὲν ἐστεφανώσαντό τε καὶ τὰ ἱερὰ περιῆλθον ὡς ἠλευθερωμένοι, οἱ δὲ οὐ πολλῷ ὕστερον ἠφάνισάν τε αὐτοὺς, καὶ οὐδεὶς ἤσθετο ὅτῳ τρόπῳ ἕκαστος διεφθάρη. καὶ τότε προθύμως τῷ Βρασίδᾳ αὐ-

2. Ἑτοίμων ὄντων] τῶν Χαλκιδέων καὶ τοῦ Περδίκκου. 3. Ἐπικαλουμένων] ἀντὶ τοῦ προκαλουμένων. Καὶ ἅμα τῶν Εἱλώτων] σημείωσαι τὸ Λακωνικὸν ἔργον τὸ εἰς τοὺς Εἵλωτας γενόμενον, καὶ ὅπως αὐτοὺς λαθραίως διέφθειραν. Βουλομένοις ἦν] ἤγουν τοῖς Λακεδαιμονίοις. 13. Προκρίναντες] ἀντὶ τοῦ προκριθέντων. 14. Οἱ δὲ] ἤγουν οἱ Λακεδαιμόνιοι.

2. ἐπὶ ἀποστάσει A.B.H.K. L.N.O.P.c.d.e.g.h.i. ἐπὶ ἀποστάσεις I. vulgo ἐπὶ τῇ ἀποστάσει.

5. τάδε N.c.f.g.

6. αὐτῶν τὴν σκαιότητα B.h. αὐτῶν τὴν νεοτητα A. τὴν νεότητα αὐτῶν e.

7. τὰ om. L.O.
λακεδαιμονίους A.h.

8. καθειστήκει Q.c.g.

13. Καὶ προκρίναντες ἐς δισχιλίους] Huc respexit Plutarch. Lycurg. pag. 57. ubi pro ἱερῶς legendum γυναικὸς ἱερᾶς ex MS. A. Wass. De forma manumittendi vide Cragium I. de Republ. Lacedæm. 12. Emmius in Descript. Reip. Lacon. pag. 496. Tom. IV. Antiq. Græcar. Helotas non a singulis civibus, ut dominis, sed auctoritate publica manumissos tradit. Diodorus Sicul. XII. pag. 320. scribit, principibus Lacedæmoniorum negotium datum fuisse, eos, quibus quid factum fuisset neminem umquam scivisse dicunt Thucydides et Plutarchus, domi suæ interficiendi. Dux.
χιλίους O.

14. παρῆλθον h.

15. ἤσθετο] ἔγνω d.

τῶν ξυνέπεμψαν ἑπτακοσίους ὁπλίτας, τοὺς δ' ἄλλους ἐκ τῆς Πελοποννήσου μισθῷ πείσας ἐξήγαγεν. αὐτόν τε Βρασίδαν βουλόμενον μάλιστα Λακεδαιμόνιοι ἀπέστειλαν, * προὐθυμήθησαν δὲ καὶ οἱ Χαλκιδῆς, ἄνδρα ἔν τε τῇ Σπάρτῃ δοκοῦντα δραστήριον εἶναι ἐς τὰ πάντα, καὶ ἐπειδὴ ἐξῆλθε, πλείστου ἄξιον Λακεδαιμονίοις γενόμενον. τό τε γὰρ παραυτίκα ἑαυτὸν παρασχὼν δίκαιον καὶ μέτριον ἐς τὰς πόλεις ἀπέστησε τὰ πολλὰ, τὰ δὲ προδοσίᾳ εἶλε τῶν χωρίων, ὥστε τοῖς Λακεδαιμονίοις γίγνεσθαι ξυμβαίνειν τε βουλομένοις, ὅπερ ἐποίησαν, ἀνταπόδοσιν καὶ ἀποδοχὴν χωρίων, καὶ τοῦ πολέμου ἀπὸ τῆς Πελοποννήσου λώφησιν· ἔς τε τὸν χρόνῳ ὕστερον μετὰ τὰ ἐκ Σικελίας πόλεμον ἡ τότε Βρασίδου ἀρετὴ καὶ ξύνεσις, τῶν μὲν πείρᾳ αἰσθομένων, τῶν δὲ ἀκοῇ νομισάντων, μάλιστα ἐπιθυμίαν ἐνεποίει τοῖς Ἀθηναίων ξυμμάχοις ἐς τοὺς Λακεδαιμονίους. πρῶτος γὰρ ἐξελθὼν καὶ δόξας εἶναι κατὰ πάντα ἀγαθὸς ἐλπίδα ἐγκατέλιπε βέβαιον ὡς καὶ οἱ ἄλλοι τοιοῦτοί εἰσιν.

81. Brasidæ virtus Atheniensium socios in Thracia movet, Lacedæmoniisque conciliat.

Τότε δ' οὖν ἀφικομένου αὐτοῦ ἐς τὰ ἐπὶ Θράκης, οἱ Ἀθηναῖοι πυθόμενοι τόν τε Περδίκκαν πολέμιον ποιοῦνται, νομίσαντες αἴτιον εἶναι τῆς παρόδου, καὶ τῶν ταύτῃ ξυμμάχων φυλακὴν πλέονα κατεστήσαντο. * Περδίκ-

82. Athenienses Perdiccam hostem judicant, copiasque suas in Thracia augent.

6. Πλείστου ἄξιον] ἤγουν ὠφελοῦντα τὴν Λακεδαίμονα. 8. Μέτριον] τα-

83. Brasidas

2. τε τὸν βρασίδαν N.Q.

4. προυθύμησαν A.B.F.H.L.O. P.Q.h.

6. πλεῖστον A.

12. ἔς τε] ὅστε i. ὅστε περὶ d.

Ἔς τε τὸν χρόνον ὕστερον] Ordo verborum est ἔς τε τὸν χρόνῳ ὕστερον πόλεμον μετὰ τὰ ἐκ Σικελίας, quem qui non perspexerunt, pro τὰ, τὸν substituerunt. Χρόνῳ ὕστερον ubique legitur. Thucydid. III. 85. ὕστερον χρόνῳ πλοῖα καὶ ἐπικούρους παρασκευασάμενοι, VI. 3. ὕστερον δὲ χρόνῳ καὶ ἡ ἔξω (πόλις) προστειχισθεῖσα. Plutarch. Lycurg. pag. 81. Dionys. Halic. IX. 18. Duk.

χρόνῳ B.F.H.K. b.c.d.e.g.h.i. vulgo χρόνον.

τὰ] τὸν A.B.F.H.N.e.h.

15. ἀθηναίοις e.

18. οἱ om. Q.

tergiversatus et abnuens contra Arrhibæum, Perdiccæ hostem, exercitum ducere, hunc offendit et discedit,

κας δὲ Βρασίδαν καὶ τὴν στρατιὰν εὐθὺς λαβὼν μετὰ τῆς ἑαυτοῦ δυνάμεως, στρατεύει ἐπὶ Ἀρριβαῖον τὸν Βρομεροῦ, Λυγκηστῶν Μακεδόνων βασιλέα, ὅμορον ὄντα, διαφορᾶς τε αὐτῷ οὔσης καὶ βουλόμενος καταστρέψασθαι. ἐπεὶ δὲ ἐγένετο τῷ στρατῷ μετὰ τοῦ Βρασίδου ἐπὶ τῇ ἐσβολῇ τῆς Λύγκου, Βρασίδας λόγοις ἔφη βούλεσθαι πρῶτον ἐλθὼν πρὸ πολέμου Ἀρριβαῖον ξύμμαχον Λακεδαιμονίων, ἢν δύνηται, ποιῆσαι. καὶ γάρ τι καὶ Ἀρριβαῖος ἐπεκηρυκεύετο, ἑτοῖμος ὢν Βρασίδᾳ μέσῳ δικαστῇ ἐπιτρέπειν· καὶ οἱ Χαλκιδέων πρέσβεις ξυμπαρόντες ἐδίδασκον αὐτὸν μὴ ὑπεξελεῖν τῷ Περδίκκᾳ τὰ δεινά, ἵνα προθυμοτέρῳ ἔχοιεν καὶ ἐς τὰ ἑαυτῶν χρῆσθαι. ἅμα δέ τι καὶ εἰρήκεσαν τοιοῦτον οἱ παρὰ τοῦ Περδίκκου ἐν τῇ Λακεδαίμονι, ὡς πολλὰ αὐτοῖς τῶν περὶ αὐτὸν χωρίων ξύμμαχα ποιήσοι, ὥστε ἐκ τοῦ τοιούτου κοινῇ μᾶλλον ὁ Βρασίδας τὰ τοῦ Ἀρριβαίου ἠξίου πράσσειν. Περδίκκας δὲ οὔτε δικαστὴν ἔφη Βρασίδαν τῶν σφετέρων διαφορῶν ἀγαγεῖν, μᾶλλον δὲ καθαιρέτην ὧν ἂν αὐτὸς ἀποφαίνῃ πολεμίων, ἀδικήσειν τε, εἰ αὐτοῦ τρέφοντος τὸ ἥμισυ τοῦ στρατοῦ ξυνέσται Ἀρριβαίῳ. ὁ δὲ ἄκοντος καὶ ἐκ διαφορᾶς ξυγγίγνεται, καὶ πεισθεὶς τοῖς λόγοις, ἀπήγαγε

πεινόν. 9. Μέσῳ δικαστῇ] ἀντὶ τοῦ μεσίτῃ καὶ διαιτητῇ. Ἡ τῶν προὐχόντων ἀρετὴ ἔν τε πόλεσι καὶ ἐν στρατείαις πανταχοῦ καθίσταται τὸ ὑπήκοον καὶ τῶν ἐναντίων ποιεῖ μὴ καταφρονεῖν. ἐν μὲν τοῖς Ἕλλησι τὸν Βρασίδαν καὶ τὴν αὐτοῦ στρατιὰν, ἐν τοῖς ἡμετέροις δὲ Βελισάριον εἰς παράστασιν τοῦ παρόντος λόγου παραβάλλομεν. 14. Περὶ αὐτὸν] τὸν Περδίκκαν. 20. Ἄκοντος] τοῦ Περδίκκου δηλονότι. 21. Τοῖς λόγοις] τοῦ Ἀρριβαίου.

2. ἐπὶ] ἐς τὸν d.i.
4. αὐτῶν Q.
καταστρέψαι Q.
5. ἐπειδὴ A.F.
τοῦ om. c.
6. τῆς] τοῦ I.K.L.O.P.c.g.
ἔφη λόγοις c.g.
8. ποιήσειν d.
τοι e.g.
11. ὑπεξελεῖν A.B.F.H.K.L. N.O.Q.c.f.g. vulgo ὑπεξελθεῖν.
14. περὶ c.
15. ποιῆσαι I.P.e.
17. διαφορῶν om. L.O.P.
21. συγγίνεται F.H.L.O.g.
ἐπήγαγε d.

τὴν στρατιὰν πρὶν ἐσβαλεῖν ἐς τὴν χώραν. Περδίκκας δὲ μετὰ τοῦτο τρίτον μέρος ἀνθ' ἡμίσεος τῆς τροφῆς ἐδίδου, νομίζων ἀδικεῖσθαι.

84. conversusque ad Acanthum, primum ut ipsum solum, deinde

Ἐν δὲ τῷ αὐτῷ θέρει εὐθὺς ὁ Βρασίδας, ἔχων καὶ Χαλκιδέας, ἐπὶ Ἄκανθον τὴν Ἀνδρίων ἀποικίαν ὀλίγον πρὸ τρυγήτου ἐστράτευσεν. οἱ δὲ περὶ τοῦ δέχεσθαι αὐτὸν κατ' ἀλλήλους ἐστασίαζον, οἵ τε μετὰ τῶν Χαλκιδέων ξυνεπάγοντες καὶ ὁ δῆμος. ὅμως δὲ, διὰ τοῦ καρποῦ τὸ δέος ἔτι ἔξω ὄντος, πεισθὲν τὸ πλῆθος ὑπὸ τοῦ Βρασίδου δέξασθαί τε αὐτὸν μόνον καὶ ἀκούσαντας βουλεύσασθαι, δέχεται· καὶ καταστὰς ἐπὶ τὸ πλῆθος (ἦν δὲ οὐδὲ ἀδύνατος, ὡς Λακεδαιμόνιος, εἰπεῖν) ἔλεγε τοιάδε.

85—87. ut exercitum etiam

" Ἡ μὲν ἔκπεμψίς μου καὶ τῆς στρατιᾶς ὑπὸ " Λακεδαιμονίων, ὦ Ἀκάνθιοι, γεγένηται τὴν αἰτίαν

4. Ἐν δὲ τῷ αὐτῷ θέρει] μετάβασις. 6. Οἱ δὲ] οἱ Ἀκάνθιοι. 11. Δέχεται] τὸ πλῆθος τὸν Βρασίδαν. 12. Ὡς Λακεδαιμόνιος] οἱ γὰρ Λάκωνες βραχυλόγοι. Ὅμηρος· Ἧτοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευε, Παῦρα μέν, ἀλλὰ μάλα λιγέως (Il. III, 213.). 13. Ἔκπεμψις] ἀποστολή.

1. πρὶν] πλὴν c.g.
2. ἡμίσεος A.B.Q.h. vulgo ἡμίσεως.
4. δὲ om. L.O.
καὶ om. d.
5. Ἄκανθον] Θρᾴκης urbs Steph. Macedoniæ vero Schol. Anthol. p. 281. ἐν τῷ Συγγυτικῷ κόλπῳ πλησίον τῆς τοῦ Ἕρξου διώρυχος. Epit. Strabonis, Ἀκανθαῖον Ἰσθμὸν Ælianus Anim. H. XIII. 20. habet. Erat Andriorum Colonia teste etiam Plutarcho Quæst. Græc. p. 298. Urbem a Romanis et Attalo captam narrat Livius XXXI. 45. Vid. Euseb. ad Olymp. XXXI. D. Chrysost. p. 239. et Salmasium in Solinianis p. 376. Wass.
τὴν] τῶν K.
ὀλίγου h. ὀλίγῳ N.
6. πρὸ τοῦ τρυγήτου Q.
7. ἀλλήλων L.O.
9. ἔξω ὄντος ἔτι O.P.
10. ἀκούσαντες e.
11. ἐπὶ] ἐς c.g.
12. Ὡς Λακεδαιμόνιος] Vid. Ælianum Var. Hist. XII. 50. Livius XXXII. 33. Vir, ut inter Ætolos, *facundus*, et ad ea verba Gronovium. Wass. Dionys. Halic. X. 36. de L. Siccio Dentato: εἰπεῖν τε, ὡς στρατιώτης, οὐκ ἀδύνατος. Cornel. Nep. Epamin. cap. V. " *Satis exercitatum* in " *dicendo*, ut Thebanum scili- " cet." Duk.
13. ἐπέκεμψίς c.
14. ὦ ἀκάνθιοι om. c.g.

in urbem recipiant, Acanthiis persuadet.

" ἐπαληθεύουσα, ἣν ἀρχόμενοι τοῦ πολέμου προείπομεν
" Ἀθηναίοις, ἐλευθεροῦντες τὴν Ἑλλάδα πολεμήσειν· εἰ
" δὲ χρόνῳ ἐπήλθομεν, σφαλέντες τῆς ἀπὸ τοῦ ἐκεῖ πο-
" λέμου δόξης, ἢ διὰ τάχους αὐτοὶ ἄνευ τοῦ ὑμετέρου
" κινδύνου ἠλπίσαμεν Ἀθηναίους καθαιρήσειν, μηδεὶς
" μεμφθῇ· νῦν γάρ, ὅτε παρέσχεν, ἀφιγμένοι καὶ μετὰ
" ὑμῶν πειρασόμεθα κατεργάζεσθαι αὐτούς. θαυμάζω
" δὲ τῇ τε ἀποκλήσει μου τῶν πυλῶν, καὶ εἰ μὴ ἀσμέ-
" νοις ὑμῖν ἀφῖγμαι. ἡμεῖς μὲν γὰρ οἱ Λακεδαιμόνιοι
" οἰόμενοί τε παρὰ ξυμμάχους, καὶ πρὶν ἔργῳ ἀφικέσ-
" θαι, τῇ γοῦν γνώμῃ ἥξειν, καὶ βουλομένοις ἔσεσθαι,
" κίνδυνόν τε τοσόνδε ἀνερρίψαμεν, διὰ τῆς ἀλλοτρίας
" πολλῶν ἡμερῶν ὁδὸν ἰόντες καὶ πᾶν τὸ πρόθυμον παρε-

1. Ἐπαληθεύουσα] βεβαιοῦσα, κυροῦσα. Προείπομεν Ἀθηναίοις] τὸ ἑξῆς, Ἀθηναίοις πολεμήσειν. 2. Εἰ δὲ χρόνῳ ἐπήλθομεν] εἰ δὲ βραδέως παρεγενόμεθα, μηδεὶς ἡμῖν μέμψηται. ἐλπίσαντες γὰρ τοὺς Ἀθηναίους ταχέως καταλύσειν, καὶ τοῦ κατὰ τὴν Ἀττικὴν πολέμου παύσεσθαι ῥᾳδίως, τῆς δοκήσεως ἐσφάλημεν. 4. Ἢ διὰ τάχους] τῆς ἡμετέρας συμμαχίας. 6. Νῦν γὰρ, ὅτε παρέσχεν] νῦν γὰρ ὅτε τὰ πράγματα παρουσίας ἡμῖν ἐξουσίαν παρέσχεν. 9. Ἡμεῖς μὲν γὰρ οἱ Λακεδαιμόνιοι] ἡμεῖς μὲν γὰρ εἰς κίνδυνον τηλικοῦτον κατέστημεν, διὰ τῆς ἀλλοτρίας ὁδοιπορήσαντες, καὶ προθυμίαν ὅπασαν ἐνεδεξάμεθα, ἐλπίσαντες τὴν παρουσίαν ἡμῶν ἀσμένοις ὑμῖν ἔσεσθαι, οὓς γε καὶ πρὶν ἀφικέσθαι, τῇ γοῦν προαιρέσει φίλους εἶναι. ἔξειν τε ὁπότε βουλοίμεθα, ὡς παρὰ φίλους ἀφικέσθαι. 11. Βουλομένοις ἔσεσθαι] αὐτοῖς δηλονότι τοῖς ξυμμάχοις. ἡ δὲ σύνταξις Θουκυδίδειος. 12. Ἀνερρίψαμεν] ἀπὸ μεταφορᾶς τῶν κύβων.

8. ἀποκλήισει A.B.F.H.K.c. g.h. vulgo ἀποκλείσει.
9. γὰρ om. L.O.e.
10. ἀφικεῖσθαι Q.
11. γνώμῃ μὴ ἥξειν B.
12. ἀπερρίψαμεν K.L.M.b.c.e.f. Ἀνερρίψαμεν] Non dubium est, quin vitiosa sit scriptura Codd. qui habent ἀπερρίψαμεν. Ἀναρρίψαι κίνδυνον, κύβον, et ἀναρρίψαι solum, hac significatione dicunt Græci, non ἀπορρίψαι. Thucyd. infr. cap. 95. V. 103. et alii omnes, quorum loca prostant in Lexicis. Add. Casaubon. ad Sueton. Jul. cap. XXXII. In quibusdam Lexicis e Thucydide adfertur ἀπορρίπτειν κίνδυνον, pro *contemnere periculum*: quod merito suspectum est Stephano. Auctores illorum fortassis sequuti sunt depravatam plerorumque librorum hujus loci lectionem. Duk.
13. Καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι] Ex hoc loco Ammonius ostendit discrimen inter παρέχειν et παρέχεσθαι. Duk.

" χόμενοι· ὑμεῖς δὲ εἴ τι ἄλλο ἐν νῷ ἔχετε, ἢ εἰ ἐναν-
" τιώσεσθε τῇ τε ὑμετέρᾳ αὐτῶν ἐλευθερίᾳ καὶ τῶν ἄλ-
" λων Ἑλλήνων, δεινὸν ἂν εἴη. καὶ γὰρ οὐ μόνον ὅτι αὐ-
" τοὶ ἀνθίστασθε, ἀλλὰ καὶ οἷς ἄν ἐπίω, ἧσσόν τις ἐμοὶ
" πρόσεισι, δυσχερὲς ποιούμενοι, εἰ ἐπὶ οὓς πρῶτον ἦλθον
" ὑμᾶς, καὶ πόλιν ἀξιόχρεων παρεχομένους καὶ ξύνεσιν
" δοκοῦντας ἔχειν, μὴ ἐδέξασθε· καὶ τὴν αἰτίαν οὐχ ἕξω
" πιστὴν ἀποδεικνύναι, ἀλλ' ἢ ἄδικον τὴν ἐλευθερίαν
" ἐπιφέρειν, ἢ ἀσθενὴς καὶ ἀδύνατος τιμωρῆσαι τὰ πρὸς
" Ἀθηναίους, ἣν ἐπίωσιν, ἀφῖχθαι. καίτοι στρατιᾷ γε
" τῇδ' ἣν νῦν ἐγὼ ἔχω, ἐπὶ Νίσαιαν ἐμοῦ βοηθήσαντος,
" οὐκ ἠθέλησαν Ἀθηναῖοι πλέονες ὄντες προσμίξαι, ὥστε
" οὐκ εἰκὸς νηΐτη γε αὐτοὺς τῷ ἐν Νισαίᾳ στρατῷ ἴσον
" πλῆθος ἐφ' ὑμᾶς ἀποστεῖλαι. * αὐτός τε οὐκ ἐπὶ 86.
" κακῷ, ἐπ' ἐλευθερώσει δὲ τῶν Ἑλλήνων παρελήλυθα,
" ὅρκοις τε Λακεδαιμονίων καταλαβὼν τὰ τέλη τοῖς
" μεγίστοις ἢ μὴν, οὓς ἂν ἔγωγε προσαγάγωμαι, ξυμ-
" μάχους ἔσεσθαι αὐτονόμους, καὶ ἅμα, οὐχ ἵνα ξυμ-
" μάχους ὑμᾶς ἔχωμεν, ἢ βίᾳ ἢ ἀπάτῃ προσλαβόντες,

7. Καὶ τὴν αἰτίαν οὐχ ἕξω πιστὴν] τὴν αἰτίαν τῆς ἐμῆς ἐξόδου λέγων οὐ πιστευθήσομαι, ἀλλὰ προφασίζεσθαι δόξω, ἐλευθεροῦν ἐπαγγελλόμενος τοὺς Ἕλληνας ἐπὶ τῷ ἀδικεῖν τι αὐτοὺς, ἢ ἀδύνατος εἶναι βοηθεῖν πρὸς Ἀθηναίους, ἂν ἐπίωσι τοῖς συμμάχοις. 16. Ὅρκοις τε Λακεδαιμονίων] τὸ ἑξῆς, ὅρκοις μεγίστοις τὰ τῶν Λακεδαιμονίων τέλη καταλαβὼν, ἀντὶ τοῦ ποιήσας ὀμόσαι τοὺς ἄρχοντας τῶν Λακεδαιμονίων. 18. Οὐχ ἵνα] οὐ γὰρ δεόμεθα συμμαχίας.

1. εἰ om. L.O.P.d.
2. τε om. O.
4. ἂν] γὰρ Q.
5. πρόσεισι δυσχερὲς A.B.F.H. K.L.N.O.P.Q.c.d.e.f.g.h.i. vulgo πρόσεισι· καὶ δυσχερὲς.
6. παρασχομένους A.
7. δέξεσθε K.c.f.g. ἐδέξεσθε A. οὐκ ἔχω H.
10. ἀφῖγμαι P.
11. ἣν νῦν ἔχω ἐγὼ Q.e. ἣν νῦν ἔχω I.d.i. ἣν ἐγὼ ἔχω K. ἣν ἔχω O.
12. οἱ ἀθηναῖοι K.
15. ἐλευθερίᾳ f. παραγέγονα Q.
16. καταλαβὼν τὰ τέλη λακεδαιμονίων e.
17. ἦ μὴν om. d. προσαγάγωμαι καὶ ξυμμάχους e. f.g.
18. συμμάχους e.h.

" εὖνοι δ' ὄντες ἀξιώσετε μὴ κακούμενοι διωθεῖσθαι καὶ
" τὴν ἐλευθερίαν μὴ ἀκίνδυνον ἡμῖν φαίνεσθαι, δίκαιόν τε
" εἶναι, οἷς καὶ δυνατὸν δέχεσθαι αὐτὴν, τούτοις καὶ
" ἐπιφέρειν, ἄκοντα δὲ μηδένα προσαναγκάζειν, μάρτυ-
" ρας μὲν θεοὺς καὶ ἥρωας τοὺς ἐγχωρίους ποιήσομαι ὡς
" ἐπ' ἀγαθῷ ἥκων οὐ πείθω, γῆν δὲ τὴν ὑμετέραν δῃῶν
" πειράσομαι βιάζεσθαι, καὶ οὐκ ἀδικεῖν ἔτι νομιῶ,
" προσεῖναι δέ τι μοι καὶ κατὰ δύο ἀνάγκας τὸ εὔλογον,
" τῶν μὲν Λακεδαιμονίων, ὅπως μὴ τῷ ὑμετέρῳ εὖνῳ, εἰ
" μὴ προσαχθήσεσθε, τοῖς ἀπὸ ὑμῶν χρήμασι φερομένοις
" παρ' Ἀθηναίους βλάπτωνται, οἱ δὲ Ἕλληνες ἵνα μὴ
" κωλύωνται ὑφ' ὑμῶν δουλείας ἀπαλλαγῆναι. οὐ γὰρ
" δὴ εἰκότως γ' ἂν τάδε πράσσοιμεν, οὐδὲ ὀφείλομεν οἱ
" Λακεδαιμόνιοι μὴ κοινοῦ τινὸς ἀγαθοῦ αἰτίᾳ τοὺς μὴ
" βουλομένους ἐλευθεροῦν. οὐδ' αὖ ἀρχῆς ἐφιέμεθα,
" παῦσαι δὲ μᾶλλον ἑτέρους σπεύδοντες τοὺς πλείους ἂν
" ἀδικοῖμεν, εἰ ξύμπασιν αὐτονομίαν ἐπιφέροντες ὑμᾶς
" τοὺς ἐναντιουμένους περιίδοιμεν. πρὸς ταῦτα βουλεύεσθε

1. Κακούμενοι] ὑφ' ἡμῶν. Διωθεῖσθαι] ἡμᾶς δηλονότι. 4. Προσαναγκάζειν] ἐλευθεροῦσθαι δηλονότι. 8. Ἀνάγκας] ἤγουν αἰτίας. 9. Τῶν μὲν Λακεδαιμονίων] λείπει τὸ ἕνεκεν. 10. Προσαχθήσεσθε] ἡμῖν δηλονότι. 12. Ὑμῶν] ἀντὶ τοῦ τῶν Ἑλλήνων. Οὐ γὰρ δὴ εἰκότως γ' ἄν] οὐ γὰρ ἂν εὐλόγως ἐγχειροῖμεν ἐλευθεροῦν τοὺς Ἕλληνας, οὐδ' ἂν δικαίως τοὺς μὴ βουλομένους ἐλευθεροῦσθαι ἐλευθεροῦν ἐπεχειροῦμεν, εἰ μὴ κοινῇ πᾶσι τοῖς Ἕλλησι τοῦτο συνέφερε. 16. Τοὺς πλείους] τοὺς Ἀθηναίους. 17. Αὐτονομίαν] ἰσότητα. 18. Πρὸς ταῦτα] ἀφορῶντες δηλονότι.

2. ἡμῖν A.B.F.H.Q.f.h. vulgo ὑμῖν.
3. καὶ om. L.O.P.d.e.i.
5. Θεοὺς καὶ ἥρωας τοὺς ἐγχωρίους] Sic. II. 71. et 74. Aristoph. Equit. 573. Τῇ πόλει ἀμύνειν καὶ θεοῖς ἐγχωρίοις. In lege Draconis apud Porphyrium IV. de Abstinent. 22. Θεοὺς τιμᾷν καὶ ἥρωας ἐγχωρίους. Vid. Salmas. ad Solin. p. 51. et Stanlei. ad Æschyl. Sept. Theb. v. 14. DUK.
6. τὴν om. f.
8. τι om. K.
κατὰ τὰς δύο L.O.P.i.
10. ὑπὸ N.e.
14. αἰτίᾳ om. e.
16. πλείονας f.
17. ἐπιφέροντες — ἀγωνίσασθε] om. P.
18. ἐναντίους f.
ὑπεριδοιμεν L.

" εὖ, καὶ ἀγωνίσασθε τοῖς τε Ἕλλησιν ἄρξαι πρῶτοι
" ἐλευθερίας, καὶ ἀίδιον δόξαν καταθέσθαι, καὶ αὐτοὶ
" τά τε ἴδια μὴ βλαφθῆναι, καὶ ξυμπάσῃ τῇ πόλει τὸ
" κάλλιστον ὄνομα περιθεῖναι."

88. Fide data, exercitus receptus; mox etiam Stagirus ab Atheniensibus desciscit.

Ὁ μὲν Βρασίδας τοσαῦτα εἶπεν. οἱ δὲ Ἀκάνθιοι, πολλῶν λεχθέντων πρότερον ἐπ' ἀμφότερα, κρύφα διαψηφισάμενοι, διά τε τὸ ἐπαγωγὰ εἰπεῖν τὸν Βρασίδαν καὶ περὶ τοῦ καρποῦ φόβῳ ἔγνωσαν οἱ πλείους ἀφίστασθαι Ἀθηναίων, καὶ πιστώσαντες αὐτὸν τοῖς ὅρκοις, οὓς τὰ τέλη τῶν Λακεδαιμονίων ὀμόσαντα αὐτὸν ἐξέπεμψαν, ἢ μὴν ἔσεσθαι ξυμμάχους αὐτονόμους οὓς ἂν προσαγάγηται, οὕτω δέχονται τὸν στρατόν. καὶ οὐ πολλῷ ὕστερον καὶ Στάγειρος, Ἀνδρίων ἀποικία, ξυναπέστη. ταῦτα μὲν οὖν ἐν τῷ θέρει τούτῳ ἐγένετο.

2. Καταθέσθαι] ἑαυτοῖς δηλονότι. 3. Τὸ κάλλιστον ὄνομα] τὴν ἐλευθερίαν. 6. Πολλῶν λεχθέντων] ἀμφιβόλων λόγων λεχθέντων. Κρύφα ψηφισάμενοι] κατάστασιν κρίσεως ποιήσαντες. 9. Καὶ πιστώσαντες αὐτὸν τοῖς ὅρκοις] ἀντὶ τοῦ ὅρκον ἐξ αὐτοῦ λαβόντες. ὅτε γὰρ λέγομεν, πιστῶ σε ὅρκῳ, ἀντὶ τοῦ ὅρκον ἐκ σοῦ λαμβάνω. πιστοῦμαί σε δὲ ὅρκῳ, ἀντὶ τοῦ ὅρκον σοὶ δίδωμι. 13. Ξυναπέστη] τῶν Ἀθηναίων.

1. τοῖς ἕλλησιν ἄρξαι πρῶτον c.g. πρῶτοι et Thomas M. v. βούλομαι.

3. τὸ om. A.

5. Ὁ μὲν Βρασίδας] Quidam libri, ὁ μὲν οὖν Βρασίδας. Sed alterum apud Nostrum usitatius. WASS. Supra cap. 21. hujus Lib. semel, Οἱ μὲν οὖν Λακεδαιμόνιοι τοσαῦτα εἶπον. sed ibi quoque οὖν a nonnullis MSS. abest. DUK.

μὲν οὖν βρασίδας L.P.

6. διαψηφισάμενοι A.B.F.H.K. L.N.O.P.c.d.e.f.g.h.i. vulgo ψηφισάμενοι.

10. ἐξέπεμψεν. Q.

11. μὴν] μὴ I.

προσάγηται P.

12. στρατόν. οὐ H.

πολὺ I.K.L.O.P.c.d.e.g.i.

13. ὕστερον στάγειρος N.O.c.g.

Στάγειρος] Urbs condita est temporibus Archilochi et Thaletis A. M. 3403. Στάγειρα τὰ Steph. ἐν Σταγείροις et ἐν Σταγείρῃ Aristoteles in Testam. apud Laërtium V. 14. et 16. et Theophrast. Hist. Pl. 102. ἐν Σταγείροις. Στάγειρα κώμη τῆς Ὀλυνθίας Dio Chrysostomus Orat. XLVII. ἡ νῦν Μάκρη, inquit Auctor ad finem Codini. Civis Σταγειρίτης vid. Inscr. apud Reinesium XVII. 17. Harpocrat. in Νικάνωρ. Plutarch. Alex. p. 668. adversus Colot. 1126. WASS.

89. Expeditio Demosthenis in Boeotos errore dierum et proditione consilii irrita facta.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς ἀρχομένου, ὡς τῷ Ἱπποκράτει καὶ Δημοσθένει στρατηγοῖς οὖσιν Ἀθηναίων τὰ ἐν τοῖς Βοιωτοῖς ἐνεδίδοτο, καὶ ἔδει τὸν μὲν Δημοσθένην ταῖς ναυσὶν ἐς τὰς Σίφας ἀπαντῆσαι, τὸν δ' ἐπὶ τὸ Δήλιον, γενομένης διαμαρτίας τῶν ἡμερῶν ἐς ἃς ἔδει ἀμφοτέρους στρατεύειν, ὁ μὲν Δημοσθένης πρότερον πλεύσας πρὸς τὰς Σίφας, καὶ ἔχων ἐν ταῖς ναυσὶν Ἀκαρνᾶνας καὶ τῶν ἐκεῖ πολλοὺς ξυμμάχων, ἄπρακτος γίγνεται μηνυθέντος τοῦ ἐπιβουλεύματος ὑπὸ Νικομάχου ἀνδρὸς Φωκέως ἐκ Φανοτέως, ὃς Λακεδαιμονίοις εἶπεν, ἐκεῖνοι δὲ Βοιωτοῖς· καὶ βοηθείας γενομένης πάντων Βοιωτῶν (οὐ γάρ πω Ἱπποκράτης παρελύπει ἐν τῇ γῇ ὤν) προκαταλαμβάνονται αἵ τε Σίφαι καὶ ἡ Χαιρώνεια. ὡς δὲ ἤσθοντο οἱ πράσσοντες τὸ ἁμάρτημα, οὐδὲν ἐκίνησαν

1. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος] μετάβασις. 5. Ἐπὶ τὸ Δήλιον] δηλονότι ἀπαντῆσαι. Διαμαρτίας] ἀστοχίας. Τῶν ἡμερῶν] τῶν συμπεφωνημένων. Εἰς ἃς] ἤγουν ἐν αἷς. 11. Ἐκεῖνοι δὲ Βοιωτοῖς] ἐξεῖπον. Πάντων Βοιωτῶν] ἤγουν πάντων τῶν Βοιωτῶν συνδραμόντων εἰς τὸ βοηθῆσαι. 13. Προκαταλαμβάνονται] ὑπὸ τῶν Βοιωτῶν. 14. Τὸ ἁμάρτημα] τὴν προδοσίαν.

2. ὑποκράτει d.i.
3. τοῖς om. O.
ἐνεδίδοντο d.
4. δημοσθένη P.e.

Ἐς τὰς Σίφας ἀπαντῆσαι] Non video, quid sibi voluerit Portus interpolanda versione Vallæ, addito pronomine *ei*. Ἀπαντᾶν sæpe est *certo tempore, vel loco adesse, præsto esse*, ut ἀπαντᾶν ἐπὶ τὴν δίκην, ἐπὶ τὴν κυρίαν, ἐπὶ τὸ δικαστήριον, ἐπὶ τὴν δίαιταν. de quibus Budæus in Commentar. pag. 40. et ad I. 2. D. de Orig. Jur. Supr. cap. 70. Κελεύων κατὰ τάχος στρατιᾷ ἀπαντῆσαι ἐπὶ Τριποδίσκον. Latini *occurrere* dicunt. Cicero I. Philipp. 4. "*Non quo me ad tempus* "occursurum *putarem*." "Occurrere *concilio*," Liv. XXXI. 29. "Occurrere *ad vadimoni-* "*um*," Sueton. Cal. XXXIX. Duk.

τὸ] τὸν Q. om. L.O.P.
9. βουλεύματος K.
10. φανοτέως Q. φανοτέρου c.
11. πάντων τῶν Βοιωτῶν d.i.
14. οὐδὲ ἐκινήθησαν L.O.P.

14. Οἱ πράσσοντες] Adnotat Casaubonus ad Polybium pag. 185. πράσσειν sæpe idem esse ac *prodere*, eamque significationem hujus verbi cum ex hoc Thucydidis, tum ex aliorum Scriptorum locis ostendit. Et Spanhem. ad Aristoph. Plut. v. 410. e cap. 110. hujus libri. Sic etiam hoc loco accipit Scholiastes (quamquam non recte ἁμαρτίαν

τῶν ἐν ταῖς πόλεσιν. * ὁ δὲ Ἱπποκράτης ἀναστήσας Ἀθηναίους πανδημεὶ, αὐτοὺς καὶ τοὺς μετοίκους καὶ ξένων ὅσοι παρῆσαν, ὕστερος ἀφικνεῖται ἐπὶ τὸ Δήλιον, ἤδη τῶν Βοιωτῶν ἀνακεχωρηκότων ἀπὸ τῶν Σιφῶν· καὶ καθίσας τὸν στρατὸν Δήλιον ἐτείχιζε τοιῷδε τρόπῳ, τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. τάφρον μὲν κύκλῳ περὶ τὸ ἱερὸν καὶ τὸν νεὼν ἔσκαπτον, ἐκ δὲ τοῦ ὀρύγματος ἀνέβαλλον

90. Hippocrates autem, quamquam sero advenerat, paucis diebus Delium munit, atque recedens ad Atticæ fines, cum,

7. Ἀνέβαλλον] ἀναῤῥίπτοντες ἐτίθουν.

exponit προδοσίαν, pro διαμαρτίαν τῶν ἡμερῶν, quam cap. præced. memorat Thucydides; vel τὸ ἁμάρτημα Imperatorum Atheniensium) et cap. 74. Τῶν πρὸς τοὺς Ἀθηναίους πραξάντων: cap. 76. Τῷ Ἱπποκράτει τὰ Βοιώτια πράγματα ἀπό τινων ἀνδρῶν ἐν ταῖς πόλεσιν ἐπράττετο: Item cap. 110. Οἱ δὲ πράσσοντες αὐτῷ, et cap. 113. Οἱ δὲ πράσσοντες itidem de proditione interpretatur. Habet hæc vox in universum significationem clandestinæ molitionis, et studii partium. Unde etiam illi, qui id agunt, ut alios sibi concilient, et in suas partes pertrahant, quique aliorum rebus student ac favent, dicuntur πράσσειν. Thucyd. I. 57. Δεδιώς τε ἔπρασσεν, ἔς τε τὴν Λακεδαίμονα πέμπων, ὅπως πόλεμος γένηται αὐτοῖς πρὸς Πελοποννησίους. IV. 1. Ἀπέστη Μεσσήνη Ἀθηναίων. ἔπραξαν δὲ τοῦτο μάλιστα οἱ Συρακούσιοι. Et IV. 73. Ὥστε ἐκ τοῦ τοιούτου κωλῦ μᾶλλον ὁ Βρασίδας τὰ τοῦ Ἀρχιβαίου ᾐξίου πράσσειν. Duk.

2. τοὺς om. e.

3. ὕστερον e.f.

4. ὑπὸ d.

5. Ἐτείχιζε] Ita et Diodorus, quem contende lib. XII. pag. 321. D. ubi pro Παντοιάδας legendum Παγώνδας. Wass.

6. Περὶ τὸ ἱερὸν καὶ τὸν νεών] Ἱερὸν et νεὼν hic distingui, quum alioqui sæpe pro eodem dicantur, observat in Thes. Stephanus. Distinguuntur etiam a Pausan. V. 6. qui locus Interpretes torsit, Τέμενος, καὶ ἱερὸν, καὶ ναὸν Ἀρτέμιδι ᾠκοδομήσατο Ἐφεσίᾳ. Et ab Anton. Liberal. cap. 6. Καὶ ἱερὰ καὶ ναοὺς ἐποίησαν αὐτοῦ· Schol. Cass. ad h. l. hoc discrimen statuit: Ἱερὸν, inquit, ναοῦ διαφέρει. ἱερὸν μὲν αὐτὸς ὁ προσιερωμένος τόπος τῷ θεῷ· νεὼς δὲ ἔνθα ἵδρυται αὐτὸ τὸ ἄγαλμα τοῦ θεοῦ. Ammonius ἱερὰ τοὺς περιβόλους τῶν ναῶν esse dicit. Vid. etiam Interpretes Pollucis I. 6. et IX. 40. In Pausania τέμενος potest esse lucus, quomodo sæpe apud alios sumitur, et apud Thucydidem III. 70. Duk.

7. ἀνέβαλον e.f.

Ἀνέβαλλον ἀντὶ τείχους τὸν χοῦν] Eustathius in Homer. Iliad. ά. p. 117. Ὁ ὀρύσσων ἀναβάλλειν, ἤγουν ἄνω ῥίπτειν, λέγεται τὸν χοῦν. Idem in Iliad. φ'. p. 1241. Ἐντεῦθεν καὶ ἐπὶ τῶν ὀρυσσόντων τὸ ἄνω ῥίπτειν τὸ χῶμα ἀναβάλλεσθαι καὶ ἀναβάλλειν φασιν οἱ παλαιοὶ, καὶ τὴν τοιαύτην γῆν ἀμβολάδα. Et rursum in Odyss. ά. p. 1404. Add. Kuhnium ad Polluc. VII. 100. e Xenophonte I. Cyrip. p.

ἀντὶ τείχους τὸν χοῦν, καὶ σταυροὺς παρακαταπηγνύντες, ἄμπελον κόπτοντες τὴν περὶ τὸ ἱερὸν ἐσέβαλλον, καὶ λίθους ἅμα καὶ πλίνθον ἐκ τῶν οἰκοπέδων τῶν ἐγγὺς καθαιροῦντες, καὶ παντὶ τρόπῳ ἐμετεώριζον τὸ ἕρυμα. πύργους τε ξυλίνους κατέστησαν ἧ καιρὸς ἦν καὶ τοῦ ἱεροῦ οἰκοδόμημα οὐδὲν ὑπῆρχεν· ἥπερ γὰρ ἦν στοὰ, καταπεπτώκει. ἡμέρᾳ δὲ ἀρξάμενοι τρίτῃ, ὡς οἴκοθεν ὥρμησαν, ταύτην τε εἰργάζοντο καὶ τὴν τετάρτην καὶ τῆς πέμπτης μέχρι ἀρίστου. ἔπειτα, ὡς τὰ πλεῖστα ἀπετετέλεστο, τὸ μὲν στρατόπεδον προαπεχώρησεν ἀπὸ τοῦ Δηλίου οἷον δέκα σταδίους ὡς ἐπ' οἴκου πορευόμενον, καὶ οἱ μὲν ψιλοὶ οἱ πλεῖστοι εὐθὺς ἐχώρουν, οἱ δ' ὁπλῖται θέμενοι τὰ ὅπλα ἡσύχαζον· Ἱπποκράτης δὲ ὑπομένων ἔτι καθίστατο φύλακάς τε καὶ τὰ περὶ τὸ προτείχισμα, ὅσα ἦν ὑπόλοιπα, ὡς χρὴν ἐπιτελέσαι.

91. Οἱ δὲ Βοιωτοὶ ἐν ταῖς ἡμέραις ταύταις ξυνελέγοντο ἐς τὴν Τάναγραν· καὶ ἐπειδὴ ἀπὸ πασῶν τῶν πόλεων παρῆσαν καὶ ἠσθάνοντο τοὺς Ἀθηναίους προχωροῦντας ἐπ'

ceteris Boeotarchis pugnam abnuentibus,

1. Σταυροὺς] ὀρθὰ ξύλα. 5. Ἧ καιρὸς ἦν] ἤγουν ἐν ᾧ ἦν ἐπικαιρότατον καὶ ἁρμοδιώτατον. 9. Μέχρις ἀρίστου] ἄριστον τὸ νῦν λεγόμενον ἐν τῇ κοινῇ συνηθείᾳ. οὐ γὰρ δυνάμεθα ἐπὶ ἑσπέρας λαβεῖν αὐτὸ, ἐπεὶ ἔλεγε καὶ τὴν πέμπτην, ὡς καὶ τὰς ἄλλας. 13. Ὑπομένων] ἤγουν ὑπολειφθεὶς ἐν τῷ Δηλίῳ. 18. Προχωροῦντας ἐπ' οἴκου] ἤγουν ἀπομακρύναντας τοῦ Δηλίου.

190. et Eustathio in Iliad. φ'. p. 1229. hoc illustrantem. De eo, quod paullo post ἄμπελον περὶ τὸ ἱερὸν memorat, vid. Spanhem. ad Callimach. Hymn. in Pallad. v. 61. Duk.

1. ἀντὶ τοῦ τείχους c.g.

καταπηγνύντες B.F.H.N.f.h. et, prætermissione in litura posita, A.

3. πλίνθους O.Q.

4. ὄρυγμα Q.

6. ἥπερ A.I. εἵπερ K. vulgo ὅπερ.

8. τε om. A.B.i.

9. ἄριστου ἔπειτα] hæc post πλεῖστα ponunt I.L.O.P.d.i. et, suffectis illi ἔπειτα his ἐπεὶ δὲ, e.

ἀπετετέλεστο e. ἀπεστέλλετο f.

τὸ μὲν om. P.

14. τείχισμα Q.g.

15. ἀπετελέσαι c.g. ὑποτελέσαι L.O.P.e.

18. προχωροῦντας A.B.F.H.K. L.N.O.P.c.d.e.f.g. vulgo προσχωροῦντας.

οἴκου, τῶν ἄλλων βοιωταρχῶν, οἵ εἰσιν ἔνδεκα, οὐ ξυνεπαινούντων μάχεσθαι, ἐπειδὴ οὐκ ἐν τῇ Βοιωτίᾳ ἔτι εἰσί (μάλιστα γὰρ ἐν μεθορίοις τῆς Ὠρωπίας οἱ Ἀθηναῖοι ἦσαν, ὅτε ἤθεντο τὰ ὅπλα), Παγώνδας ὁ Αἰολάδου Βοιωταρχῶν ἐκ Θηβῶν μετ' Ἀριανθίδου τοῦ Λυσιμαχίδου, καὶ ἡγεμονίας οὔσης αὐτοῦ, βουλόμενος τὴν μάχην ποιῆσαι καὶ νομίζων ἄμεινον εἶναι κινδυνεῦσαι, προσκαλῶν ἑκάστους κατὰ λόχους, ὅπως μὴ ἀθρόοι ἐκλίποιεν τὰ ὅπλα, ἔπειθε τοὺς Βοιωτοὺς ἰέναι ἐπὶ τοὺς Ἀθηναίους καὶ τὸν ἀγῶνα ποιεῖσθαι, λέγων τοιάδε.

Pagonda autem Thebano

" ΧΡΗΝ μέν, ὦ ἄνδρες Βοιωτοί, μηδ' ἐς ἐπίνοιάν τινα 92.
" ἡμῶν ἐλθεῖν τῶν ἀρχόντων ὡς οὐκ εἰκὸς Ἀθηναίοις, ἢν ad prœlium suos hortante,
" ἄρα μὴ ἐν τῇ Βοιωτίᾳ ἔτι καταλάβωμεν αὐτούς, διὰ
" μάχης ἐλθεῖν. τὴν γὰρ Βοιωτίαν, ἐκ τῆς ὁμόρου ἐλθόν-

1. Βοιωταρχῶν] Βοιώταρχος καὶ Βοιωτάρχης. 7. Κινδυνεῦσαι] διὰ κινδύνου χωρῆσαι. 11. Χρὴν μέν, ὦ ἄνδρες Βοιωτοί] διαιρεῖται ἡ δημηγορία αὕτη τῷ συμφέροντι καὶ τῷ δικαίῳ, ὑποφαίνει δὲ ὀλιγάκις καὶ τὸ δυνατόν. ἡ μὲν πρότασις ἐξ ἐπιπλήξεως τῶν μὴ συνεπαινούντων μάχεσθαι. ἡ δὲ κατασκευὴ ἐκ διαβολῆς τῶν Ἀθηναίων, ὅτι πανταχοῦ ἐχθροί. τὸ δὲ συμπέρασμα προτρεπτικὸν εἰς τὰ πρακτέα κατὰ διορισμὸν τίσι τῶν ἀνθρώπων ἔτι μᾶλλον

2. ἔτι om. B. ante ἐν ponunt Q.e. ἔτι ἐν τῇ βοιωτίᾳ ἔτι f.
3. γὰρ] δὲ O.
4. ἦσαν οἱ ἀθηναῖοι Q.f.
παγώνδας Q.
αἰλάδου P. αἰολάνδου i.
5. ριανθίδου A.B.h. ριαντίδου K.
λυσιμάχου Q.d.i.
8. λόχους] τάχος K.
10. τάδε I.L.O.P.
11. χρὴ L.P. ἐχρῆν K.d.i.
μὲν οὖν ὦ P.
Ἐς ἐπίνοιάν τινα ἡμῶν ἐλθεῖν] Τωὰ pro τινὸς. Hudsonus sequutus Portum, qui in Commentar. hanc enallagen statuit. Si oratio postulat genitivum τινός, ita defendi possunt omnes solœcismi. Non negaverim posse dici τοῦτό μου εἰς ἐπίνοιαν ἦλθε. Sed cur non etiam dici possit ἐγὼ εἰς ἐπίνοιαν τούτου ἦλθον? Certe nihil interest inter phrasin, qua hic utitur Thucydides, εἰς ἐπίνοιάν τινα ἡμῶν ἐλθεῖν, et eam, qua III. 46. Χρὴ προκαταλαμβάνειν, ὅπως μηδ' ἐς ἐπίνοιαν τούτου ἔωσι, *prævenire, ut ne quidem in cogitationem hujus rei veniant.* Duk.
13. τῇ om. L.O.d.e.i.
14. ἐλθόντες καὶ τεῖχος e.

" τες, τεῖχος ἐνοικοδομησάμενοι μέλλουσι φθείρειν, καὶ
" εἰσὶ δή που πολέμιοι, ἐν ᾧ τε ἂν χωρίῳ καταληφθῶσι
" καὶ ὅθεν ἐπελθόντες πολέμια ἔδρασαν. νυνὶ δ' εἴ τῳ
" καὶ ἀσφαλέστερον ἔδοξεν εἶναι, μεταγνώτω. οὐ γὰρ
" τὸ προμηθὲς, οἷς ἂν ἄλλος ἐπίῃ, περὶ τῆς σφετέρας
" ὁμοίως ἐνδέχεται λογισμὸν, καὶ ὅστις τὰ μὲν ἑαυτοῦ
" ἔχει, τοῦ πλείονος δὲ ὀρεγόμενος ἐκών τινι ἐπέρχεται.
" πάτριόν τε ὑμῖν στρατὸν ἀλλόφυλον ἐπελθόντα καὶ ἐν
" τῇ οἰκείᾳ καὶ ἐν τῇ τῶν πέλας ὁμοίως ἀμύνεσθαι.
" Ἀθηναίους δὲ, καὶ προσέτι ὁμόρους ὄντας, πολλῷ μά-
" λιστα δεῖ. πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τὸ

προμηθητέον. 4. Ἀσφαλέστερον] τὸ μὴ πολεμῆσαι. Οὐ γὰρ τὸ προμηθὲς] ὁ νοῦς οὗτος· οὐχ ὁμοίως δεῖ τὸν ἐπιβουλεύοντα καὶ τὸν ἐπιβουλευόμενον ἀσφαλῶς μεταχειρίζειν, ἀλλὰ δῆλον ὅτι δεῖ προκινδυνεύειν τὸν ἐπιβουλευόμενον. Ὅμηρος· Ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος Ἱπποδάμοιο (Il. XXII, 161.) 5. Οἷς ἂν ἄλλος ἐπίῃ] ἐκ τῶν τοῦ Αἰσώπου μύθων, ἄλλος ἄλλον ἀγρεῦσαι θέλων τρέχει τις, ἄλλος δ' ἄλλον ἐκ κακοῦ σώζων. 7. Ὀρεγόμενος] ὥσπερ οἱ Ἀθηναῖοι. 8. Πάτριόν τε ὑμῖν] ἀπὸ τοῦ ἔθους ἡ ἐργασία τοῦ δυνατοῦ· προαναφωνεῖ δ' ὃ μέλλει διὰ παραδείγματος ὕστερον ἀποδείξαι. 10. Ἀθηναίους

1. διαφθείρειν g.
3. νῦν Q.
εἴπου I.
4. Οὐ γὰρ τὸ προμηθὲς] Sententiam pulchre exponit Scholion Cod. Cass. Ἡ προμήθεια τοῦ μέλλοντος, καὶ ἡ πρόνοια οὐχ ὁμοίου χρήζει διαλογισμοῦ τῶν τε ὑπερμαχούντων τῆς ἰδίας γῆς, καὶ τῶν ἐχόντων μὲν τὴν ἰδίαν, ὀρεγομένων δὲ γῆς ἀλλοτρίας, καὶ ἐπιόντων. ἐμφαίνει δὲ, ὅτι χρὴ ἡμᾶς ὑπερμαχοῦντας τῇ ἡμῶν αὐτῶν τόλμῃ χρήσασθαι, καὶ ἀπονοίᾳ μᾶλλον, ἤπερ λογισμῷ. Duk.
5. ἐπίοι Q.
6. μὲν om. K.
7. τοῦ πλείονος δὲ A.B.F.H.K. c.f.g.h.i. ceteri τοῦ δὲ πλείονος.
8. ἡμῖν στρατὸν ἀλλότριον c.g.
Στρατὸν ἀλλόφυλον ἐπελθόντα] Ἀλλότριον, quod habet Reg. sine dubio ex interpretatione est. Ἀλλόφυλος crebro est apud Thucydidem. Vid. I. 2. IV. 86. Ibid. cap. 64. Τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας ἀθρόοι, ἢν σωφρονῶμεν, ἀμυνούμεθα. Duk.
9. ἀμύνασθαι d.i.
10. Πολλῷ μάλιστα] Πολλῷ μᾶλλον dicit Thucydides IV. 114. Πολὺ μᾶλλον III. 12. et παραπολὺ μᾶλλον VIII. 6. Sed πολλῷ μάλιστα etiam a Pausania adnotavit Budæus Commentar. pag. 395. Ἐμοὶ δὲ παρέσχε μὲν καὶ τοῦτο θαυμάσαι· παρέσχε δὲ πολλῷ μάλιστα Αἰγυπτίων ὁ κολοσσός. Locus est in Attic. cap. XLII. Itaque non est habenda ratio scripturæ Cod. C. qui hic exhibet πολλῷ μᾶλλον. Duk.
μᾶλλον O.

" ἀντίπαλον καὶ ἐλεύθερον καθίσταται· καὶ πρὸς τούτους
" γε δή, οἳ καὶ μὴ τοὺς ἐγγὺς ἀλλὰ καὶ τοὺς ἄποθεν
" πειρῶνται δουλοῦσθαι, πῶς οὐ χρὴ καὶ ἐπὶ τὸ ἔσχατον
" ἀγῶνος ἐλθεῖν; (παράδειγμα δὲ ἔχομεν τούς τε ἀντι-

δὲ] τὸ συμφέρον μεταληπτικὸν ἀπὸ προσώπου καὶ τρόπου. 1. Καὶ ἐλεύθερον καθίσταται] ἤγουν οἱ γὰρ πρὸς τοὺς ἀστυγείτονας ἀντιπαλαίοντες καὶ ἀντιμαχόμενοι καὶ ἐλεύθεροί εἰσι. Ἐλευθερία περιγίνεται. διὸ καὶ ὁ καὶ σύνδεσμος περιττός. Πρὸς τούτους] τοῖς εἰρημένοις. 3. Ἐπὶ τὸ ἔσχατον

1. Πρὸς τούτους] Dubito, an Thucydides scripserit πρὸς τούτους. Nam non ἀγὼν et ἀγωνίζεσθαι πρός τινι, sed πρός τινα, solet dici. Demosthenes de Corona pag. 146. Ἑώρων δ' αὐτὸν τὸν Φίλιππον, πρὸς ὃν ἡμῖν ὁ ἀγὼν, et pag. 179. Τάδε τοῦ Φιλίππου, πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγὼν, σκέψασθε πῶς. Ibid. p. 135. πρὸς ἀλλήλους ἀγωνίζεσθαι. Thucyd. I. 36. ἔξετε πρὸς αὐτοὺς πλείοσι ναυσὶ ταῖς ὑμετέραις ἀγωνίζεσθαι. Duk.

τούτους vulgo.

2. Οἳ καὶ μὴ τοὺς ἐγγὺς ἀλλὰ καὶ] Omnes Interpretes supplent μόνον. Et videtur id omnino desiderari, ut vel particulæ ἀλλὰ καὶ indicant. Nam infinitis locis invenias οὐ μόνον, ἀλλὰ καί. Stephanus in Append. ad Script. de Dialect. p. 104. Luciani tria loca, et singula Xenophontis, ac Thucydides III. 40. ξύγγνωμον δέ ἐστι τὸ ἀκούσιον, adfert, in quibus desiderari putat μόνον. Sed non necessarium est in iis omnibus ellipsin statui. Camerarius, et alii quidam docti, idem sentiunt de hoc Actor. Apost. v. 4. Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ θεῷ. Sed ne hic quidem locus supplemento illo indiget. In illo autem, quod est in Epist. ad Rom. iv. 9. Ὁ μακαρισμὸς οὖν οὗτος ἐπὶ τὴν περιτομὴν, ἢ καὶ ἐπὶ ἀκροβυστίαν; deesse μόνον non sine ratione dicit Stephanus l. d. et adnotarunt ibi Interpretes. In Latinis scriptoribus, maximeque Jurisconsultis, non valde infrequens est ellipsis adverbiorum *solum* et *tantum*, sequentibus particulis *sed etiam*. Liv. XXVIII. 11. " Ut non *præda*, sed *armati* " quoque *in periculo fuerint*." Ita ibi e MSS. Gronovius. Add. Cujac. IX. Obs. 17. et XIV. 11. Anton. Augustin. II. Emendat. 1. et Scaliger. ad Varron. III. De Re Rust. 9. Augustinus dicit Græcam formam loquendi esse; sed nec ipse, nec quisquam eorum, qui Commentarios ad Nov. Testam. scripserunt, quos quidem viderim, hoc ullius Græci Scriptoris testimonio confirmat. Unde non absurde colligi potest, non obviam esse in Græcorum scriptis hanc ellipsin. Nam quæ Vir eruditus in libello de Ellipsi Græca observat, non similia sunt, quum in iis non sit καὶ ἀλλά· ac ne quidem satis apertum est, an in iis desit, quod ille vult, οὐ μόνον. Eadem ratio est locorum Luciani, Xenophontis, et Thucydidis apud Stephanum, præterquam, quod is ibi non in priore, sed posteriore membro orationis supplet μόνον. Duk.

4. δὲ om. A.B.F.H.Q.

τούς τε ἔχομεν K.

" πέρας Εὐβοέας καὶ τῆς ἄλλης Ἑλλάδος τὸ πολὺ, ὡς
" αὐτοῖς διάκειται) καὶ γνῶναι ὅτι τοῖς μὲν ἄλλοις οἱ
" πλησιόχωροι περὶ γῆς ὅρων τὰς μάχας ποιοῦνται, ἡμῖν
" δὲ ἐς πᾶσαν, ἣν νικηθῶμεν, εἷς ὅρος οὐκ ἀντίλεκτος
" παγήσεται· εἰσελθόντες γὰρ βίᾳ τὰ ἡμέτερα ἕξουσι.
" τοσούτῳ ἐπικινδυνοτέραν ἑτέρων τὴν παροίκησιν τῶνδε
" ἔχομεν. εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας,
" ὥσπερ Ἀθηναῖοι νῦν, ἐπιόντες τὸν μὲν ἡσυχάζοντα καὶ
" ἐν τῇ ἑαυτοῦ μόνον ἀμυνόμενον ἀδεέστερον ἐπιστρα-
" τεύειν, τὸν δὲ ἔξω ὅρων προαπαντῶντα καὶ ἢν καιρὸς ᾖ
" πολέμου ἄρχοντα· ἧσσον ἑτοίμως κατέχειν. πεῖραν δὲ
" ἔχομεν ἡμεῖς αὐτοῦ ἐς τούσδε· νικήσαντες γὰρ ἐν Κο-
" ρωνείᾳ αὐτοὺς, ὅτε τὴν γῆν ἡμῶν στασιαζόντων κατέ-
" σχον, πολλὴν ἄδειαν τῇ Βοιωτίᾳ μέχρι τοῦδε κατε-
" στήσαμεν. ὧν χρὴ μνησθέντας ἡμᾶς τούς τε πρεσβυ-
" τέρους ὁμοιωθῆναι τοῖς πρὶν ἔργοις, τούς τε νεωτέρους,

ἀγῶνος ἐλθεῖν] ἤγουν ἀγωνίσασθαι μέχρι θανάτου. 2. Διάκειται] ὑπόκειται. ὡς αὐτοῖς ὑποτέτακται, ὡς ἔχει πρὸς αὐτούς. 4. Οὐκ ἀντίλεκτος] ἀντὶ τοῦ ἀναμφίβολος. 7. Ἰσχύος που θράσει] ἤγουν μετὰ θρασείας ἰσχύος. 10. Ἔξω ὅρων] τῶν ἑαυτοῦ. 14. Πολλὴν ἄδειαν τῇ Βοιωτίᾳ] ἤγουν ἄφοβον πεποιήκαμεν τὴν Βοιωτίαν. 16. Τοῖς πρὶν ἔργοις] τοῖς ἑαυτῶν.

1. εὐβοίας L.M.O.Q.

4. Εἷς ὅρος οὐκ ἀντίλεκτος] Agnoscit Pollux V. 153. Wass. Et II. 120. Scholia Cod. Cass. ita exponunt: Ὡς μηδένα ὅλως ἐν πάσῃ τῇ γῇ ἡμῶν ὅρον ἀναμφισβήτητον πρὸς αὐτοὺς καταλειφθῆναι. ἐξ οὗ δηλοῦται, ὅτι πᾶσαν καταδουλώσονται τὴν Βοιωτίαν. Duk.

6. τοσοῦτον ἐπικίνδυνον Q.

7. Εἰώθασί τε—κατέχειν] Stobæus pag. 364. ubi est δὲ καὶ ἔξω, quod et sententiam adjuvat. Wass. Κατέχειν Valla vertit coërcere. Hac significatione est III. 62. et alibi: sed ea sententiæ hujus loci non bene convenit. Κατέχειν τινὰ an Græci dicant, aliquem *bello premere*, ut Portus vertit, non scio. Melius Gesnerus in Stobæo, *sustinere*, ut Budæus in Polybio κατέχειν τὴν ἐπιφορὰν τῶν πολεμίων. Duk.

οἱ om. c.

8. ὥσπερ οἱ ἀθηναῖοι B.Q.h.

9. αὐτοῦ Q.

ἀμυνούμενον L.O.e.

10. δὲ καὶ ἔξω Stobæus.

προαπατῶντα K.

12. αὐτοῦ ἡμεῖς c.g.

14. τῇ] ἐν τῇ Q.

" πατέρων τῶν τότε ἀγαθῶν γενομένων παῖδας, πειρᾶ-
" σθαι μὴ αἰσχῦναι τὰς προσηκούσας ἀρετὰς, πιστεύ-
" σαντας δὲ τῷ θεῷ πρὸς ἡμῶν ἔσεσθαι, οὗ τὸ ἱερὸν
" ἀνόμως τειχίσαντες νέμονται, καὶ τοῖς ἱεροῖς ἃ ἡμῖν
" θυσαμένοις καλὰ φαίνεται, ὁμόσε χωρῆσαι τοῖσδε,
" καὶ δεῖξαι ὅτι, ὧν μὲν ἐφίενται, πρὸς τοὺς μὴ ἀμυνο-
" μένους ἐπιόντες κτάσθωσαν, οἷς δὲ γενναῖον τήν τε αὐ-
" τῶν ἀεὶ ἐλευθερῶν μάχῃ καὶ τὴν ἄλλων μὴ δουλοῦσθαι
" ἀδίκως, ἀναναγώνιστοι ἀπ' αὐτῶν οὐκ ἀπίασιν."

Τοιαῦτα ὁ Παγώνδας τοῖς Βοιωτοῖς παραινέσας ἔπει- 93. Boeoti prosecuti aciem instruxisent,
σεν ἰέναι ἐπὶ τοὺς Ἀθηναίους. καὶ κατὰ τάχος ἀναστή-
σας ἦγε τὸν στρατόν· ἤδη γὰρ καὶ τῆς ἡμέρας ὀψὲ ἦν.
ἐπεὶ δὲ προσέμιξεν ἐγγὺς τοῦ στρατεύματος αὐτῶν, ἐς
χωρίον καθίσας ὅθεν λόφου ὄντος μεταξὺ οὐκ ἐθεώρουν

2. Τὰς προσηκούσας] ἤγουν τὰς συγγενικάς. Ὅμηρος· Μηδὲ γένος πατέρων αἰσχυνέμεν (Il. VI. 209.). 3. Πρὸς ἡμῶν ἔσεσθαι] ἤγουν βοηθήσειν ἡμῖν τὸν θεόν. 7. Οἷς δὲ γενναῖον] ἤγουν πάτριον καὶ ἀπὸ γένους. 8. Καὶ τὴν ἄλλων] δηλονότι γῆν. 12. Τῆς ἡμέρας ὀψὲ ἦν] ἤγουν ἑσπέρα ἦν κλίνοντος τοῦ ἡλίου. 13. Προσέμιξεν ἐγγὺς] ἐπλησίασεν. 14. Καθίσας] τὸ στρά-

1. τότε] πώποτε L.O.P.
γενομένους N.d.e.f.g.i.
2. πιστεύσαντες H.M.
6. Καὶ δεῖξαι ὅτι—κτάσθωσαν] H. Stephanus: *se obtinere debere.* Fr. Portus: ἀντὶ τοῦ κτᾶσθαι διωρίσαντο, ἢ ἄλλο τι ὅμοιον. Videbunt docti an etiam ex aliis probatis Scriptoribus hujusmodi quid proferri possit. Nam quod Poëtæ dicunt, οἶσθ', ἃ δρᾶσον, pro δράσεις, huic non est simile. Sed κτάσθωσαν pro futuro κτήσονται poni apertum est. Duk.
ὅτι om. L.
7. ἐπιόντας K.
8. ἄλλῳ L.O.e.f. ἄλλου Q.
9. ἀναναγώνιστοι A.B.F.H.I. N.Q.d. ἀναγώνιστοι f.i. vulgo ἀναγώνιστοι.

Cl. ἀναναγώνιστοι, quomodo Noster supra II. 45. Herodianus, Joseph. p. 1301. Illud tamen apud Platonem et Xenoph. extat. Hesychius tamen agnoscit ἀναναγώνιστος, ἀήττητος. ἀναγώνιστος tantum Pollux: neuter auctorem prodit. Scriptura Cl. a Thucyd. et ejus æmulis adserta mihi placet. Wass. Est etiam apud Lucianum, qui Thucydideis crebro utitur, Dial. mort. pag. 321. et Hermotim. 537. Duk.
ὑπ' i.
12. ἦγε τὸν στρατὸν ἀναστήσας f.
ἦν ὀψὲ e.
13. ἐπεὶ δὲ L.O. καὶ ἐπεὶ δὲ A. B.F.H.d.h.i. vulgo καὶ ἐπειδὴ.
προσέμιξαν B.f.

ἀλλήλους, ἔτασσέ τε καὶ παρεσκευάζετο ὡς ἐς μάχην. τῷ δὲ Ἱπποκράτει ὄντι περὶ τὸ Δήλιον, ὡς αὐτῷ ἠγγέλθη ὅτι Βοιωτοὶ ἐπέρχονται, πέμπει ἐς τὸ στράτευμα κελεύων ἐς τάξιν καθίστασθαι, καὶ αὐτὸς οὐ πολλῷ ὕστερον ἐπῆλθε, καταλιπὼν ὡς τριακοσίους ἱππέας περὶ τὸ Δήλιον, ὅπως φύλακές τε ἅμα εἶεν, εἴ τις ἐπίοι αὐτῷ, καὶ τοῖς Βοιωτοῖς καιρὸν φυλάξαντες ἐπιγένοιντο ἐν τῇ μάχῃ. Βοιωτοὶ δὲ πρὸς τούτους ἀντικατέστησαν τοὺς ἀμυνομένους· καὶ ἐπειδὴ καλῶς αὐτοῖς εἶχεν, ὑπερεφάνησαν τοῦ λόφου καὶ ἔθεντο τὰ ὅπλα, τεταγμένοι ὥσπερ ἔμελλον, ὁπλῖται ἑπτακισχίλιοι μάλιστα καὶ ψιλοὶ ὑπὲρ μυρίους, ἱππῆς τε χίλιοι καὶ πελτασταὶ πεντακόσιοι. εἶχον δὲ δεξιὸν μὲν κέρας Θηβαῖοι καὶ οἱ ξύμμοροι αὐτοῖς· μέσοι

τευμα δηλονότι. 6. Αὐτῷ] τῷ Δηλίῳ. Καὶ τοῖς Βοιωτοῖς] κατὰ τῶν Βοιωτῶν. 9. Καλῶς αὐτοῖς εἶχε] τοῖς Βοιωτοῖς τὰ τῆς συντάξεως. 10. Ἔθεντο] περιέθεντο. Ὥσπερ ἔμελλον] μαχέσασθαι.

1. ὡς om. L.O.P.e.f.

2. Ὡς αὐτῷ ἠγγέλθη] Abundat αὐτῷ, ut sæpe apud alios. Turbam locorum congesserunt Viri docti ad Matth. iv. 16. v. 40. et xxi. 41. Duk.

3. Πέμπει ἐς τὸ στράτευμα κελεύων ἐς τάξιν καθίστασθαι] Κελεύων deest Cod. Ar. haud ineleganter. Wass. Si unus alterve bonus Codex adsentiretur, non rejicerem illam scripturam. Euripid. Iphigen. in Aul. V. 360. Καὶ πέμπεις ἐκὼν—σῇ δάμαρτι παῖδα σὴν δεῦρ', ἀποστέλλειν. Sed nihil movendum est. Thucyd. II. 81. Παρά τε Φορμίωνα ἔπεμπον κελεύοντες ἀμύνειν. quod ibi frustra sollicitari a Stephano ex hoc loco liquet. Duk.

κελεύων om. L. Non male. Xenophon. Hellen. 3. πέμπουσιν οἱ ἔφοροι ἀπολιπόντα Λάρισαν στρατεύεσθαι ἐπὶ Καρίαν. Vid. Gronov. ad Herodot. I. 75. Wass.

6. εἴ τις I.K.L.O.P.e.f.g. vulgo εἴτι.

8. ἀντεκατέστησαν B.

τοὺς—10. ἔθεντο] om. L.

11. μάλιστα—χίλιοι] om. H.

Ὑπὲρ μυρίους] Πεζοὶς εἶχε οὐ πολὺ λείποντας τῶν δισμυρίων, ἱππεῖς δὲ περὶ χιλίους· οἱ δ' Ἀθηναῖοι τῷ πλήθει μὲν ὑπερεῖχον τῶν Βοιωτῶν. Diodor. XII. 321. d. et προεμάχοντο πάντων οἱ παρ' ἐκείνους ἡνίοχοι καὶ παραιβάται καλούμενοι, ἄνδρες ἐπίλεκτοι τριακόσιοι. Wass.

13. μὲν om. f.

Καὶ οἱ ξύμμοροι αὐτοῖς] Henr. Stephanus scribit, in Lexic. adferri σύμμορος e Thucydide, et verti *socius*, ex interpretatione Vallæ: sed sibi suspectum esse hac significatione, ubicumque legatur, et magis rationi consen-

δὲ Ἁλιάρτιοι καὶ Κορωναῖοι καὶ Κωπαιῆς καὶ οἱ ἄλλοι οἱ περὶ τὴν λίμνην· τὸ δὲ εὐώνυμον εἶχον Θεσπιῆς καὶ Ταναγραῖοι καὶ Ὀρχομένιοι. ἐπὶ δὲ τῷ κέρᾳ ἑκατέρῳ οἱ ἱππῆς καὶ ψιλοὶ ἦσαν. ἐπ' ἀσπίδας δὲ πέντε μὲν καὶ εἴκοσι Θηβαῖοι ἐτάξαντο, οἱ δὲ ἄλλοι ὡς ἕκαστοι ἔτυχον. αὕτη μὲν Βοιωτῶν παρασκευὴ καὶ διάκοσμος ἦν. * Ἀθηναῖοι δὲ οἱ μὲν ὁπλῖται ἐπὶ ὀκτὼ πᾶν τὸ στρατόπεδον ἐτάξαντο, ὄντες πλήθει ἰσοπαλεῖς τοῖς ἐναντίοις, ἱππῆς δὲ ἐφ' ἑκατέρῳ τῷ κέρᾳ. ψιλοὶ δὲ ἐκ παρασκευῆς μὲν ὡπλισμένοι οὔτε τότε παρῆσαν οὔτε ἐγένοντο τῇ πόλει· ὕστερον δὲ ξυνεσέβαλον ὄντες πολλαπλάσιοι τῶν ἐναντίων,

94. ipse quoque suam aciem firmat et presidiis,

6. Ἀθηναῖοι μὲν οἱ δὲ ὁπλῖται] Ἀθηναίων σχῆμα Ὁμηρικόν.

taneum esse, ut scribatur στάμμορος. Non magis, quam Stephanus, scio qui sint σύμμοροι. Harpocration in συμμορία ex Hyperide tradit, τοὺς δημοσιώτους Athenis etiam in συμμορίας relatos fuisse, et Pollux VIII. 144. ex eodem Hyperide μετοικικῆς συμμορίας ταμίαν memorat. Unde cogitabam, etsi συμμορία proprie ad civitatem Atticam pertinet, tamen Thucydidem fortassis συμμόρους vocasse eos, qui civitate a Thebanis donati erant, vel inquilinos. Sed nihil adfirmo. Duk.

ξύμμαχοι K.d.i.

1. Κορωναῖοι] Pag. 267. oppidum Κορώνεια. Ptolem. Κωρωνία. Hujus civitatis Haliartus et Coronus, Thersandri filii, conditores fuere. Pausan. IX. 34. Κορόνεια apud Aristidem perperam scribitur II. 97. Urbs ad Heliconem sita erat juxta lacum Copaïdem, ubi Cephissus influit, XL. stadia aberat a monte *Libethrio*. Whelerus tamen in Itinerar. de situ ejus dubitat. Confer Xenoph. Hist. Gr. IV. p. 519. In Notit. Episc. Provinc. Helladis Achaïcæ recensentur Κορωνία, et Κορωνία Βοιωτίας. sunt enim et alia ejusdem nominis oppida in Messenia et Thessalia. De Peloponnesiaco loquitur Cantacuzenus p. 384. quando Κορώνης Episcopum legatis adscribit. Wass.

2. εἶχον οἱ θεσπιῆς B.h.

3. καὶ οἱ ὀρχομένιοι K.

ἑκάστῳ K.

4. δὲ om. P.

5. εἴκοσι θηβαῖοι A.B.F.H.K. N.P.h. vulgo εἴκοσιν οἱ θηβαῖοι.

6. Ἀθηναῖοι δὲ] De schemate Homerico, quod hic observat Scholiastes, vid. ad cap. 70. Duk.

7. μὲν οἱ δὲ e.

ὀκτὼ om. e.g.

10. ἐγένοντο τῇ A.B.F.H.K.L. N.O.c.d.g.h.i. vulgo ἐγένοντο ἐν τῇ.

11. συνεσέβαλον B.F.H.K.h.i. συνεισέβαλον c.g. συνέβαλαν d.f.

ἄοπλοί τε πολλοὶ ἠκολούθησαν, ἅτε παυστρατιᾶς ξένων τῶν παρόντων καὶ ἀστῶν γενομένης, καὶ ὡς τὸ πρῶτον ὥρμησαν ἐπ' οἶκου, οὐ παρεγένοντο, ὅτι μὴ ὀλίγοι. καθεστώτων δὲ ἐς τὴν τάξιν καὶ ἤδη μελλόντων ξυνιέναι, Ἱπποκράτης ὁ στρατηγὸς ἐπιπαριὼν τὸ στρατόπεδον τῶν Ἀθηναίων παρεκελεύετό τε καὶ ἔλεγε τοιάδε.

95. et vero oratione.

"Ω ΑΘΗΝΑΙΟΙ, δι' ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, τὸ ἴσον δὲ πρός τε τοὺς ἀγαθοὺς ἄνδρας δύναται, καὶ ὑπόμνησιν μᾶλλον ἔχει ἢ ἐπικέλευσιν. παραστῇ δὲ μηδενὶ ὑμῶν ὡς ἐν τῇ ἀλλοτρίᾳ οὐ προσῆκον τοσόνδε κίνδυνον ἀναῤῥιπτοῦμεν. ἐν γὰρ τῇ τούτων ὑπὲρ τῆς ἡμετέρας ὁ ἀγὼν ἔσται· καὶ ἢν νικήσωμεν, οὐ μή ποτε ὑμῖν Πελοποννήσιοι ἐς τὴν χώραν ἄνευ τῆς τῶνδε ἵππου ἐσβάλωσιν, ἐν δὲ μιᾷ μάχῃ τήνδε τε προσκτᾶσθε καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε. χωρήσατε οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως, ἣν ἕκαστος πατρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν ἀγάλλεται, καὶ τῶν πατέρων, οἳ τούσδε μάχῃ κρατοῦντες μετὰ Μυρωνίδου ἐν Οἰνοφύτοις τὴν Βοιωτίαν ποτὲ ἔσχον."

4. Μελλόντων ξυνιέναι] ἑκατέρων τῶν στρατῶν. 7. Δι' ὀλίγου] λόγου δηλονότι. 11. Ἀναῤῥιπτοῦμεν] ῥιψοκινδύνως λαμβάνομεν. οὐ προσηκόντως τοσόνδε κίνδυνον ἀναδεχόμεθα. Ἐν γὰρ τῇ τούτων] γῇ δηλονότι. 15. Χωρήσατε οὖν] τὸ ἐξῆς, χωρήσατε οὖν ἐς αὐτοὺς ἀξίως τῆς πόλεως. Ἐς αὐτοὺς] τοὺς ἐναντίους. 17. Καὶ τῶν πατέρων] ἀπὸ κοινοῦ τὸ ἀξίως.

3. αὖτε e.
4. τὴν om. N.
καὶ ἤδη A.B.F.H.K.L.N.O.c. d.e.g.h.i. vulgo ἤδη καὶ.
ξυνιέναι K.
Ἱπποκράτης ὁ στρατηγὸς] Huic Hipponicus Calliæ filius erat adjunctus, ut patet ex Andocidis oratione contra Alcibiadem. *Palmerius* Exercitat. pag. 52. Huds.
6. παρεκέλευέ K.
τε om. O. e.
9. ἔχειν e.
10. τοσοῦτον Q.
11. τῇ γὰρ K.
ἡμετέρας A.B.F.H.K.L.M.N. O.d.e.f.g. vulgo ὑμετέρας.
13. ἡμῖν Q.e.
14. ἐσβάλλωσιν L.O.c. ἐσβάλουσιν Q.
16. τε om. L.
17. τῶν om. c.
18. Οἰνοφύτοις] Ita scribit A-

Τοιαῦτα τοῦ Ἱπποκράτους παρακελευομένου, καὶ μέχρι μὲν μέσου τοῦ στρατοπέδου ἐπελθόντος, τὸ δὲ πλέον οὐκ ἔτι φθάσαντος, οἱ Βοιωτοὶ, παρακελευσαμένου καὶ σφίσιν ὡς διὰ ταχέων καὶ ἐνταῦθα Παγώνδου, παιωνίσαντες ἐπῆσαν ἀπὸ τοῦ λόφου. ἀντεπῆσαν δὲ καὶ οἱ Ἀθηναῖοι, καὶ προσέμιξαν δρόμῳ. καὶ ἑκατέρων τῶν στρατοπέδων τὰ ἔσχατα οὐκ ἦλθεν ἐς χεῖρας, ἀλλὰ τὸ αὐτὸ ἔπαθε· ῥύακες γὰρ ἐκώλυσαν. τὸ δὲ ἄλλο καρτερᾷ μάχῃ καὶ ὠθισμῷ ἀσπίδων ξυνεστήκει. καὶ τὸ μὲν εὐώνυμον τῶν Βοιωτῶν καὶ μέχρι μέσου ἠσσᾶτο ὑπὸ τῶν Ἀθηναίων, καὶ ἐπίεσαν τούς τε ἄλλους ταύτῃ καὶ οὐχ ἥκιστα τοὺς Θεσπιέας. ὑποχωρησάντων γὰρ αὐτοῖς τῶν παρατεταγμένων, καὶ κυκλωθέντων ἐν ὀλίγῳ, οἵπερ διεφθάρησαν Θεσπιέων, ἐν χερσὶν ἀμυνόμενοι κατεκόπησαν· καί τινες καὶ τῶν Ἀθηναίων, διὰ τὴν κύκλωσιν ταραχθέντες, ἠγνόησάν τε καὶ ἀπέκτειναν ἀλλήλους. τὸ μὲν οὖν ταύτῃ ἠσσᾶτο τῶν Βοιωτῶν, καὶ πρὸς τὸ μαχόμενον

96. Commissa pugna apud Oropum,

2. Τὸ δὲ πλέον] τοῦ στρατοῦ. 3. Φθάσαντος] νῦν ἀντὶ τοῦ καταλαβόντος. 6. Προσέμιξαν δρόμῳ] αὐτοῖς δηλονότι προέχοντες. 7. Οὐκ ἦλθεν ἐς χεῖρας] ἤγουν οὐ συνέμιξεν. Ἀλλὰ τὸ αὐτὸ ἔπαθεν] ἑκατέρων δηλονότι τὰ ἔσχατα. 8. Ῥύακες] ῥεύματα ὑδρηγά. 11. Καὶ ἐπίεσαν] οἱ Ἀθηναῖοι. 12. Αὐτοῖς] τοῖς Ἀθηναίοις. 13. Κυκλωθέντων ἐν ὀλίγῳ] ὑπὸ τῶν Ἀθηναίων ἐν ὀλίγῳ τόπῳ. 17. Πρὸς τὸ μαχόμενον] μέρος τῶν Βοιωτῶν τὸ ἔτι τὴν μά-

ristoteles Politic. V. 132. 19. Neque aliter Aristides Panath. p. 272. et alibi. Wass. Vide supr. I. 108. Duk.

2. τοῦ μέσου Q.
3. παρακελευσάμενοι B.h.
καὶ om. Q.
4. παιωνίσαντες A.B.H.I.K.P. b.c.d.e.f.g. παιανίσαντες L.O. vulgo παιωνίσαντος.
5. ἀπῆεσαν d.
οἱ om. K.
6. ἑκατερω τω στρατοπεδω f.
7. ἦλθεν I.K.L.O.P.Q. c.d.e.g.
8. ἐκώλυων K.
9. Ὠθισμῷ ἀσπίδων] Umbonibus se propellentes. *Valla.* "Umbonum impulsu," Valer. Max. III. 2. 23. Vid. Lipsium III. de Milit. Rom. 2. Duk.
ξυνειστήκει Q.
10. τῶν om. i.
μέχρι μέσου A.B.F.H.K.L.N. O.P.Q.c.f.g.h.i. vulgo μέχρι τοῦ μέσου.
11. ἐπίεσαν A.F.H.I.L.N.O.P. Q.d.h.i. ceteri ἐπῆεσαν.
13. καὶ om. P.
14. ἀμυνόμενοι P.
17. οὖν om. i.

κατέφυγε· τὸ δὲ δεξιὸν, ἢ οἱ Θηβαῖοι ἦσαν, ἐκράτει τῶν Ἀθηναίων, καὶ ὡσάμενοι κατὰ βραχὺ τὸ πρῶτον ἐπηκολούθουν. καὶ ξυνέβη Παγώνδου περιπέμψαντος δύο τέλη τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον, ὡς ἐπόνει τὸ εὐώνυμον αὐτῶν, καὶ ὑπερφανέντων αἰφνιδίως, τὸ νικῶν τῶν Ἀθηναίων κέρας, νομίσαν ἄλλο στράτευμα ἐπιέναι, ἐς φόβον καταστῆναι· καὶ ἀμφοτέρωθεν ἤδη, ὑπό τε τοῦ τοιούτου καὶ ὑπὸ τῶν Θηβαίων ἐφεπομένων καὶ παραρρηγνύντων, φυγὴ καθειστήκει παντὸς τοῦ στρατοῦ τῶν Ἀθηναίων. καὶ οἱ μὲν πρὸς τὸ Δήλιόν τε καὶ τὴν θάλασσαν ὥρμησαν, οἱ δὲ ἐπὶ τοῦ Ὠρωποῦ, ἄλλοι δὲ πρὸς Πάρνηθα τὸ ὄρος, οἱ δὲ ὡς ἕκαστοί τινα εἶχον ἐλπίδα σωτηρίας. Βοιωτοὶ δὲ ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππῆς οἵ τε αὐτῶν, καὶ οἱ Λοκροὶ, βεβοηθηκότες ἄρτι τῆς τροπῆς γιγνομένης· νυκτὸς δὲ ἐπιλαβούσης τὸ ἔργον, ῥᾷον τὸ πλῆθος τῶν φευγόντων διεσώθη. καὶ τῇ ὑστεραίᾳ οἵ τε

χην ὑπομένον. 1. Ἐκράτει] κρεῖττον ἦν. 2. Ὡσάμενοι] τοὺς Ἀθηναίους δηλονότι. 3. Ξυνέβη Παγώνδου] τὸ ἑξῆς, ξυνέβη ἐς φόβον καταστῆναι. 5. Ὑπερφανέντων] τῶν ἱππέων τῶν Βοιωτῶν δηλονότι. 10. Οἱ μὲν] τινὲς τῶν Ἀθηναίων. 14. Αὐτῶν] τῶν Βοιωτῶν. 15. Ἐπιλαβούσης τὸ ἔργον] κωλυσά-

1. θηβαῖοι] ἀθηναῖοι K.

3. δύο τέλη περιπέμψαντος c.g.

Δύο τέλη] Herodicus Cratetius apud Athenæum V. 15. Παγώνδου ΔΥΟ ΤΕΛΗ περιπέμψαντος τῶν ἱππέων ἐκ τοῦ ΑΦΑΝΟΥΣ ΠΕΡΙ ΤΟΝ ΛΟΦΟΝ. Τότε γὰρ οἱ μὲν πρὸς τὸ Δήλιον τῶν Ἀθηναίων ἔφυγον, οἱ δ' ἐπὶ θάλατταν, ἄλλοι δὲ ἐπὶ Ὠρωπὸν, οἱ δὲ Πάρνηθα τὸ ὄρος. Βοιωτοὶ δ' ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππεῖς, οἵ τε ἑαυτῶν καὶ Λοκρῶν. Τοιούτου οὖν κυδοιμοῦ καὶ φόβου καταλαβόντος τοὺς Ἀθηναίους, μόνος Σωκράτης, βρενθυόμενος καὶ τῷ ὀφθαλμῷ παραβάλλων, εἱστήκει ἀναστέλλων τὸ Βοιωτῶν καὶ Λοκρῶν ἱππικόν. Confer Platonem 481. Wass. Athenæum, negantem vera esse, quæ de Socratis militia a multis prodita sunt, refellunt ibi Casaubonus, et Allatius ad Epistol. I. Socratis, pag. 144. Add. Interpretes Diogenis Laërtii II. 2. 22. Dux.

4. τῶν ἱππέων om. c.

ἐκ τοῦ] αὐτοῦ g.

9. καθειστήκει A.B.F.H.K.L. O.c.e.f.g.h.i. ceteri καθεστήκει.

10. τε om. c.

12. πάρνηθον c.

13. οἱ ἱππῆς οἵ τε αὐτῶν A.B.F. H.K.L.O.P.c.e.g. οἵ τε ἱππεῖς d. vulgo οἵ τε ἱππῆς αὐτῶν.

15. γενομένης c.

ἐκ τοῦ Ὡρωποῦ καὶ οἱ ἐκ τοῦ Δηλίου, φυλακὴν ἐγκαταλιπόντες (εἶχον γὰρ αὐτὸ ὅμως ἔτι) ἀπεκομίσθησαν κατὰ θάλασσαν ἐπ' οἶκου. * καὶ οἱ Βοιωτοὶ τροπαῖον στήσαντες καὶ τοὺς ἑαυτῶν ἀνελόμενοι νεκροὺς, τούς τε τῶν πολεμίων σκυλεύσαντες, καὶ φυλακὴν καταλιπόντες, ἀνεχώρησαν ἐς τὴν Τάναγραν, καὶ τῷ Δηλίῳ ἐπεβούλευον ὡς προσβαλοῦντες. Ἐκ δὲ τῶν Ἀθηναίων κήρυξ πορευόμενος ἐπὶ τοὺς νεκροὺς ἀπαντᾷ κήρυκι Βοιωτῷ, ὃς αὐτὸν ἀποστρέψας, καὶ εἰπὼν ὅτι οὐδὲν πράξει πρὶν ἂν αὐτὸς ἀναχωρήσῃ πάλιν, καταστὰς ἐπὶ Ἀθηναίους ἔλεγε τὰ παρὰ τῶν Βοιωτῶν, ὅτι οὐ δικαίως δράσειαν παραβαίνοντες τὰ νόμιμα τῶν Ἑλλήνων· πᾶσι γὰρ εἶναι καθεστηκὸς ἰόντας ἐπὶ τὴν ἀλλήλων ἱερῶν τῶν ἐνόντων ἀπέχεσθαι, Ἀθηναίους δὲ Δήλιον τειχίσαντας ἐνοικεῖν, καὶ ὅσα ἄνθρωποι ἐν βεβήλῳ δρῶσι, πάντα γίγνεσθαι αὐτόθι, ὕδωρ τε, ὃ ἦν ἄψαυστον σφίσι πλὴν πρὸς τὰ ἱερὰ χέρ- 97. præcones utrimque missi. Quid præco Bœotorum poposcerit;

σης τὸν πόλεμον. 1. Φυλακὴν] δηλονότι τῶν πολεμίων νεκρῶν, ἵνα μὴ ἀσυνόδους αὐτοὺς ἀνέλωνται οἱ Ἀθηναῖοι. 4. Ἀνελόμενοι] ἀνελόντες. 6. Ἐπεβούλευον] ἐσκέπτοντο. 8. Ἐπὶ τοὺς νεκροὺς] ἐπὶ τῇ ἀναιρέσει τῶν νεκρῶν. 11. Δράσειαν] ἔδρασαν. 12. Παραβαίνοντες] ἀθετοῦντες. Τὰ νόμιμα] ἤγουν τοὺς νόμους. 13. Καθεστηκὸς] ἔννομον. Ἰόντας ἐπὶ τὴν ἀλλήλων] ἤγουν εἰσβάλλοντας πολεμικῶς κατὰ τῆς ἀλλήλων γῆς. 15. Αὐτόθι] ἐν τῷ ἱερῷ. 16. Πλὴν πρὸς τὰ ἱερὰ] ἄνευ τοῦ χρῆσθαι. Χέρνιβι

5. Σκυλεύσαντες] Diodor. ἐκ τῆς τῶν λαφύρων τιμῆς τήν τε ΣΤΟΑ'Ν τὴν μεγάλην ἐν ἀγορᾷ κατασκευάσαι, καὶ χαλκαῖς ἀνδριάσι κοσμῆσαι etc. Confer Pausaniam V. 398. de porticu p. 752. vid. Plutarch. Cim. 489. Wass.

6. τῷ om. g.

8. βοιωτῶν P.Q.

10. ἀναχωρήσει K.

ἐπὶ ἀθηναίους A.B.F.H.h. vulgo ἐπὶ τοὺς ἀθηναίους.

11. ἔλεγε παρὰ c.d.g.i.

14. δὲ καὶ δήλιον B.h.

15. ἄνθρωποι] ἄλλοι Q.

16. Κέρνιβι] De voce χέρνιψ ita Athenæus lib. IX. c. 18. Ἔστι δὲ ὕδωρ, εἰς ὃ ἐπέβαινον θαλὼν ἐκ τοῦ βωμοῦ λαμβάνοντες, ἐφ' οὗ τὴν θυσίαν ἐπετέλουν, καὶ ταύτῳ περιῤῥαίνοντες, τοὺς παρόντας ἡγνίζον. Vide Casauboni notas. Hudson. Et eumdem ad Theophrasti Character. cap. 16. ubi hæc adfert ex Euripidis Hercul. Fur. v. 928. Μέλλων δὲ θαλὼν χειρὶ δεξιᾷ φέρειν, Εἰς χέρνιβ' ὡς βάψειεν Ἀλκμήνης τόκος. Similiter Aristo-

νιβι χρῆσθαι, ἀναστάσαντας ὑδρεύεσθαι· ὥστε ὑπέρ τε τοῦ θεοῦ καὶ ἑαυτῶν Βοιωτοὺς, ἐπικαλουμένους τοὺς ὁμωχέτας δαίμονας καὶ τὸν Ἀπόλλω, προαγορεύειν αὐτοὺς ἐκ τοῦ ἱεροῦ ἀπιόντας ἀποφέρεσθαι τὰ σφέτερα αὐτῶν. * τοσαῦτα τοῦ κήρυκος εἰπόντος, οἱ Ἀθηναῖοι πέμψαντες παρὰ τοὺς Βοιωτοὺς ἑαυτῶν κήρυκα τοῦ μὲν ἱεροῦ οὔτε ἀδικῆσαι ἔφασαν οὐδὲν οὔτε τοῦ λοιποῦ ἐκόντες βλάψειν· οὐδὲ γὰρ τὴν ἀρχὴν ἐσελθεῖν ἐπὶ τούτῳ, ἀλλ' ἵνα ἐξ αὐτοῦ τοὺς ἀδικοῦντας μᾶλλον σφᾶς ἀμύνωνται. τὸν δὲ νόμον τοῖς Ἕλλησιν εἶναι, ὧν ἂν ᾖ τὸ κράτος τῆς γῆς ἑκάστης, ἤν τε πλέονος ἤν τε βραχυτέρας, τούτων καὶ τὰ ἱερὰ ἀεὶ γίγνεσθαι, τρόποις θεραπευόμενα οἷς ἂν πρὸς τοῖς εἰωθόσι καὶ δύνωνται. καὶ γὰρ Βοιωτοὺς καὶ τοὺς πολλοὺς τῶν ἄλλων, ὅσοι ἐξαναστήσαντές τινα βίᾳ

98. quid contra Atheniensis.

χρῆσθαι] ἤγουν οὗ οὐκ ἦν θεμιτὸν ψαῦσαι αὐτοὺς, ἤγουν τοὺς Θηβαίους, εἰ μὴ ὅτε τὰς χεῖρας καθαίροιεν δι' αὐτοῦ, δηλονότι τοῦ ὕδατος, μέλλοντες τῶν θυμάτων ἅψεσθαι. 1. Ἀναστάσαντας] ἀνιμησαμένους ὑδρεύεσθαι. ἤγουν ἐξ αὐτοῦ τοῦ ὕδατος ἀνιμωμένους πρὸς τὰς κοινὰς χρείας χρῆσθαι. 2. Τοὺς ὁμωχέτας] ὁμωχέται οἱ συμμετέχοντες τῶν αὐτῶν ναῶν καὶ τῶν αὐτῶν ἱερῶν. 3. Αὐτοὺς] τοὺς Βοιωτούς. 4. Ἀπιόντας] τοὺς Ἀθηναίους. 7. Οὔτε ἀδικῆσαι ἔφασαν οὐδὲν] ἤγουν οὐδὲν παραλυμήνασθαι. 8. Ἐπὶ τούτῳ] ἐπὶ τῷ ἀδικῆσαι τὸ ἱερὸν. 9. Τοὺς ἀδικοῦντας] ἤγουν τοὺς Θηβαίους. Σφᾶς] τοὺς Ἀθηναίους. 14. Ἐξαναστήσαντές] ἀπελάσαντες, μεταναστήσαντες.

phanes Pace v. 956. Περίθι τὸν βωμὸν ταχέως ἐπὶ δεξιά. Φέρε δὴ τὸ δᾴδιον τόδ' ἐμβάλω λαβών. Nec minus tamen extra usum sacrorum χέρνιψ dicitur τὸ κατὰ χειρὸς ὕδωρ, quæ ante prandium, vel cœnam manibus diffundebatur, ut in illo plus semel repetito in Odyssea Homeri Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα. Vid. Eustath. in Il. ω'. p. 1351. et Odyss. α'. p. 1400. Polluc. II. 149. Sed ad prius genus pertinet hic locus Thucydidis. Duk.

2. τοῦ om. N.

καλουμένους ὁμωχέτας e.

Τοὺς ὁμωχέτας] Vid. ad III. 59. Suidas habet ὁμοχαίτας. sed apud alios quoque per ε in penultima scribi adnotat ibi Kusterus. Addit Suidas, Βοιωτικὴ δὲ ἡ λέξις. Duk.

3. προσαγορεύειν e.
5. οἱ om. L.O.P.d.e.i.
6 ἑαυτῶν κήρυκα om. Q.
7. ἔφασαν ἀδικῆσαι e.
8. ἐσελθεῖν K.
9. ἵνα om. A.B.h.
ἀμύνονται A.B.i.
13. γὰρ om. f.

νέμονται γῆν, ἀλλοτρίοις ἱεροῖς τὸ πρῶτον ἐπελθόντας οἰκεῖα νῦν κεκτῆσθαι. καὶ αὐτοὶ εἰ μὲν ἐπὶ πλέον δυνηθῆναι τῆς ἐκείνων κρατῆσαι, τοῦτ' ἂν ἔχειν· νῦν δὲ, ἐν ᾧ μέρει εἰσὶν, ἐκόντες εἶναι ὡς ἐκ σφετέρου οὐκ ἀπιέναι. ὕδωρ τε ἐν τῇ ἀνάγκῃ κινῆσαι, ἣν οὐκ αὐτοὶ ὕβρει προσθέσθαι, ἀλλ' ἐκείνους, προτέρους ἐπὶ τὴν σφετέραν ἐλθόντας, ἀμυνόμενοι βιάζεσθαι χρῆσθαι. πᾶν δ' εἰκὸς εἶναι τῷ πολέμῳ καὶ δεινῷ τινὶ κατειργόμενον, ξύγγνωμόν τι γίγνεσθαι καὶ πρὸς τοῦ θεοῦ. καὶ γὰρ τῶν ἀκουσίων ἁμαρτημάτων καταφυγὴν εἶναι τοὺς βωμούς, παρανομίαν τε ἐπὶ τοῖς μὴ ἀνάγκῃ κακοῖς ὀνομασθῆναι, καὶ οὐκ ἐπὶ τοῖς ἀπὸ τῶν ξυμφορῶν τι τολμήσασι. τούς τε νεκροὺς πολὺ μειζόνως ἐκείνους ἀντὶ ἱερῶν ἀξιοῦντας ἀποδιδόναι ἀσεβεῖν, ἢ τοὺς μὴ ἐθέλοντας ἱεροῖς τὰ μὴ πρέποντα κομίζεσθαι. σαφῶς τε ἐκέλευον σφίσιν εἰπεῖν μὴ ἀπιοῦσιν ἐκ τῆς Βοιωτῶν γῆς (οὐ γὰρ ἐν τῇ ἐκείνων ἔτι εἶναι, ἐν ᾗ δὲ δορὶ ἐκτήσαντο), ἀλλὰ κατὰ τὰ πάτρια τοὺς νεκροὺς σπένδουσιν ἀναιρεῖσθαι. * οἱ δὲ Βοιωτοὶ ἀπεκρίναντο, εἰ 99. Boeoti ne-

5. Ἐν τῇ ἀνάγκῃ] ὑπὸ τῆς ἀνάγκης τοῦ καιροῦ. 6. Ἐκείνους] τοὺς Θηβαίους. Ἐπὶ τὴν σφετέραν] τὴν τῶν Ἀθηναίων. 8. Ξύγγνωμόν τινα γίγνεσθαι] ἤγουν ξυγγνώμην λαμβάνειν. 11. Ἀπὸ τῶν ξυμφορῶν] ἀπὸ τῶν ἐπιφερόντων δεινῶν. 12. Τολμήσασι] τολμηρῶς πράξασι παρὰ τὰ καθεστηκότα. 13. Ἐκείνους] τοὺς Βοιωτούς. τοὺς Θηβαίους ἀξιοῦντας κομίζεσθαι μὲν τὸ ἱερὸν τὸ ἐπὶ Δηλίῳ, ἀνταποδιδόναι δὲ τοὺς νεκροὺς τοῖς Ἀθηναίοις, ἀσεβεῖν μᾶλλον ἤπερ τοὺς Ἀθηναίους μὴ θέλοντας κομίσασθαι τὰ μὴ πρέποντα τοῖς ἱεροῖς μηδὲ νεκροὺς θεῶν ἀντικαταλλάττεσθαι. 15. Μὴ ἀπιοῦσιν]

2. δυνηθῆναι A.B.F.H.K.N.c. e.f.g.
5. προθέσθαι d.
8. τὸ F.
κατειργασμένον d.
9. ἑκουσίων A.B.b.e.h.
11. οὐκ—ξυμφορῶν] μὴ ὑπὸ τῶν. ξυμφορῶν g.
12. τι om. A.B.d.
τολμῶσι I.L.O.P.Q.e.
13. καταδιδόναι h.
εὐσεβεῖν L.O.P.Q.
14. ἐθέλοντας ὅσπερ τιμήματι ἱεροῖς g.
τὰ μὴ πρέποντα H. τὰ μὴ προσήκοντα Q. vulgo τὰ πρέποντα.
15. ἀπιοῦσιν] ἀπιέναι κελεύειν Q.
τῆς τῶν βοιωτῶν c.
16. οὐδὲ γὰρ ἂν ἐν Q.
17. τὰ om. A.

gantes, se posse pacisci de Atheniensium agro, ubi cadavera jacebant, præconem re infecta dimittunt.

μὲν ἐν τῇ Βοιωτίᾳ εἰσὶν, ἀπιόντας ἐκ τῆς ἑαυτῶν ἀποφέρεσθαι τὰ σφέτερα, εἰ δὲ ἐν τῇ ἐκείνων, αὐτοὺς γιγνώσκειν τὸ ποιητέον, νομίζοντες τὴν μὲν Ὡρωπίαν, ἐν ᾗ τοὺς νεκροὺς ἐν μεθορίοις τῆς μάχης γενομένης κεῖσθαι ξυνέβη, Ἀθηναίων κατὰ τὸ ὑπήκοον εἶναι, καὶ οὐκ ἂν αὐτοὺς βίᾳ σφῶν κρατῆσαι αὐτῶν· οὐδ' αὖ ἐσπένδοντο δῆθεν ὑπὲρ τῆς ἐκείνων· τὸ δὲ "ἐκ τῆς ἑαυτῶν" εὐπρεπὲς εἶναι ἀποκρίνασθαι "ἀπιόντας καὶ ἀπολαβεῖν ἃ ἀπεισαῦσιν." ὁ δὲ κήρυξ τῶν Ἀθηναίων ἀκούσας ἀπῆλθεν ἄπρακτος.

100. Delium qua ratione a Boeotis receptum sit.

Καὶ οἱ Βοιωτοὶ εὐθὺς μεταπεμψάμενοι ἔκ τε τοῦ Μηλίεως κόλπου ἀκοντιστὰς καὶ σφενδονήτας, καὶ βεβοηθηκότων αὐτοῖς μετὰ τὴν μάχην Κορινθίων τε δισχιλίων ἐπλιτῶν καὶ τῶν ἐκ Νισαίας ἐξεληλυθότων Πελοποννησίων φρουρῶν καὶ Μεγαρέων ἅμα, ἐστράτευσαν ἐπὶ τὸ Δήλιον καὶ προσέβαλλον τῷ τειχίσματι, ἄλλῳ τε τρόπῳ πειράσαντες, καὶ μηχανὴν προσήγαγον, ἥπερ εἶλεν αὐτὸ, τοιάνδε. κεραίαν μεγάλην δίχα πρίσαντες ἐκείλαναν

ἀντὶ τοῦ μὴ ἀπιόντες. 2. Εἰ δὲ] εἰ δὲ δοκοῦσιν οἱ Ἀθηναῖοι Βίλιον εἶναι τὴν γῆν ἐν ᾗ οἱ νεκροὶ κεῖνται, αὐτοὶ τὸ ποιητέον γινωσκέτωσαν. 5. Καὶ οὐκ ἂν] καὶ οὐκ ἂν τοὺς Βοιωτοὺς κατισχύσειν τῶν Ἀθηναίων ἐν τῇ Ὠρωπῷ, ὡς τοὺς νεκροὺς κατασχεῖν αὐτῶν. 6. Οὐδ' αὖ] οὐδ' αὖ ἐσπένδοντο προφάσει ὡς δῆθεν Ἀθηναίων οὔσης τῆς γῆς. τί γὰρ καὶ ἔδει περὶ τῶν ἐν τῇ Ἀττικῇ τοῖς Βοιωτοῖς σπένδεσθαι. 7. Τὸ δὲ] εὐπρεπὲς δὲ εἶναι ἀποκρίνασθαι ἐκ τῆς Βοιωτῶν

1. αὐτῶν K.Q.
2. γινώσκειν—μάχης] om. P.
4. συνέβη B.F.c.f.g.
5. αὐτὸς P.
6. σφῶν βίᾳ f.
7. αὐτῶν N.
8. ἀπιόντας] ἅπαντας P.
10. μηλίως P.
15. Δήλιον] Hunc locum spectat Harpocration in ἐπὶ Δηλίῳ. Wass.
16. ἥπερ εἶλεν K.d.e.i.
17. Κεραίαν] Talem fere Machinam ita depingit Apollodorus Poliorcet. p. 21. Γίνονται χύτραι, ἢ ὀστράκινοι σιδηραῖς λεπίσι δεδεμένοι ἀπὸ τοῦ πυθμένος, δακτυλιαίῳ τρυπήματι, ἀνεφγότες οὗτοι κίμπλανται ἄνθρακος λεπτοῦ, καὶ ἔχουσι σύριγγα σιδηρᾶν, εἰς ἣν ἄλλη ἐντίθεται σύριγξ ἀσκήματα ἔχουσα. πῦρ δὲ λαβὼν ὁ ἄνθραξ ἅπτεται ἐμφυσώμενος καὶ πληγὴν ὁμοίαν ἐργάζεται φλογὶ, καὶ ἐκεμβαίνει τῷ λίθῳ, καὶ ὀρύσσεται ὄξους, ἢ ἄλλου τῶν δριμέων ἐγχεομένου. Confer Æneæ Com. Tacticum 33. 34. et Julium Africanum cap. XLIV. Wass. Inter alia exempla ἐκφράσεως etiam hunc locum proponit

ἅπασαν, καὶ ξυνήρμοσαν πάλιν ἀκριβῶς ὥσπερ αὐλὸν, καὶ ἐπ' ἄκραν λέβητά τε ἤρτησαν ἁλύσεσι, καὶ ἀκροφύσιον ἀπὸ τῆς κεραίας σιδηροῦν ἐς αὐτὸν νεῦον καθεῖτο, καὶ ἐσεσιδήρωτο ἐπὶ μέγα καὶ τοῦ ἄλλου ξύλου. προσῆγον δὲ ἐκ πολλοῦ ἁμάξαις τῷ τείχει, ᾗ μάλιστα τῇ ἀμπέλῳ καὶ τοῖς ξύλοις ᾠκοδόμητο· καὶ ὁπότε εἴη ἐγγὺς, φύσας μεγάλας ἐσθέντες ἐς τὸ πρὸς ἑαυτῶν ἄκρον τῆς κεραίας ἐφύσων. ἡ δὲ πνοὴ ἰοῦσα στεγανῶς ἐς τὸν λέβητα, ἔχοντα ἄνθρακάς τε ἡμμένους καὶ θεῖον καὶ πίσσαν, φλόγα ἐποίει μεγάλην, καὶ ἧψε τοῦ τείχους, ὥστε μηδένα ἔτι ἐπ' αὐτοῦ μεῖναι, ἀλλὰ ἀπολιπόντας ἐς φυγὴν καταστῆναι καὶ τὸ τείχισμα τούτῳ τῷ τρόπῳ ἁλῶναι. τῶν δὲ φρουρῶν οἱ μὲν ἀπέθανον, διακόσιοι δὲ ἐλήφθησαν. τῶν δὲ ἄλλων τὸ πλῆθος ἐς τὰς ναῦς ἐσβὰν ἀπεκομίσθη ἐπ' οἴκου.

101. Quo facto Bœoti Atheniensibus cadavera reddunt. Demosthenes paullo post frustra conatus in

Τοῦ δὲ Δηλίου ἑπτακαιδεκάτῃ ἡμέρᾳ ληφθέντος μετὰ τὴν μάχην, καὶ τοῦ ἀπὸ τῶν Ἀθηναίων κήρυκος, οὐδὲν ἐπισταμένου τῶν γεγενημένων, ἐλθόντος οὐ πολὺ ὕστερον αὖθις περὶ τῶν νεκρῶν, ἀπέδοσαν οἱ Βοιωτοὶ καὶ οὐκέτι ταὐτὰ ἀπεκρίναντο. ἀπέθανον δὲ Βοιωτῶν μὲν ἐν τῇ μάχῃ ὀλίγῳ ἐλάσσους πεντακοσίων, Ἀθηναίων δὲ ὀλίγῳ

ἀπιέντας τοὺς Ἀθηναίους ἀπολαβεῖν ἅπερ αἰτοῦσιν. 1. Πάλιν ἀκριβῶς] κατὰ φύσιν. 8. Στεγανῶς] ταυτὸν εἰπεῖν διὰ στεγανοῦ σώματος.

Theon Progymnasm. cap. XI. Duk.

1. πάλιν om. g.
2. τε om. L.O.P.
ἤρτυσαν f.
ἀκροφύγιον O.
3. ἐς] ὡς N.
αὐτὸ I.
4. ἐσεσιδήρωντο I.
ξύλου τὸ πλέον L.Q.
5. ἁμάξας g.
7. θέντες K.
8. Πνοὴ] Agnoscit Pollux II. 77. Wass.
ἔχοντά τε ἄνθρακάς g.
10. ἔτι ἐπ' αὐτοῦ A.B.F.H.L. O.c.e.f.g.h.i.
12. τῷ om. A.F.H.h.
14. ἐσβὰν ἀπεκομίσθη A.B.F.H. I.K.L.N.O.P. c.d.e.g.h.i. vulgo ἐμβὰν ἀπεκομίσθησαν.
20. ταῦτα H.K.
21. Ἀθηναίων] Diodorus lib. 12. tantum cæsorum numerum

Sicyoniam descendere. Sitalces, rex Odrysarum, in prœlio occisus.

ἐλάσσους χιλίων καὶ Ἱπποκράτης ὁ στρατηγὸς, ψιλῶν δὲ καὶ σκευοφόρων πολὺς ἀριθμός.

Μετὰ δὲ τὴν μάχην ταύτην καὶ ὁ Δημοσθένης ὀλίγῳ ὕστερον, ὡς αὐτῷ τότε πλεύσαντι τὰ περὶ τὰς Σίφας τῆς προδοσίας πέρι οὐ προυχώρησεν, ἔχων τὸν στρατὸν ἐπὶ τῶν νεῶν, τῶν τε Ἀκαρνάνων καὶ Ἀγραίων καὶ Ἀθηναίων τετρακοσίους ὁπλίτας, ἀπόβασιν ἐποιήσατο ἐς τὴν Σικυωνίαν. καὶ πρὶν πάσας τὰς ναῦς καταπλεῦσαι, βοηθήσαντες οἱ Σικυώνιοι τοὺς ἀποβεβηκότας ἔτρεψαν καὶ κατεδίωξαν ἐς τὰς ναῦς, καὶ τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ζῶντας ἔλαβον. τροπαῖον δὲ στήσαντες τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν. ἀπέθανε δὲ καὶ Σιτάλκης Ὀδρυσῶν βασιλεὺς ὑπὸ τὰς αὐτὰς ἡμέρας τοῖς ἐπὶ Δηλίῳ, στρατεύσας ἐπὶ Τριβαλλοὺς καὶ νικηθεὶς μάχῃ. Σεύθης δὲ ὁ Σπαραδόκου, ἀδελφιδοῦς ὢν αὐτοῦ, ἐβασίλευσεν Ὀδρυσῶν τε καὶ τῆς ἄλλης Θράκης ἥσπερ καὶ ἐκεῖνος.

102. Brasidas accedit ad Amphipolin, Atheniensium coloniam.

Τοῦ δ' αὐτοῦ χειμῶνος Βρασίδας, ἔχων τοὺς ἐπὶ Θράκης ξυμμάχους, ἐστράτευσεν ἐς Ἀμφίπολιν τὴν ἐπὶ Στρυμόνι ποταμῷ Ἀθηναίων ἀποικίαν. τὸ δὲ χωρίον τοῦτο, ἐφ' οὗ νῦν ἡ πόλις ἐστὶν, ἐπείρασε μὲν πρότερον καὶ Ἀρισταγόρας ὁ Μιλήσιος, φεύγων βασιλέα Δαρεῖον,

15. Αὐτοῦ] τοῦ Σιτάλκου. 17. Τοῦ δ' αὐτοῦ χειμῶνος] μετάβασις. 20. Ἡ

fuisse scribit, ut Thebani ex manubiis ingentem in foro porticum construerent, templa spoliis armorum replerent, Deliorumque solemnem conventum ex pecuniis prædæ instituerent. Huds.

1. ψιλοῦ c.
3. δὲ om. d.
4. τότε] τε e.
5. προὐχώρησεν B.K.L.O.b.c. d.e.f.g. προχώρησεν F.H. vulgo προὐχώρησαν.
6. τετρακισχιλίους d.
7. ἐποιήσαντο L.O.P.i. ἐπὶ K.
14. τριβαλοὺς L.O.Q.g. σταραδίκου d. περσίδου Q.
15. ἀδελφιδοὺς A.g. ἑαυτοῦ B. ἐβασίλευεν f.
18. συμμάχους ὥσπερ καὶ ἐκεῖνος ξυμμάχους K.
21. Ἀριστα γόρας] Vid. Herodot. V. 11. et 124. Cladem Atheniensium ad Drabescum me-

κατοικίσαι, ἀλλὰ ὑπὸ Ἠδώνων ἐξεκρούσθη, ἔπειτα δὲ καὶ οἱ Ἀθηναῖοι ἔτεσι δύο καὶ τριάκοντα ὕστερον, ἐποίκους μυρίους σφῶν τε αὐτῶν καὶ τῶν ἄλλων τὸν βουλόμενον πέμψαντες, οἳ διεφθάρησαν ἐν Δραβήσκῳ ὑπὸ Θρᾳκῶν. καὶ αὖθις ἐνὸς δέοντι τριακοστῷ ἔτει ἐλθόντες οἱ Ἀθηναῖοι, Ἄγνωνος τοῦ Νικίου οἰκιστοῦ ἐκπεμφθέντος, Ἠδῶνας ἐξελάσαντας ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο. ὡρμῶντο δὲ ἐκ τῆς Ἠιόνος, ἣν αὐτοὶ εἶχον ἐμπόριον ἐπὶ τῷ στόματι τοῦ ποταμοῦ ἐπιθαλάσσιον, πέντε καὶ εἴκοσι σταδίους ἀπέχον ἀπὸ τῆς νῦν πόλεως, ἣν Ἀμφίπολιν Ἄγνων ὠνόμασεν, ὅτι ἐπ' ἀμφότερα περιῤῥέοντος τοῦ Στρυμόνος, διὰ τὸ περιέχειν

πόλις] ἡ Ἀμφίπολις. 12. Διὰ τὸ περιέχειν αὐτήν] τὸν Στρυμόνα.

morat Thucyd. I. 100. Quæ ad rationes annorum pertinent, excussit Dodwell in Annalib. Thucyd. ad Olymp. LXXVIII. LXXIX. et LXXXV. Duk.

1. ἀπὸ L.O.P.d.e.

ἠδώνων H.K.P. Mox ἠδῶνας L.O.g. ἤδωνας K. ἠδωνὰς I. Infra IV. 108. ἤδωνες F.H.K. ἠδῶνες L. O. ἠδῶνες g. Et V. 6. ἠδῶνας L. N.O.g. ἤδωνας H. ἠδωνὰς K.

4. μεταπέμψαντες f.

δραβησκῷ B.H.K.L.O. θεαβησκῷ g.

5. Ἐνὸς δέοντος] In his casus participii δέων plerumque convenit cum casu nominis, ut hic in Cl. et Cass. ἑνὸς δέοντι τριακοστῷ ἔτει. Interdum sine respectu ad casum nominis in genitivo ponitur, ut in ceteris MSS. ἑνὸς δέοντος, τριακοστῷ ἔτει, anno trigesimo, *deficiente uno*. Exempla utriusque structuræ sunt in Budæi Commentar. Ling. Gr. pag. 1052. Duk.

δέοντι A.B.H.N.h. δέων Priscianus p. 1181. vulgo δέοντος.

6. Ἠδῶνας] Hudsonus videtur prætulisse Ἠδῶνας, quod hic est in quibusdam MSS. et supra II. 99. in omnibus; ubi etiam Scholiastes primum casum Ἠδῶνες facit. Sed Schol. Cass. ad verba ὑπὸ Ἠδώνων, quæ paullo ante leguntur, Ἤδωνες et Ἤδωνας scribit. Et Tzetzes ad Lycophron. V. 419. Ἤδωνες. Sequatur quisque, quod vult. Pleraque hujus generis non maximi momenti sunt. Duk.

7. ὃ πρότερον I.L.O.P.d.e.

8. ἐκαλοῦντο A.B.F.H.I.K.L. N.O.P.b.c.d.e.f.g.h.i. vulgo ἐκαλεῖτο.

9. ἐπὶ στόματι τοῦ ποταμοῦ d. τοῦ ποταμοῦ ἐπὶ τῷ στόματι c.g.

12. Περιῤῥέοντος τοῦ Στρυμόνος] Hæc ante oculos habuit Stephanus in Ἀμφίπολις; et, ut Jungermannus putat, Pollux IX. 27. Duk.

αὐτὴν, τείχει μακρῷ ἀπολαβὼν ἐκ ποταμοῦ ἐς ποταμὸν περιφανῆ ἐς θάλασσάν τε καὶ τὴν ἤπειρον ᾤκισεν. * ἐπὶ ταύτην οὖν ὁ Βρασίδας, ἄρας ἐξ Ἀρνῶν τῆς Χαλκιδικῆς, ἐπορεύετο τῷ στρατῷ. καὶ ἀφικόμενος περὶ δείλην ἐπὶ τὸν Αὐλῶνα καὶ Βρομίσκον, ᾗ ἡ Βόλβη λίμνη ἐξίησιν ἐς θάλασσαν, καὶ δειπνοποιησάμενος ἐχώρει τὴν νύκτα. χειμὼν δὲ ἦν καὶ ὑπένειφεν· ᾗ καὶ μᾶλλον ὥρμησε, βουλόμενος λαθεῖν τοὺς ἐν τῇ Ἀμφιπόλει, πλὴν τῶν προδιδόντων. ἦσαν γὰρ Ἀργιλίων τε ἐν αὐτῇ οἰκήτορες (εἰσὶ δὲ οἱ Ἀργίλιοι Ἀνδρίων ἄποικοι) καὶ ἄλλοι, οἳ ξυνέπρασσον ταῦτα, οἱ μὲν Περδίκκᾳ πειθόμενοι, οἱ

103. Qua ratione ponte potitus sit et Strymonem transierit, ope Argiliorum.

1. Ἀπολαβῶν] ἀποκόψας.

2. ᾤκησεν I.

3. ἐξ ἄρνης τῆς χαλκιδικῆς ἄρας e.

Ἀρνῶν] Ita p. 8. Tabulæ vulgares Arnas ad Chabriam flumen collocant; nec longe ab Onthyrio abfuisse Rhianus Auctor; sed et hoc oppidum incertæ positionis est. Gentile ejus occurrit in numo Pyrrhi Ligorii. Plin. IV. 7. oppida celebria, Hellas, Halos, Phthia, *Arne*. Hyginus Fab. 275. Apollo Jovis filius Arnas condidit. Vide Strabonem, et Pausaniam, et Hesychium. Polyænus. I. 12. singulariter effert. Wass. Vid. Stephanum in Ἄρνη et Ὀνθύριον. Duk.

4. περὶ c.g.

5. Αὐλῶνα] Hæc omnia sedis incertæ: tamen *Bolbe* inter Arethusam et Apolloniam a Scylace ponitur. Wass. Αὐλῶνα hic esse nomen proprium loci nemo, opinor, dubitabit. Et ita accipit Cellarius II. Geogr. Ant. 13. Ortelius quoque in Thesaur. Geogr. observat, a Galeno lib. III. de sanitate tuenda Aulonem Macedoniæ urbem supra Strymonem memorari. Athenæus tamen V. 3. pro nomine communi habuit: Καλοῦσι δ', inquit, ἀρσενικῶς τοὺς αὐλῶνας, ὥσπερ Θουκυδίδης ἐν τῇ τετάρτῃ, καὶ πάντες οἱ καταλογάδην συγγραφεῖς, οἱ δὲ ποιηταὶ θηλυκῶς. Nam non est alius locus in libro IV. Thucydidis, ubi hoc nomen legatur. Athenæum exscripsit Eustathius in Odyss. δ'. pag. 1483. Βρωμίσκον a Thucydide vocari, quæ Stephano est Βρομίσκος in Macedonia, putant Docti. Quæ hic Βόλβη, supra I. 58. est Βολβή. Ἐξίησιν ὁ ποταμὸς εἰς θάλασσαν Attice dici ex hoc loco docet Thomas Magister in ἐκβάλλει. Duk.

βρομίσκον A.B.h. vulgo βρωμίσκον.

6. δεῖπνον ποιησάμενος d.g.

7. ὑπένειφεν A.B.F.H.I.K.L. O.P.f.g.h.i.

καὶ om. Q.

9. ἀργιλίων—οἱ] om. L.O.

10. καὶ ἄλλοι A.B.F.H.K.L. N.O.P.c.d.e.g.h.i. vulgo καὶ οἱ ἄλλοι.

11. πειθόμενοι περδίκκᾳ e.

δὲ Χαλκιδεῦσι. μάλιστα δὲ οἱ Ἀργίλιοι, ἐγγύς τε προσοικοῦντες καὶ ἀεί ποτε τοῖς Ἀθηναίοις ὄντες ὕποπτοι καὶ ἐπιβουλεύοντες τῷ χωρίῳ, ἐπειδὴ παρέτυχεν ὁ καιρὸς καὶ Βρασίδας ἦλθεν, ἔπραξάν τε ἐκ πλείονος πρὸς τοὺς ἐμπολιτεύσαντας σφῶν ἐκεῖ ὅπως ἐνδοθήσεται ἡ πόλις, καὶ τότε δεξάμενοι αὐτὸν τῇ πόλει καὶ ἀποστάντες τῶν Ἀθηναίων ἐκείνῃ τῇ νυκτὶ κατέστησαν τὸν στρατὸν πρὸ ἕω ἐπὶ τὴν γέφυραν τοῦ ποταμοῦ. ἀπέχει δὲ τὸ πόλισμα πλέον τῆς διαβάσεως, καὶ οὐ καθεῖτο τείχη ὥσπερ νῦν, φυλακὴ δέ τις βραχεῖα καθειστήκει· ἣν βιασάμενος ῥᾳδίως ὁ Βρασίδας, ἅμα μὲν τῆς προδοσίας οὔσης, ἅμα δὲ καὶ χειμῶνος ὄντος καὶ ἀπροσδόκητος προσπεσών, διέβη τὴν γέφυραν, καὶ τὰ ἔξω τῶν Ἀμφιπολιτῶν, οἰκούντων κατὰ πᾶν τὸ χωρίον, εὐθὺς εἶχε. * τῆς δὲ διαβάσεως αὐτοῦ ἄφνω τοῖς ἐν τῇ πόλει γεγενημένης, καὶ τῶν ἔξω πολλῶν μὲν ἁλισκομένων τῶν δὲ καὶ καταφευγόντων ἐς τὸ τεῖχος, οἱ Ἀμφιπολῖται ἐς θόρυβον μέγαν κατέστησαν, ἄλλως τε καὶ ἀλλήλοις ὕποπτοι ὄντες. καὶ λέγεται Βρασίδαν, εἰ ἠθέλησε μὴ ἐφ' ἁρπαγὴν τῷ στρατῷ τραπέσθαι ἀλλ' εὐθὺς χωρῆσαι πρὸς τὴν πόλιν, δοκεῖν ἂν

104. Amphipolitæ in hoc discrimine alterum Atheniensium ducem, Thucydidem, Thaso arcessunt.

1. Ἐγγύς τε προσοικοῦντες] τῇ Ἀμφιπόλει. 3. Παρέτυχε] συνέβη. 4. Ἐκ πλείονος] καιροῦ δηλονότι. Πρὸς τοὺς ἐμπολιτεύοντας] μετέχοντας τῆς πολιτείας τῶν Ἀμφιπολιτῶν. 6. Δεξάμενοι] οἱ Ἀργίλιοι. Τῇ πόλει] τῇ οἰκείᾳ. 8. Τὸ πόλισμα] ἡ Ἀμφίπολις. 9. Τῆς διαβάσεως] τῆς γεφύρας. 12. Προσπεσών] ἦγουν ἐπιπεσών. 14. Διαβάσεως] διαπεραιώσεως. 19. Τῷ στρατῷ] σὺν τῷ στρατῷ.

3. ἐκεὶ δὲ Q.
παρέσχεν g.
4. καὶ ὁ βρασίδας N.
ἔπραξάν A.B.F.I.L.O.P.b.c.d.e.f.g.h.i. vulgo ἔπραξέν.
7. ἐκείνῃ A.B.H.I.K.L.N.O. P.b.c.d.e.g.h.i. vulgo ἐν ἐκείνῃ, probatum Schæfero ad L. Bos. Ellips. p. 701.
πρὸ ἕω γρ. H. ceteri πρῖσω.
10. καθειστήκει c.g.
13. τὰ om. O.
15. τοῖς] τῆς A.B.d.f.
16. καὶ om. F.L.O.P.d.e.i.
19. βρασίδαν A.B.F.H.K.L. N.O.P.e.f. βρασίδας d.h.i. vulgo τὸν βρασίδαν.
ἐθέλησε e.
20. τρέπεσθαι I.L.O.P.d.e.i.

ἐλεῖν. νῦν δὲ ὁ μὲν ἱδρύσας τὸν στρατὸν ἐπὶ τὰ ἔξω ἐπέδραμε, καὶ ὡς οὐδὲν αὐτῷ ἀπὸ τῶν ἔνδον, ὡς προσεδέχετο, ἀπέβαινεν, ἡσύχαζεν· οἱ δ' ἐναντίοι τοῖς προδιδοῦσι, κρατοῦντες τῷ πλήθει ὥστε μὴ αὐτίκα τὰς πύλας ἀνοίγεσθαι, πέμπουσι μετὰ Εὐκλέους τοῦ στρατηγοῦ, ὃς ἐκ τῶν Ἀθηναίων παρῆν αὐτοῖς φύλαξ τοῦ χωρίου, ἐπὶ τὸν ἕτερον στρατηγὸν τῶν ἐπὶ Θράκης, Θουκυδίδην τὸν Ὀλόρου, ὃς τάδε ξυνέγραψεν, ὄντα περὶ Θάσον (ἔστι δὲ ἡ νῆσος Παρίων ἀποικία, ἀπέχουσα τῆς Ἀμφιπόλεως ἡμισείας ἡμέρας μάλιστα πλοῦν), κελεύοντες σφίσι βοηθεῖν. καὶ ὁ μὲν ἀκούσας κατὰ τάχος ἑπτὰ ναυσὶν, αἳ ἔτυχον παροῦσαι, ἔπλει, καὶ ἐβούλετο φθάσαι μάλιστα μὲν οὖν τὴν Ἀμφίπολιν, πρίν τι ἐνδοῦναι, εἰ δὲ μή, τὴν Ἠιόνα προκαταλαβών. * ἐν τούτῳ δὲ ὁ Βρασίδας, δεδιὼς καὶ τὴν ἀπὸ τῆς Θάσου τῶν νεῶν βοήθειαν, καὶ πυνθανόμενος τὸν Θουκυδίδην κτῆσίν τε ἔχειν τῶν χρυσείων μετάλλων ἐργασίας ἐν τῇ περὶ ταῦτα Θράκῃ καὶ ἀπ' αὐτοῦ δύνασθαι ἐν τοῖς πρώτοις τῶν ἠπειρωτῶν, ἠπείγετο προκατασχεῖν, εἰ δύναιτο, τὴν πόλιν, μὴ ἀφικνουμένου αὐτοῦ τὸ πλῆθος τῶν Ἀμφιπολιτῶν, ἐλπίσαν ἐκ θαλάσσης ξυμμαχικὸν καὶ ἀπὸ τῆς Θράκης ἀγείραντα αὐτὸν περιποιή-

105. Idcirco Brasidas, ut ante ejus adventum urbe potiretur, lenissimas fert conditiones urbis tradendæ.

1. Ἐπὶ τὰ ἔξω ἐπέδραμεν] ἦγον ἐληΐσατο τὰ ἐκτός. 4. Τὰς πύλας] τῆς Ἀμφιπόλεως. 6. Αὐτοῖς] τοῖς Ἀμφιπολίταις. 10. Κελεύοντες] τὸν Θουκυδίδην. 19. Αὐτοῦ] τοῦ Θουκυδίδου. 21. Αὐτὸν] τὸν Θουκυδίδην. Περιποιήσειν] σώσειν.

2. καὶ οὐδὲν A.B.F.H.K.c.f.g.
5. ἐκ om. g.
7. τῶν ἐπὶ A.B.h. vulgo τὸν ἐπὶ.
τὸν] αὐτὸν B.
8. ἡ om. f.
9. ἡμισείας A.B.h. vulgo ἡμίσεος. om. Q.
14. προκαταλαβών A.B.F.H.I.K.L.N.O.P.b.c.d.e.f.g.h.i. vulgo προκαταλαβεῖν.
15. τὴν om. e.
θάσου] θαλάσσης L.O.P.
16. χρυσίων H.e.
18. πρώτοις] Fortasse legendum πρῶτον.
19. ἀφικνουμένου L.O.
20. ἐλπίσας I.
συμμαχικὸν B.F.c.d.e.g.
21. ἀγείραντα K.

σειν σφᾶς, οὐκέτι προσχωροῖ. καὶ τὴν ξύμβασιν μετρίαν ἐποιεῖτο, κήρυγμα τόδε ἀνειπὼν, Ἀμφιπολιτῶν καὶ Ἀθηναίων τῶν ἐνόντων τὸν μὲν βουλόμενον ἐπὶ τοῖς ἑαυτοῦ, τῆς ἴσης καὶ ὁμοίας μετέχοντα, μένειν, τὸν δὲ μὴ ἐθέλοντα ἀπιέναι τὰ ἑαυτοῦ ἐκφερόμενον, πέντε ἡμερῶν.

106. Traditur Amphipolis Brasidæ. Eion præoccupat ante noctem Thucydides.

* οἱ δὲ πολλοὶ ἀκούσαντες ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας, ἄλλως τε καὶ βραχὺ μὲν Ἀθηναίων ἐμπολιτεῦον, τὸ δὲ πλεῖον ξύμμικτον. καὶ τῶν ἔξω ληφθέντων συχνοὶ οἰκεῖοι ἔνδον ἦσαν· καὶ τὸ κήρυγμα πρὸς τὸν φόβον δίκαιον εἶναι ἐλάμβανον, οἱ μὲν Ἀθηναῖοι διὰ τὸ ἄσμενοι ἂν ἐξελθεῖν, ἡγούμενοι οὐκ ἐν ὁμοίῳ σφίσιν εἶναι τὰ δεινὰ, καὶ ἅμα οὐ προσδεχόμενοι βοήθειαν ἐν τάχει, ὁ δὲ ἄλλος ὅμιλος πόλεώς τε ἐν τῷ ἴσῳ οὐ στερισκόμενοι καὶ κινδύνου παρὰ δόξαν ἀφιέμενοι. ὥστε τῶν πρασσόντων τῷ Βρασίδᾳ ἤδη καὶ ἐκ τοῦ φανεροῦ διαδικαιούντων αὐτὰ, ἐπειδὴ καὶ τὸ πλῆθος ἑώρων τεταραγμένον καὶ τοῦ παρόντος Ἀθηναίων στρατηγοῦ οὐκέτι ἀκροώμενον, ἐγένετο ἡ ὁμολογία καὶ προσεδέξαντο ἐφ' οἷς ἐκήρυξε. καὶ οἱ μὲν τὴν πόλιν τοιούτῳ τρόπῳ παρέδοσαν, ὁ δὲ Θουκυδίδης καὶ αἱ νῆες ταύτῃ τῇ ἡμέρᾳ ὀψὲ κατέπλεον ἐς τὴν Ἠιόνα. καὶ τὴν μὲν Ἀμφίπολιν Βρασίδας ἄρτι εἶχε, τὴν δὲ Ἠιό-

2. Ἀνειπὼν] ἀνακηρύξας. 3. Ἐπὶ τοῖς ἑαυτοῦ] κτήμασι δηλονότι. 4. Καὶ ὁμοίας] πολιτείας. 6. Ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας] ἦγουν μετεβλήθησαν τὴν προαίρεσιν. 7. Τὸ δὲ πλεῖον ξύμμικτον] οἱ πλείους οἰκήτορες σύμμικτοι ἦσαν, ἤγουν ἐκ διαφόρων γενῶν. 14. Πρασσόντων] ἤγουν συνεργούντων εἰς τὴν προδοσίαν. 15. Διαδικαιούντων αὐτὰ] δίκαια κρινόντων τὰ τοῦ Βρασίδα. 16. Τεταραγμένον] μεταβληθὲν τὴν γνώμην. 18. Καὶ προσεδέξαντο] τὸν Βρασίδαν. 20. Ὀψὲ] μετὰ δυσμὰς ἡλίου.

1. προσχωρεῖ d.g. προχωρεῖ H.c. προχωροῦ A.B.F.Q.
2. κήρυγμα τόδε] κήρυκα δὲ d.
3. τοῖς] τῆς O.
4. τῆς om. h.
6. πολλοὶ] πολέμιοι Q.
7. ἐπολιτεύοντο B.h.
10. ὑπελάμβανον H.L.N.O.P. Q.d.f.i.
11. τὰ δεινὰ εἶναι L.O.P.d.e.i.
16. τεταραγμένον L.O.P.
17. οὐδ' ἔτι A.B.
21. Articulum ante *βρασίδας* omisi cum A.B.F.H.K.L.N.O. P.c.g.h.i.
ἄρτ' K. ἔτι d.i.

107. Ad Brasidam, ab Eione repulsum, plures concedunt urbes,

να παρὰ νύκτα ἐγένετο λαβεῖν· εἰ γὰρ μὴ ἐβοήθησαν αἱ νῆες διὰ τάχους, ἅμα ἕῳ ἂν εἴχετο. * μετὰ δὲ τοῦτο ὁ μὲν τὰ ἐν τῇ Ἠιόνι καθίστατο, ὅπως καὶ τὸ αὐτίκα, ἢν ἐπίῃ ὁ Βρασίδας, καὶ τὸ ἔπειτα ἀσφαλῶς ἔξει, δεξάμενος τοὺς ἐθελήσαντας ἐπιχωρῆσαι ἄνωθεν κατὰ τὰς σπονδάς· ὁ δὲ πρὸς μὲν τὴν Ἠιόνα κατά τε τὸν ποταμὸν πολλοῖς πλοίοις ἄφνω καταπλεύσας, εἴ πως τὴν προὔχουσαν ἄκραν ἀπὸ τοῦ τείχους λαβὼν κρατοίη τοῦ ἕσπλου, καὶ κατὰ γῆν ἀποπειράσας ἅμα, ἀμφοτέρωθεν ἀπεκρούσθη, τὰ δὲ περὶ τὴν Ἀμφίπολιν ἐξηρτύετο. καὶ Μύρκινός τε αὐτῷ προσεχώρησεν, Ἡδωνικὴ πόλις, Πιττακοῦ τοῦ Ἡδώνων βασιλέως ἀποθανόντος ὑπὸ τῶν Γοάξιος παίδων καὶ Βραυροῦς τῆς γυναικὸς αὐτοῦ, καὶ Γάψηλος οὐ πολλῷ ὕστερον καὶ Οἰσύμη· εἰσὶ δὲ αὗται

3. Ὁ μὲν] ὁ Θουκυδίδης. 4. Δεξάμενος] ὁ Θουκυδίδης. 5. Ἄνωθεν] ἦγουν ἐκ τῆς ἄνω πόλεως. 6. Ὁ δὲ] ὁ Βρασίδας. Κατά τε τὸν ποταμὸν] ἦγουν διὰ τοῦ ποταμοῦ. 9. Ἀμφοτέρωθεν] ἦγουν ἀπὸ γῆς καὶ θαλάσσης. 11. Αὐτῷ] τῷ Βρασίδᾳ. 14. Καὶ Οἰσύμη] ἀπὸ κοινοῦ τὸ προσεχώρησε.

2. δὲ om. K.
3. καθίσταται f.
4. ἀπίῃ P.
δεξαμένους B.h.
5. θελήσαντας c.
ἐπιχωρῆσαι A.B.F.H.K.N.O.P. d.e.f.g.h.i.
κατὰ om. L.O.P.
8. ἀπὸ] ἐκ h.
11. μυρκινὸς K.L.O.P.Q. μύρκινος g.

Μύρκινος] Ita Herodot. V. 11. 23. 124. et Epit. Strabonis. Cum Ar. C. Tzetzes Chil. IX. 220. Μυρκῖνος, ubi MS. Codex ὁμοῦ τε Ἰστιαίου rectius. Wass. Casaubonus ad Excerpta Strabonis lib. VII. ibi Μύρκινος scribit e Stephano. Sed Stephanum potius e Thucydide et aliis emendandum esse recte censet Holstenius. Amphipolin etiam Μύρκινον et Ἠιόνα vocatam fuisse scribit Stephanus in Ἀμφίπολις. Errasse eum ex hoc et aliis locis Thucydidis ostendunt Vossius ad Scylac. p. 64. Ed. Gron. et Interpretes Stephani. Duk.

12. τοῦ] τῶν L.O.
γοάξιδος d.
13. γαυροῦς f.
14. γαψηλὸς g.

Γάψηλος] Γαληψὸς etiam Diodor. Sicul. lib. XII. pag. 321. b. Wass. Γαληψὸς hic e Thucyd. V. 7. et aliis dudum emendarunt Viri Docti. Vid. Casaubon. ad Excerpta Strabonis l. VII. Maussac. et Vales. ad Harpocrat. h. v. Duk.

καὶ ἠσύμη K.g.

Οἰσύμη] Gr. ἡ Σύμη inepte:

Θασίων ἀποικίαι. παρὼν δὲ καὶ Περδίκκας εὐθὺς μετὰ τὴν ἄλωσιν ξυγκαθίστη ταῦτα.

108. qua re anxii de rebus suis Athenienses, per hiemem brevi tempore praesidia per urbes Thraciæ distribuunt. Brasidas item auxilia poscit, sed nulla ei suppeditantur.

Ἐχομένης δὲ τῆς Ἀμφιπόλεως οἱ Ἀθηναῖοι ἐς μέγα δέος κατέστησαν, ἄλλως τε καὶ ὅτι ἡ πόλις αὐτοῖς ἦν ὠφέλιμος ξύλων τε ναυπηγησίμων πομπῇ καὶ χρημάτων προσόδῳ, καὶ ὅτι μέχρι μὲν τοῦ Στρυμόνος ἦν πάροδος Θεσσαλῶν διαγόντων ἐπὶ τοὺς ξυμμάχους σφῶν τοῖς Λακεδαιμονίοις, τῆς δὲ γεφύρας μὴ κρατούντων, ἄνωθεν μὲν μεγάλης οὔσης ἐπὶ πολὺ λίμνης τοῦ ποταμοῦ, τὰ δὲ πρὸς Ἠιόνα τριήρεσι τηρουμένων, οὐκ ἂν δύνασθαι προελθεῖν· τότε δὲ ῥᾳδία ἤδη ἐνομίζετο γεγενῆσθαι. καὶ τοὺς ξυμμάχους ἐφοβοῦντο, μὴ ἀποστῶσιν. ὁ γὰρ Βρασίδας ἔν τε τοῖς ἄλλοις μέτριον ἑαυτὸν παρεῖχε, καὶ ἐν τοῖς λόγοις πανταχοῦ ἐδήλου ὡς ἐλευθεράσων τὴν Ἑλλάδα ἐκπεμφθείη. καὶ αἱ πόλεις πυνθανόμεναι αἱ τῶν Ἀθηναίων ὑπήκοοι τῆς τε Ἀμφιπόλεως τὴν ἄλωσιν καὶ ἃ παρέχεται, τήν τε ἐκείνου πραότητα, μάλιστα δὴ ἐπήρ-

2. Ξυγκαθίστη] συνεβεβαίου. 7. Διαγόντων] διαβιβαζόντων. Σφῶν] τῶν Ἀθηναίων. Τοῖς Λακεδαιμονίοις] τὸ ἑξῆς, πάροδος τοῖς Λακεδαιμονίοις. 10. Τριήρεσι τηρουμένων] ἀντὶ τοῦ τηρούντων τῶν Ἀθηναίων.

sic apud Scymnum ἡ Συβὴ, et apud Scylacem Σισύμη. At Plin. Ptolem. Phavorinus, Suidas, Steph. cum Thucydide, oppidum inter Strymonem et Nessum ponunt. ἡ ἀνακτορούκολις marg. Ptolemæi Coislin. Vid. Valesium ad Not. Maussaci in Harpocrat. v. Γαληψός. Wass. et Maussacum ibi et ad Οἰσύμη. Duk.

4. δέους g. Eam lectionem auctor ipse tuetur l. II. ἐπὶ μέγα ἰσχύος ἦλθεν. Ælian. V. H. I. 19. ἐπὶ μέγα δυνάμεως προελθοῦσα ἀρχή. Wass.

αὐτοῖς ἦν A.B.h. vulgo ἦν αὐτοῖς.

5. Ξύλων τ. ν. πομπῇ] Suidas in πομπὴν interpretatur πέμψιν, ἀποστολήν. Wass.

6. στρυμόνος ποταμοῦ N.

9. μὲν] καὶ K.

10. προσελθεῖν A.B.F.H.K.f. g.h.

11. δὲ om. L.O.Q.d.e.

ἤδη om. B.Q.

ἐνόμιζε B.F.H.K.L.N.O.P.b. c.e.f.g. ἐνόμιζον d. recte, opinor, modo ῥᾴδια scribas pro illo ῥᾳδία.

13. αὐτὸν vel αὐτὸν K.L.O.g.i.

15. αἱ om. P.

17. παρέρχεται P.

θησαν ἐς τὸ νεωτερίζειν, καὶ ἐπεκηρυκεύοντο πρὸς αὐτὸν κρύφα, ἐπιπαριέναι τε κελεύοντες καὶ βουλόμενοι αὐτοὶ ἕκαστοι πρῶτοι ἀποστῆναι. καὶ γὰρ καὶ ἄδεια ἐφαίνετο αὐτοῖς, ἐψευσμένοις μὲν τῆς Ἀθηναίων δυνάμεως ἐπὶ τοσοῦτον ὅση ὕστερον διεφάνη, τὸ δὲ πλέον βουλήσει κρίνοντες ἀσαφεῖ ἡ προνοίᾳ ἀσφαλεῖ, εἰωθότες οἱ ἄνθρωποι, οὗ μὲν ἐπιθυμοῦσιν, ἐλπίδι ἀπερισκέπτῳ διδόναι, ὃ δὲ μὴ προσίενται, λογισμῷ αὐτοκράτορι διωθεῖσθαι. ἅμα δὲ τῶν Ἀθηναίων ἐν τοῖς Βοιωτοῖς νεωστὶ πεπληγμένων, καὶ τοῦ Βρασίδου ἐφολκὰ καὶ οὐ τὰ ὄντα λέγοντος, ὡς αὐτῷ ἐπὶ Νίσαιαν τῇ ἑαυτοῦ μόνῃ στρατιᾷ οὐκ ἠθέλησαν οἱ Ἀθηναῖοι ξυμβαλεῖν, ἐθάρρουν, καὶ ἐπίστευον μηδένα ἂν ἐπὶ σφᾶς βοηθῆσαι. τὸ δὲ μέγιστον, διὰ τὸ ἡδονὴν ἔχον ἐν τῷ αὐτίκα, καὶ ὅτι τὸ πρῶτον Λακεδαιμονίων ὀργώντων

7. Διδόναι] ἑαυτοὺς δηλονότι. 10. Ἐφολκὰ] ἤγουν ἐπαγωγά.

3. καὶ γὰρ ἄδεια d.
4. ἐψευσμένης A.Q.g.
μὲν om. d.
τῆς] τῶν P.
ἐπὶ om. g.
5. κρίναντες d.
6. Εἰωθότες οἱ ἄνθρωποι] Horum sententiam ita exponunt Scholia Cod. Cass. Τοῦτο ἐξηγητικόν ἐστι τοῦ προτέρου, εἰωθότες οἱ ἄνθρωποι οὗ μὲν ἂν ἐπιθυμοῦσι, τούτου ἐλπίζειν τεύξεσθαι ἄνευ λογισμοῦ· τοῦτο γάρ ἐστιν ἐλπίδι ἀπερισκέπτῳ διδόναι. οὗ δὲ ἂν μὴ ἐπιθυμῶσι, τοῦτο μόνον λογισμῷ ἐξακριβοῦντες ὡς ἀνέλπιστον παραιτεῖσθαι. Duk.
10. ἔφολκα A.
Ἐφολκὰ—λέγεται] Magister, hoc est, inquit, τὰ παρακολουθήματα. Wass. Non recte Thomas. Scholiastes bene ἐπαγωγά. Thucyd. IV. 88. Διά τε τὸ ἐπαγωγὰ εἰπεῖν τὸν Βρασίδαν. Vid. Herald. ad Jamblich. cap. 4. et Perizon. ad Ælian. VIII. 12. Mox ἐπὶ Νισαίαν habent quidem omnes libri, sed suspectum est, pro ἐπὶ Νισαίᾳ· nam solent in his adhibere casum tertium. Thucyd. III. 54. Ἐναυμαχήσαμεν ἐπ' Ἀρτεμισίῳ. Lucian. II. Ver. Hist. p. 678. Ἐπὶ Δηλίῳ ἐμάχετο. Harpocrat. Ἐπὶ Δηλίῳ μάχῃ. Et sic millies apud omnes. Ex ī adscripto facile fieri potuit ν. ut sæpe in aliis. Duk.
11. οἱ ἀθηναῖοι οὐκ ἠθέλησαν e.
14. ἐν om. d.
ὀργώντων Q.g.
Ὀργώντων] Suidas in ὀργῶν; ὀργῶντες παρὰ Θουκυδίδῃ, ἀντὶ τοῦ ἐπιθυμοῦντες. Schol. Cass. hic ὠρμημένων, προθυμουμένων. Duk.

των ἔμελλον πειράσεσθαι, κινδυνεύειν παντὶ τρόπῳ ἑτοῖμοι ἦσαν. ὧν αἰσθόμενοι οἱ μὲν Ἀθηναῖοι φυλακὰς, ὡς ἐξ ὀλίγου καὶ ἐν χειμῶνι, διέπεμπον ἐς τὰς πόλεις, ὁ δὲ ἐς τὴν Λακεδαίμονα ἐφιέμενος στρατίαν τε προσαποστέλλειν ἐκέλευε, καὶ αὐτὸς ἐν τῷ Στρυμόνι ναυπηγίαν τριήρων παρεσκευάζετο. οἱ δὲ Λακεδαιμόνιοι τὰ μὲν καὶ φθόνῳ ἀπὸ τῶν πρώτων ἀνδρῶν οὐχ ὑπηρέτησαν αὐτῷ, τὰ δὲ καὶ βουλόμενοι μᾶλλον τούς τε ἄνδρας τοὺς ἐκ τῆς νήσου κομίσασθαι καὶ τὸν πόλεμον καταλῦσαι.

109. Interim ad eum, in Acten dictam regionem profectum, plurimæ urbes transeunt, excepta Sane et Dio.

Τοῦ δ' αὐτοῦ χειμῶνος Μεγαρῆς τά τε μακρὰ τείχη, ἃ σφῶν οἱ Ἀθηναῖοι εἶχον, κατέσκαψαν ἐλόντες ἐς ἔδαφος, καὶ Βρασίδας μετὰ τὴν Ἀμφιπόλεως ἅλωσιν, ἔχων τοὺς ξυμμάχους, στρατεύει ἐπὶ τὴν Ἀκτὴν καλουμένην. ἔστι δὲ ἀπὸ τοῦ βασιλέως διορύγματος ἔσω προὔχουσα, καὶ ὁ Ἄθως αὐτῆς ὄρος ὑψηλὸν τελευτᾷ ἐς τὸ Αἰγαῖον πέλαγος. πόλεις δὲ ἔχει Σάνην μὲν Ἀνδρίων ἀποικίαν παρ' αὐτὴν τὴν διώρυχα, ἐς τὸ πρὸς Εὔβοιαν πέλαγος

1. πειράσασθαι Q.
2. αἰσθόμενοι B.L.O.P.l.
ὡς om. g.
4. ἀφιέμενος I.
τε om. O.P.
7. καὶ om. d.
10. χειμῶνος] θέρους Q.
13. συμμάχους B.F.K.e.
Ἐπὶ τὴν Ἀκτὴν] Tota etiam Attica olim Acte fuit appellata, quia littoralis esset maximam partem, ut docent Strabo et Stephanus Byzant. Vide Meursium de Regno Athen. l. I. c. 3. Huds. Acten, quæ circa Athon est, e Demetrio memorat Stephanus in Ἀκτή. Duk.
καλουμένην ἀκτήν Q.
14. διορύγματος B.
16. σάμην A. et infra σάμη A. B.F.K.P.b.c.e.f.g.h.
17. Παρ' αὐτὴν τὴν διώρυχα] Vid. Holsten. ad Stephanum in Σάνη. Berkelius ibi adnotat, Thucydidem hanc urbem in monte collocare. Hoc non satis apertum est. Thucydides quidem Θύσσον, quam paulo post nominat, ἐν τῇ Ἄθῳ ponit V. 35. Sed tamen distinguit situm Sanes a Thyssi et ceterarum urbium situ, ut et Herodotus VII. 22. Strabonis Excerpta lib. VII. in fin. etiam quinque has urbes, quas hic memorat Thucydides, in Atho monte ponunt: Sanes mentionem non faciunt. Duk.
διώρυγα B.h.

τετραμμένην, τὰς δὲ ἄλλας Θύσσον καὶ Κλεωνὰς καὶ Ἀκροθώους καὶ Ὀλόφυξον καὶ Δῖον· αἱ οἰκοῦνται ξυμμίκτοις ἔθνεσι βαρβάρων διγλώσσων. καί τι καὶ Χαλκιδικὸν ἔνι βραχύ, τὸ δὲ πλεῖστον Πελασγικόν, τῶν καὶ Λῆμνόν ποτε καὶ Ἀθήνας Τυρσηνῶν οἰκησάντων, καὶ Βισαλτικὸν καὶ Κρηστωνικὸν καὶ Ἤδωνες· κατὰ δὲ μικρὰ πολίσματα οἰκοῦσι. καὶ οἱ μὲν πλείους προσεχώρησαν τῷ Βρασίδᾳ, Σάνη δὲ καὶ Δῖον ἀντέστη, καὶ αὐτῶν τὴν χώραν ἐμμείνας τῷ στρατῷ ἐδῄου. 110. Clam ad Toronen promovet, ἐπεὶ δ' οὐκ ἐσήκουον, εὐθὺς στρατεύει ἐπὶ Τορώνην τὴν Χαλκιδικήν, κατεχομένην ὑπὸ Ἀθηναίων· καὶ αὐτὸν ἄνδρες ὀλίγοι ἐπήγοντο, ἑτοῖ-

3. Χαλκιδικὸν] ἔθνος δηλονότι. 6. Κατὰ δὲ μικρὰ πολίσματα] ἦγον

1. θύσον Q.d. θάσσων e.

Θύσσον] Scylaci pag. 63. Θῦς; pro quo Viri doctissimi ex Herodoto l. d. Θύσος, vel, e Thucydide et Plinio IV. 10. Θύσσος restituerunt. Duk.

καὶ ante κλεωνὰς om. c. ante ἀκροθωους d.

2. ἀκροώθους B.h. ἀκροθόους O.

Ἀκροθώους] Ἀκροαθόους legit Salmasius in Plin. Exercitation. pag. 129. quod merito repudiant Holstenius et Berkelius ad Stephanum v. Ἀκρόθωνες. Duk.

Ὀλόφυξον] Suidas, Phavorin. Strabo, et Scylax Ὀλόφυξις. Eustath. et Steph. vulgatam scripturam servant. Aristoph. Av. 1041. Ὀλοφύξιοι, et ad hanc formam ibi ἀποτύξιοι confinxit. Wass. Ὀλόφυξος etiam Herodotus VII. 22. Duk.

συμμίκτοις B.Q.e.

3. Διγλώσσων] Diodor. p. 321. c. διγλώττων Βισσαλτικῶν. Vid. Nostrum infra VIII. 85. Wass.

καὶ—βραχύ] ἔνι δέ τι καὶ χαλκιδικὸν Dionysius.

καὶ om. i.

5. Τυρσηνῶν οἰκ.] Tyrrheni prius Pelasgi erant nuncupati, ut constat ex Dionys. Halic. Antiq. Rom. l. I. Vide Meursii Cecropiam, p. 20. Huds. cap. V. Add. Bochart. Chanaan. I. 33. Duk.

οἰκησάντων τυῤῥήνων Dionysius: θυρσηνῶν οἰκησάντων e.

8. Σάνη] Σάνη Stephanus, et Σανίδα χώραν Libanius Demosthenis Apolog. pag. 451. Vid. Herodot. VII. 22. Vossium ad Melam p. 140. Nostrum V. 18. Wass.

10. τιθώνην K.

Τορώνην] Gr. Τιθώνην inepte. Vide Nostrum V. 3. Theophrastum IV. 10. Harpocrat. h. v. et Tab. Farnesianam de Herculis lab. Idem.

11. ἕτοιμοι om. B.

μοι ὄντες τὴν πόλιν παραδοῦναι. καὶ ἀφικόμενος νυκτὸς ἔτι καὶ περὶ ὄρθρον τῷ στρατῷ ἐκαθέζετο πρὸς τὸ Διοσκούρειον, ὃ ἀπέχει τῆς πόλεως τρεῖς μάλιστα σταδίους. τὴν μὲν οὖν ἄλλην πόλιν τῶν Τορωναίων καὶ τοὺς Ἀθηναίους, τοὺς ἐμφρουροῦντας ἔλαθεν· οἱ δὲ πράσσοντες αὐτῷ εἰδότες ὅτι ἥξοι, καὶ προελθόντες τινὲς αὐτῶν λάθρα ὀλίγοι, ἐτήρουν τὴν πρόσοδον, καὶ ὡς ἤσθοντο παρόντα, ἐσκομίζουσι παρ' αὐτοὺς ἐγχειρίδια ἔχοντας ἄνδρας ψιλοὺς ἑπτὰ (τοσοῦτοι γὰρ μόνοι ἀνδρῶν εἴκοσι τὸ πρῶτον ταχθέντων οὐ κατέδεισαν ἐσελθεῖν· ἦρχε δὲ αὐτῶν Λυσίστρατος Ὀλύνθιος), οἳ διαδύντες διὰ τοῦ πρὸς τὸ πέλαγος τείχους καὶ λαθόντες τούς τε ἐπὶ τοῦ ἀνώτατα φυλακτηρίου φρουροὺς, οὔσης τῆς πόλεως πρὸς λόφον, ἀναβάντες διέφθειραν καὶ τὴν κατὰ Καναστραῖον πυλίδα

ἐν μικραῖς πολίσμασι. 1. Τὴν πόλιν] τὴν Τορώνην. 2. Τῷ στρατῷ] σὺν τῷ στρατῷ. 5. Πράσσοντες] ἦγουν συνεργοῦντες τὰ τῆς προδοσίας.

2. διοσκούριον A.K.L.O.Q.g.

5. τοὺς φρουροῦντας ἔλαθεν ἀθηναίους e. τοὺς ἀθ. τοὺς ἐμφοροῦντας ἔλαθον A.B.I.

6. ἥξει P.Q.c.e.g.

καὶ om. L.O.P.e.i.

προελθόντες B. ceteri προσελθόντες.

τινες om. K.

7. Ἐτήρουν] Thomas Magister in πρόσοδος, λάθρα ἐτήρουν τ. π. Wass.

9. μόνοι A.B.F.H.I.K.L.N. O.Q.f.h.i. vulgo μόνον.

10. ἦρχε—ὀλύνθιος] om. A.B. F.H.h.

12. λαθόντες βαλόντες i.

ἀνωτάτω i. ἀνωτάτου L.O.P.h. Præferendum videtur ἀνωτάτω, quod Margo habet. Duk.

13. πρὸς λόφον A.B.F.H.L.N. O.P.Q.c.d.e.g.h.i. vulgo πρὸς τὸν λόφον.

14. κατὰ om. L.

καναστραιον F.H.L.O.P. τὴν καναστραιον Q. κατὰ νάστραιον f.i.

Καναστραῖον] Κάναστρον. fide Stephani nititur, et Epit. Strabonis, unde hausisse videntur Etymol. et Schol. Rectius et antiquius illud alterum. Nam Καναστραίην ἄκρην, non Κανασταίην, ut in Ed. Galei Herodotus. Καναστραῖον etiam ἄκρον habent Ptolem. et Scylax, qui et ἱερὸν vocat. Apollon. α'. 598. Αὐτὰρ ἔπειτα Κλίτεα Παλλήνεια Καναστραίην ὑπὲρ ἄκρην. Κλίτεα Livio munimenta ad Clitas. Et pro Κάναστρα in Schol. Stephanus legisse videtur Καναστραῖον. Est et Κάναστρα πόλις Schol. Lycophr. vix alibi memorata. Sed et apud Livium XXXI. 45. pro

111. nonnullisque præmissis, qui aperta per proditores porta in urbem se inferrent,

διήρουν. * ὁ δὲ Βρασίδας τῷ μὲν ἄλλῳ στρατῷ ἡσύχαζεν ὀλίγον προελθών, ἑκατὸν δὲ πελταστὰς προπέμπει, ὅπως, ὁπότε πύλαι τινὲς ἀνοιχθεῖεν καὶ τὸ σημεῖον ἀρθείη ὃ ξυνέκειτο, πρῶτοι ἐσδράμοιεν. καὶ οἱ μὲν χρόνου ἐγγιγνομένου, καὶ θαυμάζοντες, κατὰ μικρὸν ἔτυχον ἐγγὺς τῆς πόλεως προσελθόντες· οἱ δὲ τῶν Τορωναίων ἔνδοθεν παρασκευάζοντες μετὰ τῶν ἐσεληλιθότων, ὡς αὐτοῖς ἥ τε πυλὶς διήρητο καὶ αἱ κατὰ τὴν ἀγορὰν πύλαι τοῦ μοχλοῦ διακοπέντος ἀνεῴγοντο, πρῶτον μὲν κατὰ τὴν πυλίδα τινὰς περιαγαγόντες ἐσεκόμισαν, ὅπως κατὰ νώτου καὶ ἀμφοτέρωθεν τοὺς ἐν τῇ πόλει οὐδὲν εἰδότας ἐξαπίνης φοβήσειαν, ἔπειτα τὸ σημεῖόν τε τοῦ πυρὸς, ὡς εἴρητο, ἀνέσχον, καὶ διὰ τῶν κατὰ τὴν ἀγορὰν πυλῶν

112. ipse cum exercitu ab omni parte irrumpit.

τοὺς λοιποὺς ἤδη τῶν πελταστῶν ἐσεδέχοντο. * καὶ ὁ Βρασίδας ἰδὼν τὸ ξύνθημα ἔθει δρόμῳ, ἀναστήσας τὸν στρατὸν ἐμβοήσαντά τε ἀθρόον καὶ ἔκπληξιν πολλὴν τοῖς ἐν τῇ πόλει παρασχόντα. καὶ οἱ μὲν κατὰ τὰς

4. Οἱ μὲν] οἱ πελτασταί.

Canastrum legerim *Canastræum*, quomodo diserte Aler. 1. Favent aliorum vestigia, atque Auctor ipse alibi XLIV. 11. Sic utique Mela et sine Var. Lectione Plinius. Varinus, Κάναστρα ἀκρωτήριον οὗ πλησίον ᾤκησαν Γίγαντες· hæc ille ex Epit. Strabonis. Quo etiam spectat Lycophron, Πρὸ πύργων τὸν ΚΑΝΑΣΤΡΑΙΟΝ μέγαν Ἐγχώριον ΓΙΓΑΝΤΑ δυσμενῶν μοχλὰν Ἔχοντα. Pro Macetum vel Thracum gente posuit Oppianus, et in Epig. Macedonius Παισὶ ΚΑΝΑΣΤΡΑΙΟΙΣ μαρνάμεναι ἐθέλω. Pergit idem Varinus, Κάναστραν, ὄστρακον, τριβλίον, lege τρυβλίον. Hesychium et Suidam exscribit. Confer Pollucem eruditissimi Hemsterhusii X. 85. et Suidam. v. Ἀλκυονίδες, ubi Hegesandrum Καναστραίου legentem adducit. Wass.

2. ὀλίγῳ d.e.

8. πόλις K.c.d.

8. κατὰ] περὶ d.

10. ἐσεκόμισαν N.Q.d.i. ἐξεκόμισαν A.B.F.H.I.K.L.O.c.e.f.g.h. vulgo ἐσεκόμισαν.

11. νῶτον e.

13. εἴρηται b.

16. ἐμβοήσαντά — παρασχόντα A.B.F.H.K.Q.c.f.g.h.i. vulgo ἐμβοήσαντας—παρασχόντας.

πύλας εὐθὺς ἐσέπιπτον, οἱ δὲ κατὰ δοκοὺς τετραγώνους, αἳ ἔτυχον τῷ τείχει πεπτωκότι καὶ οἰκοδομουμένῳ πρὸς λίθων ἀναλκὴν προσκείμεναι. Βρασίδας μὲν οὖν καὶ τὸ πλῆθος εὐθὺς ἄνω καὶ ἐπὶ τὰ μετέωρα τῆς πόλεως ἐτράπετο, βουλόμενος κατ' ἄκρας καὶ βεβαίως ἐλεῖν αὐτήν· ὁ δὲ ἄλλος ὅμιλος κατὰ πάντα ὁμοίως ἐσκεδάννυτο.

113. Athenienses plerique, qui in urbe erant, Lecythum fugiunt, ubi eorum erat praesidium.

* τῶν δὲ Τορωναίων γιγνομένης τῆς ἁλώσεως τὸ μὲν πολὺ οὐδὲν εἰδὸς ἐθορυβεῖτο, οἱ δὲ πράσσοντες, καὶ οἷς ταῦτα ἤρεσκε, μετὰ τῶν εἰσελθόντων εὐθὺς ἦσαν. οἱ δὲ Ἀθηναῖοι (ἔτυχον γὰρ ἐν τῇ ἀγορᾷ ὁπλῖται καθεύδοντες ὡς πεντήκοντα) ἐπειδὴ ἤσθοντο, οἱ μέν τινες ὀλίγοι διαφθείρονται ἐν χερσὶν αὐτῶν, τῶν δὲ λοιπῶν οἱ μὲν πεζῇ, οἱ δὲ ἐς τὰς ναῦς, αἳ ἐφρούρουν δύο, καταφυγόντες διασῴζονται ἐς τὴν Λήκυθον τὸ φρούριον, ὃ εἶχον αὐτοί, καταλαβόντες ἄκρον τῆς πόλεως ἐς τὴν θάλασσαν ἀπειλημμένον ἐν στενῷ ἰσθμῷ. κατέφυγον δὲ καὶ τῶν Τορωναίων ἐς αὐτοὺς ὅσοι ἦσαν σφίσιν ἐπιτήδειοι.

114. Brasidae conditiones latae iis, qui ad Athenienses confugerant.

* γεγενημένης δὲ ἡμέρας ἤδη καὶ βεβαίως τῆς πόλεως ἐχομένης, ὁ Βρασίδας τοῖς μὲν μετὰ τῶν Ἀθηναίων Τορωναίοις καταπεφευγόσι κήρυγμα ἐποιήσατο τὸν βουλόμενον ἐπὶ τὰ ἑαυτοῦ ἐξελθόντα ἀδεῶς πολιτεύειν, τοῖς δὲ Ἀθηναίοις κήρυκα προσ-

8. Οἱ δὲ πράσσοντες] τὰ τῆς προδοσίας. 12. Αὐτῶν] τῶν περὶ τὸν Βρασίδαν. 15. Τῆς πόλεως] ἤγουν τῆς Τορώνης. 17. Ἐπιτήδειοι] φίλοι. 20. Ἐξελθόντα] τῆς Ληκύθου. 21. Πολιτεύειν] πράττειν κατὰ τὸ ἔθος τῆς

1. δολοὺς g.
4. εὐθὺς om. e.
Ἐπὶ τὰ — αὐτὴν] Suidas, qui κατάκρας. Wass. Suidas pro adverbio habet. In Hesychio quoque ita emendarunt e Casauboni ad Theophrasti Charact. c. 8. in fin. pro eo, quod ante legebatur κατ' ἄκρας ἐλεῖν. Dux.
5. καὶ om. L.O.P.
6. ἐσκεδάννυτο L.O.
12. ἐν] ταῖς c.
14. λήκυνθον H.
18. τῆς πόλεως βεβαίως L.O.P.
20. κήρυκα B.
21. κήρυγμα O.P.
πρεπέμψας A.B.F.H.P.g.

πέμψας ἐξιέναι ἐκέλευσεν ἐκ τῆς Ληκύθου ὑποσπόνδους καὶ τὰ ἑαυτῶν ἔχοντας ὡς οὔσης Χαλκιδέων. οἱ δὲ ἐκλείψειν μὲν οὐκ ἔφασαν, σπείσασθαι δὲ σφίσιν ἐκέλευον ἡμέραν τοὺς νεκροὺς ἀνελέσθαι. ὁ δὲ ἐσπείσατο δύο. ἐν ταύταις δὲ αὐτός τε τὰς ἐγγὺς οἰκίας ἐκρατύνατο καὶ 'Αθηναίοις τὰ σφέτερα. καὶ ξύλλογον τῶν Τορωναίων ποιήσας ἔλεξε τοῖς ἐν τῇ 'Ακάνθῳ παραπλήσια, ὅτι οὐ δίκαιον εἴη οὔτε τοὺς πράξαντας πρὸς αὐτὸν τὴν λῆψιν τῆς πόλεως χείρους οὐδὲ προδότας ἡγεῖσθαι (οὐδὲ γὰρ ἐπὶ δουλείᾳ, οὐδὲ χρήμασι πεισθέντας, δρᾶσαι τοῦτο, ἀλλ' ἐπὶ ἀγαθῷ καὶ ἐλευθερίᾳ τῆς πόλεως), οὔτε τοὺς μὴ μετασχόντας οἴεσθαι μὴ τῶν αὐτῶν τεύξεσθαι· ἀφῖχθαι γὰρ οὐ διαφθερῶν οὔτε πόλιν οὔτε ἰδιώτην οὐδένα. τὸ δὲ κήρυγμα ποιήσασθαι τούτου ἕνεκα τοῖς παρ' 'Αθηναίους καταπεφευγόσιν, ὡς ἡγούμενος οὐδὲν χείρους τῇ ἐκείνων φιλίᾳ· οὐδ' ἂν σφῶν πειρασαμένους αὐτοὺς τῶν Λακεδαιμονίων δοκεῖν ἧσσον, ἀλλὰ πολλῷ μᾶλλον, ὅσῳ δικαιότερα πράσσουσιν, εὔνους ἂν σφίσι γενέσθαι, ἀπειρίᾳ δὲ νῦν πεφοβῆσθαι. τούς τε πάντας παρασκευάζεσθαι

πολιτείας. 4. Ἡμέραν] μίαν δηλονότι. Ἐν ταύταις δὲ] ταῖς ἡμέραις δηλονότι. 7. Ἐν τῇ 'Ακάνθῳ] ἐν τῷ ε' τῶν συγγραφῶν διάλεξις Βρασίδου πρὸς Τορωναίους. 8. Τὴν λῆψιν] ἤγουν τὴν χείρωσιν. 9. Ἐπὶ δουλείᾳ] τῆς πόλεως δηλονότι. 12. Τῶν αὐτῶν] τοῖς προδόταις. 15. Ἡγούμενος] ἡγούμενος μὴ χείρους φανήσεσθαι παρ' ἡμῖν αὐτοὺς διὰ τὸ 'Αθη-

1. ἐκέλευσεν A.B.F.H.h. vulgo ἐκέλευεν.
ὑποσπόνδως c.g.
2. ἔκλειψιν B.
5. ἐγγὺς] ἐν γῇ c.g.
ἐκρατύνετο P.
καὶ ἀθηναῖοι τὰ σφέτερα om. K. καὶ οἱ ἀθ. τὰ σφ. Q.
7. Παραπλήσια] Hoc est, in eandem fere sententiam, verbis vero aliis. Vid. IV. 86. Wass.
9. οὐ γὰρ K.L.O.P.c.d.e.g.
10. δουλείαν A.B.c.g.
χρήματι I.L.O.P.
14. ἀθηναίοις Q.d.f.i.
16. αὐτοὺς] αὐτῶν Q.
17. δικαιότερον c.g.
18. ἀπειρίᾳ δὲ νῦν πεφοβῆσθαι om. K. νῦν om. h.

ἐκέλευσεν ὡς βεβαίους τε ἐσομένους ξυμμάχους, καὶ τὸ ἀπὸ τοῦδε ἤδη, ὅ τι ἂν ἁμαρτάνωσιν, αἰτίαν ἔξοντας· τὰ δὲ πρότερα οὐ σφεῖς ἀδικεῖσθαι, ἀλλ' ἐκείνους μᾶλλον ὑπ' ἄλλων κρεισσόνων, καὶ ξυγγνώμην εἶναι, εἴ τι ἠναντιοῦντο. * καὶ ὁ μὲν τοιαῦτα εἰπὼν καὶ παραθαρσύνας, διελθουσῶν τῶν σπονδῶν τὰς προσβολὰς ἐποιεῖτο τῇ Λεκύθῳ· οἱ δὲ Ἀθηναῖοι ἠμύναντό τε ἐκ φαύλου τειχίσματος καὶ ἀπ' οἰκιῶν ἐπάλξεις ἐχουσῶν. καὶ μίαν μὲν ἡμέραν ἀπεκρούσαντο· τῇ δ' ὑστεραίᾳ μηχανῆς μελλούσης προσάξεσθαι αὐτοῖς ἀπὸ τῶν ἐναντίων, ἀφ' ἧς πῦρ ἐνήσειν διενοοῦντο ἐς τὰ ξύλινα παραφράγματα, καὶ προσιόντος ἤδη τοῦ στρατεύματος, ᾗ ᾤοντο μάλιστα αὐτοὺς προσκομιεῖν τὴν μηχανὴν καὶ ἦν ἐπιμαχώτατον, πύργον ξύλινον ἐπ' οἴκημα ἀντέστησαν, καὶ ὕδατος ἀμφορέας πολλοὺς καὶ πίθους ἀνεφόρησαν καὶ λίθους μεγάλους, ἄνθρωποί τε πολλοὶ ἀνέβησαν. τὸ δὲ οἴκημα λαβὸν μεῖζον ἄχθος ἐξαπίνης κατερράγη, καὶ ψόφου πολλοῦ γενομένου τοὺς μὲν ἐγγὺς καὶ ὁρῶντας τῶν Ἀθηναίων ἐλύπησε μᾶλλον ἢ ἐφόβησεν, οἱ δὲ ἄποθεν, καὶ μάλιστα οἱ διὰ πλείστου, νομίσαντες ταύτῃ ἐαλωκέναι ἤδη τὸ χωρίον, φυγῇ ἐς τὴν θάλασσαν καὶ τὰς ναῦς ὥρμησαν.

115. Lecythum aggressus, Atheniensibus fortuito casu in fugam conversis,

ναίοις γεγονέναι φίλους. 1. Ξυμμάχους] τῶν Λακεδαιμονίων. 6. Τῶν σπονδῶν] τῶν ἡμερῶν τῶν σπονδῶν. 7. Φαύλου] μικροῦ. 9. Ἀπεκρούσαντο] οἱ ἐν τῇ Λεκύθῳ Ἀθηναῖοι. 15. Ἀνεφόρησαν] ἀνεβίβασαν.

1. ἐκέλευσεν A.B.H.h. ceteri ἐκέλευεν.
τὸ om. L.O.P.d.i.
2. αἰτίαν om. c.
3. πρότερα N.
σφᾶς e.
4. ἄλλων] ἄκρων H. ἀλλήλων d.i.
συγγνώμην H.
εἴ τι] ὅτι f.i.
5. ταῦτα L.
παραθρασύνας P.
6. προβολὰς P.
7. ἠμύναντο A.B.F.H.f.h. vulgo ἠμύνοντο.
9. τῇ ὑστεραίᾳ L.O.P. τὴν δ' ὑστεραίαν c.g.
10. προσάξασθαι H. πράξασθαι d.i.
14. πύργον δὲ ξύλινον B.h.
ἀντικατέστησαν h.
20. ταύτῃ om. f.

116. castellum occupat. Finis anni octavi belli Pelop.

* καὶ ὁ Βρασίδας ὡς ἤσθετο αὐτοὺς ἀπολείποντάς τε τὰς ἐπάλξεις, καὶ τὸ γιγνόμενον ὁρῶν, ἐπιφερόμενος τῷ στρατῷ εὐθὺς τὸ τείχισμα λαμβάνει, καὶ ὅσους ἐγκατέλαβε, διέφθειρε. καὶ οἱ μὲν Ἀθηναῖοι τοῖς τε πλοίοις καὶ ταῖς ναυσὶ, τούτῳ τῷ τρόπῳ ἐκλιπόντες τὸ χωρίον, ἐς Παλλήνην διεκομίσθησαν· ὁ δὲ Βρασίδας (ἔστι γὰρ ἐν τῇ Ληκύθῳ Ἀθηνᾶς ἱερὸν, καὶ ἔτυχε κηρύξας, ὅτε ἔμελλε βάλλειν, τῷ ἐπιβάντι πρώτῳ τοῦ τείχους τριάκοντα μνᾶς ἀργυρίου δώσειν) νομίσας ἄλλῳ τινὶ τρόπῳ ἢ ἀνθρωπείῳ τὴν ἅλωσιν γενέσθαι, τάς τε τριάκοντα μνᾶς τῇ θεῷ ἀπέδωκεν ἐς

2. Ἐπιφερόμενος τῷ στρατῷ] ἐπιτιθέμενος σὺν τῷ στρατῷ.

3. τὸ om. K.N.

4. Τοῖς τε πλοίοις καὶ ταῖς ναυσὶ] Ammonium descripsit Eustathius in Homer. Il. η'. p. 684. et Od. μ'. p. 1727. Priore loco ita: Ὅτι [νῆες] διαφέρουσι τῶν ὕστερον κωφοτέρων λεγομένων πλοίων, δηλοῖ ὁ γράψας οὕτω. Δίδυμος ἐν ἱστορικῷ φησὶν—Hoc emendandum arbitror ἐν ἰ ῥητορικῶν· nam Ammonius, Δίδυμος ἐν δεκάτῳ ῥητορικῶν ὑπομνημάτων. An Didymus librum scripserit, cui titulus fuerit Ἱστορικὸς, mihi non compertum est: ὑπομνήματα illius in Oratores, Demosthenem, Isæum, et Hyperidem memorat Harpocration in γαμηλία, et ὀξυθύμια. Et argumento ὑπομνημάτων ῥητορικῶν magis convenit disquisitio de differentia significationis vocabulorum, quam Ἱστορικῶν. Apud Eustathium contra utroque loco in verbis, quæ ex Aristotele descripsit Ammonius, rectius legitur, πλοίοις δὲ συχνοῖς ἐπαγωγοῖς καὶ στρατιωτικοῖς, quam in Ammonio καὶ στρατηγικοῖς. Πλοῖα autem et ναῦς etiam supra II. 84. distinguit Thucydides, ubi πλοῖα simpliciter vocat, quæ cap. 83. λεπτὰ πλοῖα dixerat. Sed discrimen, quod Didymus inter ναῦς et πλοῖα ponit, non semper servatur a Scriptoribus Græcis. Nam et πλοῖα κωπήρη paullo post, cap. 108. dicit Thucydides, et πλοῖα στρατιωτικὰ Aristoteles apud Ammonium. Duk.

5. Παλλήνην] Gr. passim Παλήνην. At cum λλ Hegesippus in Palleniacis, et omnes, ab Herodoto VII. 123. ad Cantacuzenum 278. præter ea testimonia, quæ ad Steph. Holstenius, adde Schol. Apollon. α'. 599. Dion. Halic. p. 39, 40. Pausan. VIII. 29. Nonnum Dionys. p. 1255. Macedones Βαλλήνη. His adjice D. Chrysost. p. 597. Apud Herodotum VII. 122. Codd. Arch. et Steph. Πίλωρος, pro Πίδωρος. At Baroc. cum editis, recte. Wass.

7. βάλλειν A.B.F.H.h. vulgo προσβάλλειν.

10. τῷ θεῷ ἐπέδωκεν Q.

τὸ ἱερὸν, καὶ τὴν Λήκυθον καθελὼν καὶ ἀνασκευάσας τέμενος ἀνῆκεν ἅπαν. καὶ ὁ μὲν τὸ λοιπὸν τοῦ χειμῶνος, ἃ τε εἶχε τῶν χωρίων, καθίστατο, καὶ τοῖς ἄλλοις ἐπεβούλευε. καὶ τοῦ χειμῶνος διελθόντος ὄγδοον ἔτος ἐτελεύτα τῷ πολέμῳ.

117. Quibus rationibus tum Athenienses, tum Lacedæmonii permoti sint ad inducias annuas faciendas.

Λακεδαιμόνιοι δὲ καὶ Ἀθηναῖοι ἅμα ἦρι τοῦ ἐπιγιγνομένου θέρους εὐθὺς ἐκεχειρίαν ἐποιήσαντο ἐνιαύσιον, νομίσαντες Ἀθηναῖοι μὲν οὐκ ἂν ἔτι τὸν Βρασίδαν σφῶν προσαποστῆσαι οὐδὲν πρὶν παρασκευάσαιντο καθ' ἡσυχίαν, καὶ ἅμα, εἰ καλῶς σφίσιν ἔχοι, καὶ ξυμβῆναι τὰ πλείω, Λακεδαιμόνιοι δὲ ταῦτα τοὺς Ἀθηναίους ἡγούμενοι, ἅπερ ἔδεισαν, φοβεῖσθαι, καὶ γενομένης ἀναχωχῆς κακῶν καὶ ταλαιπωρίας μᾶλλον ἐπιθυμήσειν αὐτοὺς

1. Τὴν Λήκυθον] τὸ τεῖχος τῆς Ληκύθου. Ἀνασκευάσας] ἀνοικοδομήσας. 7. Ἐκεχειρίαν] ἀργίαν τοῦ πολέμου. 9. Προσαποστῆσαι] ἦγουν πρὸς οἷς ἐπέστησε. 10. Ἅμα εἰ καλῶς σφίσιν ἔχοι] ἦγουν σὺν τούτῳ, εἰ συμφέροι αὐτοῖς ἡ ἐκεχειρία. 12. Ἀναχωχῆς] ἦγουν διακοπῆς. 13. Μᾶλλον ἐπιθυ-

1. Καθελὼν καὶ ἀνασκευάσας] Id Valla et Portus reddunt, *evertit refecitque*. Sed ἀνασκευάζειν hic loci pro *destruere* accipi debere existimat Acacius, tum quod nulla appareat ratio, cur destruxerit, rursusque refecerit castellum, tum etiam, quod apud Thucydidem aliosque Scriptores Græcos struendi vim non habeat hoc vocabulum: vulgatumque apud Rhetores est, τὸ ἀνασκευάζειν opponi τῷ κατασκευάζειν, ut *refutationem* seu *destructionem confirmationi*. Huds. Hæc animadversio Acacii ratione non caret. Plane illi adsentirer; si, quemadmodum ἀνασκευάζειν est *demoliri, dejicere tecta*, ut e Plutarcho et Basilio Budæus et alii docuerunt, ita etiam ἀνασκευάζειν de eadem re dici constaret. Nam significatio illa, qua Oratores hoc verbo utuntur, sine auctoritate probatorum Scriptorum ad eversiones urbium ac mœnium non videtur producenda. Verba τέμενος ἀνῆκεν ἅπαν, in quibusdam Lexicis auctiora citantur, post ἅπαν additis τὸ χωρίον; quæ ab Auctoribus eorum ellipseos supplendæ gratia adjecta sunt, nec in ullo MS. leguntur. Duk.

5. τῷ πολέμῳ τῷδε f.
9. προαποστῆναι L.O.P.
παρασκευάσαντο P.d.e.i.
10. εἰ] οἱ f.g.
ἔχειν g. ἔχει P.d.e.i.
ξυμβῇ H. συμβῆναι e.
11. δὲ] τε A.B.F.H.K.e.g.
τοῖς ἀθηναίοις A.B.h.
12. ἔδεδίεσαν H.f.

πειρασαμένους ξυναλλαγῆναί τε, καὶ τοὺς ἄνδρας σφίσιν ἀποδόντας σπονδὰς ποιήσασθαι καὶ ἐς τὸν πλείω χρόνον. τοὺς γὰρ δὴ ἄνδρας περὶ πλείονος ἐποιοῦντο κομίσασθαι, ὡς ἔτι Βρασίδας εὐτύχει· καὶ ἔμελλον, ἐπὶ μεῖζον χωρήσαντος αὐτοῦ καὶ ἀντίπαλα καταστήσαντος, τῶν μὲν στέρεσθαι, τοῖς δ' ἐκ τοῦ ἴσου ἀμυνόμενοι κινδυνεύειν καὶ κρατήσειν. γίγνεται οὖν ἐκεχειρία αὐτοῖς τε καὶ τοῖς ξυμμάχοις ἥδε.

118. Earum conditiones,

" ΠΕΡΙ μὲν τοῦ ἱεροῦ καὶ τοῦ μαντείου τοῦ Ἀπόλλωνος τοῦ Πυθίου δοκεῖ ἡμῖν χρῆσθαι τὸν βουλόμενον ἀδόλως καὶ ἀδεῶς κατὰ τοὺς πατρίους νόμους. τοῖς μὲν Λακεδαιμονίοις ταῦτα δοκεῖ καὶ τοῖς ξυμμάχοις τοῖς παροῦσι· Βοιωτοὺς δὲ καὶ Φωκέας πείσειν φασὶν ἐς δύναμιν προσκηρυκευόμενοι. περὶ δὲ τῶν χρημάτων τῶν τοῦ θεοῦ, ἐπιμελεῖσθαι ὅπως τοὺς ἀδικοῦντας ἐξευ-

μήσειν αὐτοὺς] ἡγούμενοι δηλονότι ἐπιθυμήσειν τοὺς Ἀθηναίους. 4. Εὐτύχει] ἦγον τὰ κατὰ τὸν πόλεμον εὐωδοῦτο. Καὶ ἔμελλον] ἐν ἀδήλῳ εἶναι, εἰ κρατήσουσιν αὐτῶν. Ἄλλως. ἔμελλον γὰρ, ἰσορρόπως ἀγωνιζόμενοι, κρατήσειν μὲν τῶν Ἀθηναίων, τοὺς δὲ ἄνδρας ἀπολέσειν. 7. Ἐκεχειρία] ὁμολογία Λακεδαιμονίων καὶ Ἀθηναίων καὶ τῶν ξυμμάχων. 11. Κατὰ τοὺς πατρίους νόμους] ἦγουν κατὰ τὴν προσταγὴν τῶν πατρίων νόμων. 12. Δοκεῖ] ἀρεστὰ φαίνεται. 14. Προσκηρυκευόμενοι] ἦγουν διὰ κηρυκείας. 15. Ἐπιμελεῖσθαι] ἔδοξε δηλονότι. Ὅπως] ἦγουν πῶς. Ἐξευρήσομεν] ἡ ἐξ

1. πειρασομένους c.d.
συναλλαγῆναί e.
3. πλείονος] πλείστου G.
4. ὡς ἔτι] ἕως ὅ τε Schol. Aristophan. ad Pac. 478. ἕως utique amplectendum.
εὐτυχεῖ K. ηὐτύχει f.
μεῖζον] πλεῖστον O.
6. κινδυνεύειν A.B.F.H.d. vulgo κινδυνεύσειν.
7. τε om. d.i.
9. τοῦ μαντείου ἀπόλλωνος b.
11. καὶ ἀδεῶς om. A.B.F.K.c. e.g.h.
Καὶ ἀδεῶς] Desunt Gr. prave. Noster alibi, ἀδόλως, καὶ ἀβλαβεῖς· et δικαίως καὶ ἀδόλως· δικαίως καὶ προθύμως καὶ ἀδόλως, et ἄδεια fere semper in pactis, conventis. In Fœdere V. 18. ἰέναι καὶ θεωρεῖν καὶ κατὰ γῆν, καὶ κατὰ θάλασσαν ΑΔΕΩΣ. In Fœdere Hierapytn. inter Marmora Oxon. ΑΠΛΟΩΣ ΚΑΙ ΑΔΟΛΩΣ. Wass.
13. φασὶν] σφᾶς I.O.P.i. σφεῖς d.
14. προσκηρυκευόμενοι L.O.P.
τῶν χρημάτων τοῦ A.B.F.H. Q.f.h.
15. ἐξευρήσομεν A.B.L.O. εὑρήσομεν Q. vulgo ἐξευρήσομεν.

" ῥήσομεν, ὀρθῶς καὶ δικαίως τοῖς πατρίοις νόμοις χρώ-
" μενοι καὶ ἡμεῖς καὶ ὑμεῖς καὶ τῶν ἄλλων οἱ βουλόμε-
" νοι, τοῖς πατρίοις νόμοις χρώμενοι πάντες. περὶ μὲν
" οὖν τούτων ἔδοξε Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις,
" ἐὰν σπονδὰς ποιῶνται οἱ Ἀθηναῖοι, ἐπὶ τῆς αὐτῶν μέ-
" νειν ἑκατέρους, ἔχοντας ἅπερ νῦν ἔχομεν, τοὺς μὲν ἐν τῷ
" Κορυφασίῳ ἐντὸς τῆς Βουφράδος καὶ τοῦ Τομέως μέ-
" νοντας, τοὺς δὲ ἐν Κυθήροις μὴ ἐπιμισγομένους ἐς τὴν
" ξυμμαχίαν, μήτε ἡμᾶς πρὸς αὐτοὺς μήτε αὐτοὺς πρὸς
" ἡμᾶς, τοὺς δὲ ἐν Νισαίᾳ καὶ Μινῴᾳ μὴ ὑπερβαίνοντας
" τὴν ὁδὸν τὴν ἀπὸ τῶν πυλῶν τῶν παρὰ τοῦ Νίσου ἐπὶ
" τὸ Ποσειδώνιον, ἀπὸ δὲ τοῦ Ποσειδωνίου εὐθὺς ἐπὶ τὴν
" γέφυραν τὴν ἐς Μινῴαν. μηδὲ Μεγαρέας καὶ τοὺς
" ξυμμάχους ὑπερβαίνειν τὴν ὁδὸν ταύτην, καὶ τὴν νῆσον,
" ἥπερ ἔλαβον οἱ Ἀθηναῖοι, ἔχοντας, μήτε ἐπιμισγομέ-
" νους μηδετέρους μηδετέρωσε· καὶ τὰ ἐν Τροιζῆνι, ὅσα-

περσσή. 1. Ὀρθῶς] ἀληθῶς. 7. Ἑκατέρους] τοὺς Λακεδαιμονίους καὶ τοὺς Ἀθηναίους μετὰ τῶν συμμάχων. 9. Πρὸς αὐτοὺς] ἤγουν τοὺς Λακεδαιμονίους. 16. Μηδετέρους] ἤγουν Ἀθηναίους καὶ Μεγαρέας.

1. πατρῴοις I.L.O.P.d.e.f.
2. καὶ ὑμεῖς—χρώμενοι] om. I.K.L.O.P.d.e.
καὶ ἡμεῖς καὶ ὑμεῖς Q.c.g.
3. Πατρίοις] De discrimine inter πατρῷος et πάτριος vid. Græv. ad Luciani Solœcisten p. 376. DUK.
4. τοῖς ξυμμάχοις A.B.K.c.e.g. vulgo τοῖς ἄλλοις ξυμμάχοις.
5. τῆς] τοῖς H.Q. ut c. 106. τὸν μὲν βουλόμενον ἐπὶ τοῖς ἑαυτοῦ μένειν· τῶν i.
ἑαυτῶν g. αὐτῶν i.
7. τῆς] τοῦ β.
τομέρος L.
Τομέως] Steph. Τομαῖον ὄρος παρὰ τὸ Κορυφάσιον τῆς Πύλου, ἐοικὸς σμίλῃ· scalpro. Pylum intellige Messeniacam. Τῆς Βουφράδος nulla opinor apud Veteres mentio. De Coryphasio IV. 3. et V. 18. Vid. Aristidem tom. I. p. 365. Steph. Pausan. Antonin. Liberal. c. 22. Clem. Alex. p. 24. Νίσος collis, in quo urbs Megarensium. v. Pindarum. Pyth. IX. 160. Nem. V. 84. WASS.
8. τοῖς f.i.
ἐν τοῖς κυθήροις O. ἐν κυθηρίοις f.i.
μὴ om. F.H.
ἐπιμισγομένους f.
11. παρὰ] ἀπὸ F.H.I.d.e.f.i.
νισαίου H.Q.d.f.i.
12. ποσειδόνειον Q.
13. μίνωα c.g. μίναν i.
15. ἐπισμιγομένους Q.
16. μηδετέρους om. K.
ἐν τῇ τροιζῆνι K.

" περ ὧν ἔχουσι, καὶ οἷα ξυνέθεντο πρὸς Ἀθηναίους· καὶ
" τῇ θαλάσσῃ χρωμένους, ὅσα ἂν κατὰ τὴν ἑαυτῶν καὶ
" κατὰ τὴν ξυμμαχίαν. Λακεδαιμονίους καὶ τοὺς ξυμ-
" μάχους πλεῖν μὴ μακρᾷ νηΐ, ἄλλῳ δὲ κωπήρει πλοίῳ,
" ἐς πεντακόσια τάλαντα ἄγοντι μέτρα. κήρυκι δὲ καὶ
" πρεσβείᾳ καὶ ἀκολούθοις, ὁπόσοις ἂν δοκῇ, περὶ κα-
" ταλύσεως τοῦ πολέμου καὶ δικῶν ἐς Πελοπόννησον καὶ
" Ἀθήναζε σπονδὰς εἶναι ἰοῦσι καὶ ἀπιοῦσι, καὶ κατὰ
" γῆν καὶ κατὰ θάλασσαν. τοὺς δὲ αὐτομόλους μὴ δέ-
" χεσθαι ἐν τούτῳ τῷ χρόνῳ, μήτε ἐλεύθερον μήτε δοῦ-
" λον, μήτε ἡμᾶς μήτε ὑμᾶς. δίκας τε διδόναι ὑμᾶς τε
" ἡμῖν καὶ ἡμᾶς ὑμῖν κατὰ τὰ πάτρια, τὰ ἀμφίλογα
" δίκῃ διαλύοντας ἄνευ πολέμου. τοῖς μὲν Λακεδαιμο-
" νίοις καὶ τοῖς ξυμμάχοις ταῦτα δοκεῖ· εἰ δέ τι ὑμῖν εἴ-
" τε κάλλιον εἴτε δικαιότερον τούτων δοκεῖ εἶναι, ἰόντες
" ἐς Λακεδαίμονα διδάσκετε· οὐδενὸς γὰρ ἀποστήσον-
" ται, ὅσα ἂν δίκαια λέγητε, οὔτε οἱ Λακεδαιμόνιοι

6. Πρεσβείᾳ] ἤγουν πρεσβευταῖς. Ἀκολούθοις] τῶν πρεσβευτῶν καὶ τῶν κηρύκων. 10. Ἐν τούτῳ τῷ χρόνῳ] τῆς ἐνιαυσιαίας ἐκεχειρίας δηλονότι. 12. Τὰ ἀμφίλογα] ἤγουν τὰ ἀμφίβολα. 14. Εἴτε κάλλιον] τῶν παρ'

2. ἂν om. K.
3. κατὰ ξυμμαχίαν d.
4. πλεῖν] πλὴν Q.
μὴ] οὐ d. om. I.K.P.e.i. qui μικρᾷ.
5. Ἐς πεντακόσια τάλαντα] Magnitudo navium frumentariarum modiis æstimabatur, vinariarum amphoris, quæ alias merces vehebant, in pondere consistentes, talentis vel centumpondiis sive centenariis; quintalia vulgo appellant; dicit Salmasius in Observat. ad Jus Attic. et Roman. pag. 734. Sed vitio memoriæ, ut puto, pro πεντακόσια, quod hic in Thucydide est, scribit πεντήκοντα. Duk.
6. ἐὰν B.F.H.I.N.c.g.h.i.
καταλύσεως πολέμου Q.
8. καὶ ἀπιοῦσι om. O.P.
9. θάλατταν L.P.
11. μήτε ἡμᾶς μήτε ὑμᾶς g.
12. ἡμᾶς om. A.h.
κατὰ πάτρια K.g.
καὶ τὰ ἀμφ. L.O.P.
15. κάλλιον A.B.F.H.I.K.L.N. O.P.Q.b.c.d.e.g.h.i. vulgo καλλιώτερον.
16. διδάσκεσθε H.
καὶ οὐδενὸς γὰρ H.
17. ἂν om. d.i.
λέγητε] ἄγητε g.

" οὔτε οἱ ξύμμαχοι. οἱ δὲ ἰόντες τέλος ἔχοντες ἰόντων,
" ἥπερ καὶ ὑμεῖς ἡμᾶς κελεύετε. αἱ δὲ σπονδαὶ ἐνιαυτὸν
" ἔσονται. ἔδοξε τῷ δήμῳ. Ἀκάμαντις ἐπρυτάνευε,
" Φαίνιππος ἐγραμμάτευε, Νικιάδης ἐπεστάτει. Λά-
" χης εἶπε, τύχῃ ἀγαθῇ τῇ Ἀθηναίων, ποιεῖσθαι τὴν
" ἐκεχειρίαν, καθὰ ξυγχωροῦσι Λακεδαιμόνιοι καὶ οἱ
" ξύμμαχοι αὐτῶν· καὶ ὡμολόγησαν ἐν τῷ δήμῳ τὴν
" ἐκεχειρίαν εἶναι ἐνιαυτὸν, ἄρχειν δὲ τήνδε τὴν ἡμέραν,
" τετράδα ἐπὶ δέκα τοῦ Ἐλαφηβολιῶνος μηνός. ἐν τούτῳ
" τῷ χρόνῳ ἰόντας ὡς ἀλλήλους πρέσβεις καὶ κήρυκας
" ποιεῖσθαι τοὺς λόγους, καθ' ὅτι ἔσται ἡ κατάλυσις
" τοῦ πολέμου. ἐκκλησίαν δὲ ποιήσαντας τοὺς στρατη-
" γοὺς καὶ τοὺς πρυτάνεις, πρῶτον περὶ τῆς εἰρήνης βου-
" λεύσασθαι Ἀθηναίους, καθ' ὅτι ἂν ἐσίῃ ἡ πρεσβεία πε-

ἡμῶν λεγομένων δηλονότι. 1. Τέλος ἔχοντες] ἤγουν κύριοι συμβῆναι ἄνευ τῶν τέλεων. 3. Τῷ δήμῳ] τῶν Λακεδαιμονίων. Ἐπρυτάνευε] τῆς Πρυτανείας ἦρχε. Πρυτανεία δὲ ἡμέρα, καθ' ἣν ἔχει τὶς ἐξουσίαν. 5. Εἶπεν]

1. Τέλος ἔχοντες] Τέλος pro summa et libera potestate, ut apud Hesiodum Ἔργ. v. 669. Ἐν τοῖς γὰρ τέλος ἐστὶν ὑμῖν ἀγαθῶν τε κακῶν τε. DUK.

3. Ἔδοξε τῷ δήμῳ] Sic in lege apud Andocidem Orat. de mysteriis, pag. 220. Ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ. Αἰαντὶς ἐπρυτάνευε, Κλεογένης ἐγραμμάτευε, Βοηθὸς ἐπεστάτει. Vid. de his præter Sigon. quos hic laudat Hudsonus, II. de Republ. Athen. 3. et Petit. ad Leg. Attic. et Vales. ad Harpocrat. in γραμματεύς, ἐπιστάτης, et Πρυτάνεις. DUK.

ἀκαμαντὶς K. ἀκαμάντις g.
ἐπρυτάνευσε Q.
4. φαίνιππος ἐγραμμάτευε om.K.
Ἐπεστάτει] Vide Petiti Leges Atticas, p. 186, 187. &c. et Sigonium de Rep. Athen. l. 2. HUDS.

5. τῇ] τῶν K.Q.
ποιεῖσθαι] γενέσθαι i.
6. οἱ λακεδαιμόνιοι L.O.P.d.e.i.
8. ἀρχὴν I.K.M.b.c.d.e.f.g.h. i. ἄρχει L.
9. Τετράδα—] Pugnant hæc cum verbis c. 119. μηνὸς ἐν Λακεδαίμονι Γεραστίου δωδεκάτῃ. Transponenda censet Dodwellus Ann. Th. it. IX. B. P. et Diss. VIII. 10. ut hic legatur δωδεκάτῃ, ibi τετράδι ἐπὶ δέκα. GOTTL.

δεκάτου ἐλαφ. A.B.
10. ὡς] ἐς d.
ἀλλήλους] ἀληθῶς Q.
12. ἐκκλησίας d.i.
13. πρῶτον μὲν περὶ g.
τῆς om. i.

" ρὶ τῆς καταλύσεως τοῦ πολέμου. σπείσασθαι δὲ αὐ-
" τίκα μάλα τὰς πρεσβείας ἐν τῷ δήμῳ τὰς παρούσας,
" ἢ μὴν ἐμμενεῖν ἐν ταῖς σπονδαῖς τὸν ἐνιαυτόν."

119. et sponsores ab utraque parte.

Ταῦτα ξυνέθεντο Λακεδαιμόνιοι, καὶ ὡμολόγησαν καὶ οἱ ξύμμαχοι, Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις μηνὸς ἐν Λακεδαίμονι Γεραστίου δωδεκάτῃ. ξυνετίθεντο δὲ καὶ ἐσπένδοντο Λακεδαιμονίων μὲν οἵδε, Ταῦρος Ἐχετιμίδα, Ἀθήναιος Περικλείδα, Φιλοχαρίδας Ἐρυξιδαΐδα, Κορινθίων δὲ Αἰνέας Ὠκύτου, Εὐφαμίδας Ἀριστωνύμου, Σικυωνίων δὲ Δαμότιμος Ναυκράτους, Ὀνάσιμος Μεγακλέους, Μεγαρέων δὲ Νίκασος Κεκάλου, Μενεκράτης Ἀμφιδώρου, Ἐπιδαυρίων δὲ Ἀμφίας Εὐπαΐδα, Ἀθηναίων δὲ οἱ στρατηγοὶ, Νικόστρατος Διιτρέφους, Νικίας Νικηράτου, Αὐτοκλῆς Τολμαίου. Ἡ μὲν δὴ ἐκεχειρία αὕτη ἐγένετο, καὶ ξυνήεσαν ἐν αὐτῇ περὶ τῶν μειζόνων σπονδῶν διὰ παντὸς ἐς λόγους.

120. Scionenses

Περὶ δὲ τὰς ἡμέρας ταύτας αἷς ἐπήρχοντο, Σκιώνη

ἀπεφήνατο. 2. Τὰς πρεσβείας] ἤγουν τοὺς πρεσβευτὰς τοὺς παρόντας. 4. Ὡμολόγησαν] συνεφώνησαν. 14. Ἡ μὲν δὴ ἐκεχειρία] ἡ ἀνακωχὴ τοῦ πολέμου. 17. Περὶ δὲ τὰς ἡμέρας ταύτας] ἡ περὶ αὐτὶ τῆς κατά. Ἐπήρ-

1. πεἰσασθαι B.F.H.
4. οἱ λακεδαιμόνιοι i.
καὶ ὡμολόγησαν] καὶ ὦμοσαν B. K.c.e.f.g. καὶ ὦμοσαν λακεδαιμόνιοι I.H.L.O.P.Q.d. om. N.
6. ξυνέθεντο N.O.
7. ἔσπενδον e.
οἵδε om. i.
Ταῦρος Ἐχετιμίδα] Horum pleraque perperam scribuntur in Scholiasta Aristoph. Equit. 791. quæ hinc corrigenda sunt. Duk.
ἐχεμενίδα O.
8. ἀθηναῖος B.K.
9. ἐνέας A.B.F.H.K.Q.c.g. ἐννέας f. εἰνέως d.i.
ὠκύπου e.
εὐφαμ. ἀριστ. om. L.O.P.d.e.i.
10. δειμότιμος g.
12. ἀθηναῖοι L.O.
15. ἐν αὐτῇ] αὐτοὶ Q.
17. σικυώνη d.e.i.
Σκιώνη] Confer. Aristoph. Vesp. v. 210. Wass. De Scione Pompon. Mela II. 2. fin. *Ab Achivis capto Ilio remeantibus posita.* Idem scribunt Stephanus in Σκιώνη, Conon. Narrat. XIII. apud Photium, et Polyænus, sed non tempestatem, ut Thucydides, verum aliam causam, cur in Chersoneso consederint Græci, fuisse narrant; nec ipsi tamen inter se concordant. Duk.

ἐν τῇ Πελλήνῃ πόλις ἀπέστη ἀπ' Ἀθηναίων πρὸς Βρασίδαν. φασὶ δὲ οἱ Σκιωναῖοι Πελληνῆς μὲν εἶναι ἐκ Πελοποννήσου, πλέοντας δ' ἀπὸ Τροίας σφῶν τοὺς πρώτους καταναγχθῆναι ἐς τὸ χωρίον τοῦτο τῷ χειμῶνι ᾧ ἐχρήσαντο Ἀχαιοὶ, καὶ αὐτοῦ οἰκῆσαι. ἀποστᾶσι δ' αὐτοῖς ὁ Βρασίδας διέπλευσε νυκτὸς ἐς τὴν Σκιώνην, τριήρει μὲν φιλίᾳ προπλεούσῃ, αὐτὸς δὲ ἐν κελητίῳ ἄποθεν ἐφεπόμενος, ὅπως, εἰ μέν τινι τοῦ κέλητος μείζονι πλοίῳ περιτυγχάνοι, ἡ τριήρης ἀμύνοι αὐτῷ, ἀντιπάλου δὲ ἄλλης τριήρους ἐπιγενομένης οὐ πρὸς τὸ ἔλασσον νομίζων τρέψεσθαι ἀλλ' ἐπὶ τὴν ναῦν, καὶ ἐν τούτῳ αὐτὸν διασώσειν. περαιωθεὶς

in Chersonneso Pallenensi, ultro deficientes ab Atheniensibus, recipit in fidem Brasidas, et eos summopere colit.

χωντο] εἰς ἀλλήλους ἑκάτεροι. 3. Σφῶν] ἦγουν τῶν Πελληνέων. 6. Διέπλευσε] ὁ Βρασίδας εἰς τὴν Σκιώνην ἔπλει ἐν πλοίῳ μικρῷ, προαγούσης τριήρους, ὅπως εἰ μὲν αὐτὸς ἐντύχοι πολεμίῳ πλοίῳ, ἡ τριήρης ἐπελθοῦσα βοηθήσειεν αὐτῷ. εἰ δὲ ἀντίπαλος τριήρης ἐξ ἐναντίας ἐπιφέροιτο, αὐτὸς ἐν τῷ κελητίῳ διασωθείη. ἔμελλεν γὰρ ἡ τριήρης ἡ πολεμία οὐκ ἐπὶ τὸ κελήτιον ὁρμῆσαι,

1. Πελλήνῃ] Probabile est, quod putat Portus legendum esse Παλλήνῃ. Nam constat, Chersonesum, in qua Scione est, Παλλήνην, non Πελλήνην dici. Unde et mox pro τῆς Πελλήνης ἐν τῷ ἰσθμῷ videtur legendum τ. Παλλήνης ἐ. τ. ἰ. ut cap. 123. Μένδη —πόλις ἐν τῇ Παλλήνῃ. Et in Diodoro Sic. XIX. 699. Ἔκτισε δὲ καὶ πόλιν ἐπὶ τῆς Πελλήνης ὁμώνυμον αὐτοῦ, Κασσάνδρειαν, recte margo, γρ. Παλλήνης, quemadmodum etiam Casaub. ad Strabon. VII. in fine emendabat. Sed dubitari potest, an paullo post pro Πελληνῆς Casaubonus ad Polyæn. recte legi velit Παλληνῆς, In Peloponneso enim, unde hi se esse dicebant, non Παλλήνη, sed Πελλήνη memoratur. Stephanus, Πελλήνη, πόλις Ἀχαΐας. Pausanias VII. 26. Πελληνεῖς— Ἀχαιῶν οἰκοῦσιν ἔσχατοι. Strabo VIII. p. 385. seq. et alii apud Holstenium ad Steph. Itaque in Polyæno quoque potius retinendam putem scripturam vulgatam Πελληνεῖς, quam cum Casaubono legendum Παλληνεῖς. Ἐν τῇ Παλλήνῃ autem est in Chersoneso, quæ et ipsa Pallene vocabatur, ut Dionysius Halic. Strabo, et Stephanus tradunt. Dukr.

2. σικυώνιοι d.e.
πελληνῆς K.
3. ἀπὸ] ἐκ h.
4. χειμῶνι τούτῳ ᾧ K.
7. προσπλεούσῃ L.O.P.c.d.e.f. g.h. πλεούσῃ Q.
8. πλοίῳ] πλείονι c.
περιτυγχάνει d.i.
9. ἀμύνῃ A.B F.H.Q.h.
αὐτῇ A.B.H.K.N.c.d.e.f.g.h.i.
10. τρέψασθαι A.B.H.I.K.N. Q.c.d.e.f.g.h.i.
11. αὐτὸν A.H.K.N.O.g.

δὲ καὶ ξυλλογον ποιήσας τῶν Σκιωναίων, ἔλεγεν, ἃ τε ἐν τῇ Ἀκάνθῳ καὶ Τορώνῃ, καὶ προσέτι φάσκων ἀξιωτάτους αὐτοὺς εἶναι ἐπαίνου, οἵτινες τῆς Πελλήνης ἐν τῷ ἰσθμῷ ἀπειλημμένης ὑπὸ τῶν Ἀθηναίων Ποτίδαιαν ἐχόντων, καὶ ὄντες οὐδὲν ἄλλο ἢ νησιῶται, αὐτεπάγγελτοι ἐχώρησαν πρὸς τὴν ἐλευθερίαν, καὶ οὐκ ἀνέμειναν ἀτολμίᾳ ἀνάγκην σφίσι προσγενέσθαι περὶ τοῦ φανερῶς οἰκείου ἀγαθοῦ· σημεῖόν τ' εἶναι τοῦ καὶ ἄλλο τι ἂν αὐτοὺς τῶν μεγίστων ἀνδρείως ὑπομεῖναι, εἰ τεθήσεται κατὰ νοῦν τὰ πράγματα· πιστοτάτους τε τῇ ἀληθείᾳ ἡγήσεσθαι αὐτοὺς Λακεδαιμονίων φίλους, καὶ τἆλλα τιμήσειν. * καὶ οἱ μὲν Σκιωναῖοι ἐπήρθησάν τε τοῖς λόγοις, καὶ θαρσήσαντες πάντες ὁμοίως, καὶ οἷς πρότερον μὴ ἤρεσκε τὰ πρασσόμενα, τόν τε πόλεμον διενοοῦντο προθύμως οἴσειν, καὶ τὸν Βρασίδαν τά τ' ἄλλα καλῶς ἐδέξαντο, καὶ δημοσίᾳ μὲν χρυσῷ στεφάνῳ ἀνέδησαν ὡς ἐλευθεροῦντα τὴν Ἑλλάδα, ἰδίᾳ δὲ ἑταινίουν τε καὶ προσήρ-

121. Quomodo Scionenses Brasidam coluerint.

ἀλλ' ἐπὶ τὴν τριήρη. 6. Ἀτολμίᾳ] δι' ἀτολμίαν. 7. Σφίσι] τοῖς Σκιωναίοις. 9. Τῶν μεγίστων] ἤγουν τῶν ἀναγκαιοτάτων. δεινῶν δηλονότι. 12. Ἐπήρθησάν τε] ἐπτερώθησαν. 13. Καὶ οἷς πρότερον] ἤγουν θάρσους καὶ ἀγαθῶν ἐλπίδων. 14. Τόν τε πόλεμον] τὸν ἀπὸ τῶν Ἀθηναίων.

2. τῇ om. O.
αὐτοὺς ἀξιωτάτους Q.
3. εἵτινες O.P.
4. Ἀπειλημμένης] Scylax pag. 62. Ed Gron. Ποτίδαια, ἐν τῷ μέσῳ τὸν ἰσθμὸν ἐμφράττουσα. DUK.
ὑπὸ τῶν ἀθηναίων A.B.F.N.Q. vulgo omittunt articulum.
5. ὄντως Q.
Ὄντες οὐδὲν ἄλλο, ἢ νησιῶται] Quia iis nullum e continenti auxilium ferri poterat, non quod re vera insulani essent, sic cap. 121. de iisdem, Ἡγούμενους καὶ τοὺς Ἀθηναίους βοηθῆσαι ἂν, ὡς ἐς νῆσον. Et cap. 122. Ὀργὴν ποιούμενοι (Athenienses) εἰ καὶ οἱ ἐν ταῖς νήσοις ἤδη ὄντες ἀξιοῦσι σφῶν ἀφίστασθαι, τῇ κατὰ γῆν Λακεδαιμονίων ἰσχύϊ ἀνωφελεῖ πιστεύοντες. Vid. Holsten. ad Steph. in Σκιώνη. DUK.
ἄλλῳ, omissa ἢ, H.
7. ἀνάγκη H.I.
προγενέσθαι L.O. γενέσθαι Thomas M. v. βούλομαι.
8. δ' Q.
10. ἡγήσεσθαι αὐτοὺς τῇ ἀληθείᾳ e.
14. πραττόμενα e.
προθύμως] ταχέως c.g.
15. κακῶς O.
17. Προσήρχωτο] Vocem non capiunt Interpp. ideoque addidi,

χοντο ὥσπερ ἀθλητῆ. ὁ δὲ τό τε παραυτίκα φυλακήν τινα αὐτοῖς ἐγκαταλιπὼν διέβη πάλιν, καὶ ὕστερον οὐ πολλῷ στρατιὰν πλείω ἐπεραίωσε, βουλόμενος μετ' αὐτῶν τῆς τε Μένδης καὶ τῆς Ποτιδαίας ἀποπειρᾶσαι, ἡγούμενος καὶ τοὺς Ἀθηναίους βοηθῆσαι ἂν ὡς ἐς νῆσον, καὶ βουλόμενος φθάσαι· καί τι αὐτῷ καὶ ἐπράσσετο ἐς τὰς πόλεις ταύτας προδοσίας πέρι. καὶ ὁ μὲν ἔμελλεν

2. Διέβη πάλιν] εἰς τὴν Τορώνην δηλονότι. 3. Ἐπεραίωσε] διεβίβασε διὰ νηῶν εἰς τὴν Σκιώνην. Μετ' αὐτῶν] τῶν Σκιωναίων. 5. Ἡγούμενος καὶ τοὺς Ἀθηναίους] ἥγουν ὡς ναυτικοὺς ταχέως ἂν ἐλθεῖν εἰς βοήθειαν. 6. Φθά-

officii causa. Locum mirifice illustrat Pindarus, P. IV. 425. Πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας ΩΡΕΓΟΝ χεῖρας στεφάνοισί τέ μιν τοίας ἔρεπτον· μειλιχίοις τε λόγοις ΑΓΑΠΑΖΟΝΤ'. Attius Meleag. Gaudent, currunt, celebrant, herbam conferunt, donant, TENENT. Huc spectant illa deplorata, et intellecta adhuc nemini Prisciani verba XVIII. p. 1202. π. ὡς ΔΕΔΕΝΓΗΗ lege *ἀθλητῇ*. Valer. Flaccus IV. 324. "At manus omnis Heroum den-"sis certatim amplexibus ur-"guent: Armaque ferre juvat, "fessasque *adtollere* palmas." Confer Oppianum Hal. I. 199. Wass. Pollux III. 152. pro προσήρχοντο habet προσῆσαν, et memoria lapsus Xenophontem pro Thucydide nominat. Vid. ibi Interpp. Προσήρχοντο quosdam interpretari, *tanquam victorem athletam salutandi et honorandi causa adibam*, jam Stephanus ad h. l. adnotavit. Ἀθλητὴν hic Olympionicen interpretatur Muretus XV. Var. Lect. 7. Sed ad omnes hieronicas pertinere potest. Duk.

4. Ποτιδαίας] Ἡ νῦν Κασσάνδρια, Auctor ad finem Codini. Vid. Livium XLIV. 11. Idem docent Neronis, Vespasiani, et Nervæ numi, ita inscripti, COL. JUL. AUG. CASSANDRENS. Ita et Strabo: Pausan. V. 23. Ποτιδεάτας δὶς μὲν ἐπέλαβεν ἀναστάτους ἐκ τῆς σφετέρας ὑπὸ Φιλίππου γενέσθαι &c. χρόνῳ δὲ ὕστερον Κάσανδρος κατήγαγεν ἐπὶ τὰ οἰκεῖα. Κασάνδρεια δὲ ἐγένετο ἀπὸ τοῦ οἰκιστοῦ. Adi Diodorum Olymp. CV. 3. Capta est ab Hunnis Cassandria sub Imp. Justiniano. Auctor Procopius de Ædific. IV. 3. Bello Pers. II. 4. Cassand. Episc. Concilio Sardicensi subscripsit A. X. CCXLVII. Nulla tamen ejus mentio in Notit. Vett. Wass.

5. Ὡς ἐς νῆσον] Ὡς non recte abest a quibusdam libris. Athenienses semper gravius tulisse defectionem insulanorum, quam sociorum, qui in continenti degebant, etiam alibi ostendit Thucydides, cujus rei causam indicat cap. 122. Vid. ad v. 9. pag. 674. Duk.

ὡς om. O.P.e.

6. καί τι αὐτῷ καὶ A.B.F.H. N.Q.c.g.h.i. καί τι αὐτῷ L.N.O. P.d.e. vulgo καί τι καὶ αὐτῷ.

122. Post adventum inducіarum pactarum nuntiorum, de Scione lis orta inter Athenienses et Lacedæmonios, quia hæc urbs post sponsionem demum inducіarum defecerat.

ἐγχειρήσειν ταῖς πόλεσι ταύταις· * ἐν τούτῳ δὲ τριήρει οἱ τὴν ἐκεχειρίαν περιαγγέλλοντες ἀφικνοῦνται παρ' αὐτὸν, Ἀθηναίων μὲν Ἀριστώνυμος, Λακεδαιμονίων δὲ Ἀθήναιος. καὶ ἡ μὲν στρατιὰ πάλιν διέβη ἐς Τορώνην, οἱ δὲ τῷ Βρασίδᾳ ἀνήγγελλον τὴν ξυνθήκην, καὶ ἐδέξαντο πάντες οἱ ἐπὶ Θράκης ξύμμαχοι Λακεδαιμονίων τὰ πεπραγμένα. Ἀριστώνυμος δὲ τοῖς μὲν ἄλλοις κατήνει, Σκιωναίους δὲ αἰσθόμενος ἐκ λογισμοῦ τῶν ἡμερῶν ὅτι ὕστερον ἀφεστήκοιεν, οὐκ ἔφη ἐνσπόνδους ἔσεσθαι. Βρασίδας δὲ ἀντέλεγε πολλὰ, ὡς πρότερον, καὶ οὐκ ἀφίει τὴν πόλιν. ὡς δ' ἀπήγγειλεν ἐς τὰς Ἀθήνας ὁ Ἀριστώνυμος περὶ αὐτῶν, οἱ Ἀθηναῖοι εὐθὺς ἑτοῖμοι ἦσαν στρατεύειν ἐπὶ τὴν Σκιώνην. οἱ δὲ Λακεδαιμόνιοι πρέσβεις πέμψαντες παραβήσεσθαι ἔφασαν αὐτοὺς τὰς σπονδὰς, καὶ τῆς πόλεως ἀντεποιοῦντο Βρασίδᾳ πιστεύοντες, δίκη τε ἑτοῖμοι ἦσαν περὶ αὐτῆς κρίνεσθαι. οἱ δὲ δίκῃ μὲν οὐκ ἤθελον κινδυνεύειν, στρατεύειν δὲ ὡς τάχιστα, ὀργὴν ποιούμενοι εἰ καὶ οἱ ἐν ταῖς νήσοις ἤδη ὄντες ἀξιοῦσι σφῶν ἀφίστασθαι, τῇ κατὰ γῆν Λακεδαιμονίων ἰσχύϊ ἀνωφελεῖ πιστεύοντες. εἶχε δὲ καὶ ἡ ἀλήθεια περὶ τῆς ἀποστάσεως μᾶλλον ἢ οἱ Ἀθηναῖοι ἐδικαίουν· δύο γὰρ

σαι] ἦγον προλαβεῖν ἐκείνους. 1. Ἐγχειρήσειν] ἐπιθήσειν. 2. Παρ' αὐτὸν] τὸν Βρασίδαν. 4. Διέβη] ἀπὸ τῆς Σκιώνης. 7. Κατήνει] συνετίθετο, κατένευσε συναινῶν. 14. Αὐτοὺς] τοὺς Ἀθηναίους. 15. Τῆς πόλεως] τῆς Σκιώνης. 16. Περὶ αὐτῆς] τῆς Σκιώνης. 19. Σφῶν] τῶν Ἀθηναίων. 20. Ἀνω-

1. τριήρης K. τριήρεις f.g.
3. Ἀριστώνυμος] Corrigendus est Thomas Mag. in καταινῶ, ubi pro Ἀριστώνυμος est Ἀριστόδημος. Duk.
4. στρατιὰ μὲν K.
5. ἀνήγγειλαν d.
10. ἀντέλεγχε i. ἀνέλεγχε d. ᾐφίει e.
11. ἀπήγγειλεν A.B.F.H.h. ἐπήγγελλεν i. vulgo ἀπήγγελλεν.
ὁ om. Q.
12. οἱ om. Q.
19. ἰσχύϊ om. g.
20. ἀνωφελεῖ om. d.i.
ἡ om. K.N.
21. ἢ K.g.
οἱ om. Q.

Δύο γὰρ ἡμέραις ὕστερον] Rectum est ἡμέραις. Xenophon 1. Hellen. princ. Μετὰ δὲ ταῦτα οὐ πολλαῖς ἡμέραις ὕστερον. Thucyd.

ἡμέραις ὕστερον ἀπέστησαν οἱ Σκιωναῖοι. ψήφισμά τ' εὐθὺς ἐποιήσαντο, Κλέωνος γνώμῃ πεισθέντες, Σκιωναίους ἐξελεῖν τε καὶ ἀποκτεῖναι. καὶ τἆλλα ἡσυχάζοντες ἐς τοῦτο παρεσκευάζοντο.

123. Etiam Mende desciscit ab Atheniensibus, et a Brasida recipitur.

Ἐν τούτῳ δὲ Μένδη ἀφίσταται αὐτῶν, πόλις ἐν τῇ Παλλήνῃ, Ἐρετριῶν ἀποικία. καὶ αὐτοὺς ἐδέξατο ὁ Βρασίδας, οὐ νομίζων ἀδικεῖν, ὅτι ἐν τῇ ἐκεχειρίᾳ φανερῶς προσεχώρησαν· ἔστι γὰρ ἃ καὶ αὐτὸς ἐνεκάλει τοῖς Ἀθηναίοις παραβαίνειν τὰς σπονδάς. διὸ καὶ οἱ Μενδαῖοι μᾶλλον ἐτόλμησαν, τήν τε τοῦ Βρασίδου γνώμην ὁρῶντες ἑτοίμην, τεκμαιρόμενοι καὶ ἀπὸ τῆς Σκιώνης, ὅτι οὐ προὐδίδου, καὶ ἅμα τῶν πρασσόντων σφίσιν ὀλίγων τε ὄντων καὶ ὡς τότε ἐμέλλησαν οὐκέτι ἀνέντων, ἀλλὰ περὶ σφίσιν αὐτοῖς φοβουμένων τὸ κατάδηλον καὶ καταβιασαμένων παρὰ γνώμην τοὺς πολλούς. οἱ δὲ Ἀθηναῖοι εὐθὺς πυθόμενοι, πολλῷ ἔτι μᾶλλον ὀργισθέντες, παρεσκευάζοντο ἐπ' ἀμφοτέρας τὰς πόλεις. καὶ Βρασίδας προσδεχόμενος τὸν ἐπίπλουν αὐτῶν ὑπεκκομίζει ἐς Ὄλυνθον τὴν Χαλκιδικὴν παῖδας καὶ γυναῖκας τῶν Σκιωναίων

φελεῖ] λείπει, ἐν θαλάσσῃ. 1. Ὕστερον] ἤγουν μετὰ τὴν ἐκεχειρίαν. 7. Φανερῶς] ἀντὶ τοῦ ἑκουσίως. ἄνευ προδοσίας. 10. Ἐτόλμησαν] ἐθάρρησαν προσιέναι τῷ Βρασίδᾳ. 11. Ἐτολμῶν] εἰς τὸ βοηθῆσαι. 12. Οὐ προὐδίδου] ὁ Βρασίδας. 17. Ἐπ' ἀμφοτέρας τὰς πόλεις] τὴν Μένδην καὶ

I. 14. et II. 68. Πολλαῖς γενεαῖς ὕστερον. Et sic omnes alii. Paullo post Σκιωναίους ἐξελεῖν καὶ ἀποκτεῖναι Thomas Mag. in ἐξεῖλε. Duk.

1. ἡμέρας N.d.i.
3. ἐξελθεῖν b.
τε om. i.
5. δὲ μένδη] μὲν δὴ O.
6. ἐρετρίων K. vulgo ἐρετριέων.
Ἐρετριέων ἀποικία] Pompon. Mela II. 2. in fine, et Suidas, cui Μίνδα est, quæ aliis Μένδη. Apollodorus apud Stephanum Μένδιν vocat. Livius XXXI. 45. Mendin maritimum Cassandreæ vicum memorat. Duk.

8. γὰρ καὶ ἃ καὶ F.H.
10. τοῦ om. A.P.
13. ἐμέλλησεν i.
16. ἔτι om. I.d.
19. καλχιδικὴν K.
σικιωνέων g.
Σκιωναίων] Reg. Σκιωνέων. A Σκιώνη gentilia sunt Σκιωναῖος et Σκιωνεύς. Stephanus. Σκιωνεῖς e-

καὶ Μενδαίων, καὶ τῶν Πελοποννησίων αὐτοῖς πεντακοσίους ὁπλίτας διέπεμψε καὶ πελταστὰς τριακοσίους Χαλκιδέων, ἄρχοντά τε τῶν ἁπάντων Πολυδαμίδαν. καὶ οἱ μὲν τὰ περὶ σφᾶς αὐτοὺς, ὡς ἐν τάχει παρεσομένων τῶν Ἀθηναίων, κοινῇ εὐτρεπίζοντο.

124. Altera Brasidæ cum Perdicca adversus Arrhibæum in Lyncum expeditio. Prœlium equestre pedestris pugna excipit, qua funduntur Lyncestæ.

Βρασίδας δὲ καὶ Περδίκκας ἐν τούτῳ στρατεύουσιν ἅμα ἐπὶ Ἀρριβαῖον τὸ δεύτερον ἐς Λύγκον. καὶ ἦγον ὁ μὲν ὢν ἐκράτει Μακεδόνων τὴν δύναμιν, καὶ τῶν ἐνοικούντων Ἑλλήνων ὁπλίτας, ὁ δὲ πρὸς τοῖς αὐτοῦ περιλοίποις τῶν Πελοποννησίων Χαλκιδέας καὶ Ἀκανθίους καὶ τῶν ἄλλων κατὰ δύναμιν ἑκάστων. ξύμπαν δὲ τὸ ὁπλιτικὸν τῶν Ἑλλήνων τρισχίλιοι μάλιστα. ἱππῆς δ' οἱ πάντες ἠκολούθουν Μακεδόνων ξὺν Χαλκιδεῦσιν ὀλίγου ἐς χιλίους, καὶ ἄλλος ὅμιλος τῶν βαρβάρων πολύς. ἐσβαλόντες δὲ ἐς τὴν Ἀρριβαίου, καὶ εὑρόντες ἀντεστρατοπεδευμένους αὐτοῖς τοὺς Λυγκηστὰς, ἀντεκαθέζοντο καὶ αὐτοί. καὶ ἐχόντων τῶν μὲν πεζῶν λόφον ἑκατέρωθεν, πεδίου δὲ τοῦ μέσου ὄντος, οἱ ἱππῆς ἐς αὐτὸ καταδραμόντες ἱππομάχησαν πρῶτα ἀμφοτέρων, ἔπειτα δὲ καὶ ὁ Βρασίδας καὶ ὁ Περδίκκας, προελθόντων πρότερον ἀπὸ τοῦ

Σκιώνην. 3. Καὶ οἱ μὲν] οἱ ὑπολειφθέντες ἐν Σκιώνῃ καὶ Μένδῃ. 7. Ὁ μὲν] ἦγον ὁ Περδίκκας. 16. Τοὺς Λυγκηστὰς] τοὺς περὶ τὸν Περδίκκαν καὶ Βρασίδαν. 20. Ἀπὸ τοῦ λόφου] τοῦ οἰκείου.

tiam Schol. Aristoph. Vesp. v. 210. Sed idem Cod. Reg. alibi semper cum ceteris consentit, ut probabile sit hic errorem scribæ esse. Duk.

1. καὶ τῶν μενδαίων Q.
αὐτοὺς B.h.
2. τριακοσίων d.
3. ἀπάντων] ἀπ' αὐτῶν K.g.
πολυδαμίδαν d.i.
7. ἀρριβαῖον A.B.F.H. vulgo ἀρρίβαιον.
ἦγον] ἦττον A.B.
10. καὶ ἀκανθίους om. c.g.
11. σύμπαν B.F.H.K.Q.d.e.f.g.i.
13. σὺν F.H.K.Q.c.d.e.f.g.h.i.
ὀλίγου Priscianus 18. p. 1192. codices enim ὀλίγῳ.
15. ἀντεστρατευμένους d.
17. πεδίου A.
20. προσελθόντων O.
πρότερον A.B.F.H.N.Q. e.h. vulgo πρητέρων.
τοῦ om. d.i.

λόφου μετὰ τῶν ἱππέων τῶν Λυγκηστῶν ὁπλιτῶν καὶ ἑτοίμων ὄντων μάχεσθαι, ἀντεπαγαγόντες καὶ αὐτοὶ ξυνέβαλον, καὶ ἔτρεψαν τοὺς Λυγκηστάς, καὶ πολλοὺς μὲν διέφθειραν, οἱ δὲ λοιποὶ διαφεύγοντες πρὸς τὰ μετέωρα ἡσύχαζον. μετὰ δὲ τοῦτο τροπαῖον στήσαντες δύο μὲν ἢ τρεῖς ἡμέρας ἐπέσχον, τοὺς Ἰλλυριοὺς μένοντες, οἳ ἔτυχον τῷ Περδίκκᾳ μισθοῦ μέλλοντες ἥξειν. ἔπειτα ὁ Περδίκκας ἐβούλετο προϊέναι ἐπὶ τὰς τοῦ Ἀρριβαίου κώμας καὶ μὴ καθῆσθαι, Βρασίδας δὲ τῆς τε Μένδης περιορώμενος, μὴ τῶν Ἀθηναίων πρότερον ἐπιπλευσάντων τι πάθῃ, καὶ ἅμα τῶν Ἰλλυριῶν οὐ παρόντων, οὐ πρόθυμος ἦν, ἀλλὰ ἀναχωρεῖν μᾶλλον. * καὶ ἐν τούτῳ διαφερομένων αὐτῶν ἠγγέλθη ὅτι οἱ Ἰλλυριοὶ μετ' Ἀρριβαίου προδόντες Περδίκκαν γεγένηνται· ὥστε ἤδη ἀμφοτέροις μὲν δοκοῦν ἀναχωρεῖν διὰ τὸ δέος αὐτῶν, ὄντων ἀνθρώπων μαχίμων, κυρωθὲν δὲ οὐδὲν ἐκ τῆς διαφορᾶς ὁπηνίκα χρὴ ὁρμᾶσθαι, νυκτός τε ἐπιγενομένης, οἱ μὲν Μακεδόνες καὶ τὸ πλῆθος τῶν βαρβάρων εὐθὺς φοβηθέντες, ὅπερ φιλεῖ μεγάλα

125. Deinde autem, panico inter Macedones orto terrore, Perdiccas cum exercitu discedit solus; Brasidas, destitutum se videns, non

4. Οἱ δὲ λοιποὶ] Λυγκησταί. 5. Τροπαῖον στήσαντες] οἱ περὶ τὸν Βρασίδαν. 6. Ἔπέσχον] αὐτοὺς δηλονότι κατὰ τὸν πόλεμον. Οἳ ἔτυχον] ἦγουν, οἳ ἔμελλον ἥξειν. 8. Ἐπὶ τὰς τοῦ Ἀρριβαίου κώμας] ἀντὶ τοῦ κατὰ τῶν Ἀρριβαίου κωμῶν. 9. Καθῆσθαι] ἀργὸς εἶναι. Περιορώμενος] εὐλαβούμενος, περὶ αὐτῆς κηδόμενος. 11. Οὐ πρόθυμος ἦν] προϊέναι δηλονότι. 14. Ἀμφοτέροις μὲν δοκοῦν] ἀντὶ τοῦ δοκοῦντος. 15. Αὐτῶν] τῶν Ἰλλυριῶν. 16. Κυρωθὲν δὲ οὐδὲν] ὁρισθὲν, ἀντὶ τοῦ κυρωθέντος οὐδενός. Ἐκ τῆς διαφορᾶς] ἦγουν διὰ τὴν ἔχ-

1. Λυγκηστῶν] Vide ad II. 99. Duk.
2. ἀντεπάγοντες i.
4. λοιποὶ] πολλοὶ L.O.P.d.
6. ἐμμένοντες e.
7. μισθοῦσθαι K.
ἔπειτα δὲ ὁ i.
9. δὲ] μὲν d.e.i.
Περιορώμενος] Φροντίζων exponit Thom. Mag. h. v. Duk.
10. τῶν om. Q.
11. οὐ om. I.
13. ὅτι οἱ B.Q.h.i. vulgo ὅτι καὶ οἱ.
14. ἤδη om. L.O.
15. ὄντων μαχιμωτάτων Q.
16. δὲ om. e.
17. τε om. c.g.
18. ὥσπερ Q.

sine periculo se recipit.

στρατόπεδα ἀσαφῶς ἐκπλήγνυσθαι, καὶ νομίσαντες πολλαπλασίους μὲν ἢ ἦλθον ἐπιέναι, ὅσον δὲ οὔπω παρεῖναι, καταστάντες ἐς αἰφνίδιον φυγὴν ἐχώρουν ἐπ' οἴκου, καὶ τὸν Περδίκκαν τὸ πρῶτον οὐκ αἰσθανόμενον, ὡς ἔγνω, ἠνάγκασαν πρὶν τὸν Βρασίδαν ἰδεῖν (ἄποθεν γὰρ πολὺ

θραν. 1. Ἀσαφῶς ἐκπλήγνυσθαι] ἀντὶ τοῦ ἀδήλως ἐκπλήττεσθαι. ἄνευ αἰτίας. σφαλερῶς. 5. Πρὶν τὸν Βρασίδαν ἰδεῖν] πρὶν διαλεχθῆναι τῷ Βρασίδᾳ. οὕτω γὰρ οἱ Ἀττικοὶ λέγουσιν, ὡς τὸ ἰδεῖν τί σε ἐβουλόμην, ἀντὶ τοῦ

1. ἀσαφῶς H. vulgo σαφῶς.

Σαφῶς ἐκπλήγνυσθαι] Ἀσαφῶς præter Marg. et Cass. agnoscunt Scholiastes et Thom. Mag. Et ita legendum esse res ipsa ostendit. Nam hujusmodi terrores, quos Πανικὰ, Πανικοὺς θορύβους, et Πανικὰ δείματα vocant Græci, non σαφῶς, sed ἀσαφῶς, id est, ἀδήλου οὔσης τῆς αἰτίας, exercitibus incidunt. Scholiastes, ἀσαφῶς hic recte interpretatur ἀδήλως, ut supra cap. 20. ἀδήλου ὄντος τοῦ πράγματος; et ἄνευ αἰτίας, quomodo et Pausanias X. 23. terrores illos ἀπὸ αἰτίας οὐδεμιᾶς, et Schol. Synesii ad lib. II. de Provident. in princ. μηδεμιᾶς αἰτίας προφανείσης oriri dicunt. Σαφῶς autem perperam scriptum fuit pro ἀσαφῶς, quod ultima litera vocis præcedentis eam, quæ in capite sequentis repeti debuerat, absorpsit: cujus generis errores scribarum dudum non pauci observati sunt. Ἐκπλήττεσθαι, quod nonnulli Codd. habent, ex interpretatione est. Thom. Magist. et Mœris ex hoc loco servant ἐκπλήγνυσθαι. Sed addit Thomas, apud solum Thucydidem inveniri, et pro eo jubet dici ἐκπλήττεσθαι. Et in margine Cod. Cass. scriptum est, adnotandam esse hanc vocem, ut raram scilicet. In Suida male scribi ἐκπήγνυσθαι pro ἐκπλήγνυσθαι bene monuit Kusterus; quod etiam ante ita in Thesauro laudaverat Stephanus, et ex Hesychio ἐκπληγήεσθαι, pro ἐκπληγέεσθαι, quod ibi vulgatur, et in Varino corruptius etiam legitur ἐκπληγέεσθαι. Sed in Hesychio rectius emendari puto ἐκπλήγνυσθαι. Dux.

ἐκπληγνεσθαι d.e. ἐκπλήττεσθαι L.O.P.Q.

2. ἦλθεν I.

οὔπω A.B.F.H.K.L.N.O.P.d. e.g. vulgo οὐδέπω.

3. ἀνεχώρουν d.

4. αἰσθόμενον L.O.P.

5. Πρὶν τὸν Βρασίδαν ἰδεῖν] Ἀττικῶς, ut Scholiastes dicit, pro *cum Brasida colloqui*. Stephanus in Append. ad Script. de Dial. pag. 198. putat, hujus Atticismi etiam exemplum exstare apud Lucianum Dial. Deor. pag. 201. ubi Neptuno interroganti, Ἐστὶν ᾧ Ἑρμῇ ἐντυχεῖν τῷ Διΐ; Mercurius respondet, Οὐδαμῶς, et, quibusdam interjectis, ὥστε οὐκ ἂν ἴδοις αὐτὸν ἐν τῷ παρόντι: nam ibi ἰδεῖν τὸν Δία idem esse, quod ἐντυχεῖν τῷ Διΐ. Et in Evangel. Lucæ VIII. 20. Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες: hic

ἀλλήλων ἐστρατοπεδεύοντο) προαπελθεῖν. Βρασίδας δὲ ἅμα τῇ ἕῳ, ὡς εἶδε τοὺς Μακεδόνας προκεχωρηκότας τούς τε Ἰλλυριοὺς καὶ τὸν Ἀρριβαῖον μέλλοντας ἐπιέναι, ξυναγαγὼν καὶ αὐτὸς ἐς τετράγωνον τάξιν τοὺς ὁπλίτας, καὶ τὸν ψιλὸν ὅμιλον ἐς μέσον λαβών, διενοεῖτο ἀναχωρεῖν. ἐκδρόμους δὲ, εἴ πῃ προσβάλλοιεν αὐτοῖς, ἔταξε τοὺς νεωτάτους, καὶ αὐτὸς λογάδας ἔχων τριακοσίους τελευταῖος γνώμην εἶχεν ὑποχωρῶν τοῖς τῶν ἐναντίων πρώτοις προσκεισομένοις ἀνθιστάμενος ἀμύνεσθαι. καὶ πρὶν τοὺς πολεμίους ἐγγὺς εἶναι, ὡς διὰ ταχέων παρεκελεύσατο τοῖς στρατιώταις τοιάδε.

126. Adhortatur

"Εἰ μὲν μὴ ὑπώπτευον, ἄνδρες Πελοποννήσιοι,

διαλεχθῆναι σοί τι. 3. Ἐπιέναι] αὐτοῖς δηλονότι. 5. Ἐς μέσον λαβών] ἀντὶ τοῦ περιλαβὼν τοῖς ὁπλίταις. ἦγουν ἔταξε τοὺς νεωτάτους ἐκτρέχειν καὶ ἐπιέναι τοῖς μετὰ τοῦ Ἀρριβαίου, εἰ ἐπιχειροῖεν προσβάλλειν τοῖς μετὰ τοῦ Βρασίδου. 6. Προσβάλλοιεν] οἱ μετὰ τοῦ Ἀρριβαίου. 8. Τελευταῖος γνώμην εἶχε] τῆς συντάξεως. 12. Εἰ μὲν μὴ ὑπώπτευον, ἄνδρες] προοιμιακὴ ἔννοιά

enim ἰδεῖν σε itidem haud dubie poni pro tecum colloqui, quia Matthæus XII. 46. de eadem re dicit ζητοῦντες αὐτῷ λαλῆσαι. Mihi nondum satis de hoc Atticismo liquet. Nam ἰδεῖν omnibus his locis, ut et in eo, quod hic habet Scholiastes, ἰδεῖν τι (i. e. διά τι) σε ἐβουλόμην, dici potest per figuram, qua antecedens pro consequente ponitur: quemadmodum et ipsum ἐντυγχάνειν, quod proprie non est *cum aliquo colloqui*. Duk.

1. προσελθεῖν b.

2. προσκεχωρηκότας L.O.P.

6. Ἐκδρόμους] Hoc vocab. præfigi vult B. Gottl. verbis Schol. ad vs. 6. ἐς μέσον λαβών, ante voc. ἦγουν· ubi manifesta sane explicatio subjicitur τῶν ἐκδρόμων. Baver.

εἴ ποι c.e.g.

προσβάλοιεν Q.g.

7. νεωτέρους O.

9. ἀμύνασθαι Q.

10. ὡς om. c.

Παρεκελεύσατο] Λέξας, quod in Clar. ante τοιάδε additur, suspectum est, tanquam e glossa. Sæpe quidem in Thucydide legitur παρεκελεύσατο καὶ ἔλεξε τοιάδε; sed non minus utitur altero illo, quod hic alii omnes libri habent, sine aditamento illo τοῦ ἔλεξε, et λέξας. II. 88. Τοιαῦτα μὲν τοῖς Πελοποννησίοις οἱ ἄρχοντες παρεκελεύσαντο. VI. 67. Καὶ ξύμπασι τοιάδε παρεκελεύσατο. Et cum παραινέω VI. 9. et 15. Παρῄνει τοῖς Ἀθηναίοις τάδε. Duk.

11. τάδε K. d. λέξας τοιάδε N.

suos ad fortiter pugnandum.

" ὑμᾶς τῷ τε μεμνῆσθαι, καὶ ὅτι βάρβαροι οἱ ἐπι-
" όντες καὶ πολλοὶ, ἔκπληξιν ἔχειν, οὐκ ἂν ὁμοίως δι-
" δαχὴν ἅμα τῇ παρακελεύσει ἐποιούμην· νῦν δὲ πρὸς
" μὲν τὴν ἀπόλειψιν τῶν ἡμετέρων καὶ τὸ πλῆθος τῶν
" ἐναντίων βραχεῖ ὑπομνήματι καὶ παραινέσει τὰ μέγι-
" στα πειράσομαι πείθειν. ἀγαθοῖς γὰρ εἶναι ὑμῖν προσή-
" κει τὰ πολέμια οὐ διὰ ξυμμάχων παρουσίαν ἑκάστοτε,
" ἀλλὰ δι' οἰκείαν ἀρετὴν, καὶ μηδὲν πλῆθος πεφο-
" βῆσθαι ἑτέρων, εἴ γε μηδὲ ἀπὸ πολιτειῶν τοιούτων
" ἥκετε, ἐν αἷς οὐ πολλοὶ ὀλίγων ἄρχουσιν, ἀλλὰ πλειό-
" νων μᾶλλον ἐλάσσους, οὐκ ἄλλῳ τινὶ κτησάμενοι τὴν
" δυναστείαν ἢ τῷ μαχόμενοι κρατεῖν. βαρβάρους δὲ,
" οὓς νῦν ἀπειρίᾳ δέδιτε, μαθεῖν χρὴ, ἐξ ὧν τε προηγώ-
" νισθε τοῖς Μακεδόσιν αὐτῶν καὶ ἀφ' ὧν ἐγὼ εἰκάζω
" τε καὶ ἄλλων. ἀκοῇ ἐπίσταμαι, οὐ δεινοὺς ἐσομένους.
" καὶ γὰρ ὅσα μὲν τῷ ὄντι ἀσθενῆ ὄντα τῶν πολεμίων
" δόκησιν ἔχει ἰσχύος, διδαχὴ ἀληθὴς προσγενομένη περὶ
" αὐτῶν ἐθάρσυνε μᾶλλον τοὺς ἀμυνομένους· οἷς δὲ βε-
" βαίως τι πρόσεστιν ἀγαθὸν, μὴ προειδώς τις ἂν αὐτοῖς
" τολμηρότερον προσφέροιτο. οὗτοι δὲ τὴν μέλλησιν μὲν

ἐστι, καὶ οὔτε κατασκευὴν ἔχει οὔτε συμπέρασμα. 1. Μεμνῆσθαι] τῆς συμμαχίας τῶν Περδίκκαν. 9. Τοιούτων] περὶ τῆς δημοκρατίας φησί. 13. Προηγώνισθε] προεπολεμήσατε. 15. Δεινοὺς] τὰ πολέμια. 16. Ὅσα μὲν τῷ ὄντι ἀσθενῆ ὄντα] ὅσοι πολέμιοι ἀσθενεῖς ὄντες δόκησιν ἰσχύος παρέχουσι τοῖς ἐναντίοις, περὶ τούτων τἀληθῆ μαθόντες οἱ δι' ἐναντίας θαρσύνονται μᾶλλον. ὅσοι δὲ τῷ ὄντι εἰσὶν ἰσχυροὶ, τούτους εἰ μή τις ἔμπροσθεν μάθοι, τολμηρότερον καὶ οὐκ ὀρθῶς αὐτοῖς προσενεχθήσεται. 17. Δόκησιν ἔχει ἰσχύος] ὥσπερ τὰ τῶν ἐναντίων βαρβάρων. 18. Οἷς δὲ βεβαίως τι πρόσεστιν ἀγαθὸν] ὥσπερ ἡμῖν. ἤγουν οἵτινές εἰσι τῇ ἀληθείᾳ ἀνδρεῖοι. 20. Οὗτοι δὲ τὴν μέλλησιν μὲν] τοῦ ἐπι-

2. ὁμοίαν L. ὁμοίων O.
4. ἀπόλιψιν d.
9. μηδὲν e. μὴ f.
14. εἰκάζων A.B.F.H.K.N.c. e.g.
15. τε om. d.i.
16. γὰρ om. d.i.
17. προσγενομένη] Aptius videtur προγενομένη.
19. προῖδὼν K.
20. τολμηρὸς f.

" ἔχουσι τοῖς ἀπείροις φοβεράν· καὶ γὰρ πλήθει ὄψεως
" δεινοὶ καὶ βοῆς μεγέθει ἀφόρητοι, ἥ τε διὰ κενῆς ἐπα-
" νάσεισις τῶν ὅπλων ἔχει τινὰ δήλωσιν ἀπειλῆς. προσ-
" μίξαι δὲ τοῖς ὑπομένουσιν αὐτὰ οὐχ ὁμοῖοι· οὔτε γὰρ
" τάξιν ἔχοντες αἰσχυνθεῖεν ἂν λιπεῖν τινὰ χώραν βιαζό-
" μενοι, ἥ τε φυγὴ καὶ ἡ ἔφοδος αὐτῶν ἴσην ἔχουσα
" δόξαν τοῦ καλοῦ ἀνεξέλεγκτον καὶ τὸ ἀνδρεῖον ἔχει.
" αὐτοκράτωρ δὲ μάχη μάλιστ' ἂν καὶ πρόφασιν τοῦ
" σώζεσθαί τινι πρεπόντως πορίσειε. τοῦ τε ἐς χεῖρας
" ἐλθεῖν πιστότερον τὸ ἐκφοβῆσειν ἡμᾶς ἀκινδύνως ἡγοῦν-
" ται· ἐκείνῳ γὰρ ἂν πρὸ τούτου ἐχρῶντο. σαφῶς τε
" πᾶν τὸ προϋπάρχον δεινὸν ἀπ' αὐτῶν ὁρᾶτε ἔργῳ μὲν
" βραχὺ ὄν, ὄψει δὲ καὶ ἀκοῇ κατασπέρχον. ὃ ὑπομεί-
" ναντες ἐπιφερόμενον, καὶ ὅταν καιρὸς ᾖ, κόσμῳ καὶ

ἐναι δηλονότι. ἤγουν ἐκφοβοῦσι μέλλοντες ἐκιέναι. οἱ δὲ Λυγκησταὶ φοβεροὶ εἰσι μέλλοντες, οὐκ ἐν χερσὶν ὄντες. 2. Δεινοὶ] *δέος ἐμποιοῦσι.* 5. Αἰσχυνθεῖεν ἄν] *ὥσπερ ἡμεῖς οἱ Λακεδαιμόνιοι δηλονότι.* 6. Ἥ τε φυγὴ καὶ ἡ ἔφοδος αὐτῶν] *ὁμοίως καὶ τὸ φυγεῖν καὶ τὸ διώκειν καλὸν φαίνεται τοῖς βαρβάροις, καὶ οὐκ ἐξετάζεται πότεροί εἰσιν ἀνδρειότεροι, οἱ φεύγοντες ἢ οἱ διώκοντες.* 8. Αὐτοκράτωρ δὲ μάχη] *μάχη δὲ αὐτεξούσιος, ἐν ᾗ ἔξεστιν ὃ βούλεταί τις πράττειν, παρέχει πρόφασιν φεύγειν τοῖς ὑπωσοῦν βουλομένοις σώζεσθαι.* 11. Ἐκείνῳ] *τῷ ἐς χεῖρας ἐλθεῖν.* 12. Ἀπ' αὐτῶν ὁρᾶται] *ὁρᾶται δὲ σαφῶς, ὅτι τὸ ἀπ' αὐτῶν δοκοῦν δεινὸν ὄψιν μὲν καὶ ἀκοὴν καταπλήττεται, δυνάμει δὲ οὐδέν ἐστι. τοῦτο οὖν ὑπομείναντες (τὴν φωνὴν αὐτῶν φημὶ καὶ τὴν ἀπειλὴν) καὶ εὐκόσμως ἐν καιρῷ τοῦ ἀναχωρεῖν ὑποχωρήσαντες, ἀσφαλῶς ὑπονοστήσετε, καὶ γνώσεσθε τοῦ λοιποῦ ἐν τῷ ἀσφαλεῖ καθεστῶτες.* 13. Κατασπέρχον] *κινοῦν εἰς δειλίαν, ἐκπλῆττον.*

1. Καὶ γὰρ πλήθει ὄψεως δεινοὶ] Ita Manlius Cos. adversus Gallos cohortans apud Livium XXXVII. 17. " Procera," inquit, " corpora, promissæ et rutilatæ comæ, vasta scuta, præ" longi gladii: ad hoc cantus " ineuntium prælium, et ululatus et tripudia, et quatientium " scuta in patrium quendam " morem horrendus armorum " crepitus: omnia de industria " composita ad terrorem." *Acacius.* Add. Lips. IV. de Milit. Rom. 11. Duk.

ὄψεώς εἰσι δεινοὶ e.

2. ἐπανάστασις K.

5. ἂν ὥσπερ ἡμεῖς οἱ λακεδαιμόνιοι λιπεῖν d.i.

6. καὶ ἔφοδος K.

10. ὑμᾶς A.B.F.H.K.L.O.c.f. g.h.i.

11. ἐκεῖνο H.

12. πᾶν τε τὸ h.

" τάξει αὖθις ὑπαγαγόντες, ἥς τε τὸ ἀσφαλὲς θᾶσσον
" ἀφίξεσθε, καὶ γνώσεσθε τὸ λοιπὸν, ὅτι οἱ τοιοῦτοι ὄχ-
" λοι τοῖς μὲν τὴν πρώτην ἔφοδον δεξαμένοις ἄποθεν
" ἀπειλαῖς τὸ ἀνδρεῖον μελλήσει ἐπικομπεῦσιν, οἳ δ' ἂν
" εἴξωσιν αὐτοῖς, κατὰ πόδας τὸ εὔψυχον ἐν τῷ ἀσφα-
" λεῖ ὀξεῖς ἐνδείκνυνται."

127. Barbarorum incursiones repelluntur; conantur tamen, viam angu-

Τοιαῦτα ὁ Βρασίδας παραινέσας ὑπῆγε τὸ στράτευμα. οἱ δὲ βάρβαροι ἰδόντες πολλῇ βοῇ καὶ θορύβῳ προσέκειντο, νομίσαντες φεύγειν τε αὐτὸν καὶ καταλαβόντες διαφθείρειν. καὶ ὡς αὐτοῖς αἵ τε ἐκδρομαὶ ὅπη προσπίπ-

2. Οἱ τοιοῦτοι] τὸ τῶν βαρβάρων πλῆθος τοῖς μὲν τὴν πρώτην ἐμβολὴν δεξαμένοις ἄπωθέν ἐστι φοβερὸν ἀνδρείας ἀνάτασιν μέλλουσαν ἀπειλοῦν, τοῖς δὲ μὴ δεξαμένοις, ἀλλὰ φεύγουσι, τὸ διῶκον εὐψύχως ἐξέως ἐπιφέρεται, ἅτε δὴ ἐν ἀσφαλεῖ καθεστὼς, ὡς ἂν τῶν φευγόντων οὐ μαχομένων. 4. Μελλήσει] προσδοκίᾳ. 7. Ὑπῆγε] ἠρέμα καὶ κατ' ὀλίγον ἦγεν. 10. Αἵ τε ἐκδρομαὶ]

1. θᾶττον c.g.

4. Ἐπικομπεῦσιν] Laudat Thomas Magister in κομπάζω. Duk.

Οἱ δ' ἂν εἴξωσιν αὐτοῖς κατὰ πόδας, τὸ] Distinctionem post αὐτοῖς locandam puto: nam vix Græce dici potest, εἴκειν τινὶ κατὰ πόδας. Est autem oratio elliptica, quam ita suppleas, οἱ δ' ἂν εἴξωσιν αὐτοῖς, τούτοις, κατὰ πόδας διώκοντες, ἐλθόντες, vel aliud eorum, quæ phrasi κατὰ πόδας jungi solent, τὸ εὔψυχον—ἐνδείκνυνται. Duk.

5. ἔξωσιν A. ἔξωσιν B. ἥξωσιν e. ἔμψυχον B.e.

7. ἐπῆγε Q.

Ὑπῆγε τὸ στράτευμα] Thomas Magister ὑπάγειν hic exponit προάγειν, et vetat ὑπάγειν dici pro ἀπέρχεσθαι. Non dubium est, quin ὑπάγειν sæpe ponatur pro προάγειν, i. e. εἰς τοὔμπροσθεν πορεύεσθαι, quod etiam Harpocration e Demosthene, Ammonius ex Eupoli, et Schol. Demosthenis ad Chersonesiac. p. 62. docent. Sed sententia hujus loci non patitur, ut ὑπάγειν aliter accipiatur, quam pro ὑποχωρεῖν. Hoc apparet ex iis, quæ in fine cap. 125. dicit Thucydides, ὑπεχωρῶν τοῖς τῶν ἐναντίων πρώτοις προσκεισομένοις, et quæ mox cap. seq. νομίσαντες φεύγειν αὐτὸν, et ἡσυχαζόντων δὲ αὐτοὶ ὑπεχώρουν. Nam hæc plane ostendunt, Brasidam cum suis non progredi, sed paullatim retro cedere voluisse. Eadem est significatio hujus verbi in iis, quæ paullo superius leguntur, κόσμῳ καὶ τάξει αὖθις ὑπαγαγόντες, et V. 10. ὑπάγειν ἐπὶ τῆς Ἡόνος. Apud Aristophanem quoque Nubib. v. 1301. Ὕπαγε, τί μέλλεις; ὕπαγε est abi, discede: ut intelligitur ex eo, quod præcedit, οὐκ ἀποδιώξεις σαυτὸν ἐκ τῆς οἰκίας; sic ὑπαγωγὴ pro ἀναχώρησις, Thucyd. III. 97. Καὶ ἦν ἐπιπολὺ τοιαύτη ἡ μάχη, διώξεις τε καὶ ὑπαγωγαί. Duk.

9. λαβόντες L.

τοιεν ἀπήντων, καὶ αὐτὸς ἔχων τοὺς λοχαγοὺς ἐπικειμένους ὑφίστατο, τῇ τε πρώτῃ ὁρμῇ παρὰ γνώμην ἀντέστησαν, καὶ τὸ λοιπὸν ἐπιφερομένους μὲν δεχόμενοι ἠμύνοντο, ἡσυχαζόντων δὲ αὐτοὶ ὑπεχώρουν, τότε δὴ τῶν μετὰ τοῦ Βρασίδου Ἑλλήνων ἐν τῇ εὐρυχωρίᾳ οἱ πολλοὶ τῶν βαρβάρων ἀπέσχοντο, μέρος δέ τι καταλιπόντες αὐτοῖς ἐπακολουθοῦν προσβάλλειν, οἱ λοιποὶ χωρήσαντες δρόμῳ ἐπί τε τοὺς φεύγοντας τῶν Μακεδόνων, οἷς ἐντύχοιεν, ἔκτεινον, καὶ τὴν ἐσβολήν, ἥ ἐστι μεταξὺ δυοῖν λόφοιν στενὴ ἐς τὴν Ἀρἰσβαίου, φθάσαντες προκατέλαβον, εἰδότες οὐκ οὖσαν ἄλλην τῷ Βρασίδᾳ ἀναχώρησιν. καὶ προσιόντος αὐτοῦ ἐς αὐτὸ ἤδη τὸ ἄπορον τῆς ὁδοῦ κυκλοῦνται ὡς ἀπολησόμενοι. * ὁ δὲ γνοὺς προεῖπε τοῖς μεθ' αὐτοῦ τριακοσίοις, ὃν ᾤετο μᾶλλον ἂν ἐλεῖν τῶν λόφων, χωρήσαντας πρὸς αὐτὸν δρόμῳ, ὡς τάχιστα ἕκαστος δύναται, ἄνευ τάξεως, πειρᾶσαι ἀπ' αὐτοῦ ἐκκροῦσαι τοὺς ἤδη ἐπιόντας βαρβάρους, πρὶν καὶ τὴν πλείονα κύκλωσιν σφῶν αὐτόσε προσμίξαι. καὶ οἱ μὲν προσπεσόντες ἐκράτησάν τε τῶν ἐπὶ τοῦ λόφου, καὶ ἡ πλείων ἤδη στρατιὰ τῶν Ἑλλήνων ῥᾷον πρὸς αὐτὸν ἐπορεύοντο· οἱ γὰρ βάρβαροι καὶ ἐφοβήθησαν,

stam praeoccupando, Brasidam intercipere.

128. Quo ex periculo prudenter et fortiter Brasidas se expedit.

οἱ τεταγμένοι δηλονότι πρὸς τὸ ἐκτρέχειν. 2. Παρὰ γνώμην ἀντέστησαν] παρ' ἐλπίδα τὴν τῶν Λυγκηστῶν ἀντέστησαν οἱ Λακεδαιμόνιοι. 3. Ἐπιφερομένους μὲν] τοὺς βαρβάρους. 7. Οἱ λοιποὶ] τῶν βαρβάρων. 9. Τὴν ἐσβολὴν] εἴσοδον. 10. Φθάσαντες] προλαβόντες οἱ βάρβαροι. 11. Ἀναχώρησιν] φυγήν. Καὶ προσιόντος αὐτοῦ] τοῦ Βρασίδα. 12. Τὸ ἄπορον] καθ' ἣν οὐκ ἦν πόρος ἐξελθεῖν. Κυκλοῦνται] ἤγουν κυκλοῦσιν οἱ βάρβαροι. Ἀλοληψόμενοι] ἀποκόψαντες. 17. Πρὶν καὶ τὴν πλείονα κύκλωσιν] πρὶν τοὺς πολλοὺς τῶν κυκλοῦν τοὺς Λακεδαιμονίους μελλόντων παρεῖναι. Σφῶν] τῶν βαρβάρων.

1. τοὺς om. Q.
2. κατέστησαν b.
4. αὐτοὶ] αὐτῶν c.
μετ' αὐτοῦ L.O.P.i.
5. βρασίδα d.e.g.
6. ἀπέσχον b.
καταλιπόντας A.B.
7. οἱ λοιποὶ om. d.i.
13. αὐτοῦ A.B.h. ἑαυτοῦ K.L. O.P.e.
14. τὸν λόφον I.L.O.i.
15. ἕκαστος] ὡς ἕκαστος c.d.e. g. ὡς ἕκαστοι K.L.O.
16. ἐπιόντας] ἐπόντας Poppo.
20. γὰρ] δὲ L.Q.
καὶ om. e.

τῆς τροπῆς αὐτοῖς ἐνταῦθα γενομένης σφῶν ἀπὸ τοῦ μετεώρου, καὶ ἐς τὸ πλεῖον οὐκέτ' ἐπηκολούθουν, νομίζοντες καὶ ἐν μεθορίοις εἶναι αὐτοὺς ἤδη καὶ διαπεφευγέναι. Βρασίδας δὲ ὡς ἀντελάβετο τῶν μετεώρων, κατὰ ἀσφάλειαν μᾶλλον ἰὼν, αὐθημερὸν ἀφικνεῖται ἐς Ἄρνισσαν πρῶτον τῆς Περδίκκου ἀρχῆς. καὶ αὐτοὶ ὀργιζόμενοι οἱ στρατιῶται τῇ προαναχωρήσει τῶν Μακεδόνων, ὅσοις ἐνέτυχον κατὰ τὴν ὁδὸν ζεύγεσιν αὐτῶν βοεικοῖς, ἢ εἴ τινι σκεύει ἐκπεπτωκότι, οἷα ἐν νυκτερινῇ καὶ φοβερᾷ ἀναχωρήσει εἰκὸς ἦν ξυμβῆναι, τὰ μὲν ὑπολύοντες κατέκοπτον, τῶν δὲ οἰκείωσιν ἐποιοῦντο. ἀπὸ τούτου τε πρῶτον Περδίκκας Βρασίδαν τε πολέμιον ἐνόμισε, καὶ ἐς τὸ λοιπὸν Πελοποννησίων τῇ μὲν γνώμῃ δι' Ἀθηναίους οὐ ξύνηθες μῖσος εἶχε, τῶν δὲ ἀναγκαίων ξυμφόρων διαναστὰς ἔπρασσεν ὅτῳ τρόπῳ τάχιστα τοῖς μὲν ξυμβήσεται, τῶν δὲ ἀπαλλάξεται.

129. Interea Athenienses,

Βρασίδας δὲ ἀναχωρήσας ἐκ Μακεδονίας ἐς Τορώνην καταλαμβάνει Ἀθηναίους Μένδην ἤδη ἔχοντας, καὶ αὐτοῦ

3. Ἐν μεθορίοις] τοῦ τόπου τοῦ Περδίκκα. 10. Τὰ μὲν] τὰ ζεύγη δηλονότι. 13. Πελοποννησίων] τοὺς Πελοποννησίους ἐμίσει οὐ κατὰ γνώμης προαίρεσιν, οὐδὲ ἔθος ἔχων. τοὺς Ἀθηναίους μᾶλλον γὰρ πρὶν ἐμίσει. 14. Τῶν δὲ ἀναγκαίων ξυμφόρων] ἕνεκεν τοῦ ἀναγκαίου συμφέροντος. διὰ τὴν ἀνάγκην συμφέρειν νομίσας μισεῖν τοὺς Λακεδαιμονίους, ἀποστὰς διεπράττετο

1. γιγνομένης e.
ἀπὸ] ἐκ h.
2. νομίσαντες e.
5. ἄρνισαν d.f.
Ἄρνισσαν] Hujus oppidi nullus veterum meminit, præter nostrum et Ptolemæum, qui in Taulantiis reposuit; at alii rectius ad Erigonum fluvium, qui per Paconiam fluens in Axium editur. Wass.
6. αὐτῷ I.
8. ἢ om. K.
εἰ om. N.
10. ἀπολύοντες I.L.O.P.Q.d.
Ὑπολύοντες] Sic etiam Thomas: Ὑπολύω τὸν βοῦν, ἤγουν ὑπὸ τὸν ζυγὸν ὄντα δεδεμένον λύω. Θουκυδίδης τῇ τετάρτῃ. τὰ μὲν ὑπολύοντες—ἐποιοῦντο. Homer. Iliad. ψ'. v. 513. Ὁ δ' ἔλυεν ὑφ' ἵπποις. Duk.
11. τε om. c.d.f.g.
15. τάχιστα] μάλιστα N.
18. μένδην] μὲν i.
αὐτὸς d.i.

ἡσυχάζων ἐς μὲν τὴν Παλλήνην ἀδύνατος ἤδη ἐνόμιζεν εἶναι διαβὰς τιμωρεῖν, τὴν δὲ Τορώνην ἐν φυλακῇ εἶχεν. ὑπὸ γὰρ τὸν αὐτὸν χρόνον τοῖς ἐν τῇ Λύγκῳ ἐξέπλευσαν ἐπί τε τὴν Μένδην καὶ τὴν Σκιώνην οἱ Ἀθηναῖοι, ὥσπερ παρασκευάζοντο, ναυσὶ μὲν πεντήκοντα, ὧν ἦσαν δέκα Χῖαι, ὁπλίταις δὲ χιλίοις ἑαυτῶν καὶ τοξόταις ἑξακοσίοις καὶ Θρᾳξὶ μισθωτοῖς χιλίοις καὶ ἄλλοις τῶν αὐτόθεν ξυμμάχων πελτασταῖς· ἐστρατήγει δὲ Νικίας ὁ Νικηράτου καὶ Νικόστρατος ὁ Διιτρέφους. ἄραντες δὲ ἐκ Ποτιδαίας ταῖς ναυσὶ καὶ σχόντες κατὰ τὸ Ποσειδώνιον ἐχώρουν ἐς τοὺς Μενδαίους. οἱ δὲ αὐτοί τε καὶ Σκιωναίων τριακόσιοι βοηθηκότες, Πελοποννησίων τε οἱ ἐπίκουροι, ξύμπαντες δὲ ἑπτακόσιοι ὁπλῖται, καὶ Πολυδαμίδας ὁ ἄρχων αὐτῶν, ἔτυχον ἐξεστρατοπεδευμένοι ἔξω τῆς πόλεως ἐπὶ λόφου καρτεροῦ. καὶ αὐτοῖς Νικίας μὲν, Μεθωναίους τε ἔχων εἴκοσι καὶ ἑκατὸν ψιλοὺς καὶ λογάδας τῶν Ἀθηναίων ὁπλιτῶν ἑξήκοντα καὶ τοὺς τοξότας ἅπαντας, κατὰ ἀτραπόν τινα τοῦ λόφου πειρώμενος προσβῆναι, καὶ τραυματιζόμενος ὑπ' αὐτῶν, οὐκ ἠδυνήθη βιάσασθαι· Νικόστρατος δὲ ἄλλῃ ἐφόδῳ ἐκ πλείονος

Nicia et Nicostrato ducibus, ad Mendam recuperandam profecti, prœlio ante urbem commisso, ultimum discrimen adeunt. Mendenses tamen nonctu se recipiunt in urbem.

τῆς Ἀθηναίοις μὲν φίλος ἔσται, Λακεδαιμονίων δὲ ἀπαλλάξεται. 6. Ἑαυτῶν] τῶν Ἀθηναίων. 9. Ἅραντες δὲ] οἱ Ἀθηναῖοι. 11. Οἱ δ' αὐτοί τε] ἦγον αὐτοὶ δὲ οἱ Μενδαῖοι. 19. Τραυματιζόμενος] βαλλόμενος ὑπ' αὐτῶν. ἔνιοι δὲ ἀναφέρουσιν ἐπὶ τοὺς σὺν αὐτῷ. 20. Βιάσασθαι] βίαν προσαγαγεῖν αὐτοῖς. Ἄλλῃ ἐφόδῳ] μακροτέρᾳ ὁδῷ κατ' ἐκείνων. Ἐκ

1. ἤδη om. d.
2. δὲ om. A.K.
7. ἄλλων i.
8. ὁ νικόστρατος K.
10. κατὰ ποσειδώνιον e. κατὰ τὸ ποσειδώνιον O.
Ποσειδώνιον] Vide Diodorum p. 323. Wass.
12. τριακοσίοις P.
14. ἐστρατοπεδευμένοι B.h.
15. κρατεροῦ K.
Καρτεροῦ] Gr. κρατεροῦ. Et Polyænus I. 38. 1. ἐπὶ λόφου κρατεροῦ. Sed apud Thucydidem rursus λόφος καρτερὸς V. 7. et 8. et alibi καρτερὰ pro locis arduis, asperis, et natura munitis. Vid. III. 18. et 110. Duk.
αὐτὸς g.
ὁ νικίας K.
17. καὶ τοξότας d.g.i.
19. ἐσβῆναι g.

παντὶ τῷ ἄλλῳ στρατοπέδῳ ἐπιὼν τῷ λόφῳ, ὄντι δυσπροσβάτῳ, καὶ πάνυ ἐθορυβήθη, καὶ ἐς ὀλίγον ἀφίκετο πᾶν τὸ στράτευμα τῶν Ἀθηναίων νικηθῆναι. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ, ὡς οὐκ ἐνέδοσαν οἱ Μενδαῖοι καὶ οἱ ξύμμαχοι, οἱ Ἀθηναῖοι ἀναχωρήσαντες ἐστρατοπεδεύσαντο, καὶ οἱ Μενδαῖοι νυκτὸς ἐπελθούσης ἐς τὴν πόλιν ἀπῆλθον.

130. Tandem tumultu in urbe orto, Athenienses irrumpunt, et urbem, tamquam vi captam, diripiunt; acropolin autem, ab adversariis occupatam, circumvallant.

* τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι, περιπλεύσαντες ἐς τὸ πρὸς Σκιώνης, τό τε προάστειον εἷλον καὶ τὴν ἡμέραν ἅπασαν ἐδῄουν τὴν γῆν οὐδενὸς ἐπεξιόντος· ἦν γάρ τι καὶ στασιασμοῦ ἐν τῇ πόλει· οἱ δὲ τριακόσιοι τῶν Σκιωναίων τῆς ἐπιούσης νυκτὸς ἀπεχώρησαν ἐπ' οἴκου. καὶ τῇ ἐπιγιγνομένῃ ἡμέρᾳ Νικίας μὲν τῷ ἡμίσει τοῦ στρατοῦ προϊὼν ἅμα ἐς τὰ μεθόρια τῶν Σκιωναίων τὴν γῆν ἐδῄου, Νικόστρατος δὲ τοῖς λοιποῖς κατὰ τὰς ἄνω πύλας, ἥ ἐπὶ Ποτιδαίας ἔρχονται, προσεκάθητο τῇ πόλει. ὁ δὲ Πολυδαμίδας (ἔτυχε γὰρ ταύτῃ τοῖς Μενδαίοις καὶ ἐπικούροις ἐντὸς τοῦ τείχους τὰ ὅπλα κείμενα) διατάσσει τε ὡς ἐς μάχην, καὶ παρῄνει τοῖς Μενδαίοις ἐπεξιέναι. καί τινος αὐτῷ τῶν ἀπὸ τοῦ δήμου ἀντειπόντος κατὰ τὸ στασιωτικὸν ὅτι οὐκ ἐπέξεισιν οὐδὲ δέοιτο πολεμεῖν, καὶ ὡς ἀντεῖπεν ἐπισπασθέντος τῇ χειρὶ ὑπ'

πλείονος] διαστήματος δηλονότι. 1. Δυσπροσβάτῳ] δυσαναβάτῳ. 2. Ἐθορυβήθη] ἐδειλίασεν. 4. Ὡς οὐκ ἐνέδοσαν] οὐχ ὑπεῖξαν. 5. Ἀναχωρήσαντες] ἐπὶ πόδα ἐλθόντες. 6. Οἱ Μενδαῖοι] οἱ ἐπὶ τοῦ λόφου. Ἐς τὴν πόλιν] τὴν Μένδην. 9. Τὴν γῆν] τὴν Σκιώνην. Οὐδενὸς ἐπεξιόντος] τῶν Σκιωναίων. Ἦν γάρ τι καὶ στασιασμοῦ] ἦγουν ἦσάν τινες στασιάζοντες. 19. Καί τινος αὐτῷ τῶν ἀπὸ τοῦ δήμου ἀντειπόντος] ἤγουν δημότου ἐναντιωθέντος, κατὰ τὸ ἔθος τῶν στασιαζόντων, ἀντιλέγειν δηλονότι. 21. Καὶ ὡς

1. τῷ om. I.L.O.P.e.
δυσπροβάτῳ F.H. δυσβάτῳ G. b.c.e.g.
2. ἐς ὀλίγον] ὀλίγα N. ὀλίγῳ H.
8. πρὸ A.F.H.K.g.
Πρὸς Σκιώνης] Ita recte plerique libri. In Cass. et Gr. σ a fine excidit, quia erat in capite vocis sequentis. Vid. ad IV. 31. Duk.
13. ἅμα προϊὼν e. περιὼν ἅμα i.
20. στασιαστικὸν L.O.P.c.d.e. i. στασιωτικὸν habet etiam Thomas et melius esse dicit.
21. ἐπισπασθέντος τῇ A.B.F.H. vulgo ἐπισπ. τε τῇ.

αὐτοῦ καὶ θορυβηθέντος, ὁ δῆμος εὐθὺς ἀναλαβὼν τὰ ὅπλα περιοργὴς ἐχώρει ἐπί τε Πελοποννησίους καὶ τοὺς τὰ ἐναντία σφίσι μετ' αὐτῶν πράξαντας. καὶ προσπεσόντες τρέπουσιν, ἅμα μὲν μάχῃ αἰφνιδίῳ, ἅμα δὲ τοῖς Ἀθηναίοις τῶν πυλῶν ἀνοιγομένων φοβηθέντων· ὠήθησαν γὰρ ἀπὸ προειρημένου τινὸς αὐτοῖς τὴν ἐπιχείρησιν γενέσθαι. καὶ οἱ μὲν ἐς τὴν ἀκρόπολιν, ὅσοι μὴ αὐτίκα διεφθάρησαν, κατέφυγον, ἥνπερ καὶ τὸ πρότερον αὐτοὶ εἶχον· οἱ δὲ Ἀθηναῖοι (ἤδη γὰρ καὶ ὁ Νικίας ἐπαναστρέψας πρὸς τῇ πόλει ἦν) ἐσπεσόντες ἐς τὴν Μένδην πόλιν, ἅτε οὐκ ἀπὸ ξυμβάσεως ἀνοιχθεῖσαν, ἁπάσῃ τῇ στρατιᾷ, ὡς κατὰ κράτος ἑλόντες διήρπασαν, καὶ μόλις οἱ στρατηγοὶ κατέσχον ὥστε μὴ καὶ τοὺς ἀνθρώπους διαφθείρεσθαι. καὶ τοὺς μὲν Μενδαίους μετὰ ταῦτα πολιτεύειν ἐκέλευον ὥσπερ εἰώθεσαν, αὐτοὺς κρίναντας ἐν σφίσιν αὐτοῖς, εἴ τινας ἡγοῦνται αἰτίους εἶναι τῆς ἀποστάσεως· τοὺς δ' ἐν τῇ ἀκροπόλει ἀπετείχισαν ἑκατέρωθεν τείχει ἐς θάλασσαν, καὶ φυλακὴν ἐπεκαθίσαντο. ἐπειδὴ δὲ

ἀντεῖπεν] ὁ δημότης. 2. Περὶ ὀργῆς ἐχώρει] ἀντὶ τοῦ ὑπὸ ὀργῆς. 5. Φοβηθέντων] ἀντὶ τοῦ φοβηθέντες. ἐφοβήθησαν δὲ, ὅτι ᾠήθησαν ἀπὸ τῆς πρὸς τοὺς Ἀθηναίους συνθήκης αὐτοῖς ἐπιθέσθαι. 6. Προειρημένου] συμφώνου. 6. Τὴν ἐπιχείρησιν] ἀντὶ τοῦ τὴν προδοσίαν. 12. Διήρπασαν] τὰ ἐνόντα αὐτῇ. 14. Πολιτεύειν ἐκέλευον ὥσπερ εἰώθεσαν] τὴν οἰκείαν πολιτείαν ἔχειν.

2. περὶ] ὑπὸ K.f.g. vulgo enim περὶ ὀργῆς. correctionis auctor Photius Lex. p. 308.

περὶ ὀργῆς] Scholiastes dicit περὶ pro ὑπὸ esse. Probarem, si exemplis confirmasset hunc usum præpositionis περί. Interim non rejecerim περιοργὴς, quod est in quibusdam libris. Suidas περιοργὴς, ὀργισμένος. Et adfert verba incerti Scriptoris, Ὁ δὲ Καῖσαρ περιοργὴς ἐπὶ τούτοις γενόμενος. Hesychius quoque adverbium περιόργως habet. Duk.

Περὶ ὀργῆς] i. e. ὑπ' ὀργῆς, præ iræ, ob iram. Etiam cum dat. περὶ φόβῳ. v. Abr. 487. Gottl.

ἐπὶ τοὺς πελοπ. Q.

6. αὐτοῖς τοῦ λοιποῦ τὴν K.

7. ἐς ἀκρόπολιν B.

9. ἐπαναστρέψας c.

10. ἅτε] οὔτε P.

11. ἀπὸ] ἐκ h.

15. κρίναντες A.B.g.

18. ἐπεκαθήσαντο Q. ἐπεκαθίσταντο L.O.

ἐπειδὴ A.B.F.b.d.e.f.g.h.i. vulgo ἐπειδάν.

τὰ περὶ τὴν Μένδην κατέσχον, ἐπὶ τὴν Σκιώνην ἐχώρουν.

131. Quo facto Scione oppugnatur ab Atheniensibus, quo auxiliarii milites ex acropoli Mendæ fuga secunda se recipiunt.

* οἱ δὲ ἀντεπεξελθόντες, αὐτοὶ καὶ Πελοποννήσιοι, ἱδρύθησαν ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς πόλεως, ὃν εἰ μὴ ἕλοιεν οἱ ἐναντίοι, οὐκ ἐγίγνετο σφῶν περιτείχισις. προσβαλόντες δ' αὐτῷ κατὰ κράτος οἱ Ἀθηναῖοι, καὶ μάχῃ ἐκκρούσαντες τοὺς ἐπόντας, ἐστρατοπεδεύσαντό τε, καὶ ἐς τὸν περιτειχισμὸν τροπαῖον στήσαντες παρεσκευάζοντο. καὶ αὐτῶν οὐ πολὺ ὕστερον ἤδη ἐν ἔργῳ ὄντων, οἱ ἐκ τῆς ἀκροπόλεως ἐν τῇ Μένδῃ πολιορκούμενοι ἐπίκουροι, βιασάμενοι παρὰ θάλασσαν τὴν φυλακὴν, νυκτὸς ἀφικνοῦνται, καὶ διαφυγόντες οἱ πλεῖστοι τὸ ἐπὶ τῇ Σκιώνῃ στρατόπεδον ἐσῆλθον ἐς αὐτήν.

132. Pactione facta inter Perdiccam et Athenienses, ille per amicos

Περιτειχιζομένης δὲ τῆς Σκιώνης Περδίκκας, τοῖς τῶν Ἀθηναίων στρατηγοῖς ἐπικηρυκευσάμενος, ὁμολογίαν ποιεῖται πρὸς τοὺς Ἀθηναίους διὰ τὴν τοῦ Βρασίδου ἔχθραν περὶ τῆς ἐκ τῆς Λύγκου ἀναχωρήσεως, εὐθὺς τότε ἀρξά-

1. Τὰ περὶ τὴν Μένδην κατέσχον] ἐκυρίευσαν τῆς Μένδης. 5. Αὐτῷ] τῷ λόφῳ. 8. Αὐτῶν] τῶν Ἀθηναίων. 9. Πολιορκούμενοι] βιασάμενοι τὴν φυλακὴν, νυκτὸς ἀφικνοῦνται πρὸς θάλασσαν. 11. Τὸ ἐπὶ τῇ Σκιώνῃ στρατόπεδον] τοὺς φυλάσσοντας τὴν Σκιώνην. 14. Ὁμολογίαν] ξύμβασιν.

2. αὐτοί τε καὶ c.i.

3. λόφου καρτεροῦ A.B.F.H.L. O.P.Q.c.f.g.h. ὑψηλοῦ λόφου d.i. λόφου, omisso epitheto, K. vulgo καρτεροῦ λόφου.

5. κράτος] τάχος K.
μάχης L.

6. ἐπιόντας Poppo: vulgo ἐπιόντας.

9. βιασάμενοι B.

11. διαφεύγοντες B.F.H.Q.h.
τὸ om. B.
τῇ om. f.g.

15. τοὺς om. i.

16. τῆς] τοῦ e.

Ἀρξάμενος πράσσειν] Stephanus hic hyperbaton statuit, et cum his conjungit illa πρὸς τοὺς Ἀθηναίους. Thucydides sæpe πράσσειν cum præpositione πρὸς dicit III. 28. Οἱ δὲ πράξαντες πρὸς τοὺς Λακεδαιμονίους μάλιστα τῶν Μιτυληναίων. IV. 74. Καταπεπλῃγμένων ἤδη τῶν πρὸς τοὺς Ἀθηναίους πραξάντων. Et aliis locis quamplurimis. Sed non minus sine ea II. 79. Ἐδόκει δὲ καὶ προσχωρήσειν ἡ πόλις ὑπό τινων ἔνδοθεν πρασσόντων. IV. 89. Ὡς δὲ ᾔσθοντο οἱ πράσσοντες τὸ ἁμάρτημα. VIII. 49. Ὅπως περί τε τῆς τοῦ Ἀλκιβιάδου καθόδου πράσσοιεν. Itaque hic nihil opus est hyperbato. Nam et ὁμολογίαν ποιεῖσθαι πρός τινα usitatum est Thucydidi III. 28. Ποιοῦνται κοινῇ ὁμολογίαν πρός τε

μενος πράσσειν. καὶ ἐτύγχανε γὰρ τότε Ἰσχαγόρας ὁ Λακεδαιμόνιος στρατιὰν μέλλων πεζῇ πορεύσειν ὡς Βρασίδαν· ὁ δὲ Περδίκκας, ἅμα μὲν κελεύοντος τοῦ Νικίου, ἐπειδὴ ξυνεβεβήκει, ἔνδηλόν τι ποιεῖν τοῖς Ἀθηναίοις βεβαιότητος πέρι, ἅμα δ' αὐτὸς οὐκέτι βουλόμενος Πελοποννησίους ἐς τὴν αὑτοῦ ἀφικνεῖσθαι, παρασκευάσας τοὺς ἐν Θεσσαλίᾳ ξένους, χρώμενος ἀεὶ τοῖς πρώτοις, διεκώλυσε τὸ στράτευμα καὶ τὴν παρασκευήν, ὥστε μηδὲ πειρᾶσθαι Θεσσαλῶν. Ἰσχαγόρας μέντοι καὶ Ἀμεινίας καὶ Ἀριστεὺς αὐτοί τε ὡς Βρασίδαν ἀφίκοντο, ἐπιδεῖν πεμψάντων Λακεδαιμονίων τὰ πράγματα, καὶ τῶν ἡβώντων αὐτῶν παρανόμως ἄνδρας ἐξῆγον ἐκ Σπάρτης, ὥστε τῶν πόλεων ἄρχοντας καθιστάναι καὶ μὴ τοῖς ἐντυ-

suos in Thessalia efficit, ut exercitus Lacedæmoniorum, Brasidæ submittendus, arceatur.

5. Αὐτὸς] ὁ Περδίκκας δηλονότι. 7. Χρώμενος ἀεὶ τοῖς πρώτοις] δηλονότι ξένοις καὶ φίλοις. ἦγουν τοὺς πρώτους φίλους ποιήσας. 8. Τὸ στράτευμα] τῶν Πελοποννησίων. 11. Καὶ τῶν ἡβώντων αὐτῶν παρανόμως] ὡς οὐκ ὄντος νομικοῦ ἐξάγειν τοὺς ἡβῶντας. ἢ οὐκ ὄντος νομικοῦ ἄρχοντας καθιστάνειν ταῖς πόλεσι τοὺς ἡβῶντας, ἀλλὰ τοὺς προβεβηκότας καθ' ἡλικίαν. 12. Παρανόμως] ἦγουν παρὰ τὸ καθεστηκὸς ἔθος. 13. Τοῖς ἐντυχοῦσι] γράφεται ἐντυχοῦσι. καὶ τὰς πόλεις μὴ τοῖς τυχοῦσι πιστεύειν, ἀλλὰ Λακεδαιμονίοις ἐγχειρίζειν.

Πάχητα. et cum γίνομαι V. 5. Duk.

1. Ισαγόρας f. et hic et infra.

2. Στρατιὰν μ. π. πορεύσειν ὡς Βρασίδαν] Hinc bene confirmatur scriptura, quam Viri Docti in Ælian. V. H. VIII. 2. restituerunt, rejecta Tanaq. Fabri conjectura. Duk.

πορεύειν O.

ὡς] ἐς e.

4. ἐπειδὴ A.B.b.c.d.e.f.g.h.i. vulgo ἐπειδάν.

Ἔνδηλόν τι ποιεῖν] Scholion Cod. Cass. ita exponit: Ἐπειδὴ φίλας ἐγεγόνει τοῖς Ἀθηναίοις, ἠξίουν αὐτὸν τεκμήριόν τι παρέχειν φιλίας. Duk.

6. αὐτὸν e.

7. ξένους ἀεὶ χρώμενος e.

9. Ἀμεινίας] Aliis (ut credo) Ἀμινίας dicitur. Aminias Archonti Olymp. LXXXIX. 2. nomen erat, quem cum libere et impune traducere non liceret, Aristophanes illum mutato paulum nomine Ἀμινίαν appellat, observante Scholiaste ad Νεφέλας. Huds.

10. ἀφίκοιντο A.h.

11. τῶν ἡβώντων] τῶν σπαρτιατῶν ἡβώντων L. τῶν σπαρτιατῶν O. P.Q.

13. καθεστάναι c.

εὐτυχοῦσιν e.

Τοῖς ἐντυχοῦσιν] Scholiastes quoque agnoscit scripturam marginis τοῖς εὐτυχοῦσιν, et simul

χοῦσιν ἐπιτρεπειν. καὶ Κλεαρίδαν μὲν τὸν Κλεωνύμου καθίστησιν ἐν Ἀμφιπόλει, Ἐπιτελίδαν δὲ τὸν Ἡγησάνδρου ἐν Τορώνῃ.

133. Thebani diruunt Thespiensium muros. Junonis Argivæ templum incendio deletum negligentia Chrysidis sacerdotis.

Ἐν δὲ τῷ αὐτῷ θέρει Θηβαῖοι Θεσπιέων τεῖχος περιεῖλον, ἐπικαλέσαντες ἀττικισμὸν, βουλόμενοι μὲν καὶ ἀεὶ, παρεστηκὸς δὲ ῥᾷον ἐπειδὴ καὶ ἐν τῇ πρὸς Ἀθηναίους μάχῃ ὅ τι ἦν αὐτῶν ἄνθος ἀπολώλει. καὶ ὁ νεὼς τῆς Ἥρας τοῦ αὐτοῦ θέρους ἐν Ἄργει κατεκαύθη, Χρυσίδος τῆς ἱερείας λύχνον τινὰ θείσης ἡμμένον πρὸς τὰ στέμματα καὶ ἐπικαταδαρθούσης, ὥστε ἔλαθεν ἀφθέντα πάντα καὶ καταφλεχθέντα. καὶ ἡ Χρυσὶς μὲν εὐθὺς τῆς νυκτὸς, δείσασα τοὺς Ἀργείους, ἐς Φλιοῦντα φεύγει· οἱ δὲ ἄλλην ἱέρειαν ἐκ τοῦ νόμου τοῦ προκειμένου κατεστήσαντο, Φαει-

5. Ἐπικαλέσαντες] ἤγουν ἐγκαλέσαντες. 6. Παρεστηκὸς δὲ ῥᾷον] ἐξεγένετο δὲ αὐτοῖς ῥᾳδίως περιελεῖν τὸ τεῖχος, ἐπειδὴ τῶν Θεσπιέων ἐν τῇ πρὸς Ἀθηναίους μάχῃ τὸ ἀκμαιότατον ἀπολώλει. 7. Αὐτῶν] τῶν Θεσπιέων. Διεφθάρη] γράφεται ἀπολώλει. 13. Οἱ δὲ] οἱ Ἀργεῖοι.

monet de altera lectione, quæ est in omnibus aliis. Sed hæc pars Scholii non est in Cass. Quos autem hic τοὺς ἐντυχόντας vocat Thucydides, hos alii τοὺς τυχόντας magis dicunt. Illa, τῶν πόλεων ἄρχοντας καθιστάναι, descripsit Thomas in καθίσταμαι. Duk.

1. λεαρίδαν d.i.
2. ἐπιτελλίδαν g.
4. θεσπεσίων b.
τὸ τεῖχος L.O.P.
7. ἀπωλόλει A.B.

Ἀπολώλει] Διεφθάρη, quod est in marg. habet etiam Scholiastes, cum scriptura aliorum librorum. A Cass. abest hæc adnotatio. Duk.

ναὸς c.i.

8. Ἐν Ἄργει] In Argolide dicit Pompon. Mela II. 3. Situm designat Pausanias in Corinth. cap. 17. Μυκηνῶν δὲ ἐν ἀριστερᾷ πέντε ἀπέχει καὶ δέκα στάδια τὸ Ἡραῖον. Et paullo post: Αὐτὸ δὲ τὸ ἱερὸν ἐστιν ἐν χθαμαλωτέρῳ τῆς Εὐβοίας. τὸ γὰρ δὴ ὄρος τοῦτο ὀνομάζουσιν Εὔβοιαν. Strabo VIII. p. 368. decem stadiis a Mycenis, quadraginta ab Argis abesse scribit. Duk.

10. ἐπιδαρθείσης Q.
11. καὶ χρυσὶς Q.
12. δείσαντα I.
φιλιοῦντα F.H.

Ἐς Φλιοῦντα] Tegeam Pausan. l. d. Clementis Alexandr. in Protrept. pag. 35. et qui eum sequitur, Arnobii VI. p. 207. nullam rationem habet Scaliger ad Euseb. Chron. pag. 104. ubi ab his quoque Χρυσίδα, non Χρυσηΐδα, vocari observat; de quo supra ad II. 2. Duk.

13. Ἱέρειαν] Omnino ἱερείαν

νίδα ὄνομα. ἔτη δὲ Χρυσὶς τοῦ πολέμου τοῦδε ἐπέλαβεν ὀκτὼ, καὶ ἔνατον ἐκ μέσου, ὅτε ἐπεφεύγει. καὶ ἡ Σκιώνη τῶν θέρους ἤδη τελευτῶντος περιετετείχιστό τε παντελῶς, καὶ οἱ Ἀθηναῖοι ἐπ' αὐτῇ φυλακὴν καταλιπόντες ἀνεχώρησαν τῷ ἄλλῳ στρατῷ.

134. Bellum inter Mantinenses et Tegeatas ancipiti prœlio conficitur.

Ἐν δὲ τῷ ἐπιόντι χειμῶνι τὰ μὲν Ἀθηναίων καὶ Λακεδαιμονίων ἡσύχαζε διὰ τὴν ἐκεχειρίαν, Μαντινῆς δὲ καὶ Τεγεᾶται καὶ οἱ ξύμμαχοι ἑκατέρων ξυνέβαλον ἐν Λαοδικίῳ τῆς Ὀρεσθίδος, καὶ νίκη ἀμφισβήριτος ἐγένετο·

1. Ἐπέλαβεν] κατέσχε. 3. Καὶ ἔνατον ἐκ μέσου] τὸ ὄγδοον ἐπλήρωσε, τὸ δὲ ἔνατον ἡμιτελὲς ἦν, ὥστε τὰ πάντα πεντήκοντα ἐξ ἥμισυ ἔτη διήνυσεν ἡ Χρυσὶς ἱέρεια. (Conf. II. 2.) 9. Ἀμφισβήριτος] ἀμφισβητήσιμος.

scribendum Atticorum more. Vide Etymol. magn. Auctorem, in voce ἐγχείησι. De sacerdotibus Junonis vide Valesii notas in Excerpta Polybii, pag. 350. Ed. Amstel. Huds. De accentu in ἱέρεια aliter sentit Thomas Magister h. v. Duk.

1. δὲ ἡ χρυσὶς B.

Ἔτη δὲ Χρυσὶς] Vide Meursium de Archont. Athen. l. III. c. 6. Huds.

3. τε om. c.d.i.

6. λακεδαιμονίων καὶ ἀθηναίων L. O.P.

8. ξυνέλαβον d.i.

Ἐν Λαοδικείᾳ] Pausanias VIII. 44. Κατὰ ταύτην τὴν ὁδὸν (nempe a Megalopoli ad Pallantium et Tegeam) Λαδόγκεα σφίσιν ὠνόμασται τὰ πρὸ τοῦ ἄστεως. Interpretes ibi vicum suburbanum faciunt, de quo e verbis Pausaniæ nihil intelligitur. Nec urbem esse constat, ut hic Hudsonus. Polybius II. 51. τὰ Λαοδίκια vocat: τὸ δὲ δεύτερον, inquit, ἠττήθησαν ἐκ παρατάξεως ἐν τοῖς Λαοδικίοις καλουμένοις τῆς Μεγαλοπολίτιδος, et ibid. 55. καὶ μετὰ ταῦτα τῇ περὶ Λαοδίκια μάχῃ. *Laodicios campos* vertit Casaubonus, quod verum esse puto: nam recte suppleri potest πεδία. Et apud Thucydidem ex auctoritate Polybii receptæ lectioni ἐν Λαοδικείᾳ præfero, quod est in optimis libris, ἐν Λαοδικίῳ, scilicet πεδίῳ. Duk.

9. λαοδικίῳ A.B.F.H.K.N.f. g.h. λαοδικείῳ b. λαοδικίᾳ L.Q. λαδικίᾳ c.d. vulgo λαοδικείᾳ.

Τῆς Ὀρεστίδος] Vid. Schol. Antholog. 434. et Philippi Epigr. Nicet. Choniat. 179. c. Wass. De Orestide Arcadiæ Stephanus in Ὀρέσται. Idem in Μεγάλη πόλις dimidiam partem Megalopoleos Ὀρεστίαν vocatam scribit. Duk.

ὀρεσθίδος A.B.F.I.L. b.d.f.g.h. ὀρεθίδος c. ἐρεσθίδος e. vulgo ὀρεστίδος.

Ἀμφισβήριτος] Mœris, ἀμφισβήριτον, τὸν ἀγχόμαλον, ὡς Θουκυδίδης, Ἀττικῶς. Ἀμφήριτος μάχη apud Suidam ex incerto auctore. Duk.

ἐγεγόνει g.

κέρας γὰρ ἑκάτεροι τρέψαντες τὸ καθ' αὑτοὺς τροπαιά τε ἀμφότεροι ἔστησαν καὶ σκῦλα ἐς Δελφοὺς ἀπέπεμψαν. διαφθαρέντων μέντοι πολλῶν ἑκατέροις, καὶ ἀγχωμάλου τῆς μάχης γενομένης, καὶ ἀφελομένης νυκτὸς τὸ ἔργον, οἱ Τεγεᾶται μὲν ἐπηυλίσαντό τε καὶ εὐθὺς ἔστησαν τροπαῖον, Μαντινῆς δὲ ἀπεχώρησάν τε ἐς Βουκολίωνα καὶ ὕστερον ἀντέστησαν.

135. Brasidas Potidæam nocturno impetu capere tentat; sed absistit a conatu et repente reducit exercitum. Finis anni noni.

Ἀπεπείρασε δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ ὁ Βρασίδας τελευτῶντος, καὶ πρὸς ἔαρ ἤδη, Ποτιδαίας. προσελθὼν γὰρ νυκτὸς καὶ κλίμακα προσθεὶς μέχρι μὲν τούτου ἔλαθε· τοῦ γὰρ κώδωνος παρενεχθέντος, οὕτως ἐς τὸ διάκενον, πρὶν ἐπανελθεῖν τὸν παραδιδόντα αὐτὸν, ἡ πρόσθεσις ἐγένετο· ἔπειτα μέντοι εὐθὺς αἰσθομένων, πρὶν προσβῆναι, ἀπήγαγε πάλιν κατὰ τάχος τὴν στρατιὰν καὶ οὐκ ἀνέμεινεν ἡμέραν γενέσθαι. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ἔνατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

3. Ἀγχωμάλου] ἴσης. 5. Ἐπηυλίσαντο] κατεσκήνωσαν. 10. Τούτου] τοῦ προσθεῖναι τὴν κλίμακα. 11. Τοῦ γὰρ κώδωνος] τοῦ γὰρ κώδωνος παρενεχθέντος, ἀρσενικῶς. Σοφοκλῆς δὲ, Χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς, εἶπε θηλικῶς (Aiac. 17.) Τὸ διάκενον] τῆς κλίμακος δηλονότι. διάκενον μὲν τὸ ἀφύλακτον λέγει. ἔλαθε δὲ ὁ Βρασίδας προσθεῖναι τὴν κλίμακα. ἕως γὰρ ὁ περιὼν μετὰ τοῦ κώδωνος ἄλλῳ παρεδίδου τὸν κώδωνα, χρόνου ἐγγινομένου, ἔλαθε προσθεὶς τὴν κλίμακα. 12. Ἡ πρόσθεσις ἐγένετο] ὑπερβατόν. τοῦ κώδωνος (φησί) παρενεχθέντος ἐς τὸ διάκενον, οὕτως ἡ πρόσθεσις ἐγένετο.

1. γὰρ] δὲ L.O.
2. ἔπεμψαν d.
5. τεγεασταὶ K.
6. βουκολιῶνα F.H.
7. ἀνέστησαν c.i.
11. Κώδωνος] Scholiast. Aristoph. δοκιμάζεται ἡ τῶν φυλακῶν φρουρὰ κώδωσι. Vide Suidam in voce κωδωνοφόρος, et Lipsium de Militia Rom. l. V. Dial. 9. Huds. Schol. Aristoph. Avib. v. 1160. et ex eo Suidas in κωδωνοφορεῖται: κωδωνοφορεῖται, ἀντὶ τοῦ, δοκιμάζεται ἡ τῶν φυλάκων φρουρά. Memorat etiam Scholiastes Demosthenis ad Orat. περὶ παραπρεσβείας, pag. 236. et Harpocration in διεκωδώνισε. Nec alio pertinere potest locus Parthenii Eroticor. cap. 7. a Valesio ad Notas Maussaci in Harpocrationem laudatus. Dux.
12. παραδόντα b.
πρόθεσις A.F.H.P.g.

ΘΟΥΚΥΔΙΔΟΥ ΞΥΓΓΡΑΦΗΣ

Ε.

Του δ' ἐπιγιγνομένου θέρους αἱ μὲν ἐνιαύσιοι σπονδαὶ διελέλυντο μέχρι Πυθίων· καὶ ἐν τῇ ἐκεχειρίᾳ Ἀθηναῖοι Δηλίους ἀνέστησαν ἐκ Δήλου, ἡγησάμενοι κατὰ παλαιάν τινα αἰτίαν οὐ καθαροὺς ὄντας ἱερῶσθαι, καὶ ἅμα 1. Finis induciarum. Delii ad migrationem ab Atheniensi-

1. Ἐνιαύσιοι σπονδαὶ] ἡ ἐφ' ἑνὸς χρόνου γενομένη ἐκεχειρία. 2. Ἐν τῇ ἐκεχειρίᾳ] ἡ πρὸς ὀλίγον χρόνον τοῦ πολέμου ἀναβολὴ καὶ ἡσυχία, παρὰ τὸ ἔχειν τὰς χεῖρας, οἱονεὶ ἐχεχειρία. 3. Ἀνέστησαν ἐκ Δήλου] μετανάστας ἐποίησαν ἐξοικίσαντες. 4. Ἱερῶσθαι] τοὐτεστιν ἱερῶς ἀνακεῖσθαι τῷ θεῷ.

1. ἐνιαύσιαι i.

Ἐνιαύσιοι σπονδαὶ] Ἐνιαύσιος Attici, non ἐνιαυσιαῖος. Thom. Mag. h. v. Thucyd. IV. 117. Ἐκεχειρίαν ἐποιήσαντο ἐνιαύσιον. Duk.

2. διελύοντο d.e.

Μέχρι Πυθίων] Ex hoc loco et IV. 117. Petavium I. de Doctr. Temp. 33. (add. Petitum ad Leg. Attic. pag. 63.) recte colligere, Pythia secundis annis Olympiadum exeuntibus, non tertiis ineuntibus fuisse acta: sed Petavium ea non recte mensi Elaphebolioni, quo superioris anni induciæ factæ erant, adsignare, disputat Dodvellus in Annalib. Thucyd. ad ann. 2. Olympiad. LXXIX. Duk.

αἱ ἀθηναῖοι B.h.

Ἀθηναῖοι Δηλίους] Athenienses Archonte Alcæo (ut ait Diodorus lib. XII.) Delios in crimen vocatos, quod clancularium cum Lacedæmoniis societatem iniissent, insulæ possessione dejecerunt. Huds.

3. δήλια c.i.

Ἡγησάμενοι — ἱερῶσθαι] Suidas h. v. νομίσαντες κατὰ δή τινα π. αἰ. memoriæ nimium tribuens. illud tamen δὴ haud prorsus alienum. Etymol. κατὰ δή τινα παλαιὰν αἰτίαν. Wass.

4. ἱερᾶσθαι K.f.

Ἱερῶσθαι] Ἱερᾶσθαι Hen. Stephanus ad Dionys. Halicarn. p. 18. se etiam in veteri libro invenisse testatur, et videtur probare. Sed Suidas et Auctor Etymologici M. cum aliis libris habet ἱερῶσθαι· idque, si Grammaticos sequimur, præferendum est. Nam hi ἱεροῦσθαι tradunt dici ea, quæ consecrantur, ἱερᾶσθαι autem eos, qui sacerdotio funguntur. Thomas Mag. ἱερᾶσθαι μόνον ἐπὶ τῶν εἰς ἱερέας τελούντων· ἱερῶσαι μέντοι, καὶ καθιερῶσαι, ἐπὶ τῶν ἀναθημάτων. Et hoc usus sermonis Græci apud Scriptores veteres infinitis locis comprobat. Quod autem apud Thomam Mag. in princ. hujus articuli legitur, perplexum est. Καὶ ἱερᾶ-

bus coacti, Atramytium se conferunt, concedente Pharnace.

ἐλλιπὲς σφίσιν εἶναι τοῦτο τῆς καθάρσεως, ἢ πρότερόν μοι δεδήλωται ὡς ἀνελόντες τὰς θήκας τῶν τεθνεώτων ὀρθῶς ἐνόμισαν ποιῆσαι. καὶ οἱ μὲν Δήλιοι Ἀτραμύττιον Φαρνάκου δόντος αὐτοῖς ἐν τῇ Ἀσίᾳ ᾤκησαν, οὕτως ἕκαστος ὥρμητο.

2. Cleo, Athenis profectus in Thraciam, Toronen absente Brasida aggreditur,

Κλεὼν δὲ Ἀθηναίους πείσας ἐς τὰ ἐπὶ Θράκης χωρία ἐξέπλευσε μετὰ τὴν ἐκεχειρίαν, Ἀθηναίων μὲν ὁπλίτας ἔχων διακοσίους καὶ χιλίους καὶ ἱππέας τριακοσίους, τῶν δὲ ξυμμάχων πλείους, ναῦς δὲ τριάκοντα. σχὼν δὲ ἐς Σκιώνην πρῶτον ἔτι πολιορκουμένην, καὶ προσλαβὼν αὐτόθεν ὁπλίτας τῶν φρουρῶν, κατέπλευσεν ἐς τὸν Κολοφωνίων λιμένα, τῶν Τορωναίων ἀπέχοντα οὐ πολὺ τῆς πόλεως. ἐκ δ' αὐτοῦ, αἰσθόμενος ὑπ' αὐτομόλων ὅτι οὔτε

1. Ἑλλιπὲς σφίσιν εἶναι] μετὰ τὸ ἐκβαλεῖν τοὺς ζῶντας, ἔτι δοκοῦντες ἐλλείπειν τῇ καθάρσει, τὰς θήκας τῶν τεθνεώτων ἀνείλοντο ἐκ τῆς νήσου. 3. Ἀτραμύττειον] Ὦρον· Ἀδραμύττειον Εὔπολις, Ἀτραμύττειον Θουκυδίδης. 4. Ὤκησαν] λείπει τὸ ἐνταῦθα. 7. Μετὰ τὴν ἐκεχειρίαν] μετὰ τὴν λύσιν αὐτῶν τῶν σπονδῶν. 9. Σχὼν] ἐλλιμενίσας. 13. Ἐκ δ' αὐτοῦ] τοῦ λι-

σθαι, inquit, καὶ ἱερεύεσθαι ἐπὶ τῶν θυομένων ἱερείων ἱερᾶσθαι δὲ μόνον et reliqua, quæ modo descripsi. Nam si ἱερᾶσθαι tantum de sacerdotibus dicitur, non potest dici de sacrificiis. Eadem leguntur in Phavorino. Ammonius rectius, Ἱερεῦσαι καὶ καθιερεῦσαι λέγουσιν ἐπὶ τῶν θυομένων ἱερείων. Hinc Thomas et Phavorinus emendari possunt. In Etymol. M. ἱερᾶσθαι, ἱερουργεῖν. καὶ Θουκυδίδης, κατὰ παλαιὰν—ἱερῶσθαι, non improbabilis est conjectura Sylburgii ὁ δὲ Θουκυδίδης. Duk.

ad Actor. XXVII. 2. et Suidam. In Annalib. Turcic. Edremit. Wass. Add. Interpretes Stephani. Suidas in Ἀδραμύττειον scribit a Thucydide vocari Ἀτραμύττειον, et rursus alibi ab eodem Ἀτραμμύτειον dici. Sed nullus liber Thucydidis, vel hic, vel lib. VIII. cap. 108. habet Ἀτραμμύττειον. Duk.

1. ἐλλειπὲς f.
εἶναι τοῦτο σφίσι e.
ἧ] ἣν Reiskius.
3. ἀτραμύττιον A.I.L.O.P.e.k. ἀτραμύτιον c.d.i. ceteri ἀτραμύττειον.
Ἀτραμύττειον] Vide Var. Lect.
4. φαρνάκου B.L.O. φαρνάκα c.d.i. vulgo φαρνάκους. Conf. I. 129. VIII. 58.
ᾤκισαν f.
10. πρώτην Q. πρ. ἔτι πολιορκ. om. d.i.
11. αὐτόθεν om. c.d.i.
κολοφώνιον f.
Κολοφωνίων λιμένα] De portu Colophoniorum nihil alibi me legisse memini. Wass.

Βρασίδας ἐν τῇ Τορώνῃ οὔτε οἱ ἐνόντες ἀξιόμαχοι εἶεν, τῇ μὲν στρατιᾷ τῇ πεζῇ ἐχώρει ἐς τὴν πόλιν, ναῦς δὲ περιέπεμψε δέκα τὸν λιμένα περιπλεῖν. καὶ πρὸς τὸ περιτείχισμα πρῶτον ἀφικνεῖται, ὃ προσπεριέβαλε τῇ πόλει ὁ Βρασίδας, ἐντὸς βουλόμενος ποιῆσαι τὸ προάστειον, καὶ διελὼν τοῦ παλαιοῦ τείχους μίαν αὐτὴν ἐποίησε πόλιν. * βοηθήσαντες δὲ ἐς αὐτὸ Πασιτελίδας τε ὁ Λακεδαιμόνιος ἄρχων καὶ ἡ παροῦσα φυλακὴ προσβαλόντων τῶν Ἀθηναίων ἠμύνοντο. καὶ ὡς ἐβιάζοντο καὶ αἱ νῆες ἅμα περιέπλεον ἐς τὸν λιμένα περιπεμφθεῖσαι, δείσας ὁ Πασιτελίδας μὴ αἵ τε νῆες φθάσωσι λαβοῦσαι ἔρημον τὴν πόλιν καὶ τοῦ τειχίσματος ἁλισκομένου ἐγκαταληφθῇ, ἀπολιπὼν αὐτὸ δρόμῳ ἐχώρει ἐς τὴν πόλιν. οἱ δὲ Ἀθηναῖοι φθάνουσιν οἵ τε ἀπὸ τῶν νεῶν ἑλόντες τὴν Τορώνην, καὶ ὁ πεζὸς ἐπισπόμενος αὐτοβοεὶ κατὰ τὸ διῃρημένον

3. et capit vi irrumpens.

μένος. 1. Ἐν τῇ Τορώνῃ] ἐστὶ δηλονότι. Ἀξιόμαχοι] ἱκανοὶ πρὸς μάχην. 2. Ἐς τὴν πόλιν] τὴν Τορώνην. 3. Τὸν λιμένα] τῆς Τορώνης. Καὶ πρὸς τὸ περιτείχισμα] βουλόμενος ἐντὸς τοῦ τείχους ποιῆσαι τὸ τῶν Τορωναίων προάστειον, τοῦ παλαιοῦ τείχους μέρος διακόψας, καθ' ὃ ἦν τὸ προάστειον, ἕτερον τεῖχος καινὸν προσῳκοδόμησεν, ᾧ περιέβαλε τὸ πρότερον, καὶ συνῆψε κατὰ τὴν διαίρεσιν τὸ καινὸν πρὸς τὸ παλαιὸν, ὥστε ἓν τὸ πᾶν γενέσθαι. 5. Ἐντὸς] τῆς πόλεως δηλονότι. 6. Τοῦ παλαιοῦ τείχους] τὸ μέρος δηλονότι. 9. Ἐβιάζοντο] ἤγουν, ὑπὸ βίας τῶν Ἀθηναίων ἠττῶντο οἱ περὶ τὸν Πασιτελίδαν. 13. Δρόμῳ ἐχώρει ἐς τὴν πόλιν] πῶς ἐντὸς τείχους ὢν ὁ Πασιτελίδας, δείσας ἀνεχώρει πρὸς τὴν πόλιν; μή ποτε ἦν μὲν ἐν τῷ καινῷ τείχει τῷ περιέχοντι τὸ προάστειον, δείσας δὲ μὴ ἡ πόλις ἁλῷ, ἦτις ἦν ἐν τῷ παλαιῷ τείχει, καὶ αὐτὸς ἐν τῷ καινῷ καταληφθῇ, καταλιπὼν τὸ προάστειον,

2. στρατιᾷ πεζῇ b.
περιέπεμψαν A.c.d.e.h.i.k.
3. περιπλεῖν τὸν λιμένα K.
τείχισμα Q.
4. προπεριέβαλε P.
5. προάστιον F.H.I.k.
7. λακεδαιμονίων L.O.P.Q.e.k.
8. προσβαλλόντων g.
9. καὶ νῆες B.h.
10. περιπεμφθῆναι c.
12. ἁλομένου Q.
ἐγκαταλειφθῇ f.
13. δρόμον P.
πρὸς f.
14. τε] τινες P.
ἀπὸ] ἐκ h.
15. ἐπιστόμενος A.B.F.Q. vulgo ἐπισκώμενος.
καὶ κατὰ K.
διῃρημένον τοῦ] εἰρημένον κατὰ τοῦ c.d.i.

τοῦ παλαιοῦ τείχους ξυνεσπεσών. καὶ τοὺς μὲν ἀπέκτειναν τῶν Πελοποννησίων καὶ Τορωναίων εὐθὺς ἐν χερσὶ, τοὺς δὲ ζῶντας ἔλαβον, καὶ Πασιτελίδαν τὸν ἄρχοντα. Βρασίδας δὲ ἐβοήθει μὲν τῇ Τορώνῃ, αἰσθόμενος δὲ καθ' ὁδὸν ἐαλωκυῖαν ἀνεχώρησεν, ἀποσχὼν τεσσαράκοντα μάλιστα σταδίους μὴ φθάσαι ἐλθών. ὁ δὲ Κλέων καὶ οἱ Ἀθηναῖοι τροπαῖά τε ἔστησαν δύο, τὸ μὲν κατὰ τὸν λιμένα, τὸ δὲ πρὸς τῷ τειχίσματι, καὶ τῶν Τορωναίων γυναῖκας μὲν καὶ παῖδας ἠνδραπόδισαν, αὐτοὺς δὲ καὶ Πελοποννησίους καὶ εἴ τις ἄλλος Χαλκιδέων ἦν, ξύμπαντας ἐς ἑπτακοσίους, ἀπέπεμψαν ἐς τὰς Ἀθήνας· καὶ αὐτοῖς τὸ μὲν Πελοποννήσιον ὕστερον ἐν ταῖς γενομέναις σπονδαῖς ἀπῆλθε, τὸ δὲ ἄλλο ἐκομίσθη ὑπ' Ὀλυνθίων, ἀνὴρ ἀντ' ἀνδρὸς λυθείς. εἵλον δὲ καὶ Πάνακτον Ἀθηναίων ἐν μεθορίοις τεῖχος Βοιωτοὶ ὑστερον τὸν αὐτὸν χρόνον προδοσίᾳ. καὶ ὁ μὲν Κλέων, φυλακὴν καταστησάμενος τῆς Τορώνης, ἄρας περιέπλει τὸν Ἄθω ὡς ἐπὶ τὴν Ἀμφίπολιν.

ἐς τὴν πόλιν ἐχώρει ὡς περιποιήσων αὐτήν. 5. Ἀποσχὼν] ἀποστάς. 14. Λυθείς] ἀπολυτρωθείς.

1. τείχους τοῦ παλαιοῦ A.B.h.
ξυνέπεσον d.i.
ἀπέκτειναν d.i.
2. τῶν om. d.
5. ἀπεχώρησεν i.
7. δύο om. K.
10. ἄλλος τῶν χαλκιδέων B.h.
12. πελοποννησίων P.i.
13. ἀπῆλθον Q.
14. Πάνακτον] Harpocrat. οὐδετέρως καλεῖ τὸ χωρίον, ἀρρενικῶς δὲ Μένανδρος ἐν Ψοφοδεεῖ. Sic Demosth. et Euripides. Vid. Plutarch. Nic. 629. Πάνακτος agnoscit Hesych. Pausanias vero Πάνακτον τεῖχος ἐν τῇ Ἀττικῇ p. 60. et sic etiam ex Androtione Stephanus Byzant. Wass. Τὸ Πάνακτον Thucydides rursus infra c. 39. 40. 42. sed Πάνακτον ἑστῶσαν Plutarch. Nicia p. 967. Duk.
17. περιπλεῖ B.F.N.g.h.k. περιπλεῖε I. περιήει e.
ἄθων A.B.F.H.g.h. ἄθωνα L. O.P. ἄθων δ' k. vulgo ἄθω.
Ἄθων Herodotus: at Lysias, Æschines, Demosth. Isocrates, Theocritus et Orpheus Ἄθω. Genitivus apud Homerum Ἄθωο, apud Herodotum Ἄθω. Rectus vero in Auctore Hymn. Apoll. Ἀθώς. Xerxes Epist. apud Plutarch. Ἄθω δαιμόνιε· ubi pro Ἀγα-

Φαίαξ δὲ ὁ Ἐρασιστράτου τρίτος αὐτὸς, Ἀθηναίων πεμπόντων, ναυσὶ δύο ἐς Ἰταλίαν καὶ Σικελίαν πρεσβευτὴς ὑπὸ τὸν αὐτὸν χρόνον ἐξέπλευσε. Λεοντῖνοι γὰρ ἀπελθόντων Ἀθηναίων ἐκ Σικελίας μετὰ τὴν ξύμβασιν πολίτας τε ἐπεγράψαντο πολλοὺς, καὶ ὁ δῆμος τὴν γῆν ἐπενόει ἀναδάσασθαι. οἱ δὲ δυνατοὶ αἰσθόμενοι Συρακοσίους τε ἐπάγονται, καὶ ἐκβάλλουσι τὸν δῆμον. καὶ οἱ μὲν ἐπλανήθησαν ὡς ἕκαστοι· οἱ δὲ δυνατοὶ ὁμολογήσαντες Συρακοσίοις, καὶ τὴν πόλιν ἐκλιπόντες καὶ ἐρημώσαντες, Συρακούσας ἐπὶ πολιτείᾳ ᾤκησαν. καὶ ὕστερον πάλιν αὐτῶν τινὲς, διὰ τὸ μὴ ἀρέσκεσθαι ἀπολιπόντες ἐκ τῶν Συρακουσῶν, Φωκαίας τε, τῆς πόλεώς τι τῆς Λεοντίνων χωρίον καλούμενον, καταλαμβάνουσι, καὶ Βρικιννίας, ὃν

4. Legatio Phæacis Atheniensis in Siciliam, qua agebatur id, ut Siciliæ urbes in Syracusanos incitarentur, quo Leontium tunc pressum ex seditione servaretur. Sed quibusdam oppidis ad hanc societatem adactis, postquam Gela adversata fuerat, ceteros ne

1. Τρίτος αὐτὸς] τουτέστι μετ' ἄλλων δύο. 4. Μετὰ τὴν ξύμβασιν] τὴν κοινὴν τῶν Σικελιωτῶν. Πολίτας ἐπεγράψαντο] οἰκειώσαντο. ἑτέρους ἐπὶ τοῖς οὖσιν ἐνεγράψαντο εἰς τὴν πολιτείαν. 5. Ἐπενόει] προεθυμεῖτο, ἠξίου. 6. Ἀναδάσασθαι] ἐξ ὑπαρχῆς δασμὸν καὶ μερισμὸν ποιῆσαι τῶν Λεοντίνων. 7. Ἐπάγονται] εἰς βοήθειαν τῆς πόλεως. 8. Ἐπλανήθησαν ὡς ἕκαστοι] πλανηθέντες διέστησαν. Ὁμολογήσαντες] συνθέμενοι. 9. Ἐρημώσαντες] καταλιπόντες ἐρήμην. 10. Ἐπὶ πολιτείᾳ] ἐπ' ἴσῃ πολιτείᾳ τῶν Συρακουσίων. 12. Φωκέας] οἱ μὲν ἐκτεταμένως ἀναγινώσκουσιν, ὡς Πρασίας, οἱ δὲ συνεσταλμένως. ὁμοίως δὲ καὶ τὸ Βρικιννίας. 13. Καταλαμβάνουσιν]

μένοις ex MSS. legendum Ἀγαμέμνονι θυμούμενον. Ea certe structura elegans. sic πόσει θυμούμενον Euripides Medea. Diodor. Ἄθωνι et Cicero III. Rep. Prisciano non laudante. Τὸ ἄκρον τοῦ Ἄθωνος Epit. Strabonis. Wass.

1. φάλαξ c. qui sic et infra. ἐρεσιστράτου B.h.

2. Πρεσβευτὴς——ἐξέπλευσε] Laudat hæc Thomas Mag. in πρέσβεις, et scribit πρέσβεις dici num. plurali, non πρεσβευταὶ, et contra πρεσβευτὴς num. singulari, non πρέσβυς. Sic quoque Ammonius. Sed certum est, Scriptores Atticos etiam πρεσβευταὶ in plurali dicere. Apud Ammonium πρέσβεις, οἱ πρεσβευταὶ, vel ita accipiendum est, ut in Etymol. M. οἱ νῦν πρεσβευταὶ; vel pro οἱ legendum est οὐ. Duk.

3. Λεοντῖνοι——ἀναδάσασθαι] Dionys. Halic. qui structuram velut ἐξηλλαγμένην improbat p. 136. ubi ἐπενόει τὴν γῆν ἀναδάσασθαι. Wass.

5. ἐγράψαντο g.

10. πολιτεία e. τολιτείᾳ k.

11. ἐκλιπόντες Q.

12. φωκαίας A.B.h. ceteri φωκέας.

τι τῶν λεοντίνων c.d.

13. βρικινίας K. βρικινίας Q. βρυκινίας d.

Βρικιννίας] Gr. Βρικινίας. Cl.

adit quidem, præter sociales.

ἔρυμα ἐν τῇ Λεοντίνῃ. καὶ τῶν τοῦ δήμου τότε ἐκπεσόντων οἱ πολλοὶ ἦλθον ὡς αὐτοὺς, καὶ καταστάντες ἐκ τῶν τειχῶν ἐπολέμουν. ἃ πυνθανόμενοι οἱ Ἀθηναῖοι τὸν Φαίακα πέμπουσιν, εἴ πως πείσαντες τοὺς σφίσιν ὄντας αὐτόθι ξυμμάχους καὶ τοὺς ἄλλους, ἢν δύνωνται, Σικελιώτας κοινῇ ὡς Συρακοσίων δύναμιν περιποιουμένων ἐπιστρατεῦσαι, διασώσειαν τὸν δῆμον τῶν Λεοντίνων. ὁ δὲ Φαίαξ ἀφικόμενος τοὺς μὲν Καμαριναίους πείθει καὶ Ἀκραγαντίνους, ἐν δὲ Γέλᾳ ἀντιστάντος αὐτῷ τοῦ πράγματος οὐκέτι ἐπὶ τοὺς ἄλλους ἔρχεται, αἰσθόμενος οὐκ ἂν πείθειν αὐτοὺς, ἀλλ' ἀναχωρήσας διὰ τῶν Σικελῶν ἐς Κατάνην, καὶ ἅμα ἐν τῇ παρόδῳ καὶ ἐς τὰς Βρικιννίας ἐλθὼν καὶ παραθαρσύνας, ἀπέπλει.

5. Item in Italia in trans-

*ἐν δὲ τῇ παρακομιδῇ τῇ ἐς τὴν Σικελίαν καὶ πάλιν ἀναχωρήσει καὶ

ἦγουν λαμβάνοντες εἰς κατοίκησιν. 3. Τὸν Φαίακα πέμπουσι] πρὸς τοὺς Συρακουσίους. τὸ ἑξῆς, πείσαντες τοὺς ξυμμάχους ἐπιστρατεῦσαι, ὅπως κοινῇ ἐπιστρατεύσαντες Συρακουσίοις ὡς δύναμιν περιποιουμένοις διασώσειαν τοὺς Λεοντίνους. 4. Τοὺς σφίσιν ὄντας] τοὺς Ἀθηναίους.

Βρικιννιὰς in marg. Βρικιννίαι πόλις Σικελίας Steph. cujus Gentile Βρικιννιάτης. Sic et Holsten. MS. Est et Βρικίνη βοτάνης εἶδος, Hesych. apud Phavorinum Βρικίνη; ea vox haud alibi lecta. Wass.

2. Καταστάντες ἐκ τῶν τειχῶν ἐπολέμουν] Portus et Acacius καταστάντες de munitione Bricinniarum interpretantur. Sed phrasis καταστάντες ἐπολέμουν hic fortassis non aliam significationem habet, quam II. 1. καταστάντες τε ξυνεχῶς ἐπολέμουν. Duk.

6. κοινῇ om. K.

ὡς om. K.b.

9. γέλᾳ] γέλωτι I.

13. παραθαρσύνας A.B.F.H.O. g. παραθρασύνας I.K.L.N.P. vulgo παραθαῤῥύνας.

Παραθαῤῥύνας] Attici θαῤῥῶ quam θαρσῶ, θαῤῥύνω quam θαρσύνω malunt. Wass. Ita Thomas Mag. et Eustathius in Homer. Iliad. μ'. p. 913. Et tamen in Thucydide sæpius legas θάρσος et θαρσεῖν, quam θάῤῥος et θαῤῥεῖν. Θαρσύνω quoque est II. 72. et παραθαρσύνω IV. 115. V. 8. et VIII. 77. Henr. Stephanus ad Jo. Grammat. p. 16. putat, ex Homero intelligi θάρσος et θαρσεῖν antiquam scripturam esse, et alterum illam θάῤῥος et θαῤῥεῖν deinde ab Atticis Scriptoribus inductam; sed antiquissimos illorum maluisse retinere veterem. Duk.

Παρακομιδῇ] Id est, προσελεύσει. Thomas Mag. ex hoc loco. Duk.

ἐν τῇ Ἰταλίᾳ τισὶ πόλεσιν ἐχρημάτισε περὶ φιλίας τοῖς Ἀθηναίοις, καὶ Λοκρῶν ἐντυγχάνει τοῖς ἐκ Μεσσήνης ἐποίκοις ἐκπεπτωκόσιν, οἱ μετὰ τὴν τῶν Σικελιωτῶν ὁμολογίαν, στασιασάντων Μεσσηνίων καὶ ἐπαγαγομένων τῶν ἑτέρων Λοκροὺς, ἔποικοι ἐξεπέμφθησαν, καὶ ἐγένετο Μεσσήνη Λοκρῶν τινὰ χρόνον. τούτοις οὖν ὁ Φαίαξ ἐντυχὼν τοῖς κομιζομένοις οὐκ ἠδίκησεν· ἐγεγένητο γὰρ τοῖς Λοκροῖς πρὸς αὐτὸν ὁμολογία ξυμβάσεως πέρι πρὸς τοὺς Ἀθηναίους. μόνοι γὰρ τῶν ξυμμάχων, ὅτε Σικελιῶται ξυνηλλάσσοντο, οὐκ ἐσπείσαντο Ἀθηναίοις· οὐδ' ἂν τότε, εἰ μὴ αὐτοὺς κατεῖχεν ὁ πρὸς Ἰωνέας καὶ Μελαίους πόλεμος, ὁμόρους τε ὄντας καὶ ἀποίκους. καὶ ὁ μὲν Φαίαξ ἐς τὰς Ἀθήνας χρόνῳ ὕστερον ἀφίκετο. itu socios parat, et Locros Atheniensibus conciliat.

Ὁ δὲ Κλέων ὡς ἀπὸ τῆς Τορώνης τότε περιέπλευσεν 6. Cleo circa

1. Ἐχρημάτισε] ὡμίλησε. Περὶ φιλίας] λόγους προσήνεγκε πειστικούς. 3. Σικελιωτῶν] ἰστέον δὲ ὅτι οἱ μὲν Ἕλληνες οἱ ἐν Σικελίᾳ Σικελιῶται λέγονται, οἱ δὲ βάρβαροι οἱ ἐν αὐτῇ Σικελοί. οὕτω δὲ καὶ ἐπὶ Ἰταλιωτῶν. 4. Ὁμολογίαν] τὴν κοινὴν δηλονότι. 10. Ξυνηλλάσσοντο] ἀντὶ τοῦ συνῆσαν. 12. Ἀποίκους] ἑαυτῶν, τῶν Λοκρῶν.

2. τοῖς ἐν μεσήνοις c.d.i.
3. τὴν om. d.i.
τῶν om. F.H.K.L.N.O.P.Q. b.c.e.f.h.k.
4. μεσσηνίων] ἀθηναίων d.i.
ἐπαγομένων H.d.e.
5. Ἔποικοι] Vid. Scholiast. ad II. 27. Thomam Mag. et Suidam h. v. Duk.
Ἔποικοι ἐξεπέμφθ.] Quomodo ergo dicere potest Æm. Portus, *ἔποικους nemine deducente*, nec *quopiam*, mitti? Nempe in certum locum? Utrumque hic contra. Immo sunt, ut dixi, qui in *aliorum* locum subeant, aliis accedant, et quasi superveniant. Baver.
6. οὖν φαίαξ K..
7. τοῖς κομιζομένοις] προσκομιζομένοις F. Immo ἐπικομιζομένοις.
ἐγένετο g.
9. ὅτε] οὗτε A.B.F.
10. ἐσπείσαντο k.
τοῖς ἀθηναίοις Q.
11. Ἰταναίας F.Q.e.f. Ἰωνέας c. d.i.
μελέους K.
Μελαίους] Non invenio apud Geographos. Ἰτώνη, inquit Steph. πόλις Ἰταλίας. Suspicor latere utrumque populum in loco Scylacis deplorato p. 4. ubi pro Μέσα fortasse legendum Τεμέσα ex Strabone p. 395. Wass.
14. ὡς A.B.K.L.O.c.g. vulgo ὃς.
ἀπὸ τῆς τότε τορώνης K. ἐκ τῆς τορώνης τότε h. τότε ἀπὸ τῆς τορώνης d.e. τότε ἀπὸ τορώνης K.c.i.

Eionem exercitum tenet; Brasidas in vicino et conspicuo loco ponit castra, et ad pugnam militem parat.

ἐπὶ τὴν Ἀμφίπολιν, ὁρμώμενος ἐκ τῆς Ἠιόνος Σταγείρῳ μὲν προσβάλλει Ἀνδρίων ἀποικία, καὶ οὐχ εἷλε, Γαληψὸν δὲ τὴν Θασίων ἀποικίαν λαμβάνει κατὰ κράτος. καὶ πέμψας ὡς Περδίκκαν πρέσβεις, ὅπως παραγένοιτο στρατιᾷ κατὰ τὸ ξυμμαχικὸν, καὶ ἐς τὴν Θρᾴκην ἄλλους παρὰ Πολλῆν τῶν Ὀδομάντων βασιλέα, ἄξοντα μισθῷ Θρᾶκας ὡς πλείστους, αὐτὸς ἡσύχαζε περιμένων ἐν τῇ Ἠιόνι. Βρασίδας δὲ πυνθανόμενος ταῦτα ἀντεκάθητο καὶ αὐτὸς ἐπὶ τῷ Κερδυλίῳ· ἔστι δὲ τὸ χωρίον τοῦτο Ἀργιλίων, ἐπὶ μετεώρου, πέραν τοῦ ποταμοῦ, οὐ πολὺ ἀπέχον τῆς Ἀμφιπόλεως, καὶ κατεφαίνετο πάντα αὐτόθεν, ὥστε οὐκ ἂν ἔλαθεν αὐτόθεν ὁρμώμενος ὁ Κλέων τῷ στρατῷ· ὅπερ προσεδέχετο ποιήσειν αὐτὸν, ἐπὶ τὴν Ἀμφίπολιν, ὑπεριδόντα σφῶν τὸ πλῆθος, τῇ παρούσῃ στρατιᾷ ἀναβήσεσθαι. ἅμα δὲ καὶ παρεσκευάζετο Θρᾳκάς τε μισθωτοὺς πεντακοσίους καὶ χιλίους, καὶ τοὺς Ἡδωνας πάντας παρακαλῶν, πελταστὰς καὶ ἱππέας·

11. Πάντα αὐτόθεν] ἤγουν πάντα, τὰ τοῦ Κλέωνος δηλονότι, ἐφαίνετο τῷ Βρασίδᾳ ἀπὸ τοῦ Κερδυλίου. 13. Προσεδέχετο] ὁ Βρασίδας. Αὐτὸν] τὸν Κλέωνα. 14. Σφῶν] τῶν Λακεδαιμονίων. Τῇ παρούσῃ στρατιᾷ ἀναβήσεσθαι] τὸ ἐξῆς, ἐπὶ τὴν Ἀμφίπολιν ἀναβήσεσθαι τὸν Κλέωνα μετὰ τῶν παρόντων στρατιωτῶν, ἀντὶ τοῦ οὐ περιμείναντα πάντας. 15. Παρεσκευάζετο] ἐπαγόμενος.

2. εἷλε] οἷοι c.d.i. αἱρεῖ margo d.i.
γαψηλὸν L.O.P.
3. θασίων A.
λαμβάνει om. Q.
4. ὡς] ἐς c.d.i.
6. πολλῆν A.F. πολλὴν K.N. c. πολῶν I. πολὺν Q.e. vulgo πόλλην.
τὸν F.L.O.P.Q.c.e.k.
ὁδομάντων F.
ἄξοντα Q.d.
9. κερδυλλίῳ Q. κερδαλίῳ f.
10. ἀργυλίων P. ἀργιλλίων Q.
11. καὶ om. K.
12. αὐτόθεν] αὐτὸν K. om. c. d.i.
13. Ἐπὶ τὴν Ἀμφίπολιν] Hæc Portus conjungit cum ὁρμώμενος; Scholiastes cum ἀναβήσεσθαι. Utrumque admitti potest. Sed ellipsis copulæ scabram facit orationem. Πλῆθος hic ἐπ' ὀλίγων dicitur, ut IV. 10. ubi id adnotat Schol. Duk.
14. ὑπεριδόντας B.
15. δὲ παρεσκευάζετο K.
θρᾷκας μισθωτοὺς B.c.h.i.
17. καὶ ἱππέας—πελταστὰς] om. A.B.h.

καὶ Μυρκινίων καὶ Χαλκιδέων χιλίους πελταστὰς εἶχε πρὸς τοῖς ἐν Ἀμφιπόλει. τὸ δ' ὁπλιτικὸν ξύμπαν ἠθροίσθη δισχίλιοι μάλιστα, καὶ ἱππῆς Ἕλληνες τριακόσιοι. τούτων Βρασίδας μὲν ἔχων ἐπὶ Κερδυλίῳ ἐκάθητο ἐς πενταχοσίους καὶ χιλίους, οἱ δ' ἄλλοι ἐν Ἀμφιπόλει μετὰ Κλεαρίδου ἐτετάχατο. * Ὁ δὲ Κλέων τέως μὲν ἡσύχαζεν, ἔπειτα ἠναγκάσθη ποιῆσαι ὅπερ ὁ Βρασίδας προσεδέχετο. τῶν γὰρ στρατιωτῶν ἀχθομένων μὲν τῇ ἕδρᾳ, ἀναλογιζομένων δὲ τὴν ἐκείνου ἡγεμονίαν, πρὸς οἵαν ἐμπειρίαν καὶ τόλμαν μετὰ οἵας ἀνεπιστημοσύνης καὶ μαλακίας γενήσοιτο, καὶ οἴκοθεν ὡς ἄκοντες αὐτῷ ξυνῆλθον, αἰσθόμενος τὸν θροῦν, καὶ οὐ βουλόμενος αὐτοὺς διὰ τὸ ἐν τῷ αὐτῷ καθημένους βαρύνεσθαι, ἀναλαβὼν ἦγε. καὶ ἐχρήσατο τῷ τρόπῳ, ᾧπερ καὶ ἐς τὴν Πύλον εὐτυχήσας ἐπίστευσέ τι φρονεῖν· ἐς μάχην μὲν γὰρ οὐδὲ ἤλπισέν οἱ ἐπεξιέναι οὐδένα, κατὰ θέαν δὲ μᾶλλον ἔφη ἀναβαίνειν τοῦ χωρίου, καὶ τὴν μείζω παρασκευὴν περι-

7. Cum autem militum impatientia adductus Cleo castra movisset, et specie deceptus, quod Amphipolin parum firmatam custodiis putaret, hanc urbem nullo negotio captum iri arbitraretur:

ζετο] ὁ Βρασίδας δηλονότι. 8. Τῇ ἕδρᾳ] τῇ προσμονῇ, τῇ διατριβῇ καὶ τῇ ἀργίᾳ. 10. Τόλμαν] τὴν τοῦ Βρασίδου. Ἀνεπιστημοσύνης] δηλονότι τοῦ Κλέωνος. 12. Αἰσθομένους] ὁ Κλέων δηλονότι. 13. Καθημένους] ἐπῆλλαξεν, εἰπὼν καθημένους ἀντὶ τοῦ καθημένων. Βαρύνεσθαι] ἤτοι ἄχθεσθαι. 14. Ἐχρήσατο τῷ τρ.] τῷ αὐτῷ τρόπῳ ἐπῆλθεν ὁ Κλέων τὴν Ἀμφίπολιν, ᾗ καὶ πρόσθεν ἐπὶ Πύλον. τουτέστιν ἀλογίστως

1. μυρκινίων P.
πελταστὰς χιλίους e. χιλίους πεντακοσίους Q.
8. στρατιωτικῶν h.
7. ποιῆσαι om. A.
ὅπερ βρασίδας P.
9. Ἕδρᾳ] Suid. ἕδραν τὴν μονὴν εἴρηκεν. Hesych. ἕδρη, προσεδρείᾳ καὶ προεδρίᾳ, forte προεδρίᾳ. Bacchylides Οὐχ ΕΔΡΑΣ ἔργον, οὐδ' ἀμβολᾶς. Hoc sensu apud Hippocratem Aphor. ΕΔΡΑΙΟΝ ὕπνον exponit Galenus βαθὺν, recte. Sed hæc sign. fere exolevit. ἕδρη et ἕδος opponuntur apud Hesiodum θ. 386. Τῶν οὐκ ἔστ' ἀπέπνευθε Διὸς δόμος, οὐδέ τις ΕΔΡΗ, Οὐδ' ΟΔΟΣ. Sophocles Aj. 826. Χωρῶμεν, ἐγκωῶμεν, οὐχ ΕΔΡΑΣ ἀκμὴ, Σώζειν θέλοντες ἄνδρα γ', ὃς ΣΠΕΥΔΕΙ θανεῖν. Schol. ἀναπαύσεως. Wass.
15. εὐτυχήσας om. K.
17. τὸ χωρίον L.O.P.
περιέμενεν A.B.F.Q.c.d.g.h.i.k. vulgo περιέμεινεν.

ἔμενεν, οὐχ ὡς τῷ ἀσφαλεῖ, ἢν ἀναγκάζηται, περισχήσων, ἀλλ' ὡς κύκλῳ περιστὰς βίᾳ αἱρήσων τὴν πόλιν. ἐλθών τε καὶ καθίσας ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς Ἀμφιπόλεως τὸν στρατὸν, αὐτὸς ἐθεᾶτο τὸ λιμνῶδες τοῦ Στρυμόνος καὶ τὴν θέσιν τῆς πόλεως ἐπὶ τῇ Θράκῃ, ὡς ἔχοι. ἀπιέναι τε ἐνόμιζεν, ὁπόταν βούληται, ἀμαχεί· καὶ γὰρ οὐδὲ ἐφαίνετο οὔτ' ἐπὶ τοῦ τείχους οὐδεὶς οὔτε κατὰ πύλας ἐξήει, κεκλημέναι τε ἦσαν πᾶσαι. ὥστε καὶ μηχανὰς ὅτι οὐ κατῆλθεν ἔχων, ἁμαρτεῖν ἐδόκει· ἐλεῖν γὰρ ἂν τὴν πόλιν διὰ τὸ ἔρημον. 8. * Ὁ δὲ Βρασίδας εὐθὺς ὡς εἶδε κινουμένους τοὺς Ἀθηναίους, καταβὰς καὶ αὐτὸς ἀπὸ τοῦ Κερδυλίου, ἐσέρχεται ἐς τὴν Ἀμφίπολιν. καὶ ἐπεξόδου μὲν καὶ ἀντίταξιν οὐκ ἐποιήσατο πρὸς τοὺς

Brasidas in eam se conjicit, et statim Athenienses, non nume-

εὐτυχήσας ἐν τῇ Πύλῳ, φήθη φρόνιμος εἶναι. 1. Οὐχ ὡς τῷ ἀσφαλεῖ, ἢν ἀναγκάζηται] οὐχ ὡς τῷ πλήθει τῶν ἐναντίων κρατήσων, εἰ ἀναγκάζοιτο πολεμεῖν (ὃς οὐδὲ τῇ παρούσῃ στρατιᾷ τοὺς πολεμίους ᾤετο ἀντιτάξασθαι) ἀλλ' ὡς μετὰ τῶν ἐπελευσομένων αὐτῷ συμμάχων πᾶσαν ἐν κύκλῳ περιστήσων τὴν στρατιὰν, καὶ βίᾳ ἐκπολιορκήσων τὴν Ἀμφίπολιν. Περισχήσων] ἀντὶ τοῦ ὑπερσχήσων καὶ νικήσων. 6. Ὁπόταν βούληται, ἀμαχεί] λείπει τὸ δυνατὸν εἶναι. 11. Κινουμένους] παραγινομένους ἐπὶ τὴν Ἀμφί-

2. παραστὰς h.

3. κρατεροῦ K.f.i.

πρὸ τῆς ἀμφιπόλεως om. i.

4. τὸν στρατὸν—πόλεως] om. P.

αὐτὸς δὲ ἐθεᾶτο K.

5. τῇ θρᾴκῃ A.B.F.H.K.N.f.g. h. vulgo τὴν θρᾴκην.

8. κεκλειμέναι A.B.F. vulgo κεκλεισμέναι.

ὥστε μηχανὰς Q.

9. οὐκ ἀπῆλθεν K.L.O.k. Malim οὐκ ἀνῆλθεν.

ἁμαρτεῖν B. F. H. I. Q. c.f.h.i. vulgo ἁμαρτάνειν.

10. εὐθὺς om. Q.

12. Ἀμφίπολιν] Vide Nostrum I. 100. Ab eo tamen dissidet Harpocration: ἐννέα ὁδοὶ non ipsa civitas, sed τόπος, inquit, περὶ Ἀμφ. Στρυμονίην πόλιν cognominat in Epig. Dioscorides; Cantacuzenus τὴν ἐν Στρυμόνι, quod ipsam amnis circumfluat. Recte Scymnus: Εἶτ' Ἀμφίπολις, Στρυμὼν δὲ περὶ ταύτην μέγας Ποταμὸς παραῤῥεῖ. Vid. Appian. B. Civ. p. 1041. et Suidam. Hanc cepisse Philippum Olymp. 105. auctor Diodorus. multo ante dirutam instauravit Andronicus Junior. Zozimo, Ammiano, aliis Χρυσόπολις, Turcis Empoli dicitur. Confer Polyænum I. 38. Liv. XLV. 29. Wass.

Ἀθηναίους, δεδιὼς τὴν αὐτοῦ παρασκευὴν καὶ νομίζων ὑποδεεστέρους εἶναι, οὐ τῷ πλήθει (ἀντίπαλα γάρ πως ἦν) ἀλλὰ τῷ ἀξιώματι (τῶν γὰρ Ἀθηναίων ὅπερ ἐστράτευε, καθαρὸν ἐξῆλθε, καὶ Λημνίων καὶ Ἰμβρίων τὸ κράτιστον), τέχνῃ δὲ παρεσκευάζετο ἐπιθησόμενος. εἰ γὰρ δείξειε τοῖς ἐναντίοις τό τε πλῆθος καὶ τὴν ὅπλισιν ἀναγκαίαν οὖσαν τῶν μεθ' ἑαυτοῦ, οὐκ ἂν ἡγεῖτο μᾶλλον περιγενέσθαι ἢ ἄνευ προόψεώς τε αὐτῶν καὶ μὴ ἀπὸ τοῦ ὄντος καταφρονήσεως. ἀπολεξάμενος οὖν αὐτὸς πεντήκοντα καὶ ἑκατὸν ὁπλίτας, καὶ τοὺς ἄλλους Κλεαρίδᾳ προστάξας, ἐβουλεύετο ἐπιχειρεῖν αἰφνιδίως, πρὶν ἀπελθεῖν τοὺς Ἀθηναίους, οὐκ ἂν νομίζων αὐτοὺς ὁμοίως ἀπολαβεῖν αὖθις μεμονωμένους, εἰ τύχοι ἐλθοῦσα αὐτοῖς ἡ

ro, sed virtute et armis præstantes, aggredi statuit.

πολιτ. 1. Δεδιὼς τὴν αὐτοῦ παρασκευὴν] οὐ θαρρῶν τῇ ἰδίᾳ παρασκευῇ. 2. Ὑποδεεστέρους εἶναι] τοὺς ἑαυτοῦ δηλονότι. Ἀντίπαλα] ἰσοστάσια ἑκάτερα τὰ στρατεύματα τῶν ἐναντίων. 3. Τῷ ἀξιώματι] τῇ δυνάμει. 4. Καθαρὸν] οὐχὶ συγκλύδων οὐδὲ ἐπικούρων, ἀλλ' αὐτῶν τῶν πολιτῶν. Τέχνῃ] δόλῳ. 6. Ἀναγκαίαν] εὐτελῆ καὶ οὐκ ἐκ παρασκευῆς. 8. Ἡ ἄνευ προόψεώς τε αὐτῶν] ἤγουν, οὕτως ἐνόμισε περιγενέσθαι Κλέωνος καὶ τῶν περὶ αὐτὸν, ἐπιτεθησόμενος κρύφα, ὅπερ ἐστὶ τὸ ἄνευ προόψεως, καὶ μὴ ἀπὸ τοῦ φανεροῦ, ὅπερ ἐστὶ τὸ καταφρονήσεως τοῦ ὄντος. Ἡ, ἄνευ προόψεώς τε αὐτῶν, ἄνευ τοῦ μὴ ἐπιδεῖξαι τοῖς ἐναντίοις τὸ ἴδιον πλῆθος καὶ τὴν ὅπλισιν αὐτῶν. τοῦτο γάρ ἐστιν ἄνευ προόψεως. καταφρονηθήσεσθαι γὰρ ὑπὸ Ἀθηναίων ᾤετο, εἰ τὴν οὖσαν αὐτοῖς ἐπιδείξειε παρασκευήν. 9. Ἀπολεξάμενος] ἀτακόψας ἐπιλεκτικῶς. 10. Κλεαρίδᾳ προστάξας] μετὰ Κλεαρίδαν τάξας. 13. Αὖθις μεμονωμένους, εἰ τύχοι] τῆς συμμαχίας δηλονότι. ἄνευ τῶν ἄλλων λαβεῖν συμμάχων, εἰ τύχοι ἐλθοῦσα αὐτοῖς βοήθεια ἡ παρὰ τοῦ Περδίκκου

1. παρασκευὴν νομίζων e.
2. ἀντίπαλων L.O.P.Q.
3. τῶν] τῆς c.d.
ἐστράτευσε K.g.
6. δείξοιεν A.B.F.H.g. δείξοις K. δείξοι h.
7. ἑαυτῶν A.B.h.
9. αὐτὸς om. N.
10. Καὶ τοὺς — προστάξας] Thom. Magister quasi ex Lib. VIII. citat.
κλεαρίδι P.
11. ἐβούλετο I.L.O.P.c.d.k.
ἀπελθεῖν A.
12. νομίζων αὐτοὺς ὁμοίως A.B.F.H.K.h. νομίζων ὁμοίως αὐτοὺς L.O.P.c.d.e.g.k. vulgo ὁμοίως αὐτοὺς νομίζων.
ἀποβαλεῖν A.
13. αὖτις A.e.
τύχῃ K.
ἡ om. L.

βοήθεια. ξυγκαλέσας δὲ τοὺς πάντας στρατιώτας, καὶ βουλόμενος παραθαρσῦναί τε καὶ τὴν ἐπίνοιαν φράσαι, ἔλεγε τοιάδε.

9. Ejus ad milites oratio, qua consilium suum demonstrat.

"ΑΝΔΡΕΣ Πελοποννήσιοι, ἀπὸ μὲν οἵας χώρας "ἥκομεν, ὅτι ἀεὶ διὰ τὸ εὔψυχον ἐλευθέρας, καὶ ὅτι Δω- "ριῆς μέλλετε Ἴωσι μάχεσθαι, ὧν εἰώθατε κρείσσους "εἶναι, ἀρκείτω βραχέως δεδηλωμένον· τὴν δὲ ἐπιχείρη- "σιν ᾧ τρόπῳ διανοοῦμαι ποιεῖσθαι, διδάξω, ἵνα μὴ τό "[τε] κατ' ὀλίγον καὶ μὴ ἅπαντας κινδυνεύειν ἐνδεὲς "φαινόμενον ἀτολμίαν παράσχῃ. τοὺς γὰρ ἐναντίους "εἰκάζω καταφρονήσει τε ἡμῶν, καὶ οὐκ ἂν ἐλπίσαντας "ὡς ἂν ἐπεξέλθοι τις αὐτοῖς ἐς μάχην, ἀναβῆναί τε "πρὸς τὸ χωρίον καὶ νῦν ἀτάκτως κατὰ θέαν τετραμμέ- "νους ὀλιγωρεῖν. ὅστις δὲ τὰς τοιαύτας ἁμαρτίας τῶν "ἐναντίων κάλλιστα ἰδών, καὶ ἅμα πρὸς τὴν ἑαυτοῦ δύ- "ναμιν τὴν ἐπιχείρησιν ποιεῖται μὴ ἀπὸ τοῦ προφανοῦς

καὶ τοῦ Πόλλη. 6. Ὧν εἰώθατε κρείσσους εἶναι] ἀντὶ τοῦ οὓς εἰώθατε νικᾷν. 7. Τὴν δὲ ἐπιχείρησιν] τὴν ἐπίθεσιν τὴν κατὰ τῶν πολεμίων. 9. Καὶ μὴ ἅπαντας κινδυνεύειν] ἵνα μηδεὶς ὑμῶν, διὰ τὸ κατ' ὀλίγους ὑμᾶς μέλλειν ἐξιέναι τῆς πόλεως, καὶ μὴ ἅπαντας ἀθρόους κινδυνεύειν πρὸς Ἀθηναίους, οὐκ ἀξιόμαχον νομίσας τὴν παρασκευὴν ἀτολμότερος γένηται. 10. Παράσχῃ] ὑμῖν δηλονότι. Τοὺς γὰρ ἐναντίους εἰκάζω] εἰκάζω δὲ τοὺς ἐναντίους, καταφρονοῦντας ἡμῶν, καὶ οὐ προσδοκῶντας ὅτι ἐπεξελευσόμεθα αὐτοῖς, ἀναβῆναι πρὸς τὴν Ἀμφίπολιν κατὰ θέαν, καὶ νῦν διὰ τὴν θέαν ἀτάκτως ἐσκεδασμένους ὀλιγωρεῖν, τοῦτεστι ῥᾳθυμεῖν. 14. Ὅστις δὲ τὰς τοιαύτας ἁμαρτίας] ὅστις δὲ τὰ τῶν πολεμίων ἁμαρτήματα ἴδοι, καὶ κατὰ τὴν ἰδίαν δύναμιν ἐπιχειρῶν, μὴ ἐκ τοῦ φανεροῦ ἀντιτάττηται, ἀλλὰ πρὸς τὸ κα-

1. συγκαλέσας F.K.Q.e.g.
5. ἐλευθερίας I.
7. ἀρκεῖ τὸ A.B.F.H.N.Q.g.h.
8. ᾧ A.B.F.H.I.K.L.O.P.Q.c.d.e.g.h.i.k. τῷ N. vulgo ὅτῳ.
τῷ A.B.F.H.K. om. I.
9. τε om. L.O.k.
ἐνδεὲς ὑμῖν φαινόμενον d.
12. ἐξέλθοι Q. ὑπεξέλθοι d. ὑπεξέλθῃ f.
τι d.
13. ἀτάκτους O.
14. δὲ καὶ τὰς K.
15. μάλιστα L.d.i.
αὐτοῦ L.O.P.b.e.k.
16. τὴν om. K.
ἀπὸ] ἐκ h.

" μᾶλλον καὶ ἀντιπαραταχθέντος ἢ ἐκ τοῦ πρὸς τὸ πα-
" ρὸν ξυμφέροντος, πλεῖστ' ἂν ὀρθοῖτο· καὶ τὰ κλέμ-
" ματα ταῦτα καλλίστην δόξαν ἔχει, ἃ τὸν πολέμιον
" μάλιστ' ἄν τις ἀπατήσας τοὺς φίλους μέγιστ' ἂν
" ὠφελήσειεν. ἕως οὖν ἔτι ἀπαράσκευοι θαρσοῦσι, καὶ
" τοῦ ὑπαπιέναι πλέον ἢ τοῦ μένοντος, ἐξ ὧν ἐμοὶ φαίνον-
" ται, τὴν διάνοιαν ἔχουσιν, ἐν τῷ ἀνειμένῳ αὐτῶν τῆς
" γνώμης, καὶ πρὶν ξυνταχθῆναι μᾶλλον τὴν δόξαν, ἐγὼ
" μὲν ἔχων τοὺς μετ' ἐμαυτοῦ, καὶ φθάσας, ἢν δύνωμαι,
" προσπεσοῦμαι δρόμῳ κατὰ μέσον τὸ στράτευμα· σὺ
" δέ, Κλεαρίδα, ὕστερον, ὅταν ἐμὲ ὁρᾷς ἤδη προσπείμε-
" νον καὶ κατὰ τὸ εἰκὸς φοβοῦντα αὐτούς, τοὺς μετὰ
" σεαυτοῦ, τούς τ' Ἀμφιπολίτας καὶ τοὺς ἄλλους ξυμ-
" μάχους, ἄγων, αἰφνιδίως τὰς πύλας ἀνοίξας ἐπεκ-
" θεῖν, καὶ ἐπείγεσθαι ὡς τάχιστα ξυμμίξαι. ἐλπὶς
" γὰρ μάλιστα αὐτοὺς οὕτω φοβηθῆναι. τὸ γὰρ ἐπιὸν

ρὸν ἁρμοττόμενος, ὀρθῶς ἂν πράττοι. 3. Ἔχει] παρέχει. Ἀ] ἀντὶ τοῦ δι' ὅν. 5. Ἕως οὖν ἔτι ἀπαράσκευοι] ἕως ἔτι διὰ τὸ θαρρεῖν ἀπαράσκευοί εἰσιν ἀπιέναι τε διανοοῦνται μᾶλλον ἢ μένειν. ῥαθύμως αὐτοῖς διακειμένοις. καὶ πρὸ τοῦ συνταχθῆναι, ἐγὼ μὲν ἔχων. 14. Ἐπεκθεῖν] θέλησον δηλονότι. 15. Ἐλπὶς γὰρ] ἡμῖν δηλονότι. 16. Οὕτω] δηλονότι τοιούτων ἡμῶν. Τὸ γὰρ ἐπιὸν ὕστερον] οἱ γὰρ ὕστερον ἐπιόντες φοβερώτεροι φαίνονται.

1. ἐκ τοῦ om. d.

2. συμφέροντος B.H.K. c.d.e.f. g.i.k.

Κλέμματα] Schol. Cass. στρατηγήματα exponit. Notum est illud Alexandri ad amicos suadentes, ut noctu Darium inopinantem adgrederetur, οὐ κλέπτειν τὴν νίκην. Sic *furta*, *furta belli*, *furta insidiarum* apud Scriptores Latinos saepissime. Duk.

3. πόλεμον A.B.

4. μάλιστ' K.L.O.P.

6. μένειν d.

8. συνταχθῆναι B.F.H.K.Q.c. d.e.f.g.h.i.k.

ἔχω I.

11. κλεαρίδην P.

ὁρᾷς ἐμὲ L.O.P.c.d.e.i.k.

14. ἐπελθεῖν d.e.g.

16. θορυβηθῆναι L.O.P. φορυβηθῆναι k.

Τὸ γὰρ—μαχομένου] Stobæus p. 364. W. Æneas in Poliorcet. cap. 38. Τὸ γὰρ ἐπιὸν μᾶλλον οἱ πολέμιοι φοβοῦνται τοῦ ὑπάρχοντος καὶ παρόντος ἤδη. Sumsit a Thucydide. Vid. ibi Casaubonum. Duk.

Φοβηθῆναι] Alii θορυβηθῆναι. Ælian. 1. V. H. 32. θορυβηθῆναι δέει τοῦ νόμου, καὶ αἰδοῖ τοῦ βασιλέως.

" ὕστερον δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος καὶ
" μαχομένου. καὶ αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου, ὥσπερ
" σε εἰκὸς ὄντα Σπαρτιάτην, καὶ ὑμεῖς, ὦ ἄνδρες ξύμ-
" μαχοι, ἀκολουθήσατε ἀνδρείως, καὶ νομίσατε εἶναι
" τοῦ καλῶς πολεμεῖν τὸ ἐθέλειν καὶ τὸ αἰσχύνεσθαι
" καὶ τοῖς ἄρχουσι πείθεσθαι· καὶ τῇδε ὑμῖν τῇ ἡμέρᾳ
" ἢ ἀγαθοῖς γενομένοις ἐλευθερίαν τε ὑπάρχειν καὶ Λα-
" κεδαιμονίων ξυμμάχοις κεκλῆσθαι, ἢ Ἀθηναίων τε δού-
" λοις, ἢν τὰ ἄριστα ἄνευ ἀνδραποδισμοῦ ἢ θανατώσεως
" πράξητε, καὶ δουλείαν χαλεπωτέραν ἢ πρὶν εἴχετε,
" τοῖς δὲ λοιποῖς Ἕλλησι κωλυταῖς γενέσθαι ἐλευθερώ-
" σεως. ἀλλὰ μήτε ὑμεῖς μαλακισθῆτε, ὁρῶντες περὶ
" ὅσων ὁ ἀγών ἐστιν, ἐγώ τε δείξω οὐ παραινέσαι οἷός
" τε ὢν μᾶλλον τοῖς πέλας ἢ καὶ αὐτὸς ἔργῳ ἐπεξελ-
" θεῖν."

10. Pugnæ ad Amphipolin

Ὁ μὲν Βρασίδας τοσαῦτα εἰπὼν τήν τε ἔξοδον παρεσκευάζετο αὐτὸς, καὶ τοὺς ἄλλους μετὰ τοῦ Κλεαρίδα

5. Τοῦ καλῶς πολεμεῖν] ἐκ τριῶν γίνεται τὸ καλῶς πολεμεῖν. Ὅμηρος· Αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται (Il. V. 531). 8. Δοῦλοις] ἂν γὰρ νικηθῆτε καὶ μὴ θανάτῳ ζημιωθῆτε ὑπ' αὐτῶν, ἀλλὰ εὐτυχήσητε καὶ ἄριστα πράξητε, δοῦλοι ἔσεσθε Ἀθηναίων, καὶ δουλείαν χαλεπωτέραν ἢ πρὶν εἴχετε. 12. Περὶ ὅσων] ἐπάθλων.

Noster etiam alibi ἐθορυβοῦντο. Xenophon θορυβουμένους opponit τοῖς εὐτάκτως ἰοῦσι. Sed Codices meliores αἰδέομαι. Wass. Mox quidem cap. 10. de emtione Clearidæ agens, dicit θορυβηθῆναι. Sed non necessarium est id hic quoque recipi. Et φοβηθῆναι legit etiam Thomas Magister in βούλομαι. Duk.

3. σε om. e.

4. νομίσατε τρία εἶναι Stobæus.

5. καὶ τὸ αἰσχύνεσθαι] Deleverim articulum.

7. ἢ om. d.e.

γινομένοις L.

8. συμμάχοις P.e. ξυμμάχους k.

τε om. Q.f.

10. πράξησθε K.

ἔχετε B.

13. ὁ ἀγών] ἀγών b. ἀγαθῶν d.i.

δὲ K.

14. ἂν τοῖς O.

17. κλεαριδου O.Q.

καθίστη ἐπὶ τὰς Θρᾳκίας καλευμένας τῶν πυλῶν, ὅπως, descriptio. Cleo fugiens necatur; Brasidas ex vulnere, victoria jam explorata, moritur.
ὥσπερ εἴρητο, ἐπεξίοιεν. τῷ δὲ Κλέωνι, φανεροῦ γενομένου αὐτοῦ ἀπὸ τοῦ Κερδυλίου καταβάντος καὶ ἐν τῇ πόλει ἐπιφανεῖ οὔσῃ ἔξωθεν περὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς θυομένου καὶ ταῦτα πράσσοντος, ἀγγέλλεται (προὐκεχωρήκει γὰρ τότε κατὰ τὴν θέαν) ὅτι ἥ τε στρατιὰ ἅπασα φανερὰ τῶν πολεμίων ἐν τῇ πόλει, καὶ ὑπὸ τὰς πύλας ἵππων τε πόδες πολλοὶ καὶ ἀνθρώπων ὡς ἐξιόντων ὑποφαίνονται. ὁ δὲ ἀκούσας ἐπῆλθε· καὶ ὡς εἶδεν, οὐ βουλόμενος μάχῃ διαγωνίσασθαι πρίν οἱ καὶ τοὺς βοηθοὺς ἥκειν, καὶ οἰόμενος φθήσεσθαι ἀπελθών, σημαίνειν τε ἅμα ἐκέλευεν ἀναχώρησιν, καὶ παρήγγειλε τοῖς ἀπιοῦσιν ἐπὶ τὸ εὐώνυμον κέρας, ὥσπερ μόνον οἷόν τ' ἦν, ὑπάγειν ἐπὶ τῆς Ἠιόνος. ὡς δ' αὐτῷ ἐδόκει σχολὴ γίγνεσθαι, αὐτὸς ἐπιστρέψας τὸ δεξιὸν καὶ τὰ γυμνὰ πρὸς τοὺς πολεμίους δοὺς ἀπῆγε τὴν στρατιάν. κἀν τούτῳ Βρασίδας, ὡς ὁρᾷ τὸν καιρὸν καὶ τὸ στράτευμα τῶν Ἀθηναίων κινούμενον, λέγει τοῖς μεθ' ἑαυτοῦ καὶ τοῖς ἄλλοις ὅτι "οἱ ἄνδρες ἡμᾶς οὐ μένουσι. δῆλοι δὲ τῶν τε

2. Τῷ δὲ Κλέωνι] τὸ ἑξῆς, τῷ δὲ Κλέωνι ἀγγέλλεται, φανεροῦ γενομένου τοῦ Βρασίδου. Καὶ ταῦτα πράσσοντος ἀγγέλλεται. 6. Κατὰ τὴν θέαν] διὰ τὴν θέαν. 9. Ἐπῆλθεν] ὁ Κλέων δηλονότι. 10. Τοὺς βοηθοὺς] τοὺς ἀπὸ τοῦ Περδίκκου. 14. Σχολὴ γίγνεσθαι] χρόνος ἐγ-

2. ὅπερ K.
3. τοῦ] τε c.d.i.
5. προκεχωρήκει Q.
6. ἥ τε] ἤρτηται P.
ἅπασα τῶν O.
8. ἀπεφαίνοντο Q.g.
9. ἀπῆλθε K.Q.
ὡ om. I.
10. οἱ] ἢ d.
11. φθήσεσθαι H.I.L.O.g. vulgo ἐφθήσεσθαι.
12. παρήγγειλε A.B.F.H.Q. ceteri παρήγγελλε.
14. αὐτοῦ e.
σχολῇ L.
15. αὐτὸς om. L.
Τὰ γυμνὰ] Thucyd. III. 23. Καὶ ἐτόξευόν τε καὶ ἐσηκόντιζον ἐς τὰ γυμνά. Schol. μέρη. Vid. Stephanum Append. ad Scripta de Dialect. pag. 116. Duk.
16. κἀν] καὶ B.
δοὺς om. d.i.
18. αὐτοῦ g.
19. δῆλοι τῶν K.

" δοράτων τῇ κινήσει καὶ τῶν κεφαλῶν· οἷς γὰρ ἂν ταῦτα
" γίγνηται, οὐκ εἰώθασι μένειν τοὺς ἐπιόντας. ἀλλὰ τὰς
" τε πύλας τις ἀνοιγέτω ἐμοὶ ἃς εἴρηται, καὶ ἐπεξίωμεν
" ὡς τάχιστα θαρσοῦντες." καὶ ὁ μὲν κατὰ τὰς ἐπὶ τὸ
σταύρωμα πύλας καὶ τὰς πρώτας τοῦ μακροῦ τείχους
τότε ὄντος ἐξελθὼν ἔθει δρόμῳ τὴν ὁδὸν ταύτην εὐθεῖαν,
ἥπερ νῦν κατὰ τὸ καρτερώτατον τοῦ χωρίου ἰόντι τρεπαῖον
ἔστηκε· καὶ προσβαλὼν τοῖς Ἀθηναίοις, πεφοβημένοις
τε ἅμα τῇ σφετέρᾳ ἀταξίᾳ καὶ τὴν τόλμαν αὐτοῦ ἐκ-
πεπληγμένοις, κατὰ μέσον τὸ στράτευμα, τρέπει. καὶ
ὁ Κλεαρίδας, ὥσπερ εἴρητο, ἅμα κατὰ τὰς Θρακίας πύ-
λας ἐπεξελθὼν τῷ στρατῷ ἐπεφέρετο. ξυνέβη τε τῷ
ἀδοκήτῳ καὶ ἐξαπίνης ἀμφοτέρωθεν τοὺς Ἀθηναίους θο-
ρυβηθῆναι· καὶ τὸ μὲν εὐώνυμον κέρας αὐτῶν, τὸ πρὸς
τὴν Ἡιόνα, ὅπερ δὴ καὶ προκεχωρήκει, εὐθὺς ἀπορραγὲν
ἔφυγε. καὶ ὁ Βρασίδας, ὑποχωροῦντος ἤδη αὐτοῦ, ἐπι-
παριὼν τῷ δεξιῷ τιτρώσκεται· καὶ πεσόντα αὐτὸν οἱ μὲν
Ἀθηναῖοι οὐκ αἰσθάνονται, οἱ δὲ πλησίον ἄραντες ἀπή-

γήγεσθαι. 1. Τοῦτο] ὅπερ πάσχουσιν αὐτοί. 2. Οὐκ εἰώθασι μένειν] οἱ κινοῦντες τὰς κεφαλὰς καὶ τὰ δόρατα, καὶ μὴ ἡσύχως ἀπιόντες καὶ τὸ ὅλον ἀτρόμως, οὐκ εἰώθασιν ὑπομένειν τοὺς πολεμίους. 6. Ἔθει δρόμῳ] ὁ Βρασίδας. Εὐθεῖαν] ἤγουν εὐθύς. 15. Προκεχωρήκει] προαπεληλύθει, εἰς τὸ ἔμπροσθεν ἦλθεν. Ἀπορραγὲν] ἀποσπασθὲν τῆς ἄλλης τάξεως. 16. Ὁ Βρασίδας] τρεψάμενος ὁ Βρασίδας καὶ διώξας τοὺς μίσους, ὁρμήσας πρὸς τὸ ἀριστερὸν κέρας καὶ καταλαβὼν αὐτό, μετέβη πάλιν πρὸς τὸ δεξιὸν τῶν Ἀθηναίων. Ἐπιπαριὼν τῷ δεξιῷ] πλησιάζων ἐπετίθετο τῷ δεξιῷ. 18. Οἱ δὲ πλησίον] τοῦ Βρασίδου δηλονότι. Ἀπήνεγκαν] δη-

1. δοράτων κινήσει c.d.i.
Δοράτων] Vid. Polybium V. 85. p. 595. W.
3. ἀνοιγέτω τις Q. ἀνοιγύτω legisse Mœrin monet Piersonus p. 31.
4. κατὰ] μετὰ B.h.
τῷ σταυρώματι Q.
5. πρώτας] πόρτας f.
9. ἐκπεπληγμένους B.h.
13. ἀδοκήτῳ ἐξαπίνης H.K.
15. προὐκεχωρήκει d.
16. ἔφυγε A.B.h. ceteri ἔφευγε.
17. Τιτρώσκεται] Plutarch. de his qui sero etc. Ὁ Βρασίδας, ὡς ἔοικεν, ἐξελκύσας τὸ δόρυ τοῦ σώματος, αὐτῷ τούτῳ τὸν βαλόντα κατάξας ἀνεῖλεν. WASS.

νεγκαν. τὸ δὲ δεξιὸν τῶν Ἀθηναίων ἔμενε μᾶλλον. καὶ ὁ μὲν Κλέων, ὡς τὸ πρῶτον οὐ διενοεῖτο μένειν, εὐθὺς φεύγων καὶ καταληφθεὶς ὑπὸ Μυρκινίου πελταστοῦ ἀπεθνήσκει, οἱ δὲ αὐτοῦ συστραφέντες ὁπλῖται ἐπὶ τὸν λόφον τόν τε Κλεαρίδαν ἠμύνοντο καὶ δὶς ἢ τρὶς προσβαλόντα, καὶ οὐ πρότερον ἐνέδοσαν, πρὶν ἥ τε Μυρκινία καὶ ἡ Χαλκιδικὴ ἵππος καὶ οἱ πελτασταὶ περιστάντες καὶ ἐσακοντίζοντες αὐτοὺς ἔτρεψαν. οὕτω δὲ τὸ στράτευμα πᾶν ἤδη τῶν Ἀθηναίων φυγὸν χαλεπῶς, καὶ πολλὰς ὁδοὺς τραπόμενοι κατὰ ὄρη, ὅσοι μὴ διεφθάρησαν ἢ αὐτίκα ἐν χερσὶν ἢ ὑπὸ τῆς Χαλκιδικῆς ἵππου καὶ τῶν πελταστῶν, οἱ λοιποὶ ἀπεκομίσθησαν ἐς τὴν Ἠιόνα. οἱ δὲ τὸν Βρασίδαν ἄραντες ἐκ τῆς μάχης, καὶ διασώσαντες, ἐς τὴν πόλιν ἔτι ἔμπνουν ἐσεκόμισαν· καὶ ἤσθετο μὲν ὅτι νικῶσιν οἱ μεθ' ἑαυτοῦ, οὐ πολὺ δὲ διαλιπὼν ἐτελεύτησε. καὶ ἡ ἄλλη στρατιὰ ἀναχωρήσασα μετὰ τοῦ Κλεαρίδου ἐκ τῆς διώξεως, νεκρούς τε ἐσκύλευσε καὶ τροπαῖον ἔστησε. * μετὰ δὲ ταῦτα τὸν Βρασίδαν οἱ ξύμμαχοι πάντες, ξὺν ὅπλοις ἐπισπόμενοι, δημοσίᾳ ἔθαψαν ἐν τῇ πόλει πρὸ τῆς νῦν ἀγορᾶς οὔσης· καὶ τὸ λοιπὸν οἱ Ἀμφι- 11. Ejus exequiæ et sepulcrum, ceterique

λωταὶ εἰς τὴν πόλιν. 4. Αὐτοῦ] ἤτοι αὐτοῦ τοῦ Κλέωνος. ἢ ἐν τῷ αὐτῷ τόπῳ. 5. Καὶ δὶς] περιττὸς ὁ καί. 11. Ἡ ὑπὸ τῆς Χαλκιδικῆς] ἤγουν ὕστερον μετὰ τὴν μάχην φεύγοντες. 12. Ἀπεκομίσθησαν] διεσώθησαν.

1. δεξιὸν ἀθηναίων O.
ἔμενέ τε Q. ceteri ἔμενέ τε præter F.H.g. qui om. particulam.
2. φεύγων καταληφθεὶς Q.d.i.
5. ἠμύναντο d.i.
καὶ] ἢ i.
6. μυρσινία c.d.i.
7. ἐκοντίζοντες d.i.
10. διεφθάρησαν αὐτίκα L.O. P.
14. ἐκόμισαν K.c.d.g.i.
15. μεθ' ἑαυτοῦ A.B.F.K.Q. μεθ' αὐτοῦ H. vulgo μετ' αὐτοῦ.
16. καὶ ἡ] ἡ δὲ c.d.
19. ἐπισπόμενοι g.
Ἔθαψαν] Quamvis Brasidæ sepulcrum erat Amphipoli, ei tamen Cenotaphium honoris ergo a Spartanis structum erat, in exitu e foro ad occidentem, ut testatur Pausanias. Hudson.

honores. Sexcenti Athenienses, septem Lacedæmonii in pugna cæsi. Illis a victoribus redditis, Athenienses domum revecti.

πολῖται, περιέρξαντες αὐτοῦ τὸ μνημεῖον, ὡς ἥρωί τε ἐντέμνουσι καὶ τιμὰς δεδώκασιν ἀγῶνας καὶ ἐτησίους θυσίας, καὶ τὴν ἀποικίαν ὡς οἰκιστῇ προσέθεσαν, καταβαλόντες τὰ Ἀγνώνεια οἰκοδομήματα, καὶ ἀφανίσαντες εἴ τι μνημόσυνόν που ἔμελλεν αὐτοῦ τῆς οἰκίσεως περιέσεσθαι, νομίσαντες τὸν μὲν Βρασίδαν σωτῆρά τε σφῶν γεγενῆσθαι, καὶ ἐν τῷ παρόντι ἅμα τὴν τῶν Λακεδαιμονίων ξυμμαχίαν φόβῳ τῶν Ἀθηναίων θεραπεύοντες, τὸν δὲ Ἄγνωνα, κατὰ τὸ πολέμιον τῶν Ἀθηναίων, οὐκ ἂν ὁμοίως σφίσι ξυμφόρως οὐδ' ἂν ἡδέως τὰς τιμὰς ἔχειν. καὶ τοὺς νεκροὺς τοῖς Ἀθηναίοις ἀπέδοσαν. ἀπέθανον δὲ Ἀθηναίων μὲν περὶ ἑξακοσίους, τῶν δ' ἐναντίων ἑπτά, διὰ τὸ μὴ ἐκ παρατάξεως, ἀπὸ δὲ τοιαύτης ξυντυχίας καὶ

2. Περιέρξαντες] ἤγουν περιφράξαντες. Ἐντέμνουσιν] ἐναγίζουσιν, ἐναγίσματα προσφέρουσι, θύουσιν. 2. Ἀγῶνας καὶ ἐτησίους θυσίας] ἤγουν δι' ἔτους θυσιάζειν καὶ ἀγωνίζεσθαι. 4. Τὰ Ἀγνώνεια οἰκοδομήματα] Ἀγνώνεια τὰ τοῦ Ἄγνωνος· ἐπειδὴ ὁ Ἄγνων Ἀθηναῖος ἦν, ὁ οἰκιστὴς τῆς Ἀμφιπόλεως. 5. Περιέσεσθαι] φυλαχθήσεσθαι. 7. Ἐν τῷ παρόντι] πρὸς τὸ παρόν. 8. Τὸν δὲ Ἄγνωνα] οὐ τοῦτο λέγει, ὅτι ὁ Ἄγνων οὐχ ἥδετο ταῖς τιμαῖς, ἀλλὰ οὔτε συμφέρειν τοῖς Ἀμφιπολίταις τιμᾶσθαι τὸν Ἄγνωνα, διὰ τὸ κολακεύειν

1. περιείρξαντες d.

Περιέρξαντες αὐτοῦ τὸ μνημεῖον] De hoc more veterum multa habet Casaubonus ad Sueton. Neron. cap. 37. et alii, quorum loca ibi postremus Editor adnotavit. De voce μνημεῖον vid. supra ad I. 138. Duk.

μνῆμα Q.g.

Ὡς ἥρωϊ] Vid. Spanhem. Dissert. IX. de Præstant. et Usu Numism. pag. 565. Lucianus Scyth. p. 591. de Toxari: Ἀθήνησιν ἀπέθανε. καὶ μετ' οὐ πολὺ καὶ ἥρως ἔδοξε, καὶ ἐντέμνουσιν αὐτῷ, Ξένῳ Ἰατρῷ, οἱ Ἀθηναῖοι. Duk.

4. ἀγνώμονα c.

5. ἔμελλεν] ἐκέλευεν f.g.

οἰκήσεως A.B.F.H.K.L.N.O. c.d.e.f.g.i.k.

Οἰκίσεως] Videatur Pollux IX. 7. Wass. Ubi etiam libri scripti habent οἴκησις, ut hic οἰκήσεως. Sed res ipsa docet, hic οἰκίσεως, ibi οἴκησις legendum esse. Vid. Jungermann. ad Poll. l. d. Duk.

περιθέσθαι c.i.

12. Ἑπτὰ] Hoc incredibile est, si vera sunt, quæ de hac pugna scribit Diodorus Sic. XII. pag. 323. Sed Thucydidi potius fidem habendam esse merito censet Acacius. Duk.

13. ξυντυχίας] ξυμμαχίας A.B. h.

προεκφοβήσεως τὴν μάχην μᾶλλον γενέσθαι. μετὰ δὲ τὴν ἀναίρεσιν οἱ μὲν ἐπ' οἴκου ἀπέπλευσαν, οἱ δὲ μετὰ τοῦ Κλεαρίδου τὰ περὶ τὴν Ἀμφίπολιν καθίσταντο.

12. Interim Ramphias cum nongentis Lacedæmoniis Brasidæ in subsidium missus, Heracleæ subsistit, non tutum ratus per Thessaliam iter.

Καὶ ὑπὸ τοὺς αὐτοὺς χρόνους, τοῦ θέρους τελευτῶντος, Ῥαμφίας καὶ Αὐτοχαρίδας καὶ Ἐπικυδίδας Λακεδαιμόνιοι ἐς τὰ ἐπὶ Θράκης χωρία βοήθειαν ἦγον ἐνακοσίων ὁπλιτῶν, καὶ ἀφικόμενοι ἐς Ἡράκλειαν τὴν ἐν Τραχῖνι καθίσταντο ὅ τι αὐτοῖς ἐδόκει μὴ καλῶς ἔχειν. ἐνδιατριβόντων δὲ αὐτῶν ἔτυχεν ἡ μάχη αὕτη γενομένη, καὶ τὸ θέρος ἐτελεύτα.

13. Tandem, Thessalis iter impedientibus et nuntio de pugna et Brasidæ morte accepto, copias domum reduxit,

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς μέχρι μὲν Πιερίου τῆς Θεσσαλίας διῆλθον οἱ περὶ τὸν Ῥαμφίαν, κωλυόντων δὲ τῶν Θεσσαλῶν, καὶ ἅμα Βρασίδου τεθνεῶτος, ὥπερ ἦγον τὴν στρατιάν, ἀπετράποντο ἐπ' οἴκου, νομίσαντες οὐδένα καιρὸν εἶναι ἔτι, τῶν τε Ἀθηναίων ἥσσῃ ἀπε-

τοὺς Λακεδαιμονίους, οὔτε ἡδὺ ἦν τοῖς Ἀμφιπολίταις τὸ τιμᾷν αὐτόν. 2. Οἱ μὲν] οἱ Ἀθηναῖοι. 7. Ἐς Ἡράκλειαν] Ἡράκλεια ἡ ἐν Τραχῖνι τῆς Θρᾴκης. 9. Μάχη αὕτη] ἡ κατὰ τὴν Ἀμφίπολιν τοῦ Βρασίδου. 15. Οὐδένα καιρὸν ἔτι εἶναι] οὐκ ἐν καιρῷ ἔτι εἶναι. Τῶν τε Ἀθηναίων] τῶν μὲν Ἀθηναίων διὰ τὸ ἡσσηθῆναι ἀποκεχωρηκότων, τῶν δὲ περὶ τὸν Ῥαμφίαν οὐκ

5. ῥομφία P.
ἐπικυδίας I.
6. θράκην Q.
7. Ἡράκλειαν] Recte addit ἐν Τραχῖνι, sunt enim ejusdem cognominis urbes XXII quas enumerat Stephanus. Apud Ptolemæum Ἡράκλεια Φθιώτιδος audit. vid. Strabon. IX. p. 428. 429. Livium XXXVI. 22. Diodor. XIV. Xenoph. I. Hist. Gr. p. 435. et omnino Scythinum Teium apud Athenæum XI. p. 461. Pausan. II. 23. hodie *Penderachy* inquit Motraye Itinerar. I. p. 29. Wass.
9. αὐτῶν αὐτοῦ ἔτυχεν f. αὐτῶν ἐτύγχανεν A.
11. Πιερίου] Supra, ἐκ Πιερίας, et Πιερικὸς κόλπος. Πίερος apud Ælian. de Animal. III. 37. Est et Urbs, et Regio. Diphthongum adhibet Anonymus in Epig. inedito. Ἰφίων τάδ' ἔγραψεν ἐᾷ χερὶ, τὸν πόκα ὕδωρ Θρέψε ΠΕΙΡΗΙΗΣ ἄπο. De urbe et monte Bœotiæ adi Melissæum in Delphis apud Tzetzam Chil. VI. 30. Wass.
12. θεσσαλίας] θαλασσίας d. τὴν ῥόμφαιο P.
14. ὥσπερ B.h.
15. εἶναι ἔτι A.B.h. cæteri ἔτι εἶναι.

præsertim cum Lacedæmonios ad pacem propensos esse sciret.

ληλυθότων, καὶ οὐκ ἀξιόχρεων αὐτῶν ὄντων δρᾶν τι ὧν κἀκεῖνος ἐπενόει. μάλιστα δὲ ἀπῆλθον εἰδότες τοὺς Λακεδαιμονίους, ὅτε ἔζήτησαν, πρὸς τὴν εἰρήνην μᾶλλον τὴν γνώμην ἔχοντας.

14. Illius pacis studii apud utroseque causæ exponuntur,

* ξυνέβη τε εὐθὺς μετὰ τὴν ἐν Ἀμφιπόλει μάχην καὶ τὴν Ῥαμφίου ἀναχώρησιν ἐκ Θεσσαλίας, ὥστε πολέμου μὲν μηδὲν ἔτι ἅψασθαι μηδετέρους, πρὸς δὲ τὴν εἰρήνην μᾶλλον τὴν γνώμην· εἶχον, οἱ μὲν Ἀθηναῖοι πληγέντες ἐπὶ τῷ Δηλίῳ καὶ δι' ὀλίγου αὖθις ἐν Ἀμφιπόλει, καὶ οὐκ ἔχοντες τὴν ἐλπίδα τῆς ῥώμης πιστὴν ἔτι, ἧπερ οὐ προσεδέχοντο πρότερον τὰς σπονδάς, δοκοῦντες τῇ παρούσῃ εὐτυχίᾳ καθυπέρτεροι γενήσεσθαι· καὶ τοὺς ξυμμάχους ἅμα ἐδεδίεσαν σφῶν, μὴ διὰ τὰ σφάλματα ἐπαιρόμενοι ἐπὶ πλέον ἀποστῶσι, μετεμέλοντό τε ὅτι μετὰ τὰ ἐν Πύλῳ καλῶς παρασχὸν οὐ ξυνέβησαν· οἱ δ' αὖ Λακεδαιμόνιοι παρὰ γνώμην μὲν ἀποβαίνοντος σφίσι τοῦ πολέμου, ἐν ᾧ ὤοντο ὀλίγων ἐτῶν καθαιρήσειν τὴν τῶν Ἀθηναίων δύναμιν, εἰ τὴν γῆν τέμνοιεν, περιπε-

ὄντων δυνατῶν δρᾶν τι ἂν ὁ Βρασίδας διενοεῖτο. 6. Μηδετέρους] Ἀθηναίους καὶ Πελοποννησίους. 8. Πληγέντες] ζημιωθέντες. Καὶ δι' ὀλίγου αὖθις] ἀντὶ τοῦ μετ' ὀλίγον. καὶ οὐκέτι πιστεύοντες τῇ ἰσχύι τῇ αὐτῶν, δι' ἣν τὸ πρότερον οὐ προσεδέχοντο τὰς σπονδάς. 11. Καθυπέρτεροι] τῶν Λακεδαιμονίων. 13. Ἐπαιρόμενοι] δυνάμενοι. Ἐπικλέον ἀποστῶσι] τῶν Ἀθηναίων. Μετεμέλοντό τε] μετεμέλοντό τε ὅτι ἐξὸν καλῶς, καιροῦ ἐπιτηδείου παρατυχόντος τοῦ πράγματος, οὐ συνέβησαν τοῖς Λακεδαιμονίοις. 14. Μετὰ τὰ ἐν Πύλῳ] κατορθώματα. 15. Οἱ δ' αὖ Λακεδαιμόνιοι] ἀπὸ κοινοῦ τὸ μετεμέλοντο. 16. Ὀλίγων ἐτῶν καθαιρήσειν] ἤγουν δι' ὀλίγων ἐτῶν τοιαυ-

3. ὅτι f.
5. ῥομφίου P.
Θετταλίας] MS. Græv. ceteri Θεσσαλίας, uti passim Noster. Herodotus VIII. 113. in vulg. et Medicæo Θετταλῆ, et rursus Θεσσαλήν. Numus amplissimi viri Roberti Abdy Baronetti ΘΕΣΣΑΛΩΝ; ita semper. Vid. Harduin. p. 204. De Scriptoribus Atticis vid. quæ supra adnotavimus p. 12. Wass.
6. οὐδὲν B.
7. τὴν γνώμην εἶχον L.O.P.
8. ἐπὶ τῷ A.B.F.H.N.g. ἐπί τε τῷ vulgo.
ὀλίγων O.e.
9. ἀμφιπόλει οὐκ L.O.P.k.
10. ἧπερ προσεδέχοντο e.
13. ἀποστῶσι I.
15. περὶ b.

σόντες δὲ τῇ ἐν τῇ νήσῳ ξυμφορᾷ, οἵα οὔπω γεγένητο τῇ Σπάρτῃ, καὶ ληστευομένης τῆς χώρας ἐκ τῆς Πύλου καὶ Κυθήρων, αὐτομολούντων τε τῶν Εἰλώτων, καὶ ἀεὶ προσδοκίας οὔσης μή τι καὶ οἱ ὑπομένοντες τοῖς ἔξω πίσυνοι πρὸς τὰ παρόντα σφίσιν, ὥσπερ καὶ πρότερον, νεωτερίσωσι. ξυνέβαινε δὲ καὶ πρὸς τοὺς Ἀργείους αὐτοῖς τὰς τριακονταέτεις σπονδὰς ἐπ' ἐξόδῳ εἶναι, καὶ ἄλλας οὐκ ἤθελον σπένδεσθαι οἱ Ἀργεῖοι, εἰ μή τις αὐτοῖς τὴν Κυνουρίαν γῆν ἀποδώσει· ὥστ' ἀδύνατα εἶναι ἐφαίνετο Ἀργείοις καὶ Ἀθηναίοις ἅμα πολεμεῖν. τῶν τε ἐν Πελοποννήσῳ πόλεων ὑπώπτευόν τινας ἀποστήσεσθαι πρὸς τοὺς

νόσειν. 1. Ἐν τῇ νήσῳ] τῇ Σφακτηρίᾳ. 3. Αὐτομολούντων] παρὰ τοὺς ἐν Πύλῳ δηλαδὴ Ἀθηναίους. μήπως αὐτομολήσωσιν οἱ Εἵλωτες οἱ ὑπομένοντες παρὰ τοῖς Λακεδαιμονίοις, πιστεύοντες τοῖς ἔξω, τουτέστι τοῖς ἠτομοληκόσι διὰ τὰ συμβεβηκότα τοῖς Λακεδαιμονίοις. 4. Οἱ ὑπομένοντες] οἱ ὑπόλοιποι. Τοῖς ἔξω] αὐτομολήσασι δηλαδή. 6. Αὐτοῖς] τοῖς Λακεδαιμονίοις. 7. Ἐπ' ἐξόδῳ] λήξει. 8. Σπένδεσθαι] ἤγουν μετὰ σπονδῶν ποιεῖσθαι.

1. Γεγένητο] Pro ἐγεγένητο. Atticis usitatum est omittere augmentum in hoc tempore. Multa hujus generis collegit Jungermann. ad Polluc. III. 102. Duk.

2. χώρας ἐκ κυθήρων O.

3. αὐτομολούντων] ἀτολμούντων i.

4. καὶ ὑπομένοντες Q.

Πίσυνοι] Inter Auctoris hujus τὰ γλωττόδη recenset Suidas in περιωπή. Est vox Homerica. D. Halic. Ant. VIII. 86. Οἱ δὲ πολέμιοι τῷ τότε πλήθει τῶν σφετέρων ἐκεῖ ΠΙ'ΣΤΝΟΙ—καὶ ἐπαρθέντες, ἀνέβαινον. Theognis, qui vocabulis vulgari usu tritis utitur v. 75. Παύροισιν ΠΙ'ΣΤΝΟΣ μεγάλ' ἀνδράσιν ἔργ' ἐπιχείρει. Wass. Aristoph. Nubib. 946. Τὸ πιστύνω τοῖς περιδεξίοισιν λόγοισιν. Æschyl. Sept. adv. Theb. 218. Πίσυνος θεοῖς. Theognis rursum v. 69. et 284. Vid. supr. II. 89. Duk.

6. τὰς τριακονταετεῖς αὐτοῖς g. αὐτοῖς τὰς τριακονταέτεις A. αὐτοῖς τὰς τριακονταέτεις B. αὐτοῖς τὰς τριακοντούτεις e. αὐτοῖς τὰς τριακοντετεῖς f.

7. ἐξόδων O.P.

8. Τὴν Κυνουρίαν γῆν] Vid. IV. 56. Eum agrum possidebant Lacedæmonii, Argivi autem suum esse dicebant: infra cap. 41. Τὶς, id est, Lacedæmonii. Sæpe refertur ad eos, de quibus ante actum est, vel quos adloquuntur. Thucyd. IV. 13. Καὶ παρεσκευάζοντο, ἢν ἐσπλέῃ τις, ὡς ἐν τῷ λιμένι ὄντι οὐ σμικρῷ ναυμαχήσοντες, si quis, id est, Lacedæmonii. Aristoph. Ran. 560. Κακὸν ἥκει τινὶ, tibi. et 562. δώσει τις δίκην, tu. Euripid. Androm. 577. Χαλᾶν κελεύω δεσμὰ, πρὶν κλαίειν τινὰ, tu, vel vos. Æschyl. Sept. adv. Theb. 508. Τάχ' ἂν γένοιτο μάντις ἡ ξύνοια τινί, isti, quem dicis, Tydeo. Duk.

βεβήθεια. ξυγκαλέσας δὲ τοὺς πάντας στρατιώτας, καὶ βουλόμενος παραθαρσῦναί τε καὶ τὴν ἐπίνοιαν φράσαι, ἔλεγε τοιάδε.

9. Ejus ad milites oratio, qua consilium suum demonstrat.

"ΑΝΔΡΕΣ Πελοποννήσιοι, ἀπὸ μὲν οἵας χώρας ἥκομεν, ὅτι ἀεὶ διὰ τὸ εὔψυχον ἐλευθέρας, καὶ ὅτι Δωριῆς μέλλετε Ἴωσι μάχεσθαι, ὧν εἰώθατε κρείσσους εἶναι, ἀρκείτω βραχέως δεδηλωμένον· τὴν δὲ ἐπιχείρησιν ᾧ τρόπῳ διανοοῦμαι ποιεῖσθαι, διδάξω, ἵνα μὴ τό [τε] κατ' ὀλίγον καὶ μὴ ἅπαντας κινδυνεύειν ἐνδεὲς φαινόμενον ἀτολμίαν παράσχῃ. τοὺς γὰρ ἐναντίους εἰκάζω καταφρονήσει τε ἡμῶν, καὶ οὐκ ἂν ἐλπίσαντας ὡς ἂν ἐπεξέλθοι τις αὐτοῖς ἐς μάχην, ἀναβῆναί τε πρὸς τὸ χωρίον καὶ νῦν ἀτάκτως κατὰ θέαν τεταραγμένους ὀλιγωρεῖν. ὅστις δὲ τὰς τοιαύτας ἁμαρτίας τῶν ἐναντίων κάλλιστα ἰδὼν, καὶ ἅμα πρὸς τὴν ἑαυτοῦ δύναμιν τὴν ἐπιχείρησιν ποιεῖται μὴ ἀπὸ τοῦ προφανοῦς

καὶ τοῦ Πόλλη. 6. Ὧν εἰώθατε κρείσσους εἶναι] ἀντὶ τοῦ οὓς εἰώθατε νικᾶν. 7. Τὴν δὲ ἐπιχείρησιν] τὴν ἐπίθεσιν τὴν κατὰ τῶν πολεμίων. 9. Καὶ μὴ ἅπαντας κινδυνεύειν] ἵνα μηδεὶς ὑμῶν, διὰ τὸ κατ' ὀλίγους ὑμᾶς μέλλειν ἐξιέναι τῆς πόλεως, καὶ μὴ ἅπαντας ἀθρόους κινδυνεύειν πρὸς Ἀθηναίους, οὐκ ἀξιόμαχον νομίσας τὴν παρασκευὴν ἀτολμότερος γένηται. 10. Παράσχῃ] ὑμῶν δηλονότι. Τοὺς γὰρ ἐναντίους εἰκάζω] εἰκάζω δὲ τοὺς ἐναντίους, καταφρονοῦντας ἡμῶν, καὶ οὐ προσδοκῶντας ὅτι ἐπεξελευσόμεθα αὐτοῖς, ἀναβῆναι πρὸς τὴν Ἀμφίπολιν κατὰ θέαν, καὶ νῦν διὰ τὴν θέαν ἀτάκτως ἐσκεδασμένους ὀλιγωρεῖν, τοῦτεστι ῥᾳθυμεῖν. 14. Ὅστις δὲ τὰς τοιαύτας ἁμαρτίας] ὅστις δὲ τὰ τῶν πολεμίων ἁμαρτήματα ἰδὼν, καὶ κατὰ τὴν ἰδίαν δύναμιν ἐπιχειρῶν, μὴ ἐκ τοῦ φανεροῦ ἀντιτάττηται, ἀλλὰ πρὸς τὸ πα-

1. συγκαλέσας F.K.Q.e.g.
5. ἐλευθερίας I.
7. ἀρκεῖ τὸ A.B.F.H.N.Q.g.h.
8. ᾧ A.B.F.H.I.K.L.O.P.Q.c.d.e.g.h.i.k. τῷ N. vulgo ὅτῳ.
τῷ A.B.F.H.K. om. I.
9. τε om. L.O.k.
ἐνδεὲς ὑμῖν φαινόμενον d.
12. ἐξέλθοι Q. ὑπεξέλθοι d. ὑπεξέλθῃ f.
τι d.
13. ἀτάκτους O.
14. δὲ καὶ τὰς K.
15. μάλιστα L.d.i.
αὐτοῦ L.O.P.b.e.k.
16. τὴν om. K.
ἀπὸ] ἐκ h.

" μᾶλλον καὶ ἀντιπαρατα χθέντος ἢ ἐκ τοῦ πρὸς τὸ πα-
" ρὸν ξυμφέροντος, πλεῖστ' ἂν ὀρθοῖτο· καὶ τὰ κλέμ-
" ματα ταῦτα καλλίστην δόξαν ἔχει, ἃ τὸν πολέμιον
" μάλιστ' ἄν τις ἀπατήσας τοὺς φίλους μέγιστ' ἂν
" ὠφελήσειεν. ἕως οὖν ἔτι ἀπαράσκευοι θαρσοῦσι, καὶ
" τοῦ ὑπαπιέναι πλέον ἢ τοῦ μένοντος, ἐξ ὧν ἐμοὶ φαίνον-
" ται, τὴν διάνοιαν ἔχουσιν, ἐν τῷ ἀνειμένῳ αὐτῶν τῆς
" γνώμης, καὶ πρὶν ξυνταχθῆναι μᾶλλον τὴν δόξαν, ἐγὼ
" μὲν ἔχων τοὺς μετ' ἐμαυτοῦ, καὶ φθάσας, ἢν δύνωμαι,
" προσπεσοῦμαι δρόμῳ κατὰ μέσον τὸ στράτευμα· σὺ
" δὲ, Κλεαρίδα, ὕστερον, ὅταν ἐμὲ ὁρᾷς ἤδη προσκείμε-
" νον καὶ κατὰ τὸ εἰκὸς φοβοῦντα αὐτοὺς, τοὺς μετὰ
" σεαυτοῦ, τούς τ' Ἀμφιπολίτας καὶ τοὺς ἄλλους ξυμ-
" μάχους, ἄγων, αἰφνιδίως τὰς πύλας ἀνοίξας ἐπεκ-
" θεῖν, καὶ ἐπείγεσθαι ὡς τάχιστα ξυμμίξαι. ἐλπὶς
" γὰρ μάλιστα αὐτοὺς οὕτω φοβηθῆναι. τὸ γὰρ ἐπιὸν

ρὸν ἁρμοττόμενος, ὀρθῶς ἂν πράττοι. 3. Ἔχει] παρέχει. Ἀ] ἀντὶ τοῦ δι' ἄν. 5. Ἕως οὖν ἔτι ἀπαράσκευοι] ἕως ἔτι διὰ τὸ θαρρεῖν ἀπαράσκευοί εἰσιν ἐπιέναι τε διανοοῦνται μᾶλλον ἢ μένειν. ῥαθύμως αὐτοῖς διακειμένοις. καὶ πρὶ τοῦ συνταχθῆναι, ἐγὼ μὲν ἔχων. 14. Ἐπεκθεῖν] θέλησον δηλονότι. 15. Ἐλπὶς γὰρ] ἡμῖν δηλονότι. 16. Οὕτω] δηλονότι ποιούντων ἡμῶν. Τὸ γὰρ ἐπιὸν ὕστερον] οἱ γὰρ ὕστερον ἐπιόντες φοβερώτεροι φαίνονται.

1. ἐκ τοῦ om. d.
2. συμφέροντος B.H.K. c.d.e.f. g.i.k.
Κλέμματα] Schol. Cass. στρατηγήματα exponit. Notum est illud Alexandri ad amicos suadentes, ut noctu Darium inopinantem adgrederetur, οὐ κλέπτειν τὴν νίκην. Sic *furta*, *furta belli*, *furta insidiarum* apud Scriptores Latinos saepissime. Duk.
3. πόλεμον A.B.
4. μάλιστ' K.L.O.P.
6. μένειν d.
8. συνταχθῆναι B.F.H.K.Q.c. d.e.f.g.h.i.k.
ἔχω I.
11. κλεαρίδην P.
ὁρᾷς ἐμὲ L.O.P.c.d.e.i.k.
14. ἐκελθεῖν d.e.g.
16. θορυβηθῆναι L.O.P. φορυβηθῆναι k.
Τὸ γὰρ—μαχομένου] Stobæus p. 364. W. Æneas in Poliorcet. cap. 38. Τὸ γὰρ ἐπιὸν μᾶλλον οἱ πολέμιοι φοβοῦνται τοῦ ὑπάρχοντος καὶ παρόντος ἤδη. Sumsit a Thucydide. Vid. ibi Casaubonum. Duk.
Φοβηθῆναι] Alii θορυβηθῆναι. Ælian. 1. V. H. 32. θορυβηθῆναι δέει τοῦ νόμου, καὶ αἰδοῖ τοῦ βασιλέως.

" ὕστερον δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος καὶ
" μαχομένου. καὶ αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου, ὥσπερ
" σε εἰκὸς ὄντα Σπαρτιάτην, καὶ ὑμεῖς, ὦ ἄνδρες ξύμ-
" μαχοι, ἀκολουθήσατε ἀνδρείως, καὶ νομίσατε εἶναι
" τοῦ καλῶς πολεμεῖν τὸ ἐθέλειν καὶ τὸ αἰσχύνεσθαι
" καὶ τοῖς ἄρχουσι πείθεσθαι· καὶ τῆδε ὑμῖν τῇ ἡμέρᾳ
" ἢ ἀγαθοῖς γενομένοις ἐλευθερίαν τε ὑπάρχειν καὶ Λα-
" κεδαιμονίων ξυμμάχοις κεκλῆσθαι, ἢ Ἀθηναίων τε δού-
" λοις, ἢν τὰ ἄριστα ἄνευ ἀνδραποδισμοῦ ἢ θανατώσεως
" πράξητε, καὶ δουλείαν χαλεπωτέραν ἢ πρὶν εἴχετε,
" τοῖς δὲ λοιποῖς Ἕλλησι καλυταῖς γενέσθαι ἐλευθερώ-
" σεως. ἀλλὰ μήτε ὑμεῖς μαλακισθῆτε, ὁρῶντες περὶ
" ὅσων ὁ ἀγὼν ἐστιν, ἐγώ τε δείξω οὐ παραινέσαι οἷός
" τε ὢν μᾶλλον τοῖς πέλας ἢ καὶ αὐτὸς ἔργῳ ἐπεξελ-
" θεῖν."

Pugnæ ad Amphipolin

10. Ὁ μὲν Βρασίδας τοσαῦτα εἰπὼν τήν τε ἔξοδον παρεσκευάζετο αὐτὸς, καὶ τοὺς ἄλλους μετὰ τοῦ Κλεαρίδα

5. Τοῦ καλῶς πολεμεῖν] ἐκ τριῶν γίνεται τὸ καλῶς πολεμεῖν. Ὅμηρος· Αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται (Il. V. 531). 8. Δοῦλοις] ἂν γὰρ νικηθῆτε καὶ μὴ θανάτῳ ζημιωθῆτε ὑπ' αὐτῶν, ἀλλὰ εὐτυχήσητε καὶ ἄριστα πράξητε, δοῦλοι ἔσεσθε Ἀθηναίων, καὶ δουλείαν χαλεπωτέραν ἢ πρὶν εἴχετε. 12. Περὶ ὅσων] ἐπάθλων.

Noster etiam alibi ἐθορυβοῦντο. Xenophon θορυβουμένους opponit τοῖς αὐτάκτως ἰοῦσι. Sed Codices meliores αἰδέομαι. Wass. Mox quidem cap. 10. de emtione Clearidæ agens, dicit θορυβηθῆναι. Sed non necessarium est id hic quoque recipi. Et φοβηθῆναι legit etiam Thomas Magister in βούλομαι. Duk.

3. σε om. e.

4. νομίσατε τρία εἶναι Stobæus.

5. καὶ τὸ αἰσχύνεσθαι] Deleverim articulum.

7. ἢ om. d.e.

γινομένοις L.

8. συμμάχοις P.e. ξυμμάχους k.

τε om. Q.f.

10. πράξησθε K.

ἔχετε B.

13. ὁ ἀγών] ἀγών b. ἀγαθῶν d.i.

δὲ K.

14. ἂν τοῖς O.

17. κλεαρίδου O.Q.

καθίστη ἐπὶ τὰς Θρᾳκίας καλευμένας τῶν πυλῶν, ὅπως, descriptio. Cleo fugiens necatur; Brasidas ex vulnere, victoria jam explorata, moritur.
ὥσπερ εἴρητο, ἐπεξίοιεν. τῷ δὲ Κλέωνι, φανεροῦ γεγομένου αὐτοῦ ἀπὸ τοῦ Κερδυλίου καταβάντος καὶ ἐν τῇ πόλει ἐπιφανεῖ οὔσῃ ἔξωθεν περὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς θυομένου καὶ ταῦτα πράσσοντος, ἀγγέλλεται (προὐκεχωρήκει γὰρ τότε κατὰ τὴν θέαν) ὅτι ἥ τε στρατιὰ ἅπασα φανερὰ τῶν πολεμίων ἐν τῇ πόλει, καὶ ὑπὸ τὰς πύλας ἵππων τε πόδες πολλοὶ καὶ ἀνθρώπων ὡς ἐξιόντων ὑποφαίνονται. ὁ δὲ ἀκούσας ἐπῆλθε· καὶ ὡς εἶδεν, οὐ βουλόμενος μάχῃ διαγωνίσασθαι πρίν οἱ καὶ τοὺς βοηθοὺς ἥκειν, καὶ οἰόμενος φθήσεσθαι ἀπελθών, σημαίνειν τε ἅμα ἐκέλευεν ἀναχώρησιν, καὶ παρήγγειλε τοῖς ἀπιοῦσιν ἐπὶ τὸ εὐώνυμον κέρας, ὥσπερ μόνον οἷόν τ' ἦν, ὑπάγειν ἐπὶ τῆς Ἠιόνος. ὡς δ' αὐτῷ ἐδόκει σχολὴ γίγνεσθαι, αὐτὸς ἐπιστρέψας τὸ δεξιὸν καὶ τὰ γυμνὰ πρὸς τοὺς πολεμίους δοὺς ἀπῆγε τὴν στρατιάν. κἂν τούτῳ Βρασίδας, ὡς ὁρᾷ τὸν καιρὸν καὶ τὸ στράτευμα τῶν Ἀθηναίων κινούμενον, λέγει τοῖς μεθ' ἑαυτοῦ καὶ τοῖς ἄλλοις ὅτι "οἱ ἄνδρες ἡμᾶς οὐ μένουσι. δῆλοι δὲ τῶν τε

2. Τῷ δὲ Κλέωνι] τὸ ἑξῆς, τῷ δὲ Κλέωνι ἀγγέλλεται, φανεροῦ γενομένου τοῦ Βρασίδου. Καὶ ταῦτα πράσσοντος ἀγγέλλεται. 6. Κατὰ τὴν θέαν] διὰ τὴν θέαν. 9. Ἐπῆλθεν] ὁ Κλέων δηλονότι. 10. Τοὺς βοηθοὺς] τοὺς ἀπὸ τοῦ Περδίκκου. 14. Σχολὴ γίγνεσθαι] χρόνος ἐγ-

2. ὅπερ K.
3. τοῦ] τε c.d.i.
5. προκεχωρήκει Q.
6. ἦ τε] ἤρτηται P.
ἅπασα τῶν O.
8. ἀποφαίνονται Q.g.
9. ἀπῆλθε K.Q.
οὐ om. I.
10. οἱ] ἢ d.
11. φθήσεσθαι H.I.L.O.g. vulgo ἐφθήσεσθαι.
12. παρήγγειλε A.B.F.H.Q. ceteri παρήγγελλε.
14. αὐτοῦ e.
σχολῇ L.
15. αὐτὸς om. L.
Τὰ γυμνὰ] Thucyd. III. 23. Καὶ ἐτόξευόν τε καὶ ἐσηκόντιζον ἐς τὰ γυμνά. Schol. μέρη. Vid. Stephanum Append. ad Scripta de Dialect. pag. 116. Duk.
16. κἂν] καὶ B.
δοὺς om. d.i.
18. αὐτοῦ g.
19. δῆλοι τῶν K.

" δοράτων τῇ κινήσει καὶ τῶν κεφαλῶν· οἷς γὰρ ἂν ταῦτα
" γίγνηται, οὐκ εἰώθασι μένειν τοὺς ἐπιόντας. ἀλλὰ τὰς
" τε πύλας τις ἀνοιγέτω ἡμῖν ὡς εἴρηται, καὶ ἐπεξίωμεν
" ὡς τάχιστα θαρσοῦντες." καὶ ὁ μὲν κατὰ τὰς ἐπὶ τὸ
σταύρωμα πύλας καὶ τὰς πρώτας τοῦ μακροῦ τείχους
τότε ὄντος ἐξελθὼν ἔθει δρόμῳ τὴν ὁδὸν ταύτην εὐθεῖαν,
ἥπερ νῦν κατὰ τὸ καρτερώτατον τοῦ χωρίου ἰόντι τροπαῖον
ἕστηκε· καὶ προσβαλὼν τοῖς Ἀθηναίοις, πεφοβημένοις
τε ἅμα τῇ σφετέρᾳ ἀταξίᾳ καὶ τὴν τόλμαν αὐτοῦ ἐκ-
πεπληγμένοις, κατὰ μέσον τὸ στράτευμα, τρέπει. καὶ
ὁ Κλεαρίδας, ὥσπερ εἴρητο, ἅμα κατὰ τὰς Θρακίας πύ-
λας ἐπεξελθὼν τῷ στρατῷ ἐπεφέρετο. ξυνέβη τε τῷ
ἀδοκήτῳ καὶ ἐξαπίνης ἀμφοτέρωθεν τοὺς Ἀθηναίους θο-
ρυβηθῆναι· καὶ τὸ μὲν εὐώνυμον κέρας αὐτῶν, τὸ πρὸς
τὴν Ἡιόνα, ὅπερ δὴ καὶ προκεχωρήκει, εὐθὺς ἀπῴραγὲν
ἔφυγε. καὶ ὁ Βρασίδας, ὑποχωροῦντος ἤδη αὐτοῦ, ἐπι-
παριὼν τῷ δεξιῷ τιτρώσκεται· καὶ πεσόντα αὐτὸν οἱ μὲν
Ἀθηναῖοι οὐκ αἰσθάνονται, οἱ δὲ πλησίον ἅραντες ἀπή-

γγνεσθαι. 1. Τοῦτο] ὅπερ πάσχουσιν αὐτοί. 2. Οὐκ εἰώθασι μένειν] οἱ κινοῦντες τὰς κεφαλὰς καὶ τὰ δόρατα, καὶ μὴ ἡσύχως ἀκινήτως καὶ τὸ ὅλον ἀτρέμως, οὐκ εἰώθασιν ὑπομένειν τοὺς πολεμίους. 6. Ἔθει δρόμῳ] ὁ Βρασίδας. Εὐθεῖαν] ἤγουν εὐθείας. 15. Προκεχωρήκει] προπεληλύθει, εἰς τὸ ἔμπροσθεν ἦλθεν. Ἀπῳράγεν] ἀποστασθὲν τῆς ἄλλης τάξεως. 16. Ὁ Βρασίδας] τρεψάμενος ὁ Βρασίδας καὶ διώξας τοὺς μέσους, ὁρμήσας πρὸς τὸ ἀριστερὸν κέρας καὶ καταλαβὼν αὐτό, μετέβη πάλιν πρὸς τὸ δεξιὸν τῶν Ἀθηναίων. Ἐπιπαριὼν τῷ δεξιῷ] πλησιάζων ἐπετίθετο τῷ δεξιῷ. 18. Οἱ δὲ πλησίον] τοῦ Βρασίδου δηλονότι. Ἀπήνεγκαν] δη-

1. δοράτων κινήσει c.d.i.
Δοράτων] Vid. Polybium V. 85. p. 595. W.
3. ἀνοιγέτω τις Q. ἀνοιγνύτω legisse Mœrin monet Piersonus p. 31.
4. κατὰ] μετὰ B.h.
τῷ σταυρώματι Q.
5. πρώτας] πόρτας f.
9. ἐκπεπληγμένους B.h.
13. ἀδοκήτῳ ἐξαπίνης H.K.
15. προὐκεχωρήκει d.
16. ἔφυγε A.B.h. ceteri ἔφευγε.
17. Τιτρώσκεται] Plutarch. de his qui sero etc. Ὁ Βρασίδας, ὡς ἔοικεν, ἐξελκύσας τὸ δόρυ τοῦ σώματος, αὐτῷ τούτῳ τὸν βαλόντα κατάξας ἀνεῖλεν. Wass.

νεγκαν. τὸ δὲ δεξιὸν τῶν Ἀθηναίων ἔμενε μᾶλλον. καὶ ὁ μὲν Κλέων, ὡς τὸ πρῶτον οὐ διενοεῖτο μένειν, εὐθὺς φεύγων καὶ καταληφθεὶς ὑπὸ Μυρκινίου πελταστοῦ ἀποθνήσκει, οἱ δὲ αὐτοῦ συστραφέντες ὁπλῖται ἐπὶ τὸν λόφον τόν τε Κλεαρίδαν ἠμύνοντο καὶ δὶς ἢ τρὶς προσβαλόντα, καὶ οὐ πρότερον ἐνέδοσαν, πρὶν ἥ τε Μυρκινία καὶ ἡ Χαλκιδικὴ ἵππος καὶ οἱ πελτασταὶ περιστάντες καὶ ἐσακοντίζοντες αὐτοὺς ἔτρεψαν. οὕτω δὲ τὸ στράτευμα πᾶν ἤδη τῶν Ἀθηναίων φυγὸν χαλεπῶς, καὶ πολλὰς ὁδοὺς τραπόμενοι κατὰ ὄρη, ὅσοι μὴ διεφθάρησαν ἢ αὐτίκα ἐν χερσὶν ἢ ὑπὸ τῆς Χαλκιδικῆς ἵππου καὶ τῶν πελταστῶν, οἱ λοιποὶ ἀπεκομίσθησαν ἐς τὴν Ἠιόνα. οἱ δὲ τὸν Βρασίδαν ἄραντες ἐκ τῆς μάχης, καὶ διασώσαντες, ἐς τὴν πόλιν ἔτι ἔμπνουν ἐσεκόμισαν· καὶ ἤσθετο μὲν ὅτι νικῶσιν οἱ μεθ' ἑαυτοῦ, οὐ πολὺ δὲ διαλιπὼν ἐτελεύτησε. καὶ ἡ ἄλλη στρατιὰ ἀναχωρήσασα μετὰ τοῦ Κλεαρίδου ἐκ τῆς διώξεως, νεκρούς τε ἐσκύλευσε καὶ τροπαῖον ἔστησε. * μετὰ δὲ ταῦτα τὸν Βρασίδαν οἱ ξύμμαχοι πάντες, ξὺν ὅπλοις ἐπισπόμενοι, δημοσίᾳ ἔθαψαν ἐν τῇ πόλει πρὸ τῆς νῦν ἀγορᾶς οὔσης· καὶ τὸ λοιπὸν οἱ Ἀμφι- 11. Ejus exequiæ et sepulcrum, ceterique

λεῖται εἰς τὴν πόλιν. 4. Αὐτοῦ] ἤτοι αὐτοῦ τοῦ Κλέωνος. ἢ ἐν τῷ αὐτῷ τόπῳ. 5. Καὶ δὶς] περιττὸς ὁ καί. 11. Ἡ ὑπὸ τῆς Χαλκιδικῆς] ἤγουν ὕστερον μετὰ τὴν μάχην φεύγοντες. 12. Ἀπεκομίσθησαν] διεσώθησαν.

1. δεξιὸν ἀθηναίων O.
ἔμενέ τε Q. ceteri ἔμενέ τε præter F.H.g. qui om. particulam.
2. φεύγων καταληφθεὶς Q.d.i.
5. ἠμύναντο d.i.
καὶ] ἡ i.
6. μυρσινία c.d.i.
7. ἀκοντίζοντες d.i.
10. διεφθάρησαν αὐτίκα L.O. P.
14. ἐκόμισαν K.c.d.g.i.
15. μεθ' ἑαυτοῦ A.B.F.K.Q. μεθ' αὐτοῦ H. vulgo μετ' αὐτοῦ.
16. καὶ ἡ] ἡ δὲ c.d.
19. ἐπισπόμενοι g.
Ἔθαψαν] Quamvis Brasidæ sepulcrum erat Amphipoli, ei tamen Cenotaphium honoris ergo a Spartanis structum erat, in exitu e foro ad occidentem, ut testatur Pausanias. HUDS.

" ἢ πρὸς ἀλλήλους, δικαίῳ χρήσθων καὶ ὅρκοις, καθ' ὅτι
" ἂν ξύνθωνται. ἀποδόντων δὲ Ἀθηναίοις Λακεδαιμόνιοι
" καὶ οἱ ξύμμαχοι Ἀμφίπολιν. ὅσας δὲ πόλεις παρέ-
" δοσαν Λακεδαιμόνιοι Ἀθηναίοις, ἐξέστω ἀπιέναι ὅποι
" ἂν βούλωνται, αὐτοὺς καὶ τὰ ἑαυτῶν ἔχοντας· τὰς δὲ
" πόλεις φερούσας τὸν φόρον τὸν ἐπ' Ἀριστείδου αὐτονό-
" μους εἶναι. ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν Ἀθηναίους
" μηδὲ τοὺς ξυμμάχους ἐπὶ κακῷ, ἀποδιδόντων τὸν φό-
" ρον, ἐπειδὴ αἱ σπονδαὶ ἐγένοντο. εἰσὶ δὲ αἵδε, Ἄργι-
" λος, Στάγειρος, Ἄκανθος, Σκῶλος, Ὄλυνθος, Σπάρ-
" τωλος. ξυμμάχους δ' εἶναι μηδετέρων, μήτε Λακεδαι-
" μονίων μήτε Ἀθηναίων· ἢν δὲ Ἀθηναῖοι πείθωσι τὰς
" πόλεις, βουλομένας ταύτας ἐξέστω ξυμμάχους ποιεῖσ-
" θαι αὐτοὺς Ἀθηναίοις. Μηκυβερναίους δὲ καὶ Σαναί-
" ους καὶ Σιγγαίους οἰκεῖν τὰς πόλεις τὰς ἑαυτῶν, κα-

1. Πρὸς ἀλλήλους] ἤγουν Λακεδαιμονίους καὶ Ἀθηναίους. Δίκαις] ἤγουν κρίσει δικαίᾳ. 6. Φερούσας τὸν φόρον] διδούσας τὸ ἐτήσιον τέλος. Τὸν ἐπ' Ἀριστείδου] ταχθέντα δηλονότι. 7. Ὅπλα δὲ μὴ ἐξέστω] ἐὰν ἀποδιδῶσι τὸν φόρον οἱ σύμμαχοι τοῖς Ἀθηναίοις, ὅπλα μὴ ἐπιφερέτωσαν αὐτοὶ οἱ Ἀθηναῖοι μετὰ τὰς σπονδάς. 8. Ἐπὶ κακῷ] τῶν πόλεων. Ἀποδιδόντων τὸν φόρον] τῶν ἀνθρώπων τῶν ἐν ταῖς πόλεσι.

1. δίκαις K.L.f.g.
4. ἤν N.d.e.i.
5. βούλωνται A.B.F.H.I.L.O. d.e.i. vulgo βούλονται.
6. πόλεις τὰς φερούσας L.O.P. Q.c.k.
8. μήτε B.
9. αἵδε] αἱ πόλεις αἵδε K. om. B.F.H.L.O.P.d.e.h.i.

Ἄργιλος] Nomen habet a mure, qui Thracum lingua Ἄργιλος. Neque aliter scribit Herodotus VII. 115. aut Strabonis Epitomator p. 109. Σκῶλος est Bœotiæ opp. Vide Strabonem IX. 408. Σπάρτωλος πόλις Μακεδονίας, ut Thucyd. in II. Steph. Thucydides II. 79. τὴν Βοττικὴν vocat, atque ex eo recte Harpocrat. et Suidas: haud mendose, ut autumat Berkelius. Wass. *Scolium* hic Thucydides non Bœotiam, sed Olynthiacam, quam memorat Eustathius ad Homer. Il. β'. p. 265. videtur designare. Nam Bœoti non erant inter τοὺς τὸν φόρον ἀποδιδόντας. Duk.

11. συμμάχους K. qui mox μήτε λακεδ. μήτε ἀθηναίων.
13. συμμάχους K.
14. μηκυβερνίους Q.
15. σιγγέους K.g. συγγαίους G. H. ξιγγέους Q.

Σιγγαίους] Σίγγος, πόλις περὶ τὸν Ἄθων. Stephanus. Vid. Herodot. VII. 122. Duk.

" θάπερ Ὀλύνθιοι καὶ Ἀκάνθιοι. ἀποδόντων δὲ Ἀθηναί-
" οις Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι Πάναχτον. ἀπο-
" δόντων δὲ καὶ Ἀθηναῖοι Λακεδαιμονίοις Κορυφάσιον
" καὶ Κύθηρα καὶ Μεθώνην καὶ Πτελεὸν καὶ Ἀταλάν-
" την, καὶ τοὺς ἄνδρας, ὅσοι εἰσὶ Λακεδαιμονίων ἐν τῷ
" δημοσίῳ τῶν Ἀθηναίων, ἢ ἄλλοθί που, ὅσης Ἀθηναῖοι
" ἄρχουσιν, ἐν δημοσίῳ· καὶ τοὺς ἐν Σκιώνῃ πολιορκου-
" μένους Πελοποννησίων ἀφεῖναι, καὶ τοὺς ἄλλους ὅσοι
" Λακεδαιμονίων ξύμμαχοι ἐν Σκιώνῃ εἰσὶ καὶ ὅσους
" Βρασίδας ἐσέπεμψε, καὶ εἴ τις τῶν ξυμμάχων τῶν
" Λακεδαιμονίων ἐν Ἀθήναις ἐστὶν ἐν τῷ δημοσίῳ, ἢ ἀλ-
" λοθί που, ἧς Ἀθηναῖοι ἄρχουσιν, ἐν δημοσίῳ. ἀποδόντων
" δὲ καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι οὓς τινας ἔχου-
" σιν Ἀθηναίων καὶ τῶν ξυμμάχων, κατὰ ταὐτά. Σκι-
" ωναίων δὲ καὶ Τορωναίων καὶ Σερμυλίων καὶ εἴ τινα

1. Ἀποδόντων] ἀποδότωσαν. 3. Κορυφάσιον] τὴν Πύλον λέγει. 5. Ἐν τῷ δημοσίῳ] ἐν τῷ δεσμωτηρίῳ. 14. Κατὰ ταὐτά] ἤγουν κατὰ τὴν ὁμοίαν συμφωνίαν.

2. καὶ ξύμμαχοι b.c.

3. καὶ ἀθηναῖοι B.F.H.K.L. O.b.c.d.e.f.g.h.i.k. et, correctus fortasse, A. vulgo καὶ οἱ ἀθηναῖοι.

5. Ἐν τῷ δημοσίῳ] Heraldus Emendat. et Observat. cap. 37. putat hoc laxius accipiendum, quam faciunt Interpretes Thucydidis, et vertit, *qui populo Atheniensi publice serviunt* Athenis. Reprehendit eum Salmasius Observat. ad Jus Attic. et Rom. pag. 642. ac negat ἐν δημοσίῳ εἶναι dici eos, qui publice serviunt: δημόσιον autem Scholiaste ad h. l. et Hesychio auctoribus esse carcerem. Recte Salmasius. Agit Thucydides de his præcipue, qui in Sphacteria capti fuerant, de quibus recipiendis valde laborasse Lacedæmonios, supra plus semel dixit. Hi autem non servi publici facti, sed in vincula publica conjecti erant, IV. 41. et 57. Δημόσιον hic cum aliis etiam Pricæus ad Act. Apost. v. 18. carcerem interpretatur. Dux.

6. τῶν] τῷ F.H.I.g.
ὅσοις H.

7. πολιορκουμένους] καθημένους g.

9. ἐν τῇ σκιώνῃ L.

10. ἐξέπεμψε d.
τῶν om. K.

11. ἀθηναίοις H.

12. ἐν τῷ δημοσίῳ Q.
ἀποδιδόντων d. ἀποδόντες h.i.

13. καὶ οἱ λακεδαιμόνιοι B.c.h.i.
οὕς] εἴ K.g.

15. Σερμυλίων] Σερμυλία urbs

" ἄλλην πόλιν ἔχουσιν Ἀθηναῖοι, Ἀθηναίους βουλεύεσθαι
" περὶ αὐτῶν καὶ τῶν ἄλλων πόλεων, ὅ τι ἂν δοκῇ αὐ-
" τοῖς. ὅρκους δὲ ποιήσασθαι Ἀθηναίους πρὸς Λακεδαι-
" μονίους καὶ τοὺς ξυμμάχους κατὰ πόλεις. ὀμνύντων
" δὲ τὸν ἐπιχώριον ὅρκον ἑκάτεροι τὸν μέγιστον ἐξ ἑκά-
" στης πόλεως. ὁ δ' ὅρκος ἔστω ὅδε· ἐμμένω ταῖς ξυν-
" θήκαις καὶ ταῖς σπονδαῖς ταῖσδε δικαίως καὶ ἀδόλως.'
" ἔστω δὲ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις κατὰ
" ταὐτὰ ὅρκος πρὸς Ἀθηναίους, τὸν δὲ ὅρκον ἀνανεοῦσθαι
" κατ' ἐνιαυτὸν ἀμφοτέρους. στήλας δὲ στῆσαι Ὀλυμ-
" πιάσι καὶ Πυθοῖ καὶ Ἰσθμῷ καὶ ἐν Ἀθήναις ἐν πόλει
" καὶ ἐν Λακεδαίμονι ἐν Ἀμυκλαίῳ. εἰ δέ τι ἀμνημο-
" νοῦσιν ὁποτεροισοῦν καὶ ὅτου πέρι, λόγοις δικαίοις χρω-

5. Τὸν μέγιστον] ἤγουν τὸν ἰσχυρότατον.

περὶ τῶν Ἄθων Steph. Nempe sinu Toronico. ita scribit Hecataeus. Herodoto Σερμύλη. Cantacuzenus II. p. 78. Ἐκεῖσε δὲ ἐστρατοπεδευμένῳ ἠγγέλλετο ὑπό τινος ὁρμῷ πρὸς τὴν ἀγγελίαν ὁρμημένου, ὃς περὶ τὴν ΣΕΡΜΥΛΙΩΝ πόλιν, πάλαι μὲν φκισμένην, νυνὶ δὲ ὑπό τινος, ὡς ἔοικε, πολέμου κατεσκαμμένην, μεταξὺ Παλλήνης καὶ Ἄθω, ἐξήκοντα προέσχον νῆες Περσικαὶ, καὶ τὰ ἐκεῖσε χωρία πορθοῦσιν ἀναβάντες. Wass. Add. ad I. 65. Duk.

5. Ὅρκων τῶν μέγιστον] Conf. Demosthen. in Aristocrat. 438. Plutarch. in Dione circa finem. Diodor. II. p. 288. Reines. Inscr. VII. 26. Fabrett. Inscr. X. p. 674. Dionys. Hal. IX. 48. Wass.

ἑκάτεροι om. d.

7. καὶ ταῖς σπονδαῖς om. e.

8. ξυμμάχοις καὶ κατὰ B.F.H.

9. Ἀνανεοῦσθαι] Fœdus Hierapytn. et Herm. inter Marmora Oxon. Ἀναγινωσκόντων δὲ τὰν στάλαν κατ' ἐνιαυτὸν οἱ τύκαει Κοσμόντες παρ' ἑκατέροις ἐν τοῖς Ὑπερβωΐοις, καὶ προπαραγγελλόντων ἀλλάλοις πρὸ ἀμερᾶν δέκα ἢ κὰ μέλλοντι ἀναγινώσκειν. Vid. infra cap. 25. Wass.

11. Ἰσθμῷ] Veram puto conjecturam Porti Ἰσθμοῖ: nam sic et alii Scriptores. Lucian. de Gymnas. p. 272. et Neron. p. 802. Duk.

καὶ ἀθήναις A.B.F.H.I.K.N.Q. c.d.e.f.h.i.k. conf. c. 23. extr.

ἀθήνησιν g.

Ἐν πόλει] In arce. Sic Thucyd. II. 15. V. 23. et 47. Aristoph. Equit. 1090. καί μοι δέκει αὐτὴ ἐκ πόλεως ἐλθεῖν. Schol. ἐκ τῆς ἀκροπόλεως. De Amyclæo rursus infr. cap. 23. Polyb. V. 19. Duk.

12. ἀμνημονοῦσι καὶ ὁποτεροσοῦν g.

13. ὅτου Q. οἱ τοῦ A.B.F. τοῦ h. vulgo εἴ του.

χρωμένους—ἀμφοτέρους K.g.

" μένοις εὔορκον εἶναι ἀμφοτέροις ταύτῃ μεταθεῖναι, ὅπῃ
" ἂν δοκῇ ἀμφοτέροις, Ἀθηναίοις καὶ Λακεδαιμονίοις."

Ἄρχει δὲ τῶν σπονδῶν ἔφορος Πλειστόλας, Ἀρτεμι- 19.
σίου μηνὸς τετάρτῃ φθίνοντος, ἐν δὲ Ἀθήναις ἄρχων Ἀλ- et nomina eorum, qui fœdus pepigerunt.
καῖος, Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος. ὤμνυον δὲ
οἵδε καὶ ἐσπένδοντο, Λακεδαιμονίων μὲν Πλειστόλας,
Δαμάγητος, Χίονις, Μεταγένης, Ἄκανθος, Δαΐθος, Ἰσ-
χαγόρας, Φιλοχαρίδας, Ζευξίδας, Ἄντιππος, Τέλλις,
Ἀλκινίδας, Ἐμπεδίας, Μηνᾶς, Λάμφιλος, Ἀθηναίων δὲ
οἵδε, Λάμπων, Ἰσθμιόνικος, Νικίας, Λάχης, Εὐθύδημος,
Προκλῆς, Πυθόδωρος, Ἄγνων, Μυρτίλος, Θρασυκλῆς,
Θεαγένης, Ἀριστοκοίτης, Ἰώλκιος, Τιμοκράτης, Λέων,
Λάμαχος, Δημοσθένης.

Αὗται αἱ σπονδαὶ ἐγένοντο τελευτῶντος τοῦ χειμῶ- 20.
νος ἅμα ἦρι, ἐκ Διονυσίων εὐθὺς τῶν ἀστικῶν, αὐτόδεκα De computatione annorum hujus belli.
ἐτῶν διελθόντων καὶ ἡμερῶν ὀλίγων παρενεγκουσῶν ἢ ὡς

1. Ὅπῃ ἂν δοκῇ] ἤγουν ὡς ἂν δοκῇ. 15. Ἐκ Διονυσίων] ἤγουν μετὰ τὴν ἑορτὴν τοῦ Διονύσου. Αὐτοδεκαετῶν] ὁλοκλήρων. 16. Παρενεγκουσῶν]

1. ταύτῃ om. L.O.P.
3. τῶν om. L.
εἴφορος Q.
4. τετάρτῃ—ἕκτῃ F.
6. οἵδε] οἵδε λακεδαιμονίων A.B. h. αὐτοὶ i.
7. δαμαγήτου d.
χίωνις I.e. χίωνος d.
δάΐθος K. δαιδος g. δάϊος L.
8. ἄστιππος A.B.H.K.N.f.g. ἄνθιππος L.O. vulgo ἀνθίππος.
τέλλις A.B.F.H.I.K.L.N.b.c. d.e.h.i.k. κέλλις O.P. vulgo τίλλης. sed τέλλις et c. 24. βρασίδας ὁ τέλλιδος II. 25. III. 69. IV. 70.
9. ἀλκινίδης b.c. ἀκινίδας g.
ἐν πεδίοις c.
μίνας I.K.d.e.g.i.k. μίνης g.
11. πατροκλῆς L.O.
ἄγνων K.g.
12. θεογένης A.B.G.I.c.e.f.g.k.
ἀριστοκίτης A.B.F.H.I.K.N.Q. c.d.e.f.g.h.i.k.
ἰώλαιος e.
13. δημοκράτης c.
15. Ἐκ Διονυσίων εὐθὺς τῶν ἀστικῶν] Vide Palmer. Exerc. p. 505. et 617. Casaubon. in Athenæum p. 446. et in Theophrast. p. 131. Meurs. Athen. Att. p. 150. Scaligerum I. de Emendat. Temp. p. 29. et Spanhem. ad Aristoph. Nub. v. 310. Ἀστικὸς et ἀστυκὸς scribi tradunt Stephanus in Thes. et Jungermann. ad Polluc. IX. 17. Duk.
ἀστικῶν Q.c.e. ἀττικῶν K.
16. ὀλίγων ἡμερῶν e.
ὡς] ἐς d.e.i.
Ἡμερῶν ὀλίγων παρενεγκουσῶν]

Optimam esse eam rationem, quam Auctor secutus sit, ut annus in æstatem et hiemem describeretur. Ita prioris belli partis decem annos exigi.

τὸ πρῶτον ἡ ἐσβολὴ ἡ ἐς τὴν Ἀττικὴν καὶ ἡ ἀρχὴ τοῦ πολέμου τοῦδε ἐγένετο. σκοπείτω δέ τις κατὰ τοὺς χρόνους, καὶ μὴ τῶν ἐπασταχοῦ ἢ ἀρχόντων ἢ ἀπὸ τιμῆς τινὸς τὴν ἀπαρίθμησιν τῶν ὀνομάτων ἐς τὰ προγεγενημένα σημαινόντων πιστεύσας μᾶλλον. οὐ γὰρ ἀκριβές ἐστιν, οἷς καὶ ἀρχομένοις καὶ μεσοῦσι, καὶ ὅπως ἔτυχέ τῳ, ἐπεγένετό τι. κατὰ θέρη δὲ καὶ χειμῶνας ἀριθμῶν, ὥσπερ γέγραπται, εὑρήσει ἐξ ἡμισείας ἑκατέρου τοῦ ἐνιαυτοῦ τὴν δύναμιν ἔχοντος, δέκα μὲν θέρη, ἴσους δὲ χειμῶνας τῷ πρώτῳ πολέμῳ τῷδε γεγενημένους.

21. Cum in Thracia non εἶχον) τούς τε ἄνδρας εὐθὺς τοὺς παρὰ σφίσιν αἰχμαλώτους ἀφίεσαν, καὶ πέμψαντες ἐς τὰ ἐπὶ Θράκης πρόσ-

Λακεδαιμόνιοι δὲ (ἔλαχον γὰρ πρότεροι ἀποδιδόναι ἃ

παρελθουσῶν. 4. Σημαινόντων] σημασίαν καὶ δήλωσιν διδόντων. 5. Οὐ γὰρ ἀκριβές ἐστιν] ἤγουν ἀκριβὴς ἡ ἀλήθειά ἐστιν ἀπὸ τῶν ἀνθρώπων ἐκείνων, οἷς καὶ ἀρχομένοις (ἤγουν ἐν τῇ ἀρχῇ οὔσι τοῦ πολέμου) καὶ μεσοῦσιν (ἤγουν ἐν τῷ μέσῳ τοῦ πολεμοῦ οὔσιν) ἐπεγένετό τι. 7. Κατὰ θέρη δὲ καὶ χειμῶνας] κατὰ θέρη (φησί) καὶ χειμῶνας τὰ δέκα ἔτη σκοπείτω τις, καὶ μὴ ἐξαριθμείσθω μήτε τοὺς ἄρχοντας μήτε τοὺς ἀπὸ ἄλλης τινὸς τιμῆς ἐπωνύμους τοῖς ἔτεσι γεγενημένους. οὐ γὰρ ἀκριβῶς ἐντεῦθεν οἱ χρόνοι τῶν πράξεων λαμβάνονται, ἐπειδὴ καὶ κατὰ τοὺς πρώτους χρόνους τῶν ἀρχόντων καὶ κατὰ τοὺς μέσους καὶ κατὰ τοὺς τελευταίους πολλὰ ἐπράχθη. τὸ αἴτιον τοῦτό ἐστι τοῦ τὸν Θουκυδίδην κατὰ θέρη καὶ χειμῶνας τὸν χρόνον διῃρηκέναι, καὶ μὴ κατ' ἐνιαυτόν. 8. Ἐνιαυτοῦ τὴν δύναμιν ἔχοντες] ὅτι δέκα ἔτη ἐπολέμησαν Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι.

Paucis diebus additis. Sic cap. 26. εὑρήσει τις τοσαῦτα ἔτη καὶ ἡμέρας οὐ πολλὰς παρενεγκούσας. Hesychius: παρενεγκεῖν, παραθεῖναι, παραβαλεῖν. Dodvell. in Annalib. Thucyd. ad Olympiad. LXXXIX. 3. ubi lege de rationibus temporis a Thucydide notati disputantem. Duk.

1. τὸ πρότερον Q.
ἡ ἐς A.B.F.h. vulgo omittunt articulum.
2. τοῦδε om. d.
3. ἑκαστοῦ Q.
ἀπὸ] ἐκ h.
7. Κατὰ θέρη] Hanc rationem Thucydidis dividendi narrationem historiæ per æstates et hiemes veteres quidam improbaverunt. Vide Dionysium Halicarn. περὶ τοῦ Θουκυδίδου χαρακτῆρος cap. 9. et Theonem Progymnasm. cap. 4. p. 43. Duk.
9. πρώτῳ om. A. τῷδε om. d.
11. ἔλαχον πρότεροι f.
ἀποδιδόντες d.i.
12. εὐθὺς post αἰχμαλώτους ponit g.

βεις, Ἰσχαγόραν καὶ Μηνᾶν καὶ Φιλοχαρίδαν, ἐκέλευον τὸν Κλεαρίδαν τὴν Ἀμφίπολιν παραδιδόναι τοῖς Ἀθηναίοις, καὶ τοὺς ἄλλους τὰς σπονδὰς, ὡς εἴρητο ἑκάστοις, δέχεσθαι. οἱ δ' οὐκ ἤθελον, νομίζοντες οὐκ ἐπιτηδείας εἶναι· οὐδὲ ὁ Κλεαρίδας παρέδωκε τὴν πόλιν, χαριζόμενος τοῖς Χαλκιδεῦσι, λέγων ὡς οὐ δυνατὸς εἴη βίᾳ ἐκείνων παραδιδόναι. ἐλθὼν δὲ αὐτὸς κατὰ τάχος μετὰ πρέσβεων αὐτόθεν, ἀπολογησόμενός τε ἐς τὴν Λακεδαίμονα, ἣν κατηγορῶσιν οἱ περὶ τὸν Ἰσχαγόραν ὅτι οὐκ ἐπείθετο, καὶ ἅμα βουλόμενος εἰδέναι εἰ ἔτι μετακινητὴ εἴη ἡ ὁμολογία, ἐπειδὴ εὗρε κατειλημμένας, αὐτὸς μὲν πάλιν πεμπόντων τῶν Λακεδαιμονίων, καὶ κελευόντων μάλιστα μὲν καὶ τὸ χωρίον παραδοῦναι, εἰ δὲ μὴ, ὁπόσοι Πελοποννησίων ἔνεισιν, ἐξαγαγεῖν, κατὰ τάχος ἐπορεύετο. * οἱ δὲ ξύμμαχοι ἐν τῇ Λακεδαίμονι αὐτοὶ ἔτυχον ὄντες, καὶ αὐτῶν τοὺς μὴ δεξαμένους τὰς σπονδὰς ἐκέλευον οἱ Λακεδαιμόνιοι ποιεῖσθαι. οἱ δὲ, τῇ αὐτῇ προφάσει ἥπερ καὶ τὸ πρῶτον ἀπεώσαντο, οὐκ ἔφασαν δέξασθαι, ἢν μή τινας δικαιοτέρας τούτων ποιῶνται. ὡς δ' αὐτῶν οὐκ ἐσήκουον,

statim omnia ex pacto Atheniensibus tradi possent,

22. sociique Lacedæmoniorum nonnulli pacem abnuissent: Lacedæmonii vel fœdus cum Atheniensibus inierunt.

3. Καὶ τοὺς ἄλλους] συμμάχους. Ὡς εἴρητο] συνεφωνήθη. 4. Οὐκ ἤθελον] δέξασθαι τοὺς Ἀθηναίους. 5. Τὴν πόλιν] τὴν Ἀμφίπολιν. 6. Ἐκείνων] τῶν Χαλκιδέων. 8. Αὐτόθεν] ἤγουν ἀπὸ τῆς Ἀμφιπόλεως. 10. Μετακινητὴ] ἤγουν δυνατὴ κινηθῆναι. 11. Κατειλημμένας] ἰσχυράς. 14. Οἱ δὲ ξύμμαχοι] τῶν Λακεδαιμονίων. 16. Αὐτῶν] ἐξ αὐτῶν τῶν συμμαχων. 19. Δικαιοτέρας] ἰσχυροτέρας τῷ δικαίῳ. Τούτων] τῶν γενομένων. Αὐτῶν] τῶν συμμάχων. Οὐκ ἐσήκουον] οἱ Λακεδαιμόνιοι.

1. μίναν K.e. μίμαν g. μηραν c.d.i.
2. κλεαρίδα d.f.i.
παραδοῦναι Q.
4. ἐπιτηδείους K.c.d.f.
6. δυνατὸν L.
ἐκείνην g.
7. αὐτὸς καὶ κατὰ e.
8. ἀπολογησάμενός A.B.K.h.
10. εἴη ὁμολογία P.
17. ποιεῖσθαι] δέχεσθαι Q.f.
οὕπερ g.
καὶ om. K.
18. τὸ πρότερον e. et omisso articulo d.i.
καὶ οὐκ L.O.P.Q.k.

ἐκείνους μὲν ἀπέπεμψαν, αὐτοὶ δὲ πρὸς τοὺς Ἀθηναίους ξυμμαχίαν ἐποιοῦντο, νομίζοντες ἥκιστα ἂν σφίσι τούς τε Ἀργείους, ἐπειδὴ οὐκ ἤθελον Ἀμπελίδου καὶ Λίχου ἐλθόντων ἐπισπένδεσθαι, νομίσαντες αὐτοὺς ἄνευ Ἀθηναίων οὐ δεινοὺς εἶναι, καὶ τὴν ἄλλην Πελοπόννησον μάλιστ' ἂν ἡσυχάζειν· πρὸς γὰρ ἂν τοὺς Ἀθηναίους, εἰ ἐξῆν, χωρεῖν. παρόντων οὖν πρέσβεων ἀπὸ τῶν Ἀθηναίων, καὶ γενομένων λόγων, ξυνέβησαν, καὶ ἐγένοντο ὅρκοι καὶ ξυμμαχία ἤδη κατὰ τάδε.

23. Ejus fœderis exemplum,

"ΞΥΜΜΑΧΟΙ ἔσονται Λακεδαιμόνιοι πεντήκοντα ἔτη. ἢν δέ τινες ἴωσιν ἐς τὴν γῆν πολέμιοι τὴν Λακεδαιμονίων καὶ κακῶς ποιῶσι Λακεδαιμονίους, ὠφελεῖν

3. Ἐπειδὴ οὐκ ἤθελον] οὐ βουλομένων (φησί) τῶν ἄλλων συμμάχων σπένδεσθαι πρὸς τοὺς Ἀθηναίους, οἱ Λακεδαιμόνιοι καθ' ἑαυτοὺς ἐσπείσαντο, νομίζοντες ἥκιστα ἂν οὕτω πρὸς Ἀθηναίους χωρήσειν τοὺς Ἀργείους προσθησομένους αὐτοῖς. πεποιημένοι γὰρ ἔμπροσθεν πρὸς Λακεδαιμονίους σπονδάς, τότε τῶν Ἀθηναίων εὖ φερομένων, οὐκ ἐβούλοντο πρὸς Λακεδαιμονίους ἐπισπένδεσθαι, ἐλθόντων Ἀμπελίδου καὶ Λίχου. οὐκ ἐβούλοντο δὲ ἐπισπένδεσθαι οἱ Ἀργεῖοι, νομίζοντες χωρὶς Ἀθηναίων οὐ δεινοὺς εἶναι Λακεδαιμονίους. πρὸς τούτῳ δὲ καὶ τὴν ἄλλην Πελοπόννησον οἱ Λακεδαιμόνιοι ᾤοντο ἡσυχάζειν, γενομένων τῶν σπονδῶν. εἰ γὰρ μὴ ἐγεγόνεσαν, ἀλλὰ ἐξῆν προσχωρεῖν τοῖς Ἀθηναίοις, τούς τε Ἀργείους καὶ τοὺς Ἀχαιοὺς πρὸς Ἀθηναίους ἂν ἀνεστῆναι. 6. Χωρεῖν] τοὺς Πελοποννησίους. 8. Λόγων] συμβατικῶν.

1. πρὸς ἀθηναίους H.
2. ἐποιοῦντο A.B.F.I.N.Q.c.d. h.i.
νομίσαντες ἄνευ A.
5. οὐ δεινοὺς] οὐδενὸς e.
6. γὰρ τοὺς L.
7. ἀπὸ] ἐκ h.
8. ξυμμαχία κατὰ d.i.
11. ἴωσιν] ἴωνες c.
τὴν λακεδ.] τῶν λακεδ. Q.c.d.
12. ποιήσωσι O.

'Ωφελεῖν Ἀθηναίους Λακεδαιμονίους] Thom. Magister in ὠφελῶ scribit, ὠφελεῖν cum dativo apud solos poëtas inveniri; sed Thucydidem hic quoque dativum ei addere. Λακεδαιμονίοις etiam Dan. Sed non est recedendum a receptæ et omnium aliorum MSStorum auctoritate confirmata scriptura. Thomas quoque non recte habet ᾧ pro ὁτῳοῦν ἄν. Duk.

'Ωφελεῖν] Formula Fœd. Karthag. et Philippi apud Polybium VII. Μετὰ πάσης προθυμίας καὶ εὐνοίας ἄνευ δόλου καὶ ἐπιβουλῆς ἐσόμεθα πολέμιοι τοῖς πρὸς Καρχηδονίους πολεμοῦσι. Noster V. 47. Τρόπῳ ὁτῳοῦν ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν. Wass.

" Ἀθηναίους Λακεδαιμονίους τρόπῳ ὁποίῳ ἂν δύνωνται
" ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν. ἦν δὲ δηώσαντες εἴχων-
" ται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Λακεδαιμονίοις
" καὶ Ἀθηναίοις καὶ κακῶς πάσχειν ὑπὸ ἀμφοτέρων,
" καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλει. ταῦτα δ' εἶναι
" δικαίως καὶ προθύμως καὶ ἀδόλως. καὶ ἤν τινες ἐς
" τὴν Ἀθηναίων γῆν ἴωσι πολέμιοι καὶ κακῶς ποιῶσιν
" Ἀθηναίους, ἀφελεῖν Λακεδαιμονίους τρόπῳ ὅτῳ ἂν δύ-
" νωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν. ἦν δὲ δηώσαντες
" εἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Λακεδαι-
" μονίοις καὶ Ἀθηναίοις καὶ κακῶς πάσχειν ὑπ' ἀμφο-
" τέρων, καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλει. ταῦτα δ'
" εἶναι δικαίως καὶ προθύμως καὶ ἀδόλως. ἦν δὲ ἡ δου-
" λεία ἐπανιστῆται, ἐπικουρεῖν Ἀθηναίους Λακεδαιμονί-
" οις παντὶ σθένει κατὰ τὸ δυνατόν. Ὀμοῦνται δὲ ταῦ-
" τα οἵπερ καὶ τὰς ἄλλας σπονδὰς ὤμνυον ἑκατέρων.
" ἀναιεῦσθαι δὲ κατ' ἐνιαυτὸν Λακεδαιμονίους μὲν ἰόν-
" τας ἐς Ἀθήνας πρὸς τὰ Διονύσια, Ἀθηναίους δὲ ἰόντας
" ἐς Λακεδαίμονα πρὸς τὰ Ὑακίνθια. στήλην δὲ ἑκατέ-
" ρους στῆσαι, τὴν μὲν ἐν Λακεδαίμονι παρ' Ἀπόλλωνι

3. Ταύτην τὴν πόλιν] τῶν κακῶς ποιησάντων τοὺς Λακεδαιμονίους. 5. Ἄμφω τὼ πόλει] λείπει, τὴν ἐπελθοῦσαν πόλιν. 13. Ἢν δὲ ἡ δουλεία ἐπανιστῆται] ἀντὶ τοῦ, ἢν δὲ οἱ Εἵλωτες ἐπανίστωνται. ἤγουν τὸ πλῆθος τῶν δούλων. 15. Παντὶ σθένει κατὰ τὸ δυνατόν] ἤγουν κατὰ γῆν καὶ κατὰ θάλασσαν.

1. λακεδαιμονίοις P.
οἵῳ I.L.O.e.k. ᾧ d.i. ὁποίῳ bis est c. 47.
4. ἀμφοτέρω g.
6. ἀδόλως h.
καὶ ἤν—πόλει] om. L.O. καὶ ἤν—ἀδόλως] om. P.
7. τὴν ἀθηναίων B.c.d.f. vulgo τὴν τῶν ἀθηναίων.
πολέμιοι om. d.
13. Δουλεία] Τὸ πλῆθος τῶν οἰκετῶν sic dici ex hoc loco docet Pollux III. 75. Duk.
14. ἐπανιστῆται A.B.F.H. ἐπανίστανται K.Q. vulgo ἐπανίστηται.
16. καὶ] διὰ B.
17. δὲ κατ' A.B.F.H.K.N.e.f. g. ceteri δὲ ταῦτα κατ'.
19. Στήλην] Aliquando in tripode scribebant. Eurip. Suppl. 1202. D. Halic. p. 257. Wass.

" ἐν Ἀμυκλαίῳ, τὴν δὲ ἐν Ἀθήναις ἐν πόλει παρ' Ἀθηνᾷ.
" ἢν δέ τι δοκῇ Λακεδαιμονίοις καὶ Ἀθηναίοις προσθεῖ-
" ναι καὶ ἀφελεῖν περὶ τῆς ξυμμαχίας, ὅ τι ἂν δοκῇ,
" εὔορκον ἀμφοτέροις εἶναι."

24. et nomina eorum, qui societati fœdus ab utraque parte juraverunt. Lacedæmonii in insula capti redduntur.

Τὸν δὲ ὅρκον ὤμνυον Λακεδαιμονίων μὲν οἵδε, Πλειστοάναξ, Ἄγις, Πλειστόλας, Δαμάγητος, Χίονις, Μεταγένης, Ἄκανθος, Δάϊθος, Ἰσχαγόρας, Φιλοχαρίδας, Ζευξίδας, Ἄντιππος, Ἀλκινάδας, Τέλλις, Ἐμπεδίας, Μηνᾶς, Λάφιλος, Ἀθηναίων δὲ Λάμπων, Ἰσθμιόνικος, Λάχης, Νικίας, Εὐθύδημος, Προκλῆς, Πυθόδωρος, Ἄγνων, Μυρτίλος, Θρασυκλῆς, Θεαγένης, Ἀριστοκράτης, Ἰώλκιος, Τιμοκράτης, Λέων, Λάμαχος, Δημοσθένης.

Αὕτη ἡ ξυμμαχία ἐγένετο μετὰ τὰς σπονδὰς οὐ πολλῷ ὕστερον, καὶ τοὺς ἄνδρας τοὺς ἐκ τῆς νήσου ἀπέδοσαν οἱ Ἀθηναῖοι τοῖς Λακεδαιμονίοις, καὶ τὸ θέρος ἦρχε τοῦ ἑνδεκάτου ἔτους. ταῦτα δὲ τὰ δέκα ἔτη ὁ πρῶτος πόλεμος ξυνεχῶς γενόμενος γέγραπται.

25. Novæ turbæ socio-

Μετὰ δὲ τὰς σπονδὰς καὶ τὴν ξυμμαχίαν τῶν Λακεδαιμονίων καὶ τῶν Ἀθηναίων, αἳ ἐγένοντο μετὰ τὸν

13. Μετὰ τὰς σπονδὰς] τὰς κοινὰς δηλονότι, ὧν μετεῖχον καὶ οἱ σύμμαχοι. 14. Τοὺς ἐκ τῆς νήσου] ληφθέντας δηλονότι. 17. Ξυνεχῶς] ἀδιαστάτως.

1. ἀμυκλέῳ K.Q.
ἐν om. Q.
4. Εὔορκον] Sunt et hæc satis ex formula. Polybius p. 703. Ἐὰν δὲ δοκῇ ἡμῖν ἀφελεῖν ἢ προσθεῖναι πρὸς τόνδε τὸν ὅρκον, ἀφελοῦμεν ἢ προσθήσομεν ὡς ἂν ἡμῖν δοκεῖ ἀμφοτέροις. Fœd. Hierapytn. Αἱ δ' ἔτι κὰ κοιναὶ συμφέροντι διορθώσασθαι, κύριον ἔστω τὸ διορθωθέν. Wass.
5. μὲν οἵδε] οἱ μὲν K.N.
7. φιλοχαρίδης L.
8. ζευξίλας A.F.H.K.f.g.h.
ἀλκιδάμας Q. ὀλκινάδας O.
ἀμπεδίας B.h.
9. λάμφιλος P. λάμφυλος L. λάμφυος Q.
10. πυθόδ.—θρασυκλῆς] om. L.
12. λέων om. L.P.
13. ξύμβασις L.O.P.
ἐγίνετο c.d.
14. Νήσου] Insulam intellige Sphacteriam. Ita loquitur p. 311. 335. 467. Wass.
15. οἱ om. f.
16. δεκάτου h.
ταῦτα τὰ L.O.
17. γιγνόμενος i. γινόμενος c.

δεκαετῆ πόλεμον ἐπὶ Πλειστόλα μὲν ἐν Λακεδαίμονι ἐφόρου, Ἀλκαίου δ' ἄρχοντος Ἀθήνησι, τοῖς μὲν δεξαμένοις αὐτὰς εἰρήνη ἦν, οἱ δὲ Κορίνθιοι καὶ τῶν ἐν Πελοποννήσῳ πόλεών τινες διεκίνουν τὰ πεπραγμένα, καὶ εὐθὺς ἄλλη ταραχὴ καθίσταται τῶν ξυμμάχων πρὸς τὴν Λακεδαίμονα. καὶ ἅμα καὶ τοῖς Ἀθηναίοις οἱ Λακεδαιμόνιοι προϊόντος τοῦ χρόνου ὑποπτοι ἐγένοντο, ἔστιν ἐν οἷς οὐ ποιοῦντες ἐκ τῶν ξυγκειμένων ἃ εἵρητο. καὶ ἐπὶ ἓξ ἔτη μὲν καὶ δέκα μῆνας ἀπέσχοντο μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι, ἔξωθεν δὲ μετ' ἀναχωχῆς οὐ βεβαίου ἔβλαπτον ἀλλήλους τὰ μάλιστα· ἔπειτα μέντοι καὶ ἀναγκασθέντες λῦσαι τὰς μετὰ τὰ δέκα ἔτη σπονδὰς αἴθις ἐς πόλεμον φανερὸν κατέστησαν. * γέγραφε δὲ καὶ ταῦτα ὁ αὐτὸς Θουκυδίδης Ἀθηναῖος ἑξῆς, ὡς ἕκαστα ἐγένετο, κατὰ θέρη καὶ χειμῶνας, μέχρι οὗ τήν τε ἀρχὴν κατέπαυσαν τῶν Ἀθηναίων Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι, καὶ τὰ μακρὰ τείχη καὶ τὸν Πειραιᾶ

rum in Lacedaemonios: integrata inter hos et Athenienses inimicitia breviter significatur.

26. Viginti septem annos totum bellum extractum esse defenditur. In illud bellum Thucy-

συνημμένους. 4. Διεκίνουν τὰ πεπραγμένα] κατέλυον τὰ κατὰ τὰς σπονδάς. 6. Καὶ ἅμα] σὺν τούτῳ. 7. Ὕποπτοι] ἦγον διάφοροι. 8. Ἃ εἵρητο] ἐν ταῖς σπονδαῖς. Καὶ ἐπὶ ἓξ ἔτη μὲν καὶ δέκα μῆνας] ἓξ ἔτη καὶ δέκα μῆνας ἡ ἀβέβαιος εἰρήνη Λακεδαιμονίων καὶ Ἀθηναίων, μετὰ τὴν συμπλήρωσιν τοῦ δεκάτου ἔτους, παρέτεινεν. 9. Ἐπὶ τὴν ἑκατέρων] ἐπὶ τὴν ἀλλήλων.

1. ἐνδεκαετῆ c.i.
ἐπὶ om. e.
4. διεκίνουν B.h.
5. καθίσταται f.
8. οὐ ποιοῦντες] ἐκποιοῦντες, in margine ἐκλιπόντες, c.
συνκειμένων K.
εἴρηται Q.
Ἐπὶ ἓξ ἔτη] Ἐπὶ ἑπτὰ ἔτη legendum esse censet Acacius. Huds. Acacio adsentitur Dodvellus in Annalib. Thucyd. ad Ann. XVIII. Belli Peloponn. pag. 198. sed putat legendum καὶ ἑπτὰ ἔτη μὲν καὶ δύο μῆνας. Duk.
9. μῆνας δέκα Q.
τὴν om. K.c.
ἑκατέραν A.B.
12. μετὰ δέκα Q.
13. καθίσταντο B.h.
14. δὲ ταῦτα d.i.
θουκυδίδης ἑξῆς f.
ὡς om. P.Q.
15. κατὰ τὰ θέρη L.O.P.k.

didis statem ferme incidere.

κατέλαβον. ἔτη δὲ ἐς τοῦτο τὰ ξύμπαντα ἐγένετο τῷ πολέμῳ ἑπτὰ καὶ εἴκοσι. καὶ τὴν διὰ μέσου ξύμβασιν εἴ τις μὴ ἀξιώσει πόλεμον νομίζειν, οὐκ ὀρθῶς δικαιώσει. τοῖς τε γὰρ ἔργοις ὡς διήρηται, ἀθρείτω, καὶ εὑρήσει οὐκ εἰκὸς ὂν εἰρήνην αὐτὴν κριθῆναι, ἐν ᾗ οὔτε ἀπέδοσαν πάντα οὔτ' ἀπεδέξαντο ἃ ξυνέβεντο, ἔξω τε τούτων πρὸς τὸν Μαντινικὸν καὶ Ἐπιδαύριον πόλεμον καὶ ἐς ἄλλα ἀμφοτέροις ἁμαρτήματα ἐγένοντο, καὶ οἱ ἐπὶ Θράκης ξύμμαχοι οὐδὲν ἧσσον πολέμιοι ἦσαν, Βοιωτοί τε ἐπεχείρουν δεχήμερον ἦγον. ὥστε ξὺν τῷ πρώτῳ πολέμῳ τῷ δεκαετεῖ καὶ τῇ μετ' αὐτὸν ὑπόσπονδῳ ἀπαλλαγῇ καὶ τῷ ὕστερον ἐξ αὐτῆς πολέμῳ εὑρήσει τις τοσαῦτα ἔτη, λογιζόμενος κατὰ τοὺς χρόνους, καὶ ἡμέρας οὐ πολλὰς παρενεγκούσας,

2. Ἑπτὰ καὶ εἴκοσιν] εἴκοσι ἑπτὰ ἔτη ὁ πόλεμος τῶν Πελοποννησίων καὶ Ἀθηναίων παρέτεινεν. 3. Οὐκ ὀρθῶς δικαιώσει] ἀντὶ τοῦ οὐκ ἀληθῶς καὶ δικαίως κρινεῖ. 6. Ἔξω τε τούτων] ἄνευ τούτων. 9. Οὐδὲν ἧσσον πολέμιοι ἦσαν] καὶ μετὰ τὴν εἰρήνην δηλονότι. Βοιωτοί τε ἐπεχείρουν δεχήμερον ἦγον] Βοιωτοί τε πρὸς δέκα ἡμέρας ἐπεχείρουν ἐπεστρέβοντο πρὸς Ἀθηναίους. 10. Τῷ δεκαετεῖ] τῷ προειρημένῳ.

1. κατέβαλον f.

Κατέλαβον] Si unus alterve bonæ notæ Codex cum ea scriptura, quam corrector in Gr. inter versus scripsit, consentiret, eam non rejiciendam putarem. Plutarchus Lysandr. p. 806. Τὰ δὲ τέλη τῶν Λακεδαιμονίων ἔγνω, καββαλόντες τὸν Πειραῖα καὶ τὰ μακρὰ σκέλη. καθελεῖν dicit Xenophon II. Græc. p. 460. Ἐπιοῦντο εἰρήνην, ἐφ' ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραῖα καθελόντας. Diodor. Sicul. p. 389. περιελεῖν. Dukr.

Ἔτη δὲ—ἐγέν.] Non videtur concordare Xenophon. Nam lib. 1. Ἑλλ. ait viginti octo durasse annos, et viginti novem Ephoros nominat, et numerat usque ad reditum Lysandri, post pacem factam et muros eversos et Samum captam. Sed Xenophon numeravit primum et ultimum annum integros; Thucydides vero exactius. *Palmerius* Exercitat. p. 52.

ἐν τούτῳ f.

ἐγένοντο τὰ ξύμπαντα I.L.O.P.

3. ἀξιώσει L.O.P.b.c.d.i.k.

4. διείρηται L.O.c d.i.

6. οὔτ' ἀπεδέξαντο] Malim οὐδ' ἀπεδέξαντο.

μαντικὸν e.i.

7. τἆλλα Q.

ἐγένοντο A.B.F.H.I.K.L.O.P. Q.c.d.f.g.h.i.k. vulgo ἐγένετο.

13. οὐ πολλὰς om. K.

καὶ τοῖς ἀπὸ χρησμῶν τι ἰσχυρισαμένοις μόνον δὴ τοῦτο ἐχυρῶς ξυμβάν. ἀεὶ γὰρ ἔγωγε μέμνημαι, καὶ ἀρχομένου τοῦ πολέμου καὶ μέχρι οὗ ἐτελεύτησε, προφερόμενον ὑπὸ πολλῶν ὅτι τρὶς ἐννέα ἔτη δέοι γενέσθαι αὐτόν. ἐπεβίων δὲ διὰ παντὸς αὐτοῦ, αἰσθανόμενός τε τῇ ἡλικίᾳ, καὶ προσέχων τὴν γνώμην, ὅπως ἀκριβές τι εἴσομαι· καὶ ξυνέβη μοι φεύγειν τὴν ἐμαυτοῦ ἔτη εἴκοσι μετὰ τὴν ἐς Ἀμφίπολιν στρατηγίαν, καὶ γενομένῳ παρ' ἀμφοτέροις τοῖς πράγμασι, καὶ οὐχ ἧσσον τοῖς Πελοποννησίων διὰ τὴν φυγήν, καθ' ἡσυχίαν τι αὐτῶν μᾶλλον αἴσθεσθαι. τὴν οὖν μετὰ τὰ δέκα ἔτη διαφοράν τε καὶ ξύγχυσιν τῶν σπονδῶν, καὶ τὰ ἔπειτα ὡς ἐπολεμήθη, ἐξηγήσομαι.

Ἐπειδὴ γὰρ αἱ πεντηκοντούτεις σπονδαὶ ἐγένοντο καὶ ὕστερον αἱ ξυμμαχίαι, καὶ εἰ ἀπὸ τῆς Πελοποννήσου πρεσβεῖαι, αἵπερ παρεκλήθησαν ἐς αὐτὰ, ἀνεχώρουν ἐκ τῆς Λακεδαίμονος. καὶ οἱ μὲν ἄλλοι ἐπ' οἴκου ἀπῆλθον,

27. Corinthii Argivos ad societatem cum omnibus, quam vellent, li-

1. Ἰσχυρισαμένοις] προτείνουσί τι ἰσχυρόν. Μόνον δὴ τοῦτο ἐχυρῶς ξυμβάν] ἤτει μόνον δὴ τοῦτο ἰσχυρῶς μαρτυρῆσαν. 3. Προφερόμενον] προλεγόμενον. 4. Ἐπεβίων δὲ] ἦγον μετὰ τὴν κίνησιν τοῦ πολέμου. 5. Αἰσθανόμενός τε] ἀντὶ τοῦ ἀκμάζων, διὰ τὸ μὴ παρηβηκέναι τὴν ἡλικίαν, παρακολουθῶν πᾶσι. 8. Παρ' ἀμφοτέροις] τοῖς τῶν Λακεδαιμονίων καὶ Ἀθηναίων. 10. Αὐτῶν] τῶν πραγμάτων. Αἴσθεσθαι] διὰ τὸ ἡσυχάζειν, καὶ μὴ πολεμεῖν αὐτοῦ, μᾶλλον παρηκολούθησα τοῖς γενομένοις. 12. Ὡς ἐπολεμήθη] μετὰ τοῦ πολέμου κατέστη. 14. Αἱ πεντηκοντούτεις] αἱ κοιναί. 15. Αἱ ξυμμαχίαι] ἦγον αἱ ἴδιαι, αἱ

1. Καὶ τοῖς—ἐξηγήσομαι] Dionys. Halic. Tom. II. pag. 142.
τοῖς om. K.
ἀπὸ] ἐκ h. om. Dionysius.
2. ἐχυρῶς Dionysius : *ἰσχυρῶς* K.N.
ἐγὼ Dionysius.
3. προσφερόμενον P.
4. τρεῖς F.H.Q.
5. αἰσθόμενος L.O.P.
τῇ γνώμῃ d.e.
6. ἀκριβῶς e. cum Dionysio.
9. πελοποννησίοις A.F.g.h. cum eodem.
10. αἴσθεσθαι A.B.F. ceteri *αἰσθέσθαι*.
11. τὴν μὲν οὖν K.
μετὰ δέκα e. cum Dionysio.
διαφορὰν καὶ c.d.
14. πεντηκοντούτις A.h.
15. καὶ αἱ] αἱ καὶ A.B.F.H.h. καὶ, omisso articulo, K.P.g.e.
ἀπὸ] ἐκ h.
τῆς om. L.
16. αἱ, omisso περ, F.
17. καὶ om. L.O.P.

berls civitatibus incupdam incitant,

Κορίνθιοι δὲ ἐς Ἄργος τραπόμενοι πρῶτον λόγους ποιοῦνται πρός τινας τῶν ἐν τέλει ὄντων Ἀργείων, ὡς χρὴ, ἐπειδὴ Λακεδαιμόνιοι οὐκ ἐπ' ἀγαθῷ ἀλλ' ἐπὶ καταδουλώσει τῆς Πελοποννήσου σπονδὰς καὶ ξυμμαχίαν πρὸς Ἀθηναίους τοὺς πρὶν ἐχθίστους πεποίηνται, ὁρᾶν τοὺς Ἀργείους ὅπως σωθήσεται ἡ Πελοπόννησος, καὶ ψηφίσασθαι τὴν βουλομένην πόλιν τῶν Ἑλλήνων, ἥτις αὐτόνομός τέ ἐστι, καὶ δίκας ἴσας καὶ ὁμοίας δίδωσι, πρὸς Ἀργείους ξυμμαχίαν ποιεῖσθαι, ὥστε τῇ ἀλλήλων ἐπιμαχεῖν· ἀποδεῖξαι δὲ ἄνδρας ὀλίγους ἀρχὴν αὐτοκράτορας, καὶ μὴ πρὸς τὸν δῆμον τοὺς λόγους εἶναι, τοῦ μὴ καταφανεῖς γίγνεσθαι τοὺς μὴ πείσαντας τὸ πλῆθος. ἔφασαν δὲ πολλοὺς προσχωρήσεσθαι μίσει τῶν Λακεδαιμονίων. καὶ οἱ μὲν Κορίνθιοι διδάξαντες ταῦτα ἀνεχώρησαν ἐπ' οἴκου·

28. et persuadent iisdem, tum temporis florentibus, ut praeter Lacedae-

* οἱ δὲ τῶν Ἀργείων ἄνδρες ἀκούσαντες, ἐπειδὴ ἀνήνεγκαν τοὺς λόγους ἔς τε τὰς ἀρχὰς καὶ τὸν δῆμον, ἐψηφίσαντο Ἀργεῖοι, καὶ ἄνδρας εἵλοντο δώδεκα πρὸς οὓς τὸν βουλόμενον τῶν Ἑλλήνων ξυμμαχίαν ποιεῖσθαι

πρὸς Ἀθηναίους ἐκ Λακεδαίμονος, καὶ ἀνάπαλιν. 1. Τραπόμενοι] ἀπελθόντες. 2. Πρός τινας τῶν ἐν τέλει ὄντων Ἀργείων] ἤγουν πρός τινας ἄρχοντας τῶν Ἀργείων. 3. Οὐκ ἐπ' ἀγαθῷ] οὐκ ἐπὶ συμφέροντι. 6. Καὶ ψηφίσασθαι] τοὺς Ἀργείους. 9. Τῇ ἀλλήλων] ἀσθενεῖ δηλονότι οὔσῃ καὶ κατατριβομένῃ ὑπὸ τῶν ἐναντίων. 10. Ἀποδεῖξαι] ἤγουν γνωρίμους καταστῆσαι ἡμῖν. Αὐτοκράτορας] ἀνάθεσιν τῶν ὅλων πραγμάτων ἔχοντας. 11. Μὴ πρὸς τὸν δῆμον τοὺς λόγους εἶναι] τοὺς σπενδομένους τοῖς Ἀργείοις μὴ τῷ δήμῳ διαλέγεσθαι, ἀλλὰ τοῖς αὐτοκράτορα ἔχουσιν ἀρχήν. Τοῦ μὴ καταφανεῖς] ἵνα μὴ φωραθῶσιν ὑπὸ τῶν Λακεδαιμονίων οἱ συνθέμενοι τοῖς Ἀργείοις. 12. Γίγνεσθαι] τοὺς Κορινθίους ἢ ἄλλους. Τὸ πλῆθος] τῶν Ἀργείων. 13. Προσχωρήσεσθαι] τοῖς Ἀργείοις. 15. Ἀκούσαντες] τῶν Κορινθίων. 16. Ἀνήνεγκαν τοὺς λόγους] τῶν Κορινθίων. Ἔς τε τὰς ἀρχὰς] εἰς τοὺς ἐν τέλει.

4. τὰς σπονδὰς h.
ξυμμαχίας L.O.P.c.d.k.
πρὸς] ἐποιήσαντο πρὸς, omisso postea πεποίηνται, h.
7. αὐτόματός h.
9. τε K.
11. τοὺς λόγους A.B.H.I.K.L. N.O.c.d.e.f.g.h.i.k. vulgo omittunt articulum.
16. τε om.Q.

πλὴν Ἀθηναίων καὶ Λακεδαιμονίων, τούτων δὲ μηδετέροις ἐξεῖναι ἄνευ τοῦ δήμου τοῦ Ἀργείων σπείσασθαι. ἐδέξαντό τε ταῦτα οἱ Ἀργεῖοι μᾶλλον, ὁρῶντες τόν τε τῶν Λακεδαιμονίων σφίσι πόλεμον ἐσόμενον (ἐπ' ἐξόδῳ γὰρ πρὸς αὐτοὺς αἱ σπονδαὶ ἦσαν), καὶ ἅμα ἐλπίσαντες τῆς Πελοποννήσου ἡγήσεσθαι. κατὰ γὰρ τὸν χρόνον τοῦτον ἥ τε Λακεδαίμων μάλιστα δὴ κακῶς ἤκουσε καὶ ὑπερώφθη διὰ τὰς ξυμφορὰς, οἵ τε Ἀργεῖοι ἄριστα ἔσχον τοῖς πᾶσιν, οὐ ξυναράμενοι τοῦ Ἀττικοῦ πολέμου, ἀμφοτέροις δὲ μᾶλλον ἔνσπονδοι ὄντες ἐκκαρπωσάμενοι. οἱ μὲν οὖν Ἀργεῖοι οὕτως ἐς τὴν ξυμμαχίαν προσεδέχοντο τοὺς ἐθέλοντας τῶν Ἑλλήνων, * Μαντινῆς δ' αὐτοῖς καὶ οἱ ξύμμαχοι αὐτῶν πρῶτοι προσεχώρησαν, δεδιότες τοὺς Λακεδαιμονίους. τοῖς γὰρ Μαντινεῦσι μέρος τι τῆς Ἀρκαδίας κατέστραπτο ὑπήκοον ἔτι τοῦ πρὸς Ἀθηναίους πολέμου ὄντος, καὶ ἐνόμιζον οὐ περιόψεσθαι σφᾶς τοὺς

monios et Athenienses quamlibet civitatem ad societatem suam admittant.

29. Primi Mantinenses ad Argivos se conferunt, ut contra Lacedæmonios eam Arcadiæ

1. Τούτων] τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων. 5. Αἱ σπονδαὶ] τῶν Λακεδαιμονίων. 6. Ἡγήσεσθαι] ἡγεμόνες ἔσεσθαι. Τὸν χρόνον τοῦτον] τὸν τοῦ πολέμου δηλονότι. 7. Μάλιστα δὴ] ὑπερβαλλόντως. Κακῶς ἤκουσεν] ὑβρίσθη. Καὶ ὑπερώφθη] ἐξουδενώθη. 8. Διὰ τὰς ξυμφοράς] διὰ τὰς ταλαιπωρίας, ἃς ἔπαθον οἱ Ἕλληνες. Ἄριστα ἔσχον] διετέθησαν. 9. Ἀμφοτέροις] τοῖς Ἀθηναίοις καὶ Λακεδαιμονίοις. 10. Ἐκκαρπωσάμενοι] τοὺς καρποὺς καὶ τὰς τροσόδους λαβόντες ἀπὸ τῆς γῆς ἀκεραίους, διὰ τὸ μὴ πολεμεῖν. 12. Αὐτοῖς] τοῖς Ἀργείοις. 13. Αὐτῶν] τῶν Μαντινέων. 15. Κατέστραπτο] δεδούλωτο. Ὑπήκοον] τῶν Λακεδαιμονίων. 16. Οὐ περιόψεσθαι σφᾶς] οὐκ ἐπιτρέψειν τοῖς Μαντινεῦσι τοὺς Λακεδαιμονίους ἄρχειν τῶν κατεστραμμένων, καὶ ταῦτα σχολὴν ἄγοντας τοὺς Λακεδαιμονίους.

1. πλὴν ἀθηναίων καὶ om. I.

2. Ἄνευ τοῦ δήμου τῶν Ἀργείων] Vid. ad IV. 78. Duk.

τοῦ ἀργείων A.B.h. vulgo τῶν ἀργείων.

σπείσασθαι] ποιήσασθαι B.

3. ὁρῶντες τῶν e.i.k. ὁρῶντες τὸν τῶν L.O.P.

4. ἐσόμενον om. e.

6. ἡγήσασθαι c.i.k.

κατὰ] καὶ Q.

8. Διὰ τὰς ξυμφορὰς] Aliter, et rectius, quam Scholiastes, hoc accepit Diodorus Sicul. XII. 324. Τῶν δὲ Λακεδαιμονίων τεταπεινωμένων τῇ δίξῃ διὰ τὴν ἅλωσιν τῶν ἐν τῇ Σφακτηρίᾳ νήσῳ. Duk.

11. προσδέχονται e. οὐ προσεδέχοντο B.h.

13. πρῶτοι om. K.

partem, quam per belli Pelop. priores annos sibi subjecerant, defendant. Deinde pleræque Peloponnesiæ civitates, illorum exemplum secutæ, eosque plus sapere putantes, multæ vero etiam Lacedæmonios odio habentes, ad Argivos transiere.

Λακεδαιμονίους ἄρχειν, ἐπειδὴ καὶ σχολὴν ἦγον· ὥστε ἄσμενοι πρὸς τοὺς Ἀργείους ἐτράποντο, πόλιν τε μεγάλην νομίζοντες καὶ Λακεδαιμονίοις ἀεὶ διάφορον, δημοκρατουμένην τε ὥσπερ καὶ αὐτοί. ἀποστάντων δὲ τῶν Μαντινέων, καὶ ἡ ἄλλη Πελοπόννησος ἐς θροῦν καθίστατο ὡς καὶ σφίσι ποιητέον τοῦτο, νομίσαντες πλέόν τέ τι εἰδόταις μεταστῆναι αὐτοὺς, καὶ τοὺς Λακεδαιμονίους ἅμα δι' ὀργῆς ἔχοντες, ἐν ἄλλοις τε καὶ ὅτι ἐν ταῖς σπονδαῖς ταῖς Ἀττικαῖς ἐγέγραπτο εὔορκον εἶναι προσθεῖναι καὶ ἀφελεῖν ὅ τι ἂν ἀμφοῖν τοῖν πολέοιν δοκῇ, Λακεδαιμονίοις καὶ Ἀθηναίοις. τοῦτο γὰρ τὸ γράμμα μάλιστα τὴν Πελοπόννησον διεθορύβει, καὶ ἐς ὑποψίαν καθίστη μὴ μετὰ Ἀθηναίων σφᾶς βούλωνται Λακεδαιμόνιοι δουλώσασθαι· δίκαιον γὰρ εἶναι πᾶσι τοῖς ξυμμάχοις γεγράφθαι τὴν μετάθεσιν. ὥστε φοβούμενοι οἱ πολλοὶ ὥρμηντο πρὸς τοὺς Ἀργείους καὶ αὐτοὶ ἕκαστοι

1. Σχολὴν ἦγον] οἱ Λακεδαιμόνιοι. Ὥστε ἄσμενοι] οἱ Μαντινεῖς. 2. Μεγάλην] ἰσχυράν. 3. Διάφορον] μαχρμένην. Δημοκρατουμένην] εὐνομουμένην. 6. Τοῦτο] ἦγουν τὸ προσελθεῖν τοῖς Ἀργείοις. Νομίσαντες] οἱ Πελοποννήσιοι. Εἰδότας] τοὺς Μαντινεῖς. 7. Μεταστῆναι αὐτούς] τοὺς Μαντινέας. 8. Ἐν ταῖς σπονδαῖς ταῖς Ἀττικαῖς] ἀντὶ τοῦ ἐπὶ τοὺς Ἀττικούς. 12. Τὴν Πελοπόννησον διεθορύβει] διὰ πάσης τῆς Πελοποννήσου θόρυβον καθίστη. 14. Πᾶσι τοῖς ξυμμάχοις] ἦγουν σὺν πᾶσιν. 15. Οἱ πολ-

1. καὶ om. Q.
5. ἐς] ὡς P.
6. ὡς σφίσι k.
ποιητέον P.
πλέον τέ τι A.B.F.H.K.L. N.O.f.g.h.i.k. πλέων δέ τι l. vulgo omittunt τε.
8. ἐν σπονδαῖς g.
9. ἐγγέγραπτο h.
Εὔορκον] Vid. cap. 18. et 23. Wass.
13. βούλωνται Q.g.
14. δουλώσεσθαι c.
εἶναι] αὐτῶν B. αὐτῷ h.
16. Ὥρμηντο πρὸς τοὺς Ἀργείους] Hæc conjunxit Portus in versione, ac deinde supplementum addidit, ut et ipsi singuli societatem *cum illis* facerent. Sed ordo verborum est, ὥρμηντο καὶ αὐτοὶ ἕκαστοι ποιεῖσθαι ξυμμαχίαν πρὸς τοὺς Ἀργείους. Ὁρμάομαι cum Infinitivo est apud Thucydidem III. 45. 92. et apud omnes alios. Vid. Thom. Magistr. in βούλομαι. Et ξυμμαχίαν ποιεῖσθαι πρός τινα. Thucyd. sæpissime. Vid. supr. cap. 22. et 27. Duk.

ξυμμαχίαν ποιεῖσθαι. * Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸν θροῦν τοῦτον ἐν τῇ Πελοποννήσῳ καθεστῶτα, καὶ τοὺς Κορινθίους διδασκάλους τε γενομένους καὶ αὐτοὺς μέλλοντας σπείσασθαι πρὸς τὸ Ἄργος, πέμπουσι πρέσβεις ἐς τὴν Κόρινθον, βουλόμενοι προκαταλαβεῖν τὸ μέλλον, καὶ ἠτιῶντο τήν τε ἐσήγησιν τοῦ παντὸς, καὶ εἰ Ἀργείοις σφῶν ἀποστάντες ξύμμαχοι ἔσονται, παραβῆσεσθαί τε ἔφασαν αὐτοὺς τοὺς ὅρκους, καὶ ἤδη ἀδικεῖν, ὅτι οὐ δέχονται τὰς Ἀθηναίων σπονδὰς, εἰρημένον κύριον εἶναι ὅ τι ἂν τὸ πλῆθος τῶν ξυμμάχων ψηφίσηται, ἢν μή τι θεῶν ἢ ἡρώων κώλυμα ᾖ. Κορίνθιοι δὲ παρόντων σφίσι τῶν ξυμμάχων, ὅσοι οὐδ' αὐτοὶ ἐδέξαντο τὰς σπονδὰς (παρεκάλεσαν δὲ αὐτοὺς αὐτοὶ πρότερον), ἀντέλεγον τοῖς Λακεδαιμονίοις, ἃ μὲν ἠδικοῦντο, οὐ δηλοῦντες ἄντικρυς, ὅτι οὔτε Σόλλειον σφίσιν ἀπέλαβον παρ' Ἀθηναίων οὔτε Ἀνακτόριον, εἴ τέ τι ἄλλο ἐνόμιζον ἐλασσοῦσθαι, πρόσχημα δὲ ποιούμενοι τοὺς ἐπὶ Θρᾴκης μὴ

30. Legatis Lacedæmoniorum Corinthii ita respondent, ut suam agendi rationem defendant.

λει] τῶν Πελοποννησίων. 5. Προκαταλαβεῖν τὸ μέλλον] φθάσαι πρὶν μέλλειν τοὺς Κορινθίους προσχωρεῖν τοῖς Ἀργείοις. 6. Τήν τε ἐσήγησιν] τὸ εἰσηγήσασθαι δηλονότι προσχωρῆσαι τοῖς Ἀργείοις τοὺς Ἕλληνας. Τοῦ παντός] δεινοῦ· ἤγουν ἠτιῶντο. 7. Σφῶν] τῶν Λακεδαιμονίων. 9. Εἰρημένον] ἀντὶ τοῦ ὁρισθέντος. Κύριον εἶναι] κεκυρωμένον, βέβαιον εἶναι. 11. Κορίνθιοι] τὸ ἑξῆς, Κορίνθιοι δὲ ἀντέλεγον. 12. Ξυμμάχων] αὐτῶν δηλονότι. Ἐδέξαντο τὰς σπονδάς] τὰς πρὸς Ἀθηναίους. τὰς τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων. 13. Παρεκάλεσαν] λείπει τὸ παρεῖναι. Αὐτοὺς αὐτοὶ] αὐτοὺς τοὺς ξυμμάχους αὐτοὶ οἱ Κορίνθιοι. Πρότερον] ἤγουν πρὸ τοῦ ἐλθεῖν τοὺς πρέσβεις τῶν Λακεδαιμονίων. Ἀντέλεγον τοῖς Λακεδαιμονίοις] τὸ ἑξῆς, Κορίνθιοι δὲ ἀντέλεγον. 15. Οὔτε Σόλλειον σφίσιν] ἀντὶ τοῦ αὐτῶν. Ἀπέλαβον] οἱ Κορίνθιοι.

2. τοῦτον A.B.F.H.K.L.N.O. d.e.g.h.i.k. vulgo τόν.
5. ἐς] πρὸς Q.
προκαταβαλεῖν B. προκαταβάλλειν h.
8. τε] τι A.B.
αὐτοὺς om. B.i.
τοὺς om. g.
9. τὰς] τῶν c.i.
13. αὐτοὶ αὐτοὺς d.g.i.
15. ὅτι δὲ οὔτε L.O.
σόλλειον A.B.F.H.K.g.h. ceteri σόλειον.
17. τοὺς] τῆς B.

προδώσειν· ὀμόσαι γὰρ αὐτοῖς ὅρκους ἰδίᾳ τε, ὅτε μετὰ Ποτιδαιατῶν τὸ πρῶτον ἀφίσταντο, καὶ ἄλλους ὕστερον. οὔκουν παραβαίνειν τοὺς τῶν ξυμμάχων ὅρκους ἔφασαν, οὐκ ἐσιόντες ἐς τὰς τῶν Ἀθηναίων σπονδάς. θεῶν γὰρ πίστεις ὀμόσαντες ἐκείνοις οὐκ ἂν εὐορκεῖν προδιδόντες αὐτούς. εἰρῆσθαι δ' ὅτι ἦν μὴ θεῶν ἢ ἡρώων κώλυμα ἦ· φαίνεσθαι οὖν σφίσι κώλυμα θεῖον τοῦτο. καὶ περὶ μὲν τῶν παλαιῶν ὅρκων τοσαῦτα εἶπον, περὶ δὲ τῆς Ἀργείων ξυμμαχίας, μετὰ τῶν φίλων βουλευσάμενοι ποιήσειν ὅ τι ἂν δίκαιον ᾖ. καὶ οἱ μὲν Λακεδαιμονίων πρέσβεις ἀνεχώρησαν ἐπ' οἴκου. ἔτυχον δὲ παρόντες ἐν Κορίνθῳ καὶ Ἀργείων πρέσβεις, οἳ ἐκέλευον Κορινθίους ἰέναι ἐς τὴν ξυμμαχίαν καὶ μὴ μέλλειν· οἱ δὲ ἐς τὸν ὕστερον ξύλλογον αὐτοῖς τὸν παρὰ σφίσι προεῖπον ἥκειν. * ἦλθε δὲ καὶ Ἠλείων πρεσβεία εὐθύς, καὶ ἐποιήσαντο πρὸς Κορινθίους ξυμμαχίαν πρῶτον, ἔπειτα ἐκεῖθεν ἐς Ἄργος ἐλθόντες, καθάπερ προείρητο, Ἀργείων ξύμμαχοι ἐγένοντο. διαφε-

31. Statim et Elei cum Corinthiis et mox cum Argivis societatem in-

1. Αὐτοῖς] τοῖς ἐπὶ Θρᾴκης. Μετὰ Ποτιδαιατῶν] ἀφισταμένων. 2. Ἀφίσταντο] οἱ ἐπὶ τῆς Θρᾴκης. 4. Θεῶν γὰρ πίστεις] ἤγουν θεῶν ὅρκους ἐπὶ πίστει. 6. Αὐτούς] τοὺς ἐπὶ Θρᾴκης. Εἰρῆσθαι] ἔφασαν δὲ εἰρῆσθαι ἐν ταῖς σπονδαῖς δηλονότι. 8. Τῶν παλαιῶν ὅρκων] τῶν πρὸς τοὺς ἐπὶ Θρᾴκης. 13. Οἱ δὲ] οἱ Κορίνθιοι. 14. Παρὰ σφίσι] τοῖς Κορινθίοις. Προεῖπον ἥκειν] τοὺς Ἀργείους. 16. Ἔπειτα ἐκεῖθεν] ἀπὸ τῆς Κορίνθου. Ἐλθόντες] οἱ Ἠλεῖοι. 17. Ξύμμαχοι ἐγένοντο] οἱ Ἠλεῖοι δηλονότι. Διαφερόμενοι] ἐχθροί.

1. ὅρκον i.
ὅτι ποτιδαιατῶν K.
2. τῶν ποτιδαιατῶν Q.
6. Ἦν μή τι θεῶν] Hæc verba in omnibus fœderibus subintelligi debent; non enim diserte continentur in superiore formula: vel eam minus integram Auctor exhibuit. paulo infra tamen eadem se legisse aiunt Corinthii. Hanc formulam neglexit Brissonius. Wass.
8. παλαιῶν] πολλῶν g.
ἀργείας A.F.H.N.Q.g.h.
13. οἱ] εἰ K.
15. ἐποιήσατο F.I.Q. c.e.f.g.k.
ἐποιήσαν K.
16. ἐς] πρὸς Q.
17. προείρηται Q.
ἐγένοντο om. B.h.

ρόμενοι γὰρ ἐτύγχανον τοῖς Λακεδαιμονίοις περὶ Λεπρέου. πολέμου γὰρ γενομένου ποτὲ πρὸς Ἀρκάδων τινὰς Λεπρεάταις, καὶ Ἠλείων παρακληθέντων ὑπὸ Λεπρεατῶν ἐς ξυμμαχίαν ἐπὶ τῇ ἡμισείᾳ τῆς γῆς καὶ λυσάντων τὸν πόλεμον, Ἠλεῖοι τὴν γῆν νεμομένοις αὐτοῖς τοῖς Λεπρεάταις τάλαντον ἔταξαν τῷ Διὶ τῷ Ὀλυμπίῳ ἀποφέρειν.

eunt, et ipsi Corinthii cum Argivis; item Chalcidenses in Thracia. Bœoti tamen et Megarenses quiescunt.

4. Ἐπὶ τῇ ἡμισείᾳ τῆς γῆς] ἤγουν ἐπὶ τῷ καρποῦσθαι τὸ ἥμισυ τῆς γῆς.

1. γὰρ οἱ ἠλεῖοι ἐτύγχανον f.
τοῖς om. A.
λεπρίου N.g.

Λεπρέου] Λέπρεων etiam est in Callimacho Hymn. in Jov. v. 39. ex eoque in Scholiaste Aristoph. Acharnens. v. 724. et ex hoc in Suida v. ἀγορανομίας. Item in Ptolemæo pag. 90. et Strabone VIII. 342. nisi tamen ibi error operarum typographicarum est: nam alibi semper in eo est Λέπρεον et Λεπρεάται. Suidas h. v. habet Λέπραιον, vitiose, opinor, nec credo usquam alibi eam scripturam inveniri. Plinius Leprion et Lepreon diversas urbes facit. Illud H.N. 4, 5. in Elide ponit; hoc cap. seq. in Arcadia, et quidem, quasi distinguendi causa, scribens *Lepreon Arcadiæ*. Videtur duas ex una urbes fecisse. Nam Pausanias, Strabo, et alii non nisi unum Lepreon Triphyliæ, quæ regio Elidis erat, memorant. Verum Lepreatas deinde inter Arcadas connumeratos fuisse tradit Pausanias V. 5. Sylburgius ibi in Callimacho legit Λέπρειων. Sed non scio, quid sit, quod dicit, apud Suidam in uno loco Aristophanis esse Λέπρεον per ε, in duobus aliis Λέπρειον per ει. Nam apud Suidam in iis, quæ dixi, locis non Λέπρειων, sed Λέπριων, Λέπραιον, et Λέπρεων legitur. Plura de Lepreo Wasse infra ad cap. 34. Duk.

3. παρακληθέντων ὡς ὑπο c.i.

4. Λυσάντων] In Cass. manu recenti inter versus scribitur ἤγουν καταλυσάντων. Unde adparet, scripturam, quæ in Marg. et Cam. est, (καταλυσάντων), ex interpretatione esse. Duk.

5. αὐτοῖς λεπρεάταις L.O.P. αὐτοῖς τοῖς λεπριάταις g.

6. τάλαντα I.O.P.b.k.
ἐτάξαντο d.i.

Διὶ τῷ Ὀλυμπίῳ] Recte τῷ Διὶ τῷ Ὀλ. et sic Thom. Mag. in ἀποφέρεσθαι, quomodo p. 53. Τοῦ Ἀπόλλωνος τοῦ Πυθέως. Vid. et p. 39, 59. et 127. Thom. Mag. τάλαντον legit. forte rescribendum τάλαντα ν' τῷ Δ. Tale mendum Alexandrini Clementis codices inquinat Strom. I. 141. Ἀσαμὰν pro Ἀσὰ μά. Wasse. Thomas I. d. ἀποφέρειν καὶ ἀποφορὰ τὰ παρὰ τῶν ἡττόνων τοῖς μείζοσι παρεχόμενα χρηστά. Θουκυδίδης ἐν τῇ πέμπτῃ τάλαντον—Vid. Valesium ad Notas Maussaci in Harpocration. v. ἀποφορά. Pro χρηστὰ Ammonius melius, quam Thomas, χρήματα. Duk.

τῷ διὶ τῷ A.B.F.H.I.K.L.N. O.P. c.d.e.g.i. vulgo omittunt priorem articulum.
ἐκφέρειν h.

καὶ μέχρι τοῦ Ἀττικοῦ πολέμου ἀπέφερον, ἔπειτα παυσαμένων διὰ πρόφασιν τοῦ πολέμου οἱ Ἠλεῖοι ἐπηνάγκαζον, οἱ δ' ἐτράποντο πρὸς τοὺς Λακεδαιμονίους. καὶ δίκης Λακεδαιμονίοις ἐπιτραπείσης, ὑποτοπήσαντες οἱ Ἠλεῖοι μὴ ἴσον ἔξειν, ἀνέντες τὴν ἐπιτροπὴν Λεπρεατῶν τὴν γῆν ἔτεμον. οἱ δὲ Λακεδαιμόνιοι οὐδὲν ἧσσον ἐδίκασαν, αὐτονόμους εἶναι Λεπρεάτας καὶ ἀδικεῖν Ἠλείους· καὶ ὡς οὐκ ἐμμεινάντων τῇ ἐπιτροπῇ, φρουρὰν ὁπλιτῶν ἐσέπεμψαν ἐς Λέπρεον. οἱ δὲ Ἠλεῖοι νομίζοντες πόλιν σφῶν ἀφεστηκυῖαν δέξασθαι τοὺς Λακεδαιμονίους, καὶ τὴν ξυνθήκην προφέροντες ἐν ᾗ εἴρητο, ἃ ἔχοντες ἐς τὸν Ἀττικὸν πόλεμον καθίσταντό τινες, ταῦτα ἔχοντας καὶ ἐξελθεῖν, ὡς οὐκ ἴσον ἔχοντες ἀφίστανται πρὸς τοὺς Ἀργείους, καὶ τὴν ξυμμαχίαν, ὥσπερ προείρητο, καὶ οὗτοι

1. Παυσαμένων] τοῦ ἀποφέρειν δηλονότι. 2. Ἐπηνάγκαζον] ἀποφέρειν δηλονότι. 3. Οἱ δ'] Ἠλεῖοι. 4. Ἐπιτραπείσης] δοθείσης. 5. Μὴ ἴσον ἔξειν] ἀντὶ τοῦ μὴ ἔξειν τὸ δίκαιον. Ἀνέντες τὴν ἐπιτροπὴν] ἀντὶ τοῦ παυσάμενοι τοῦ ἐπιτρέψαι τὴν δίκην Λακεδαιμονίοις. 6. Ἔτεμον] ἔδηουν. Οὐδὲν ἧσσον] ἀντὶ τοῦ ἐπίσης. 8. Ἐμμεινάντων] τῶν Ἠλείων δηλονότι. Τῇ ἐπιτροπῇ] τῆς δίκης δηλονότι. 10. Πόλιν] τὸ Λέπρεον. Σφῶν] τῶν Ἠλείων. 11. Ξυνθήκην] ξύμβασιν. 12. Καὶ ἐξελθεῖν] τοῦ πολέμου. Ἴσον] τὸ δίκαιον.

1. μέχρι μὲν τοῦ f.
3. τοὺς] αὐτοὺς c.i.
καὶ τῆς δίκης L.O.Q.
4. τῶν λακεδαιμονίων O.
5. Ἀνέντες τὴν ἐπ.] Omisso articulo citat Etymologus, et exponit ἐπιτρέπειν. D. Halic. Antiq. V. 11. σωφρονέστερον ἡγοῦντα καὶ διὰ κενῆς φοβηθέντας αὐτὴν φυλάξασθαι μᾶλλον ἢ ΚΑΤΑΦΡΟΝΗΣΕΙ ΕΠΙΤΡΕΨΑΝΤΑΣ ἀνατραπῆναι. Demosth. Apatur. εἰς ἐπιτροπὴν ἔρχονται laxe utitur Hippocrates. Vid. Harpocrat. et Mac. II. XIII. 14. Wass. Ἐπιτρέπειν solum, ἐπιτρέπειν τὴν δίκην, δίαιταν, et ἐπιτροπὴ propria sunt de hac re verba. Thucyd. IV. 83. ἕτοιμος ὢν Βρασίδᾳ μέσῳ δικαστῇ ἐπιτρέπειν. Vid. Scholiast. ad I. 28. Harpocration. in ἐπιτροπὴ et Budæum in Commentar. Ling. Gr. pag. 150. Sed pro ἀνεῖναι τὴν ἐπιτροπὴν Demosthenes apud Budæum dicit ἀφεῖναι. Duk.
6. ἔτεμον οὐδὲ B.
9. ἔπεμψαν K.
λέπρεον] λῆραν πεντήκοντα e.
10. σφῶν αὐτῶν ἀφεστηκυῖαν d.i.
11. προσφέροντες e.
14. προῄρητο g.
καὶ ante οὗτοι om. b. post δὲ om. K.

ἐποιήσαντο. ἐγένοντο δὲ καὶ οἱ Κορίνθιοι εὐθὺς μετ' ἐκείνους, καὶ οἱ ἐπὶ Θράκης Χαλκιδῆς, Ἀργείων ξύμμαχοι. Βοιωτοὶ δὲ καὶ Μεγαρῆς τὸ αὐτὸ λέγοντες ἡσύχαζον, περιορώμενοι ὑπὸ τῶν Λακεδαιμονίων, καὶ νομίζοντες σφίσι τὴν Ἀργείων δημοκρατίαν, αὐτοῖς ὀλιγαρχουμένοις, ἧσσον ξύμφορον εἶναι τῆς Λακεδαιμονίων πολιτείας.

Περὶ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου Σκιωναίους μὲν Ἀθηναῖοι ἐκπολιορκήσαντες ἀπέκτειναν τοὺς ἡβῶντας, παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν, καὶ τὴν γῆν Πλαταιεῦσιν ἔδοσαν νέμεσθαι· Δηλίους δὲ κατήγαγον πάλιν ἐς Δῆλον, ἐνθυμούμενοι τάς τε ἐν ταῖς μάχαις ξυμφορὰς καὶ τοῦ ἐν Δελφοῖς θεοῦ χρήσαντος. καὶ Φωκῆς καὶ Λοκροὶ ἤρξαντο πολεμεῖν. καὶ Κορίνθιοι καὶ Ἀργεῖοι, ἤδη ξύμμαχοι ὄντες, ἔρχονται ἐς Τέγεαν, ἀποστήσοντες Λακεδαιμονίων, ὁρῶντες μέγα μέρος ὄν, καὶ εἰ σφίσι προσγένοιτο, νομίζοντες ἅπασαν ἂν ἔχειν Πελοπόννησον. ὡς δὲ οὐδὲν ἂν ἔφασαν ἐναντιωθῆναι οἱ Τεγεᾶται Λακεδαιμονίοις, οἱ Κορίνθιοι, μέχρι τούτου προθύμως

32. Scione ab Atheniensibus recepta Platæensibus habitanda traditur. Delii in patriam restituuntur ab Atheniensibus, calamitates suas ab irato deo immissas ratis. Bellum inter Phocenses et Locros coortum. Corinthii et Argivi frus-

1. Ἐγένοντο δὲ καὶ οἱ Κορίνθιοι] σύμμαχοι δηλονότι. Μετ' ἐκείνους] τοὺς Ἠλείους δηλονότι. 3. Τὸ αὐτὸ λέγοντες] τὴν αὐτὴν γνώμην ἔχοντες. 8. Ἐκπολιορκήσαντες] ἤγουν ἑλόντες καὶ δουλώσαντες ἐκ πολιορκίας. 12. Χρήσαντος] τὸ κατάγειν δηλονότι Δηλίους. 13. Ἤρξαντο πολεμεῖν] πρὸς ἀλλήλους δηλονότι. 15. Μέγα μέρος ὄν] τῆς Πελοποννήσου. 16. Προσγένοιτο] προσκτηθείη. 17. Οὐδὲν ἂν] ἤγουν οὐκ ἄν. Ἐναντιωθῆναι] ἐναντίοι γε-

3. βοιωτοὶ καὶ B.
5. αὐτοῖς om. L.O.P.c.d.e.i. k.
6. τῆς λακεδαιμονίων εἶναι f.
7. περὶ τοὺς B.
τοῦ θέρους τούτου] τούτους Dionysius II. p. 143.
σκιωναίους B.
10. Πλαταιεῦσιν] Vid. Isocratem Paneg. p. 92. Wass.
ἔδωκαν f.
11. Ἐνθυμούμενοι] Pollux II. 231. tamquam e Thucydide citat, ἐνθυμιζόμενοι τὰς ἐν τῇ μάχῃ συμφοράς. Vide ibi Jungermannum. Duk.
ἐν μάχαις f.
12. δελφοῖς κατάγειν δηλίους θεοῦ χρήσαντος L. δελφοῖς θεοῦ χρήσαντος κατάγειν δηλίους f.
13. πολεμεῖν κορίνθιοι d.i.
14. ἀποστήσονται I.

tra Tegeatas ad bellum cum Lacedæmoniis compellunt; nec propensiores ad suam societatem Bœotos offendunt.

πράσσοντες, ἀνεῖσαν τῆς φιλονεικίας, καὶ ὠρῴωδησαν μὴ οὐδὲὶς σφίσιν ἔτι τῶν ἄλλων προσχωρῇ. ὅμως δὲ ἐλθόντες ἐς τοὺς Βοιωτοὺς, ἐδέοντο σφῶν τε καὶ Ἀργείων γίγνεσθαι ξυμμάχους καὶ τἆλλα κοινῇ πράσσειν· τάς τε δεχημέρους ἐπισπονδὰς, αἳ ἦσαν Ἀθηναίοις καὶ Βοιωτοῖς πρὸς ἀλλήλους, οὐ πολλῷ ὕστερον γενόμεναι τούτων τῶν πεντηκονταετίδων σπονδῶν, ἐκέλευον οἱ Κορίνθιοι τοὺς Βοιωτοὺς ἀκολουθήσαντας Ἀθήναζε καὶ σφίσι ποιῆσαι, ὥσπερ Βοιωτοὶ εἶχον, μὴ δεχομένων δὲ Ἀθηναίων ἀπειπεῖν τὴν ἐκεχειρίαν καὶ τὸ λοιπὸν μὴ σπένδεσθαι ἄνευ αὐτῶν. Βοιωτοὶ δὲ δεομένων τῶν Κορινθίων περὶ μὲν τῆς Ἀργείων ξυμμαχίας ἐπισχεῖν αὐτοὺς ἐκέλευον, ἐλθόντες δὲ Ἀθήναζε μετὰ Κορινθίων οὐχ εὕροντο τὰς δεχημέρους σπονδὰς, ἀλλ' ἀπεκρίναντο οἱ Ἀθηναῖοι Κορινθίοις εἶναι σπονδὰς, εἴπερ Λακεδαιμονίων εἰσὶ ξύμμαχοι. Βοιωτοὶ μὲν οὖν οὐδὲν μᾶλλον ἀπεῖπον τὰς δεχημέρους, ἀξιούντων καὶ αἰτιωμένων Κορινθίων ξυνθέσθαι σφίσι· Κορινθίοις δὲ ἀναχωχὴ ἄσπονδος ἦν πρὸς Ἀθηναίους.

33. Lacedæmoniorum expeditio in Parrhasios, Arcadiæ civitatem,

Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ θέρους πανδημεὶ ἐστράτευσαν, Πλειστοάνακτος τοῦ Παυσανίου Λακεδαιμονίων βασιλέως ἡγουμένου, τῆς Ἀρκαδίας ἐς Παῤῥασίους, Μαντινέων ὑπηκόους ὄντας, κατὰ στάσιν ἐπικαλεσαμένων

νέσθαι. 1. Ἀνεῖσαν τῆς φιλονεικίας] ἀπέστησαν τῆς μάχης. 2. Ἐλθόντες] οἱ Κορίνθιοι. 8. Ποιῆσαι] λείπει τὸ ἠξίουν. 16. Ἀξιούντων καὶ αἰτιωμένων Κορινθίων] ᾐτιῶντο οἱ Κορίνθιοι δηλονότι τοὺς Βοιωτοὺς, ὅτι συνέθεντο αὐτοῖς ἀπειπεῖν τὰς πρὸς Ἀθηναίους σπονδάς. 22. Ἐπικαλε-

2. προσχωρεῖ A.B.H.g.h. προσχωρεῖν c.d.i.
3. καὶ ἀργείων] κἀργείων A.f.g.h.
4. ἄλλα O.
τὰς δὲ g.
7. πενταετίδων K.
8. ἀκολουθήσαντες c.i.
15. εἰσι] οἱ c.d.i.
σύμμαχοι K.
17. αἰτουμένων d.
ξυνθέσεως P.
21. σπαρασίους g. επαρρασίους e.k.
22. ὄντας om. i.

σφᾶς, ἅμα δὲ καὶ τὸ ἐν Κυψέλοις τεῖχος ἀναιρήσοντες, Mantinensibus subdi-

σαμένων] τῶν Παῤῥασίων. 1. Σφᾶς] τοὺς Λακεδαιμονίους. Τὸ ἐν Κυψέλοις τεῖχος] ἐπιτετειχισμένον ὥστε βλάπτειν τὴν Σκιρῖτιν.

1. καὶ om. L.O.P.

κυψέλλοις Q. Quatuor sunt omnino hujus civitates nominis. Prima Thraciæ mediterraneæ inter Hebrum et Melana amnes, haud longe a Stentoris lacu. Adi Antoninum in Itinerar. De ejus situ ita Livius XXXVIII. 40. Quo profectus est Lysimachia die, ad amnem Melana quem vocant; inde postero die *Cypsela* pervenit. A Cypselis via decem millium fere sylvestris, angusta, confragosa excipiebat. Deinde, inquit, per saltum usque ad templum Bendidium [*Bendis* Thracum lingua appellatur Diana] castra loco aperto posuit. Postero die ad Hebrum perventum est. Idem XXXI. 16. regionis istius *Castella* hoc recenset ordine, Maroneam, Ænum, *Cypsela*, Doriscum, Serrheum. Alibi *oppidum* vocat. Mela II. 2. Bysanthe Samiorum, et *ingens* aliquando *Cypsela*. Plin. qui exscripsit, minus recte exhibet *Cypsella*. Ita tamen Ptolemæus III. 11. et Nicetas Chon. I. 2. Strabonis Epit. Ἡ Μακεδονία περιορίζεται τῇ διὰ τῶν ἐκβολῶν Ἕβρου ποταμοῦ, καὶ Κυψέλου πόλεως. Ita et Strabo. Interpretes utriusque ex his verbis perperam acceptis *fluvium* Cypselum confinxerunt, quem tam Strabonis quam Epit. Hudsonianæ editionis Indices etiamnum servant. Apud Ethnicographum et Appianum Mithridat. 349. τὰ Κύψελα et ἀπὸ Κυψέλων recte. In Notitia Vet. scribitur ὁ Κυψάλων Episcopus, prorsus mendose. Subscripsisse Episcopum Concil. Constantinop. Gen. V. anno Christi 553. celebrato ex Conciliorum corpore patet. Hodie juxta Leunclavium est *Ipsala*, Bellonio vero *Capsilar*. Cinnamus V. 1. ἐς τὰς Κυψέλλων πεδιάδας τὸν στρατὸν ἤγειρεν. Verum regio circumcirca confragosa et impedita facit ut suspicer eum Campum Doriscum quem descripsit Herodotus VII. 108. potius designasse, inter quem et τὰ Κύψελα medius intervenit Hebrus. Hanc opinor urbem condidit Cypselus, sed Eetionis, Corinthiæ Tyrannus περιβόητος, circa A. M. MMMCCCL. Is utique est, cujus historiam contexuit Historiæ parens Herodotus V. 92. et a quo etiam Corinthii olim *Cypseli* denominati sunt. Ad acta ejus alludunt Theognis 889. Agaclytus, et Theophrastus de temporibus, quorum fragmenta conservavit Suidas. Conferat studiosus Lector Aristotelem Polit. p. 152. 164. 246. Strabonem VIII. 353. 378. Polyænum V. 31. Pausan. II. 4. V. 17. Ælian. Var. VI. 13. Virgil. Deserit angustis inclusam faucibus Isthmon *Cypselidæ* magni florentia regna Corinthi. Ambraciam etiam in Epiro fratrem ejus Torgum condidisse memorat Antoninus Liberalis. Erat et *Cypsela* opp. haud longe a Tarracone in Celtiberia, sed conditor et origines ejus juxta, me latent. Sponsorem dabimus Avienum Or. Marit. 525. Lustrisque inhærens;

tam, quos ab horum dominatione liberant.

ἦν δύνωνται, ὃ ἐτείχισαν Μαντινῆς καὶ αὐτοὶ ἐφρούρουν, ἐν τῇ Παῤῥασικῇ κείμενον, ἐπὶ τῇ Σκιρίτιδι τῆς Λακωνικῆς. καὶ οἱ μὲν Λακεδαιμόνιοι τὴν γῆν τῶν Παῤῥασίων ἐδῄουν, οἱ δὲ Μαντινῆς, τὴν πόλιν Ἀργείοις φύλαξι παραδόντες, αὐτοὶ τὴν ξυμμαχίαν ἐφρούρουν· ἀδύνατοι δ' ὄντες διασῶσαι τό τε ἐν Κυψέλοις τεῖχος καὶ τὰς ἐν Παῤῥασίοις πόλεις, ἀπῆλθον. Λακεδαιμόνιοι δὲ τούς τε Παῤῥασίους αὐτονόμους ποιήσαντες καὶ τὸ τεῖχος καθελόντες ἀνεχώρησαν ἐπ' οἴκου.

34. Tum Helotes illos, qui cum Brasida pugnaverant, in libertatem asseruerunt, captos autem nobiles il-

Καὶ τοῦ αὐτοῦ θέρους, ἤδη ἡκόντων αὐτοῖς τῶν ἀπὸ Θράκης μετὰ Βρασίδου ἐξελθόντων στρατιωτῶν, οὓς ὁ Κλεαρίδας μετὰ τὰς σπονδὰς ἐκόμισεν, οἱ Λακεδαιμόνιοι ἐψηφίσαντο τοὺς μὲν μετὰ Βρασίδου Εἵλωτας μαχεσαμένους ἐλευθέρους εἶναι, καὶ οἰκεῖν ὅπου ἂν βούλωνται· καὶ ὕστερον οὐ πολλῷ αὐτοὺς μετὰ τῶν Νεοδαμώδων ἐς

1. Καὶ αὐτοὶ] οἱ Μαντινεῖς. 14. Ἐλευθέρους εἶναι] μετὰ τῶν ἐκ τῶν Εἱλώτων

tum jugum *Celebandicum* In usque salsam dorsa porrigit Thetim. Hic *adstitisse* civitatem *Cypselam*, Jam Fama tantum. Lege *Alabandicum*; meminere *Alabanensium* Plinius, et numus Tristani. *Alaba* item exstat apud Ptolemæum in Celtiberia. Denique, alius adhuc restat longe antiquior Cypselus Æpyti filius, Arcadum rex, qui A. M. MMDCCCCI. urbem *Cypsela* fundavit ad Alpheum circa Heraclidarum reditum. Hic item princeps in tantam claritatem devenit, ὡς αὐτοῦ ἀπογόνους, ait Pausanias, Αἰπυτίδας ἀντὶ Ἡρακλειδῶν κληθῆναι. Vid. Polyænum I. 17. Sed audiamus Niciam in Arcadicis: (de ejus ætate v. Ionsium de Script. Philos. p. 240.) Κύψελον πόλιν κτίσαντα ἐν τῷ πεδίῳ περὶ τὸν Ἀλφειὸν, εἰς ἣν κατοικίσαντας Παῤῥασίων τινὰς τέμενος καὶ βωμὸν ἀναστῆσαι Δήμητρι Ἐλευσινίᾳ. ἧς ἐν τῇ ἑορτῇ καὶ τὸν τοῦ κάλλους ἀγῶνα ἐπιτελέσαι, καὶ νικῆσαι πρῶτον αὐτοῦ τὴν γυναῖκα Ἡρωδίκην. ἐπιτελεῖται δὲ καὶ μέχρι νῦν ὁ ἀγὼν οὗτος. καὶ ἀγωνιζόμεναι γυναῖκες χρυσοφόροι ὀνομάζονται. Hæc demum est urbs illa quam muro circumdederunt Mantinienses. Hæc ad loci hujus subobscuri et a Geographorum filiis intacti illustrationem tam faciunt quam quæ maxime. WASS.

2. παρασκευῇ A.B.
σκειρίτιδι L.O.P.e.
Σκιρίτιδι] Vide omnino Holstenium ad Stephan. WASS.
3. γῆν παρρασίων P.Q.d.
13. μὲν βρασίδου e.

Λέπρεον κατέστησαν, κείμενον ἐπὶ τῆς Λακωνικῆς καὶ τῆς Ἠλείας, ὄντες ἤδη διάφοροι Ἠλείοις· τοὺς δ' ἐκ τῆς νήσου ληφθέντας σφῶν καὶ τὰ ὅπλα παραδόντας, δείσαντες μή τι διὰ τὴν ξυμφορὰν νομίσαντες ἐλασσωθήσεσθαι καὶ ὄντες ἐπίτιμοι νεωτερίσωσιν, ἤδη καὶ ἀρχάς τινας ἔχοντας, ἀτίμους ἐποιήσαν, ἀτιμίαν δὲ τοιάνδε, ὥστε

los, ne quid novarum rerum molirentur, capite deminuerunt itr, ut neque magistratus gerere, neque emere ac vendere illis liceret.

ἐλευθέρων. 2. Ἐκ τῆς νήσου] τῆς Πύλου. 3. Τὰ ὅπλα παραδόντας] τότε

1. Λέπρεων] Lepreon in ea parte Eleæ, quæ Polybio IV. 77. Tryphalla, ubi multa situs ignoti oppida memorantur. Scylax, Ptolemæus ad Mare posuere. Idem fecit et Dicæarchus, eoque nomine a Cicerone reprehenditur Epist. ad Attic. II. 6. Strabo XL. stadia a mari abfuisse tradit. Membliaris et Minyæ opp. condiderunt Λέπρεων, Magistum, Thrixas, Pyrgium, Epium, Nudium; quorum pleraque nostra, inquit Herodotus IV. 148. memoria deleverunt Elei. Conf. Xenoph. 491. Plin. V. 6. Zenodotus, ἐν β'. Ἐπιτομῶν, Καυκώνου φησί τοῦ Ποσειδῶνος καὶ Ἀστυδαμείας τῆς Φορβάντος γενέσθαι τὸν Λεπρέα, ὃν τὸν Ἡρακλέα κελεῦσαι δεθῆναι, ὅτε Αὐγέαν τὸν μισθὸν ἀπῄτει. Noster Λεπρέου, Λέπρεων, Λεπρεάται. Λέπρεων Herodot. Scylax, Strabo, Polybius, Laërtius, Ptolemæus, Hephæstion, et Ptolem. Geog. Heros item Λεπρέας, apud Xenodotum aliosque. Plinius Lepreon. Sch. autem Aristoph. Acharn. Λεπρέον cum Cl. scribit, perperam. Est quidem Lepria insula inter Asiam Lesbumque, de qua Plinius V. §. 38. Sed et Callimachus H. Jov. ἀλλὰ τὸ χεῦμα Κείνο Νέδην ὠνόμηνε. τὸ μέν ποθι πουλὺ κατ' αὐτὸ Καυκώνων πτολίεθρον, ὃ Λέπριον πεφάτισται, Συμφέρεται νηρῆϊ. Ubi Schol. ὅρος Ἀρκάδων ὁ Καύκων, et Λέπριον (sed ἀπὸ Λεπρέου) agnoscit. Scribe Λέπρειον πεφάτισται, vel etiam Λεπραῖον, quomodo Suidas diserte laudat v. ἀγορανομίας. Idem alibi Λεπραῖον τῆς Τριφυλίας πόλις. Cum ει Diphthongo scriptum antiquitus fuisse affirmat Tzetzes Chil. V. 682. Ibi Codex *noster* ἀπὸ τοῦ πέτρας δὲ καὶ Πραξιθέας, et pro ἀγνοουμένου, ἀγνοουμένης. lege ἀγνοουμένης λέξεως. Idem tradit Schol. Aristoph. Ορν. 149. Denique τὸ Λέπρεον Strabo et Epit. Polybius, Tzetzes. ὁ Λέπρεος vero Aristoph. Pausanias. Corrupte apud Xenoph. Hellen. III. p. 491. Λεπρῖνοι et Λαπρεᾶται. Vid. Hesychium in Λέπρεοι. WASS.

2. δὲ νήσου K. δ' ἐν τῇ νήσῳ Q.

5. Ὄντες ἐπίτιμοι] Laudat Thomas Mag. in ἐπίτιμος, et exponit ἐπὶ τιμῆς, καὶ ἀξιώματος ὄντες. Suidas, ἐπίτιμων, πλούσιον, ἢ τὸν μὴ ἄτιμον. Et Auctor Etymolog. M. Ἐπίτιμον, πλούσιον, ἢ τὸν μὴ ἄτιμον κατὰ νόμους, ἀλλ' ἔχοντα ἐξουσίαν καὶ δημηγορῆσαι καὶ δικάσασθαι. Locus Luciani ab utroque adlatus est in Toxari pag. 50. DUK.

μήτε ἄρχειν μήτε πριαμένους τι ἢ πωλοῦντας κυρίους εἶναι. ὕστερον δὲ αὖθις χρόνῳ ἐπίτιμοι ἐγένοντο.

35. Variæ inter Athenienses et Lacedæmonios controversiæ, quarum causa sibi invicem non habebant fidem.

Τοῦ δ' αὐτοῦ θέρους καὶ Θύσσον τὴν ἐν τῇ Ἀθῳ Δικτιδῆς εἶλον, Ἀθηναίων οὖσαν ξύμμαχον. καὶ τὸ θέρος τοῦτο πᾶν ἐπιμιξίαι μὲν ἦσαν τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις, ὑπώπτευον δὲ ἀλλήλους εὐθὺς μετὰ τὰς σπονδὰς οἵ τε Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι κατὰ τὴν τῶν χωρίων ἀλλήλοις οὐκ ἀπόδοσιν. τὴν γὰρ Ἀμφίπολιν πρότεροι λαχόντες οἱ Λακεδαιμόνιοι ἀποδιδόναι καὶ τἆλλα οὐκ ἀποδεδώκεσαν, οὐδὲ τοὺς ἐπὶ Θράκης παρεῖχον ξυμμάχους τὰς σπονδὰς δεχομένους, οὐδὲ Βοιωτοὺς οὐδὲ Κορινθίους, λέγοντες ἀεὶ ὡς μετ' Ἀθηναίων τούτους, ἢν μὴ θέλωσι, κοινῇ ἀναγκάσουσι· χρόνους τε προὔθεντο ἄνευ ξυγγραφῆς, ἐν οἷς χρῆν τοὺς μὴ ἐσιόντας ἀμφοτέροις πολεμίους εἶναι. τούτων οὖν ὁρῶντες οἱ Ἀθηναῖοι οὐδὲν ἔργῳ

ἐν τῇ μάχῃ πρὸς Ἀθηναίους. 1. Μήτε πριαμένους τι ἢ πωλοῦντας] ἤγουν μὴ εἶναι κυρίους ἢ πρίασθαι ἢ πωλεῖν. 2. Ἐπίτιμοι] ἤγουν ἔντιμοι. 7. Κατὰ τὴν τῶν χωρίων ἀλλ'.] διὰ τὸ ἀλλήλοις μὴ ἀνταποδιδόναι τὰ χωρία. 13. Προὔθεντο] ἔταξαν. 14. Ξυγγραφῆς] συμφωνίας γεγραμμένης. Ἐσιόντας] εἰς τὰς σπονδάς.

1. ἢ πωλοῦντας om. I.
2. αὖθις ἐπίτιμοι K.
Χρόνῳ] Hoc deest Gr. At rectius alibi. Vid. I. 8. et VI. 3. WASS. Sic III. 85. IV. 81. V. 5. DUK.
3. Θῦσσον A. θᾶσσον L. θάσσον Q.
Θύσσον] Vid. Thucyd. IV. 109. Θύσσαν legit Epit. Strab. 331. Herodotus vero Θύσσον, Plinius *Thyssum* legunt. Δικτιδῆς vix alibi inveniuntur. Iterum hujus gentis mentio V. 82. WASS.
τῇ] τῷ L.O.P.Q.
δικτηδιῆς B.F.H.K.g. δικτυδιεῖς c.d.i.k. om. L.O.P.
7. καὶ οἱ λακεδαιμόνιοι B.F.H. K.N.g.
κατὰ τὴν χωρίων P. κατὰ τῶν χωρίων i. κατὰ χωρίων e.
9. καὶ om. L.O.
τἆλλα K.
12. ὡς om. A.
13. ἀναγκάσουσι K. d. vulgo ἀναγκάσωσι.
δὲ K.
14. ἐχρῆν c.d.i. χρὴ e.
τοὺς] καὶ τοὺς g.
ἐπιόντας I.c.d.e.i.k.
15. ἔργον K.d.i.

γιγνόμενον, ὑπετόπευον τοὺς Λακεδαιμονίους μηδὲν δίκαιον διανοεῖσθαι, ὥστε οὔτε Πύλον ἀπαιτούντων αὐτῶν ἀπεδίδοσαν, ἀλλὰ καὶ τοὺς ἐκ τῆς νήσου δεσμώτας μετεμέλοντο ἀποδεδωκότες, τά τε ἄλλα χωρία εἶχον, μένοντες ἕως σφίσι κἀκεῖνοι ποιήσειαν τὰ εἰρημένα. Λακεδαιμόνιοι δὲ τὰ μὲν δυνατὰ ἔφασαν πεποιηκέναι· τοὺς γὰρ παρὰ σφίσι δεσμώτας ὄντας Ἀθηναίων ἀποδοῦναι, καὶ τοὺς ἐπὶ Θράκης στρατιώτας ἀπαγαγεῖν, καὶ εἴ του ἄλλου ἐγκρατεῖς ἦσαν· Ἀμφιπόλεως δὲ οὐκ ἔφασαν κρατεῖν ὥστε παραδοῦναι, Βοιωτοὺς δὲ πειράσεσθαι καὶ Κορινθίους ἐς τὰς σπονδὰς ἐσαγαγεῖν, καὶ Πάνακτον ἀπολαβεῖν, καὶ Ἀθηναίων ὅσοι ἦσαν ἐν Βοιωτοῖς αἰχμάλωτοι, κομιεῖν. Πύλον μέντοι ἠξίουν σφίσιν ἀποδοῦναι· εἰ δὲ μή, Μεσσηνίους γε καὶ τοὺς Εἵλωτας ἐξαγαγεῖν, ὥσπερ καὶ αὐτοὶ τοὺς ἀπὸ Θράκης, Ἀθηναίους δὲ φρουρεῖν τὸ χωρίον αὐτούς, εἰ βούλονται. πολλάκις δὲ καὶ πολλῶν λόγων γενομένων ἐν τῷ θέρει τούτῳ, ἔπεισαν τοὺς Ἀθηναίους ὥστε ἐξαγαγεῖν ἐκ Πύλου Μεσσηνίους καὶ τοὺς ἄλλους Εἵλωτάς τε καὶ ὅσοι ἠὐτομολήκεσαν ἐκ τῆς Λακωνικῆς· καὶ κατῴκισαν αὐτοὺς ἐν Κρανίοις τῆς Κεφαλληνίας. τὸ μὲν οὖν θέρος τοῦτο ἡσυχία ἦν καὶ ἔφοδοι παρ' ἀλλήλους.

1. Γιγνόμενον] ἀντὶ τοῦ πραττόμενον. 4. Ἄλλα χωρία εἶχον] τῶν Λακεδαιμονίων οἱ Ἀθηναῖοι. 5. Εἰρημένα] τεταγμένα. 21. Ἡσυχία ἦν] ἀπραξία πολέμου. Καὶ ἔφοδοι παρ' ἀλλήλους] ἐπιμιξίαι.

10 ὑπετόπευον A.B.F.H.g.h.k. ὑπετόπτευον L.O.e. ὑπεστώπευον I. vulgo ὑπόπτευον.
2. αὐτῶν om. L.O.P.d.e.i.
ἀπέδοσαν d.h.i.
6. δὲ] μὲν B.h.
10. βοιωτοὺς πειράσεσθαι A.B.h.
11. ἐπαγαγεῖν d.i.
πανακτὸν g.
14. γε Reiskius: vulgo τε. τοὺς] τὰ B.
16. αὐτοῖς A.B.F.H.f.g.h.k.
19. ἴσους K.
ἠὐτομόλησαν Q.
20. καρανίοις L.O.P.k.
κεφαληνίας I.L.Q.k.
22. ἀλλήλοις B.H.g.

36. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος (ἔτυχον γὰρ ἔφοροι ἕτεροι, καὶ οὐκ ἐφ' ὧν αἱ σπονδαὶ ἐγένοντο, ἄρχοντες ἤδη, καί τινες αὐτῶν καὶ ἐναντίοι σπονδαῖς) ἐλθουσῶν πρεσβειῶν ἀπὸ τῆς ξυμμαχίδος, καὶ παρόντων Ἀθηναίων καὶ Βοιωτῶν καὶ Κορινθίων, καὶ πολλὰ ἐν ἀλλήλοις εἰπόντων καὶ οὐδὲν ξυμβάντων, ὡς ἀπῆεσαν ἐπ' οἴκου, τοῖς Βοιωτοῖς καὶ Κορινθίοις Κλεόβουλος καὶ Ξενάρκης, οὗτοι οἵπερ τῶν ἐφόρων ἐβούλοντο μάλιστα διαλῦσαι τὰς σπονδάς, λόγους ποιοῦνται ἰδίους, παραινοῦντες ὅτι μάλιστα ταὐτά τε γιγνώσκειν, καὶ πειρᾶσθαι Βοιωτοὺς, Ἀργείων γενομένους πρῶτον αὐτοὺς ξυμμάχους, αὖθις μετὰ Βοιωτῶν Ἀργείους Λακεδαιμονίοις ποιῆσαι ξυμμάχους· οὕτω γὰρ ἥκιστα ἀναγκασθῆναι Βοιωτοὺς ἐς τὰς Ἀττικὰς σπονδὰς ἐσελθεῖν· ἐλέσθαι γὰρ Λακεδαιμονίους, πρὸ τῆς Ἀθηναίων ἔχθρας καὶ διαλύσεως τῶν σπονδῶν, Ἀργείους σφίσι φίλους καὶ ξυμμάχους γενέσθαι. τὸ γὰρ Ἄργος ἀεὶ ἠπίσταντο ἐπιθυμοῦντας τοὺς Λακεδαιμονίους καλῶς

Tandem ex Ephoris recentibus duo, fœderi inito adversarii, clam tentant Bœotorum legatos, ut cum Bœotis Argivos concilient Spartanis.

3. Ἐλθουσῶν πρεσβειῶν] εἰς τὴν Λακεδαίμονα. 6. Οὐδὲν ξυμβάντων] ἦγουν κατ' οὐδέν. Ὡς ἀπῆεσαν] οἱ Βοιωτοὶ καὶ οἱ Κορίνθιοι. 9. Λόγους ποιοῦνται ἰδίους] ἰδίᾳ διελέχθησαν αὐτοῖς τοῦ λῦσαι τὰς σπονδάς. 10. Γιγνώσκειν] εἰς νοῦν ἔχειν. 17. Καλῶς σφίσι φίλιων γενέσθαι] βεβαίως φίλιων τοῖς Λακεδαιμονίοις γενέσθαι, ἢ αὐτοὶ βεβαίως ἠπίσταντο. ὃ καὶ

1. γιγνομένου L.
Ἔτυχον γὰρ Ἔφ.] Ex hoc loco elicitur tempus anni, quo Ephori magistratum inibant, nempe æstate inclinante, vel autumno incipiente. *Palm.* in Exercitationib. pag. 52. Huds. Diem, quo novi Ephori inierint, definit Dodvellus in Annalib. Thucyd. ad Ann. XI. Belli Peloponnes. post diem VIII. Octobris Juliani. Duk.
γὰρ om. Q.
2. ἕτεροι ἔφοροι g.
οὐκ post ἐγένοντο ponit d.
3. ἐναντίοις F.g. ἐναντίοι ταῖς L. N.O.P.g.
ἐλθόντων Q.e.f.
πρέσβεων F.H.g.e.f. πρεσβεῶν K.
5. πολλὰ ἀλλήλοις K.
7. ξενάρκης A.B.H. ξενάρας Q. ξεναρίδης g. vulgo ξενάρης.
9. ἰδίᾳ L.O.P.
10. τε] γε A. om. L.O.P.
ἀργείους c.i.
γιγνομένους e.
12. λακεδαιμονίων i.
14. ἐπελθεῖν A.B.i.

σφίσι φίλιον γενέσθαι, ἡγούμενοι τὸν ἔξω Πελοποννήσου πόλεμον ῥᾴω ἂν εἶναι. τὸ μέντοι Πάνακτον ἐδέοντο Βοιωτοὺς ὅπως παραδῶσι Λακεδαιμονίοις, ἵνα ἀντ' αὐτοῦ Πύλον, ἣν δύνωνται, ἀπολαβόντες ῥᾷον καθιστῶνται Ἀθηναίοις ἐς πόλεμον. * καὶ οἱ μὲν Βοιωτοὶ καὶ Κορίνθιοι, ταῦτα ἐπεσταλμένοι ἀπό τε τοῦ Ξενάρους καὶ Κλεοβούλου καὶ ὅσοι φίλοι ἦσαν αὐτοῖς τῶν Λακεδαιμονίων, ὥστε ἀπαγγεῖλαι ἐπὶ τὰ κοινά, ἑκάτεροι ἀνεχώρουν. Ἀργείων δὲ δύο ἄνδρες τῆς ἀρχῆς τῆς μεγίστης ἐπετήρουν ἀπιόντας αὐτοὺς καθ' ὁδόν, καὶ ξυγγενόμενοι ἐς λόγους ἦλθον, εἴ πως οἱ Βοιωτοὶ σφίσι ξύμμαχοι γένοιντο, ὥσπερ Κορίνθιοι καὶ Ἠλεῖοι καὶ Μαντινῆς· νομίζειν γὰρ ἂν τούτου προχωρήσαντος ῥᾳδίως ἤδη καὶ πολεμεῖν καὶ σπένδεσθαι καὶ πρὸς Λακεδαιμονίους, εἰ βούλοιντο, κοινῷ λόγῳ χρωμένους, καὶ εἴ τινα πρὸς ἄλλον δέοι. τοῖς δὲ τῶν Βοιωτῶν πρέσβεσιν ἀκούουσιν ἤρεσκε· κατὰ τύχην γὰρ ἐδέοντο τοῦ-

37. Deinde jam inter Bœotarchos et Argivos, his hortantibus, illis et ipsis cupientibus, convenerat.

μᾶλλον. 1. Ἡγούμενοι τὸν ἔξω] τὸ ἡγούμενοι οὐκ ἔστι κατάλληλον πρὸς τὸ ἐπιθυμοῦντας τοὺς Λακεδαιμονίους, ἀλλ' ἐσχημάτισται ἀντὶ τοῦ ἡγουμένων. 3. Ὅπως παραδώσωσιν] οἱ Βοιωτοὶ δηλονότι. Λακεδαιμονίοις] τὸ μὲν Πάνακτον ἐδέοντο Βοιωτοὺς οὕτω ποιῆσαι ὅπως παραδώσωσι Λακεδαιμονίοις. 6. Ταῦτα ἐπεσταλμένοι] ἀντὶ τοῦ τούτων ἐντεταλμένων αὐτοῖς ὑπὸ τῶν Ἐφόρων. 8. Ἐπὶ τὰ κοινὰ] βουλευτήρια δηλονότι. 10. Ξυγγενόμενοι] ἤγουν συναφθέντες. Ἐς λόγους] εἰς κοινολογίαν. 11. Σφίσι] τοῖς Ἀργείοις. 14. Κοινῷ λόγῳ χρωμένους] ὁμοφρονοῦντάς φησι, δηλονότι Ἀργείους τε καὶ

1. φίλων P.b.c.d.i.
3. παραδῶσι A.B.h. παραδώσωσι F.Q. ceteri παραδώσουσι.
4. ἀθηναίων c.d.
5. καὶ κορίνθιοι A.B.F.K.L.O. P.Q.e.g.k. ceteri καὶ οἱ κορίνθιοι.
6. Ἐπεσταλμένοι] Sic paullo post de mandatis sine scripto: ἐδέοντο τούτων, ὅπερ καὶ οἱ ἐκ τῆς Λακεδαίμονος αὐτοῖς φίλοι ἐπεστάλκεσαν. Vide ad lib. IV. cap. 8. Duk.
καὶ τοῦ κλεοβούλου Q.
7. ὅσα h.
8. ἀργεῖοι
9. ἐπιόντας Q.c.d.i. ἃ ἐπιόντας P.
10. ὅπως d.
11. ὅσπερ καὶ κορίνθιοι d.
13. χωρήσαντος L.O.P.c.d.i.k.
14. βούλονται L.
15. δὲ βοιωτῶν Q.
16. πρέσβευσιν d. ἀκούσασιν Q.

των, ὥνπερ καὶ οἱ ἐκ τῆς Λακεδαίμονος αὐτοῖς φίλοι ἐπεστάλκεσαν. καὶ οἱ τῶν Ἀργείων ἄνδρες, ὡς ἤσθοντο αὐτοὺς δεχομένους τὸν λόγον, εἰπόντες ὅτι πρέσβεις πέμψουσιν ἐς Βοιωτοὺς ἀπῆλθον. ἀφικόμενοι δὲ οἱ Βοιωτοὶ ἀπήγγειλαν τοῖς βοιωτάρχαις τά τε ἐκ τῆς Λακεδαίμονος καὶ τὰ ἀπὸ τῶν ξυγγενομένων Ἀργείων· καὶ οἱ βοιωτάρχαι ἠρέσκοντό τε, καὶ πολλῷ προθυμότεροι ἦσαν, ὅτι ἀμφοτερωθεν ξυνεβεβήκει αὐτοῖς, τούς τε φίλους τῶν Λακεδαιμονίων τῶν αὐτῶν δεῖσθαι καὶ τοὺς Ἀργείους ἐς τὰ ὁμοῖα σπεύδειν. καὶ οὐ πολλῷ ὕστερον πρέσβεις παρῆσαν Ἀργείων, τὰ εἰρημένα προκαλούμενοι· καὶ αὐτοὺς ἀπέπεμψαν ἐπαινέσαντες τοὺς λόγους οἱ βοιωτάρχαι, καὶ πρέσβεις ὑποσχόμενοι ἀποστελεῖν περὶ τῆς ξυμμαχίας ἐς Ἄργος. * ἐν δὲ τούτῳ ἐδόκει πρῶτον τοῖς βοιωτάρχαις καὶ Κορινθίοις καὶ Μεγαρεῦσι καὶ τοῖς ἀπὸ

38. Cum autem Bœotarchi

Κορινθίους καὶ Βοιωτούς. 1. Οἱ ἐκ τῆς Λακεδαίμονος] οἱ περὶ τὸν Κλεόβουλον δηλονότι. 2. Ἐπεστάλκεσαν] προσέταξαν. 8. Τούς τε φίλους] τοὺς ἐκ Λακεδαίμονος δηλονότι αὐτοῖς φίλους. 11. Προκαλούμενοι] γράφεται παρακινοῦντες. 14. Ἐν δὲ τούτῳ] τῷ καιρῷ.

1. ὅσπερ Q.
6. καὶ βοιωτάρχαι L.O.
8. ξυνεβεβλήκει h.
11. Τὰ εἰρημένα προκαλούμενοι] Sententia est: *hortantes ad ea perficienda, de quibus dictum erat:* id est, de societate cum Argivis ineunda. Sæpe ita loquitur Thucydides: II. 72. Ἅπερ καὶ τὸ πρότερον ἤδη προὐκαλεσάμεθα, Et Ὅτι ἀδύνατα σφίσιν εἴη ποιεῖν, ἃ προκαλεῖται. Ibid. 73. Ὅτι βούλονται, ἃ προκαλεῖται, Ἀθηναίοις κοινῶσαι πρῶτον. IV. 20. Τιμᾶς δὲ στερηθῆναι ὧν νῦν προκαλούμεθα. Et Ibid. 22. Οὔτε τοὺς Ἀθηναίους ἐπὶ μετρίοις ποιήσοντας ἃ προὐκαλοῦντο. Aristophanes quoque Equit. v. 792. Τὰς πρεσβείας τ' ἀπελαύνεις Ἐκ τῆς πόλεως βαθυπυγίζων, αἳ τὰς σπονδὰς προκαλοῦνται. Hoc Thucydides IV. 19. cum prepositione εἰς dicit: Λακεδαιμόνιοι δὲ ὑμᾶς προκαλοῦνται ἐς σπονδάς: quæ et recte suppleri potest, quum non exprimitur; vel ἐπὶ, ut infr. cap. 43. Ἐπὶ τὴν ξυμμαχίαν προκαλουμένους. Itaque non admittendum arbitror παρακινοῦντες, quod margo habet, et pro varia lectione adnotat Scholiastes. In Cod. Cass. hoc inter versus scribitur, ut aliæ interpretationes a magistris profectæ. Duk.
παρακαλούμενοι e.
13. ἀποστέλλειν i.

Θράκης πρέσβεσιν ὁμόσαι ὅρκους ἀλλήλοις, ἢ μὴν ἔν τε τῷ παρατυχόντι ἀμύνειν τῷ δεομένῳ καὶ μὴ πολεμήσειν τῷ μηδὲ ξυμβήσεσθαι ἄνευ κοινῆς γνώμης, καὶ οὕτως ἤδη τοὺς Βοιωτοὺς καὶ Μεγαρέας (τὸ γὰρ αὐτὸ ἐποίουν) πρὸς τοὺς Ἀργείους σπένδεσθαι. πρὶν δὲ τοὺς ὅρκους γενέσθαι, οἱ Βοιωτάρχαι ἐκοίνωσαν ταῖς τέσσαρσι βουλαῖς τῶν Βοιωτῶν ταῦτα, αἵπερ ἅπαν τὸ κῦρος ἔχουσι, καὶ παρήνουν γενέσθαι ὅρκους ταῖς πόλεσιν, ὅσαι βούλονται ἐπ' ὠφελίᾳ σφίσι ξυνομνύναι. οἱ δ' ἐν ταῖς βουλαῖς τῶν Βοιωτῶν ὄντες οὐ προσδέχονται τὸν λόγον, δεδιότες μὴ ἐναντία Λακεδαιμονίοις ποιήσωσι, τοῖς ἐκείνων ἀφεστῶσι Κορινθίοις ξυνομνύντες· οὐ γὰρ εἶπον αὐτοῖς οἱ Βοιωτάρχαι τὰ ἐκ τῆς Λακεδαίμονος, ὅτι τῶν τε ἐφόρων Κλεόβουλος καὶ Ξενάρης καὶ οἱ φίλοι παραινοῦσιν Ἀργείων πρῶτον καὶ Κορινθίων γενομένους ξυμμάχους ὕστερον μετὰ τῶν Λακεδαιμονίων γίγνεσθαι, οἰόμενοι τὴν βουλήν, κἂν μὴ εἴπωσιν, οὐκ ἄλλα ψηφιεῖσθαι ἢ ἃ σφίσι προδιαγνόντες παραινοῦσιν. ὡς δὲ ἀντέστη τὸ πρᾶγμα, οἱ μὲν Κορίνθιοι καὶ οἱ ἀπὸ Θράκης πρέσβεις ἄπρακτοι ἀπῆλθον, οἱ δὲ Βοιωτάρχαι, μέλλοντες πρότερον, εἰ ταῦτα ἔπεισαν, καὶ τὴν ξυμμαχίαν πειράσεσθαι πρὸς Ἀργείους ποιεῖν, οὐκέτι ἐσήνεγκαν περὶ Ἀργείων ἐς τὰς βουλάς, οὐδὲ ἐς τὸ Ἀρ-

consilium cum Argivis paciscendi ad quatuor Bœotorum concilia retulissent, hi metu Lacedæmoniorum refragantur, scilicet ignorantes, quæ illi duo Ephori cum ipsorum legatis communicaverant. Ita res tota irrita facta.

4. Τὸ γὰρ αὐτὸ ἐποίουν] ἦγουν τὴν κοινὴν πρᾶξιν ἐποιήσαν. 8. Ἐπ' ὠφελείᾳ] συμμαχίᾳ. 16. Τὴν βουλὴν] τοὺς βουλευτάς. Κἂν μὴ εἴπωσιν, οὐκ ἄλλα ψηφιεῖσθαι] ἀντὶ τοῦ, οἱ Βοιωτάρχαι ἕκαστος ἔστω τὴν ἰδίαν βουλὴν, κἂν μὴ μαθὼν τὰ ὑπὸ τῶν Ἐφόρων ἐκτεσταλμένα, μηδὲν ἄλλο ψηφίσεσθαι ἢπερ ταῦτα, ἅπερ οἱ μαθόντες ἐκ Λακεδαίμονος παραινοῦσιν. 18. Ἀντέστη]

3. Κοινῆς γνώμης] Ex perpetua Fœderum formula. Vid. Polybium p. 703. Nostrum V. 47. VIII. 18. 37. Dionys. Halic. VI. 95. Wass.

10. προσδέχονται L.O.

11. ποιήσουσι K.

13. τὰ om. B.

14. πρῶτον κορινθίους d.i.

15. ὕστερον ξυμμάχους g.

21. πειράσασθαι Q.

γος τοὺς πρέσβεις, οὓς ὑπέσχοντο, ἔπεμπον, ἀμέλεια δέ τις ἐνῆν καὶ διατριβὴ τῶν πάντων.

39. Boeoti, inita cum Lacedaemoniis societate, Panactum his tradendum evertunt (cf. c. 42.)

Καὶ ἐν τῷ αὐτῷ χειμῶνι τούτῳ Μηκύβερναν Ὀλύνθιοι, Ἀθηναίων φρουρούντων, ἐπιδραμόντες εἷλον.

Μετὰ δὲ ταῦτα (ἐγίγνοντο γὰρ ἀεὶ λόγοι τοῖς τε Ἀθηναίοις καὶ Λακεδαιμονίοις περὶ ὧν εἶχον ἀλλήλων) ἐλπίζοντες οἱ Λακεδαιμόνιοι, εἰ Πάναχτον Ἀθηναῖοι παρὰ Βοιωτῶν ἀπολάβοιεν, κομίσασθαι ἂν αὐτοὶ Πύλον, ἦλθον ἐς τοὺς Βοιωτοὺς πρεσβευόμενοι, καὶ ἐδέοντο σφίσι Πάναχτόν τε καὶ τοὺς Ἀθηναίων δεσμώτας παραδοῦναι, ἵνα ἀντ' αὐτῶν Πύλον κομίσωνται. οἱ δὲ Βοιωτοὶ οὐκ ἔφασαν ἀποδώσειν, ἢν μὴ σφίσι ξυμμαχίαν ἰδίαν ποιήσωνται, ὥσπερ Ἀθηναίοις. Λακεδαιμόνιοι δὲ εἰδότες μὲν ὅτι ἀδικήσουσιν Ἀθηναίους, εἰρημένον ἄνευ ἀλλήλων μήτε σπένδεσθαί τῳ μήτε πολεμεῖν, βουλόμενοι δὲ τὸ Πάναχτον παραλαβεῖν ὡς τὴν Πύλον ἀντ' αὐτοῦ κομιούμενοι, καὶ ἅμα τῶν ξυγχέαι σπευδόντων τὰς σπονδὰς προθυμουμένων τὰς ἐς Βοιωτούς, ἐποιήσαντο τὴν ξυμμαχίαν, τοῦ χειμῶνος τελευτῶντος ἤδη καὶ πρὸς ἔαρ· καὶ τὸ Πάναχτον εὐθὺς καθῃρεῖτο. καὶ ἐνδέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

40. Qua re peracta, Athenienses Nisaeam occupant, Megarenses Boeotorum auxilio pulsos recipiunt.

Ἅμα δὲ τῷ ἦρι εὐθὺς τοῦ ἐπιγιγνομένου θέρους οἱ Ἀρ-

ἀντὶ τοῦ ἄλλως ἀπέβη. 8. Ἦλθον ἐς τοὺς Βοιωτοὺς] οἱ Λακεδαιμόνιοι. 20. Καθῃρεῖτο] ὑπὸ τῶν Βοιωτῶν. 21. Ἅμα δὲ τῷ ἦρι] ἀρχομένῳ.

1. ἔπεμψαν e.k.
3. τούτῳ om. g.
6. εἶχον] εἶλον L.
8. κομίσεσθαι P.
αὐτοὶ] αὐτοὺς L.
9. πρεσβευσόμενοι f.
Ἐδέοντο—παραδοῦναι] Thomas Mag. in βοῦλομαι, ubi emendandus est numerus libri. Dux.
10. ἀθηναίους L.O.P.
12. ἰδίαν om. g.
13. καὶ λακεδαιμόνιοι L.O.P.
14. ἀθηναίων B.h.
εἰρημένων g.
ἀλλήλων ἄνευ e.
μὴ f.
15. μηδὲ f.
17. τὰς om. L.O.P. τὰ ἐς A. B.F.H.N.g.
18. χειμῶνος δὲ τελευτῶντος L. O.P.k.
21. ἀρχεῖοι ὡς οἱ] πανακτὸν P.

γεῖοι, ὡς οἵ τε πρέσβεις τῶν Βοιωτῶν, οὓς ἔφασαν πέμψειν, οὐχ ἵκοντο, τό τε Πάναχτον ἤσθοντο καθαιρούμενον, καὶ ξυμμαχίαν ἰδίαν γεγενημένην τοῖς Βοιωτοῖς πρὸς τοὺς Λακεδαιμονίους, ἔδεισαν μὴ μοναθῶσι, καὶ ἐς Λακεδαιμονίους πᾶσα ἡ ξυμμαχία χωρήσῃ· τοὺς γὰρ Βοιωτοὺς ᾤοντο πεπεῖσθαι ὑπὸ Λακεδαιμονίων τό τε Πάναχτον καθελεῖν καὶ ἐς τὰς Ἀθηναίων σπονδὰς ἐσίεναι, τούς τε Ἀθηναίους εἰδέναι ταῦτα, ὥστε οὐδὲ πρὸς Ἀθηναίους ἔτι σφίσιν εἶναι ξυμμαχίαν ποιήσασθαι, πρότερον ἐλπίζοντες ἐκ τῶν διαφορῶν, εἰ μὴ μείνειαν αὐτοῖς αἱ πρὸς Λακεδαιμονίους σπονδαὶ, τοῖς γοῦν Ἀθηναίοις ξύμμαχοι ἔσεσθαι. ἀποροῦντες οὖν ταῦτα οἱ Ἀργεῖοι, καὶ φοβούμενοι μὴ Λακεδαιμονίοις καὶ Τεγεάταις, Βοιωτοῖς καὶ Ἀθηναίοις ἅμα πολεμῶσι, πρότερον οὐ δεχόμενοι τὰς Λακεδαιμονίων σπονδὰς, ἀλλ' ἐν φρονήματι ὄντες τῆς Πελοποννήσου ἡγήσεσθαι, ἔπεμπον ὡς ἐδύναντο τάχιστα ἐς τὴν Λακεδαίμονα πρέσβεις Εὔστροφον καὶ Αἴσωνα, οἳ ἐδόκουν προσφιλέστατοι αὐτοῖς εἶναι, ἡγούμενοι, ἐκ τῶν παρόντων κράτιστα πρὸς Λακεδαιμονίους σπονδὰς ποιησάμενοι, ὅπῃ ἂν ξυγχωρῇ, ἡσυχίαν ἔχειν. * καὶ οἱ πρέσβεις ἀφικόμενοι αὐτῶν λόγους ἐποιοῦντο πρὸς τοὺς Λακεδαιμονίους, ἐφ' ᾧ ἂν σφίσιν αἱ σπονδαὶ γίγνοιντο. καὶ

moti Argivi, cum Lacedæmonios cum Tegeatis, Bœotis et Atheniensibus junctos arbitrarentur, et omni se auxilio destitutos, ad Lacedæmonios mittere properant, qui fœdus iceront.

41. Cum autem Cynurium agrum postularent

1. ὡς ἔφασαν πέμψειν] οἱ Βοιωτοί. 3. ἰδίαν] μονομερῆ. 4. μὴ μοναθῶσι] τῆς συμμαχίας. 8. τούς τε ἀθηναίους εἰδέναι ταῦτα] ᾤοντο δηλονότι. 15. ἀλλ' ἐν φρονήματι ὄντες] διανοίᾳ ἐπῃρμένῃ. ἀλλ' ἐλπίζοντες. ἤτοι φρυντίζοντες. 18. ἡγούμενοι ἐκ τῶν παρόντων κράτιστα] ὡς ἐν τῷ παρόντι (φησὶ) ἡγοῦντο κράτιστον εἶναι πρὸς Λακεδαιμονίους σπονδὰς ποιήσασθαι, ὡς ἂν ἐνδέχηται καὶ ἡσυχάζειν. ἐκ τῶν παρόντων] ἤγουν ἐκ τῶν δυνατῶν. 20. ὅπῃ ἂν ξυγχωρῇ] ἤγουν καθὼς ἂν συγχωρῇ ὁ καιρός. 21. αὐτῶν] τῶν Ἀργείων.

2. ἵκοντο F.K.
3. πρὸς τοὺς ἀθηναίους e.
10. διαφορῶν A.F.H.K.L.N.O. P.g. vulgo διαφόρων.
14. πρότερα P.
17. ἅλσωνα F. ἔσωνα F.H.
21. ἐποιήσαντο K.

Argivi, Lacedæmonii fœdus recusabant. Tandem et ipsi Argivorum amicitiam concupiscentes, concedunt conditionem ab Argivis latam, ut utrisque, nullo vel alio bello vel morbo distractis, de hoc agro armis contendere, provocatione facta, liceret; ne tamen victor fines alterius transiret in persequendo.

τὸ μὲν πρῶτον οἱ Ἀργεῖοι ἠξίουν δίκης ἐπιτροπὴν σφίσι γενέσθαι, ἢ ἐς πόλιν τινὰ ἢ ἰδιώτην, περὶ τῆς Κυνουρίας γῆς, ἧς ἀεὶ πέρι διαφέρονται μεθορίας οὔσης (ἔχει δὲ ἐν αὐτῇ Θυρέαν καὶ Ἀνθήνην πόλιν, νέμονται δ' αὐτὴν Λακεδαιμόνιοι)· ἔπειτα δ' οὐκ ἐώντων Λακεδαιμονίων μεμνῆσθαι περὶ αὐτῆς, ἀλλ' εἰ βούλονται σπένδεσθαι ὥσπερ πρότερον, ἕτοιμοι εἶναι, οἱ Ἀργεῖοι πρέσβεις τάδε ὅμως ἐπηγάγοντο τοὺς Λακεδαιμονίους ξυγχωρῆσαι, ἐν μὲν τῷ παρόντι σπονδὰς ποιήσασθαι ἔτη πεντήκοντα, ἐξεῖναι δ' ὁποτεροισοῦν προκαλεσαμένοις, μήτε νόσου οὔσης μήτε πολέμου Λακεδαίμονι καὶ Ἄργει, διαμάχεσθαι περὶ τῆς γῆς ταύτης, ὥσπερ καὶ πρότερόν ποτε, ὅτε αὐτοὶ ἑκάτεροι ἠξίωσαν νικᾶν, διώκειν δὲ μὴ ἐξεῖναι περαιτέρω τῶν πρὸς Ἄργος καὶ Λακεδαίμονα ὁρῶν. τοῖς

1. δίκης ἐπιτροπὴν] κρίσεως φροντίδα. ἤγουν τὴν νομὴν καὶ τὸ κέρδος ἔχουσι. 4. νέμονται δ' αὐτὴν Λακεδαιμόνιοι]

1. μὲν οὖν πρῶτον f.
τῆς δίκης K.
2. ἢ ἰδιώτην A.B.F.H.K.L.N. O.P.b.c.d.f.g.h.i.k.
3. γῆς om. d.i.
4. ἀθήνην A.B.F.H.g. ἀθίνην Q. πόλιν om. K.

Ἀνθήνην] Ita nostri et Harpocration. Plinio Anthane, Solino Anthia, v. Homer. Il. ι'. 150. et Salmasium ad Solin. p. 98. Cl. in marg. Θυραίαν. Sed Steph. Herodotus, alii ab Editis stant. Dixi supra. Respicit ad hunc Thucydidis locum Strabo VIII. 376. Wass. Vide supra IV. 56. et Brodæum II. Miscellan. 11. Duk.

5. ἑώντων τῶν λακεδαιμονίων K.
8. ἀπηγάγοντο L.O.P.
10. προκαλεσαμένοις A.B.F.H. K.N.f.g. vulgo προσκαλεσαμένοις.

Προσκαλεσαμένοις] Volunt et sibi, et Lacedæmoniis liberum relinqui inter se bellum de Cynuria; ita tamen, ne bello provocentur, si morbo vel bello cum aliis impliciti sint. Hic an possit habere locum verbum προσκαλεῖσθαι mihi non liquet, ac plane melius puto, quod habent quidam non contemnendi MSS. προκαλουμένοις. Nam προκαλεῖσθαι de hac re dici notius est, quam ut multis ostendi debeat. Sed alibi quoque hæc sæpe permutantur. Vid. supra III. 34. et quæ Viri Doctissimi adnotarunt ad Lucian. Dial. Deor. pag. 198. Duk.

12. μάχεσθαι f.
13. ὅτι P.
14. τοῖς δὲ] τοῖς μὲν οὖν L. καὶ τοῖς Q.

δὲ Λακεδαιμονίοις τὸ μὲν πρῶτον ἐδόκει μυρία εἶναι ταῦτα, ἔπειτα (ἐπεθύμουν γὰρ τὸ Ἄργος πάντως φίλιον ἔχειν) ξυνεχώρησαν ἐφ' οἷς ἠξίουν, καὶ ξυνεγράψαντο. ἐκέλευον δ' οἱ Λακεδαιμόνιοι, πρὶν τέλος τι αὐτῶν ἔχειν, εἰς τὸ Ἄργος πρῶτον ἐπαναχωρήσαντας αὐτοὺς δεῖξαι τῷ πλήθει, καὶ ἢν ἀρέσκοντα ᾖ, ἥκειν εἰς τὰ Τακίνθια τοὺς ὅρκους ποιησομένους. καὶ οἱ μὲν ἀνεχώρησαν. * ἐν δὲ τῷ χρόνῳ τούτῳ, ᾧ οἱ Ἀργεῖοι ταῦτα ἔπρασσον, οἱ πρέσβεις τῶν Λακεδαιμονίων, Ἀνδρομέδης καὶ Φαίδιμος καὶ Ἀντιμενίδας, οὓς ἔδει τὸ Πάνακτον καὶ τοὺς ἄνδρας τοὺς παρὰ Βοιωτῶν παραλαβόντας Ἀθηναίοις ἀποδοῦναι, τὸ μὲν Πάνακτον ὑπὸ τῶν Βοιωτῶν αὐτῶν καθῃρημένον εὗρον, ἐπὶ προφάσει ὡς ἦσάν ποτε Ἀθηναίοις καὶ Βοιωτοῖς ἐκ διαφορᾶς περὶ αὐτοῦ ὅρκοι παλαιοὶ μηδετέρους οἰκεῖν τὸ χωρίον ἀλλὰ κοινῇ νέμειν, τοὺς δ' ἄνδρας οὓς εἶχον αἰχ-

42. Cum ex pacto Lacedæmonii captos a Bœotis et Panactum ab iisdem eversum traderent Atheniensibus, hi indignati, quod fœderis leges ab illis male servatas putarent, le-

2. πάντως] ἐξ ἀνάγκης. 3. ξυνεγράψαντο] συνθήκην ἔγγραφον ἐδέδακσαν. 5. δεῖξαι] τὴν συγγραφὴν, ὡς τὸ εἰκός. 6. ἐς τὰ Τακίνθια] εἰς τὴν ἑορτὴν τοῦ Τακίνθου. 14. μηδετέρους] Ἀθηναίους, καὶ Βοιωτούς. 15. κοινῇ νέμειν] ἤγουν κοινὴν νομὴν ἔχειν ἐν αὐτῷ.

1. μυρία g.
2. πάντων c. om. K.i.
φιλίον L.O.P. ceteri φίλον. conf. c. 36.
3. ἔξιν Q.
συνεγράψαντο F.H.K.
5. πρότερους g.
7. ποιησαμένους d.i.
8. τῷ αὐτῷ χρόνῳ τούτῳ c.d.i.
ὡς d.
οἱ om. Q.
9. ἀνδρομίδης A.B.F.H.I.N.h. ceteri ἀνδρομένης.
10. αὐτομενίδας L.
11. παραδοῦναι d.
12. αὐτῶν om. N.
ἦρον B.F.H.
14. περὶ τοῦ αὐτοῦ O.
παλαιοὶ ὅρκοι L.O.P.c.i.k. et, qui postponit illa περὶ αὐτοῦ, e.

15. κοινῇ νέμειν] Aperte distinguit νέμειν et οἰκεῖν, etsi alioqui νέμειν sæpe idem est, quod οἰκεῖν. Sic νέμεσθαι et ἐνοικεῖν diversa facit IV. 56. Νεμόμενοι δὲ αὐτὴν (τὴν Θυρέαν) ἔδοσαν Λακεδαιμόνιοι Αἰγινήταις ἐκπεσοῦσιν ἐνοικεῖν. Scholiastes hic νέμειν exponit de jure compascendi: sed fortasis latius patet illius significatio, et de omni fructu ac reditu intelligi potest; ut cap. præc. νέμεσθαι, quod ibi Schol. interpretatur τὴν νομὴν καὶ τὸ κέρδος ἔχειν. Et I. 2. Νεμόμενοί τε τὰ αὐτῶν ἕκαστοι ὅσον ἀπόζῃν, ubi νέμεσθαι non ad solam pastionem coarctari potest. Duk.

αἰχμαλώτους βοιωτοὶ A.B.F.H. K.L.N.O.P.c.d.e.g.k. οἱ βοιωτοὶ

gatos cum superiore responso dimiserunt.

μαλώτους Βοιωτοὶ Ἀθηναίων, παραλαβόντες οἱ περὶ τὸν Ἀνδρομέδην ἐκόμισαν τοῖς Ἀθηναίοις, καὶ ἀπέδοσαν, τοῦ τε Πανάκτου τὴν καθαίρεσιν ἔλεγον αὐτοῖς, νομίζοντες καὶ τοῦτο ἀποδιδόναι· πολέμιον γὰρ οὐκέτι ἐν αὐτῷ Ἀθηναίοις οἰκήσειν οὐδένα. λεγομένων δὲ τούτων οἱ Ἀθηναῖοι δεινὰ ἐποίουν, νομίζοντες ἀδικεῖσθαι ὑπὸ Λακεδαιμονίων τοῦ τε Πανάκτου τῇ καθαιρέσει, ὃ ἔδει ὀρθὸν παραδοῦναι, καὶ πυνθανόμενοι ὅτι καὶ Βοιωτοῖς ἰδίᾳ ξυμμαχίαν πεποίηνται, φάσκοντες πρότερον κοινῇ τοὺς μὴ δεχομένους τὰς σπονδὰς προσαναγκάσειν. τά τε ἄλλα ἐσκόπουν, ὅσα ἐξελελοίπεσαν τῆς ξυνθήκης, καὶ ἐνόμιζον ἐξηπατῆσθαι, ὥστε χαλεπῶς πρὸς τοὺς πρέσβεις ἀποκρινάμενοι ἀπέπεμψαν.

43. Interim Athenis Alcibiades, etiam tum juvenis, Lacedæmoniis

Κατὰ τοιαύτην δὴ διαφορὰν ὄντων τῶν Λακεδαιμονίων πρὸς τοὺς Ἀθηναίους, οἱ ἐν ταῖς Ἀθήναις αὖ βουλόμενοι λῦσαι τὰς σπονδὰς εὐθὺς ἐνέκειντο. ἦσαν δὲ ἄλλοι τε καὶ Ἀλκιβιάδης ὁ Κλεινίου, ἀνὴρ ἡλικίᾳ μὲν ὢν ἔτι τότε

6. δεινὰ ἐποίουν] ἐδεινοπάθουν. 8. ἰδίᾳ] ἄνευ τῶν Ἀθηναίων. 10. ἐσκόπουν] ἀντιμελῶς ἀνελογίζοντο. 11. ὅσα ἐξελελοίπεσαν] ὅσα ἐναίφησαν ἐάσαντες τὴν συνθήκην. 12. χαλεπῶς] σὺν ὀργῇ. 16. ἐνέκειντο] ἤγουν πιστοὶ ἦσαν σπεύδοντες.

αἰχμαλώτους Q.f. ceteri αἰχμαλότους οἱ βοιωτοί.

2. ἀνδρομήν Q. ἀνδρομώνην k.

3. τὴν] καὶ K.

4. ἂν om. B.h.

7. Ὃ ἔδει ὀρθὸν παραδοῦναι] Sic rursum cap. 46. Ἐστὸς dicit Plutarch. Alcib. pag. 359. Καὶ Πάνακτον οὐχ ἑστώς, ὥσπερ ἔδει, τοῖς Ἀθηναίοις παρέδωκαν. At in Nicia 967. Πάνακτον ἑστῶσαν οὐ παρέδοσαν. Dux.

8. ἰδίᾳ καὶ ξυμμαχίαν c.i.

9. τοὺς δὲ μὴ K.

12. ἀποκρινόμενοι d.

14. δὴ om. e.

τῶν om. e.

16. ἀνέκειντο c. i.

ἦσαν δὲ οἱ ἄλλοι L. ἦσαν ἄλλοι h. τε δέκα καὶ h.

17. ὢν ἔτι τότε A.B.h. ἔτι ὢν τότε e.g. vulgo ἔτι τότε ὤν.

Ἡλικίᾳ μὲν ἔτι τότε ὢν νέος] Triginta circiter annos, vel fortasse plus eo, tum natum fuisse colligit Acacius e Platonis Alcibiade primo, in quo Socrates Alcibiadem nondum prorsus XX. annos implevisse dicit, et de Pericle loquitur, tamquam adhuc vivente. Pericles autem obiit anno tertio belli Peloponnesiaci.

κὸς ὢν ἐν ἄλλῃ πόλει, ἀξιώματι δὲ προγόνων τιμώμενος· ᾧ ἐδόκει μὲν καὶ ἄμεινον εἶναι πρὸς τοὺς Ἀργείους μᾶλλον χωρεῖν, οὐ μέντοι ἀλλὰ καὶ φρονήματι φιλονεικῶν ἠναντιοῦτο, ὅτι Λακεδαιμόνιοι διὰ Νικίου καὶ Λάχητος ἔπραξαν τὰς σπονδάς, αὐτὸν κατά τε τὴν νεότητα ὑπεριδόντες καὶ κατὰ τὴν παλαιὰν προξενίαν ποτὲ οὖσαν οὐ τιμήσαντες, ἣν τοῦ πάππου ἀπειπόντος αὐτὸς, τοὺς ἐκ τῆς νήσου αὐτῶν αἰχμαλώτους θεραπεύων, διενοεῖτο ἀναπώσασθαι. πανταχόθεν τε νομίζων ἐλασσοῦσθαι τό τε πρῶτον ἀντεῖπεν, οὐ βεβαίους φάσκων εἶναι Λακεδαιμονίους, ἀλλ' ἵνα Ἀργείους σφίσι σπεισάμενοι ἐξέλωσι

adversatur, ab iis se contemptum ratus in fœdere pangendo. Is et palam Athenienses contra Lacedæmonios, ut infideles et infestos, iritat, et clam Argos mittit, qui Argivos et Eleos et Mantinenses ad societatem cum Atheniensibus invitent.

1. ἀξιώματι δὲ προγόνων] εὐγενείᾳ. τὸ γένος τῶν τοῦ Ἀλκιβιάδου προγόνων πρόξενον ἦν Λακεδαιμονίων· ὁ δὲ πάππος ὁ τοῦ Ἀλκιβιάδου ἀπεῖπε τὴν προξενίαν. αὖθις δὲ ὁ Ἀλκιβιάδης ἀνέλαβεν αὐτὴν, καὶ ἤχθετο ὅτι οἱ Λακεδαιμόνιοι διὰ Νικίου τὰς σπονδὰς ἐποιήσαντο, αὐτὸν δὲ πρόξενον ὄντα ὑπερεῖδον καὶ ἠτίμασαν. 2. μᾶλλον χωρεῖν] τοὺς Ἀθηναίους. 3. φρονήματι] ὄγκῳ, ἐπάρσει. 6. κατὰ τὴν παλαιὰν] ἤγουν διὰ τὴν παλαιάν. 8. διενοεῖτο] σκοπὸν εἶχεν. ἐλασσοῦσθαι] ἀδικεῖσθαι. 11. σφίσι] τοῖς Ἀθηναίοις.

Si Diodorum Siculum et Cornelium Nepotem sequimur, Alcibiades tum nondum potuit habere XXX. annos. Nam hic in vita illius cap. X. scribit, eum occisum, quum annos circiter XL. natus esset. Diodorus autem lib. XIV. pag. 401. mortem illius in annum secundum Olympiadis XCIV. confert. Jam vero ea, quæ hic narrat Thucydides, incidunt in extremum annum quartum Olymp. LXXXIX. a quo usque ad mortem Alcibiadis sunt anni circiter XIV. Duk.

1. Ὢν ἐν ἄλλῃ πόλει] De genere Alcibiadis vide Xylandrum ad Plutarchi Alcibiadem in princ. Duk.

2. καὶ om. d.i.
χωρεῖν μᾶλλον e.
5. ἑαυτὸν F.H.I.K.L.N.O.P.e. f.g.k. ἑαυτῶν A.B.
τε om. L.e.
7. ἐν τῇ νήσῳ Q.
9. δὲ L.O.P.
10. οὐ om. B.h.
βεβαίους e.

11. Ἀλλ' ἵνα Ἀργείους σφίσι σπεισάμενοι ἐξέλωσι] Valla putavit supplendum σφίσι, et utrumque ad Athenienses retulit: nam vertit, *ea causa* cum Atheniensibus *fœdera percussisse, ut per hæc* ab eis Argivos abducerent. Adnotat ibi Henr. Stephanus in marg. vel. *cum Argivis.* Hoc placuit Porto, qui et ἐξέλωσι paullo aliter quam Valla, sed eadem sententia, vertit. Mihi Thucydides hoc videtur velle: Alcibiadem jam tum, quum induciæ quinquaginta annorum fiebant, iis se opposuisse, ac dix-

καὶ αὖθις ἐπ' Ἀθηναίους μόνους ἴωσι, τούτου ἕνεκα σπένδεσθαι αὐτούς· καὶ τότε, ἐπειδὴ ἡ διαφορὰ ἐγεγένητο, πέμπει εὐθὺς ἐς Ἄργος ἰδίᾳ, κελεύων ὡς τάχιστα ἐπὶ τὴν ξυμμαχίαν προκαλουμένους ἥκειν μετὰ Μαντινέων καὶ Ἠλείων, ὡς καιροῦ ὄντος καὶ αὐτὸς ξυμπράξων τὰ μάλιστα. 44. * οἱ δὲ Ἀργεῖοι ἀκούσαντες τῆς τε ἀγγελίας, καὶ ἐπειδὴ ἔγνωσαν οὐ μετ' Ἀθηναίων πραχθεῖσαν τὴν τῶν Βοιωτῶν ξυμμαχίαν, ἀλλ' ἐς διαφορὰν μεγάλην καθεστῶτας αὐτοὺς πρὸς τοὺς Λακεδαιμονίους, τῶν μὲν ἐν Λακεδαίμονι πρέσβεων, οἳ σφίσι περὶ τῶν σπονδῶν ἔτυχον ἀπόντες, ἠμέλουν, πρὸς δὲ τοὺς Ἀθηναίους μᾶλλον τὴν γνώμην εἶχον, νομίζοντες πόλιν τε σφίσι φιλίαν ἀπὸ παλαιοῦ, καὶ δημοκρατουμένην ὥσπερ καὶ αὐτοί, καὶ δύναμιν μεγάλην ἔχουσαν τὴν κατὰ θάλασσαν, ξυμ-

Argivi statim cum Eleis et Mantinensibus legatos Athenas mittunt, hanc societatem Lacedæmoniorum amicitiæ præferentes, quam eo ipso tempore, missis Spartam legatis,

9. καθεστῶτας αὐτοὺς] τοὺς Ἀθηναίους. 12. σφίσι] τοῖς Ἀργείοις.

isse, Lacedæmonios eo consilio cum Atheniensibus pacisci, ut fœdere cum his facto Argivos sub potestatem redigerent, ac deinde illis subactis Athenienses adgrederentur. Ἐξαιρεῖν apud Thucydidem sæpe est *expugnare, capere, evertere.* III. 113. Ἀμπρακίαν μέντοι οἶδα, ὅτι, εἰ ἐβουλήθησαν Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι—ἐξελεῖν, αὐτοβοεὶ ἂν εἷλον. IV. 69. Τὴν Νίσαιαν εὐθὺς περιετείχιζον, νομίζοντες, εἰ, πρὶν ἐπιβοηθῆσαί τινας, ἐξέλοιεν, θᾶσσον ἂν καὶ τὰ Μέγαρα προσχωρῆσαι. Et Ibid. 122. Ψηφισμά τ' εὐθὺς ἐποιήσαντο—Σκιωναίους ἐξελεῖν τε καὶ ἀποκτεῖναι. Et hanc esse sententiam hujus loci etiam putavit Acacius, qui ἐξελεῖν vertit *perdomare.* Duk.

1. αὖτις G. αὖ τι I.

4. προκαλούμενος I.L.O.P.c.d. e.k.i.

μετὰ τῶν μαντινέων g.

5. συμπράσσων K. ξυμπράσσων d.i.

6. τῆς τε om. P.

8. τῶν om. Q.

10. περὶ σπονδῶν Q.

11. ἀπόντες] ἅπαντες O.P.

12. πόλιν] πάλιν d.

Πόλιν τε σφίσι φιλίαν] Thomas Magister: φίλιος ἀγρὸς, καὶ φίλιος πόλις. Θουκυδίδης δὲ φιλία πόλις λέγει· φησὶ γάρ, νομίζοντες πόλιν τε σφίσιν ἀπὸ παλαιοῦ φιλίαν. τουτέστι φίλην. Videtur velle, dicendum esse ὁ καὶ ἡ φίλιος, et in Thucydide ἡ φιλία tamquam insolentius, et ei peculiare, adnotare. Thucydides quidem crebro ita loquitur, III. 58. χώρα φιλία, et γῆ φιλία, IV. 20. τριήρης φιλία: sed non solus, ut vel e Laxicis constat. Duk.

14. τὴν μεγάλην ἔχουσαν κατὰ K.

πολεμήσειν σφίσιν, ἢν καθιστῶνται ἐς πόλεμον. ἔπεμπον οὖν αὐτοὺς πρέσβεις ὡς τοὺς Ἀθηναίους περὶ τῆς ξυμμαχίας· ξυνεπρεσβεύοντο δὲ καὶ οἱ Ἠλεῖοι, καὶ Μαντινῆς· ἀφίκοντο δὲ καὶ Λακεδαιμονίων πρέσβεις κατὰ τάχος, δοκοῦντες ἐπιτήδειοι εἶναι τοῖς Ἀθηναίοις, Φιλοχαρίδας καὶ Λέων καὶ Ἔνδιος, δείσαντες μὴ τήν τε ξυμμαχίαν ὀργιζόμενοι πρὸς τοὺς Ἀργείους ποιήσωνται, καὶ ἅμα Πύλον ἀπαιτήσοντες ἀντὶ Πανάκτου, καὶ περὶ τῆς Βοιωτῶν ξυμμαχίας ἀπολογησόμενοι, ὡς οὐκ ἐπὶ κακῷ τῶν Ἀθηναίων ἐποιήσαντο. * καὶ λέγοντες ἐν τῇ βουλῇ περί τε τούτων, καὶ ὡς αὐτοκράτορες ἥκουσι περὶ πάντων ξυμβῆναι τῶν διαφόρων, τὸν Ἀλκιβιάδην ἐφόβουν μὴ καὶ ἢν ἐς τὸν δῆμον ταῦτα λέγωσιν, ἐπαγάγωνται τὸ πλῆθος καὶ ἀπωσθῇ ἡ Ἀργείων ξυμμαχία. μηχανᾶται δὲ πρὸς αὐτοὺς τοιόνδε τι ὁ Ἀλκιβιάδης· τοὺς Λακεδαιμονίους πείθει, πίστιν αὐτοῖς δοὺς, ἢν μὴ ὁμολογήσωσιν

sibi conciliatari erant. At etiam Lacedæmonii confestim legatos mittunt Athenas, qui et prohibeant illam societatem, et Pylum pro Panacto reposcant, factamque cum Bœotis societatem excusent.

45. Eos Alcibiades induxit, ut negarent coram populo, ea se potestate præditos esse, ut de omnibus de-

7. ἐργιζόμενοι] τοῖς Λακεδαιμονίοις. 11. αὐτοκράτορες περὶ πάντων] ἐξουσίαν ἔχοντες περὶ τῶν ὅλων, ὡς, ὅ τι ἂν οὗτοι καταστήσωσιν, ἀρέσκων ἂν γένοιτο τοῖς Λακεδαιμονίοις. 13. ἐπαγάγωνται] καταπείσωσι. 14. ἀπωσθῇ] γράφεται ἀποστῇ. 16. πίστιν] ὅρκων βέβαιον. ἢν μὴ ὁμολογήσωσι

2. ὡς] ἐς e.
τῆς om. L.
3. καὶ οἱ ἠλεῖοι A.B.F.H.Q.h. vulgo omittunt articulum.
5. ἐπιτήδειον A.F.H.h.
6. ἔνδειος H.
8. τῆς τῶν βοιωτῶν ξ. ἀπολογησάμενοι K.
11. ὡς καὶ L.O.P.c.d.e.i.k.
ἥκασι h.
12. διαφορῶν A.F.H.L.N.
13. καὶ om. c.d.i.
14. ἀποστῇ I.
Ἀπωσθῇ] Ita alibi Noster. antea ἀποστῇ. D. Halic. VII. 466. ἀπέσασθαι φίλων δέησιν. Homerus Il. μ'. 276. Νεῖκος ἀπωσαμένους. Demosth. Olynth. I. ἅπαντας βοηθεῖν, καὶ ἀπωθεῖν ἐκεῖσε τὸν πόλεμον. Plato Polit. II. Τὰ ἐξ ἀδικίας κέρδη ἀπωσόμεθα. Wass. Haud dubie rectum est ἀπωσθῇ. Vide Thucyd. I. 35, 37. III. 55. 67. V. 22. Duk.
Μηχανᾶται] Huc spectat Plutarchus Coriol. p. 233. Wass. Idem in Alcibiade pag. 360. et Nicia p. 957. Ed. Steph. machinationem ab Alcibiade ad circumveniendos legatos Lacedæmoniorum adhibitam pluribus exsequitur; quæ hinc descripta sunt. Duk.
15. τοιόνδε τι πρὸς αὐτοὺς L.O.P. c.d.e.i.k.
ὁ om. K.

cernerent. Ita apud populum eos criminatur tamquam bilingues, qui apud senatum vana essent locuti.

ἐν τῷ δήμῳ αὐτοκράτορες ἥκειν, Πύλον τε αὐτοῖς ἀποδώσειν (πείσειν γὰρ αὐτὸς Ἀθηναίους, ὥσπερ καὶ νῦν ἀντιλέγειν) καὶ τἆλλα ξυναλλάξειν. βουλόμενος δὲ αὐτοὺς Νικίου τε ἀποστῆσαι ταῦτα ἔπραττε, καὶ ὅπως, ἐν τῷ δήμῳ διαβαλὼν αὐτοὺς ὡς οὐδὲν ἀληθὲς ἐν νῷ ἔχουσιν οὐδὲ λέγουσιν οὐδέποτε ταὐτὰ, τοὺς Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας ξυμμάχους ποιήσῃ. καὶ ἐγένετο οὕτως. ἐπειδὴ γὰρ ἐς τὸν δῆμον παρελθόντες καὶ ἐπερωτώμενοι αὐτὰ ἔφασαν, ὥσπερ ἐν τῇ βουλῇ, αὐτοκράτορες ἥκειν, οἱ Ἀθηναῖοι οὐκέτι ἠνείχοντο, ἀλλὰ τοῦ Ἀλκιβιάδου πολλῷ μᾶλλον ἢ πρότερον καταβοῶντος τῶν Λακεδαιμονίων ἐσήκουόν τε, καὶ ἑτοῖμοι ἦσαν εὐθὺς παραγαγόντες τοὺς Ἀργείους καὶ τοὺς μετ' αὐτῶν ξυμμάχους ποιεῖσθαι· σεισμοῦ δὲ γενομένου πρίν τι ἐπικυρωθῆναι, ἡ ἐκκλησία αὖτη ἀνεβλήθη. * τῇ δ' ὑστεραίᾳ ἐκκλησίᾳ ὁ Νικίας, καίπερ τῶν Λακεδαιμονίων αὐτῶν ἠπατημένων καὶ αὐτὸς ἐξηπατημένος περὶ τοῦ μὴ αὐτοκράτορας ὁμολογῆσαι ἥκειν, ὅμως τοῖς Λακεδαιμονίοις ἔφη χρῆναι φίλους μᾶλλον γίγνεσθαι, καὶ ἐπισχόντας τὰ πρὸς Ἀργείους πέμψαι ἔτι ὡς αὐτούς, καὶ εἰδέναι ὅ τι διανοοῦνται, λέγων ἐν μὲν τῷ σφετέρῳ καλῷ ἐν δὲ τῷ ἐκείνων ἀπρεπεῖ

46. Nicia suadente, ipse cum aliis legatis Lacedæmonem mittitur, qui de fœdere cum Bœotis separatim facto conqueratur, et po-

σιν] ἢν μὴ φανερῶς εἴπωσι. 4. Νικίου τε ἀποστῆσαι] ἤγουν τῆς φιλίας τοῦ Νικίου ἀποστῆσαι τοὺς Λακεδαιμονίους. 5. διαβαλὼν] ὑβρίσας. 8. παρελθόντες] οἱ πρόσβεις τῶν Λακεδαιμονίων. 12. ἐσήκουον] οἱ Ἀθηναῖοι. παραγαγόντες] ἤγουν εἰσαγαγόντες. 19. τὰ πρὸς Ἀργείους] ἤγουν τὴν συμμαχίαν τῶν Ἀργείων. 20. ὡς αὐτοὺς] τοὺς Λακεδαιμονίους. 21. λέγων] ὁ Νικίας.

2. αὐτοὺς Q.
ὥσπερ νῦν P.
3. δὲ] δι' d. γὰρ f.
4. ἔπραττε] ἔλεγέ τε K.
9. ὥσπερ καὶ ἐν g.
10. οἱ om. K.
12. εἰσηκοίοντο καὶ K.
13. τοὺς] τῶν B.
14. γεγονότος g.
17. αὐτοκράτορας A.B.F.I.c.d.e. f.g.h. vulgo αὐτοκράτορες.
19. τὰ] τοὺς P.
20. ὡς] πρὸς Q.
αὐτὰ P.
εἴ τι A.B.h.

τὸν πόλεμον ἀναβάλλεσθαι· σφίσι μὲν γὰρ εὖ ἑστώτων τῶν πραγμάτων ὡς ἐπὶ πλεῖστον ἄριστον εἶναι διασώσασθαι τὴν εὐπραγίαν, ἐκείνοις δὲ δυστυχοῦσιν ὅτι τάχιστα εὔρημα εἶναι διακινδυνεῦσαι. ἔπεισέ τε πέμψαι πρέσβεις, ὧν καὶ αὐτὸς ἦν, κελεύσοντας Λακεδαιμονίους, εἴ τι δίκαιον διανοοῦνται, Πάνακτόν τε ὀρθὸν ἀποδιδόναι καὶ Ἀμφίπολιν, καὶ τὴν Βοιωτῶν ξυμμαχίαν ἀνεῖναι, ἣν μὴ ἐς τὰς σπονδὰς ἐσίωσι, καθάπερ εἴρητο ἄνευ ἀλλήλων μηδενὶ ξυμβαίνειν. εἰπεῖν τε ἐκέλευον ὅτι καὶ σφεῖς, εἰ ἐβούλοντο ἀδικεῖν, ἤδη ἂν Ἀργείοις ξυμμάχους πεποιῆσθαι, ὡς παρεῖναί γ' αὐτοὺς αὐτῶ τούτου ἕνεκα. εἴ τέ τι ἄλλο ἐνεκάλουν, πάντα ἐπιστείλαντες ἀπέπεμψαν τοὺς περὶ τὸν Νικίαν πρέσβεις. καὶ ἀφικομένων αὐτῶν, καὶ ἀπαγγειλάντων τά τε ἄλλα καὶ τέλος εἰπόντων ὅτι, εἰ μὴ τὴν ξυμμαχίαν ἀνήσουσι Βοιωτοῖς μὴ ἐσιοῦσιν ἐς τὰς

stulet, ut illud fœdus, nisi Bœoti et cum Atheniensibus pacisci vellent, missum faciant; sin minus, et ipsos Athenienses cum Argivis fœdus esse icturos. Sed Spartani in sententia perstant. Itaque Athenienses cum Argivis eorumque sociis fœdus et societatem pangunt;

1. εὖ ἑστώτων] καλῶς φερομένων. 5. ἂν καὶ αὐτὸς ἦν] εἰς δηλωτέον. 8. ἄνευ ἀλλήλων] τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων. 11. ὡς παρεῖναί γ' αὐτοὺς] γράφεται ὥσπερεί γ' αὐτούς.

2. ἐπὶ τὸ πλεῖστον N.g.
4. εὔρημα om. c.d.i.
πρέσβεις πέμψαι f.
5. κελεύσαντας A.B.F.I.d.e.
6. δίκαιον om. B.h.
ἀποδοῦναι
7. ξυμμαχίαν βοιωτῶν Q.f.
8. εἴρηται Q. ἦρητο c.
10. βούλοιντο L.O.P.
11. ὥσπερ οἶμαί γ' O.P. ὥσπερ εἴ γ' l.b.c.i.k.
12. ἀνεκάλουν P.
ἀντέπεμψαν f.g.
13. περὶ νικίαν Q.
15. ἐσιοῦσιν e.

Βοιωτοῖς] Paullo ante in secundo casu dixerat, τὴν Βοιωτῶν ξυμμαχίαν ἀνεῖναι. Cur igitur hic, et paullo post, tertium adhibet? Vix putem Βοιωτοῖς posse jungi cum ἀνήσουσι. Fortassis eo pertinet, quod substantivis interdum adjungitur casus verbi, vel adjectivi cognati: ut, quemadmodum συμμαχεῖν et σύμμαχος Βοιωτοῖς dicitur, ita etiam dicatur συμμαχία Βοιωτοῖς. Sic Thucyd. IV. 23. Ἐπιδρομὴ τῷ τειχίσματι. V. 5. Τισὶ πόλεσιν ἐχρημάτισε περὶ φιλίας τοῖς Ἀθηναίοις. et 35. Κατὰ τὴν τῶν χωρίων ἀλλήλοις οὐκ ἀπόδοσιν. Idem genus loquendi in Latinis Scriptoribus observarunt Viri Docti, Sallust. Catil. XXXII. "quod neque *insidiæ* "*Consuli* procedebant." Vid. Gronov. ad Liv. XXIII. 35. et XXXI. 40. Nisi quis putet, hos dativos in Thucydide ita poni, ut sæpe alios, qui commodum,

σπονδὰς, ποιήσονται καὶ αὐτοὶ Ἀργείους καὶ τοὺς μετ' αὐτῶν ξυμμάχους, τὴν μὲν ξυμμαχίαν οἱ Λακεδαιμόνιοι Βοιωτοῖς οὐκ ἔφασαν ἀνήσειν, ἐπικρατούντων τῶν περὶ τὸν Ξενάρκη τὸν ἔφορον ταῦτα γίγνεσθαι, καὶ ὅσοι ἄλλοι τῆς αὐτῆς γνώμης ἦσαν, τοὺς δὲ ὅρκους δεομένου Νικίου ἀνεωσαντο· ἐφοβεῖτο γὰρ μὴ πάντα ἀτελῆ ἔχων ἀπέλθῃ, καὶ διαβληθῇ, ὅπερ καὶ ἐγένετο, αἴτιος δοκῶν εἶναι τῶν πρὸς Λακεδαιμονίους σπονδῶν. ἀναχωρήσαντός τε αὐτοῦ, ὡς ἤκουσαν οἱ Ἀθηναῖοι οὐδὲν ἐκ τῆς Λακεδαίμονος πεπραγμένον, εὐθὺς δι' ὀργῆς εἶχον, καὶ νομίζοντες ἀδικεῖσθαι (ἔτυχον γὰρ παρόντες οἱ Ἀργεῖοι καὶ οἱ ξύμμαχοι, παραγαγόντος Ἀλκιβιάδου) ἐποιήσαντο σπονδὰς καὶ ξυμμαχίαν πρὸς αὐτοὺς τήνδε.

47. cujus leges uescriptæ.

" ΣΠΟΝΔΑΣ ἐποιήσαντο ἑκατὸν Ἀθηναῖοι ἔτη καὶ " Ἀργεῖοι καὶ Μαντινῆς καὶ Ἠλεῖοι, ὑπὲρ σφῶν αὐτῶν " καὶ τῶν ξυμμάχων ὧν ἄρχουσιν ἑκάτεροι, ἀδόλους καὶ " ἀβλαβεῖς, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. ὅπλα " δὲ μὴ ἐξέστω ἐπιφέρειν ἐπὶ πημονῇ μήτε Ἀργείους καὶ " Ἠλείους καὶ Μαντινέας καὶ τοὺς ξυμμάχους ἐπὶ Α-

19. ἐπὶ Ἀθηναίους] τὸ, ἐπὶ Ἀθηναίους καὶ τοὺς ξυμμάχους, ἕως τνῦ καὶ Μαντινέας καὶ τοὺς ξυμμάχους, ἐν ἄλλῳ οὐ κεῖται.

vel incommodum notant; aut deesse participia verbi γίνομαι, aut si quod aliud aptius est: quemadmodum Perizonius ad Sanct. Minerv. IV. 4. 12. supplet orationem Sallustii. Duk.

2. μὲν om. Q.
3. βοιωτοὺς I.b.c.d.e.i.
4. ξενάρκην g.
τὸν om. O.
7. διαλυθῇ d.i.
9. οἱ om. d.i.k.
12. ἐποίησαν τὰς σπονδὰς k.
13. τοιάνδε I.L.N.O.P.c.e.k. om. d.

Τήνδε] Nihil mutandum. Noster in fœderibus voces αἵδε, τάδε, ἥδε, τάσδε, nunquam non adhibet. Vid. V. 7. 9. 18. 22. VIII. 17. 36. 57. In Orationibus fere τοιάδε, et τοσαῦτα. Vid. Nos ad VI. 9. Wass.

14. ἀθηναῖοι ἑκατὸν ἔτη καὶ οἱ ἀργεῖοι K.
17. ἀβλαβεῖς κατὰ L.d.i.
θάλατταν K. qui mox om. δέ.
19. ἐπὶ ἀθ. καὶ τοὺς ξ.] om. A. B.F.H.K.

" θηναίους καὶ τοὺς ξυμμάχους ὧν ἄρχουσιν Ἀθηναῖοι,
" μήτε Ἀθηναίους καὶ τοὺς ξυμμάχους ἐπὶ Ἀργείους καὶ
" Ἠλείους καὶ Μαντινέας καὶ τοὺς ξυμμάχους, τέχνῃ
" μηδὲ μηχανῇ μηδεμιᾷ. κατὰ τάδε ξυμμάχους εἶναι
" Ἀθηναίους καὶ Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας
" ἑκατὸν ἔτη. ἢν πολέμιοι ἴωσιν ἐς τὴν γῆν τὴν Ἀθη-
" ναίων, βοηθεῖν Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας
" Ἀθήναζε, καθ' ὅ τι ἂν ἐπαγγέλλωσιν Ἀθηναῖοι, τρόπῳ
" ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν. ἢν δὲ
" δηώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν
" Ἀργείοις καὶ Μαντινεῦσι καὶ Ἠλείοις καὶ Ἀθηναίοις,
" καὶ κακῶς πάσχειν ὑπὸ πασῶν τῶν πόλεων τούτων·
" καταλύειν δὲ μὴ ἐξεῖναι τὸν πόλεμον πρὸς ταύτην τὴν
" πόλιν μηδεμιᾷ τῶν πόλεων, ἢν μὴ ἁπάσαις δοκῇ.
" βοηθεῖν δὲ καὶ Ἀθηναίους ἐς Ἄργος καὶ Μαντίνειαν
" καὶ Ἦλιν, ἢν πολέμιοι ἴωσιν ἐπὶ τὴν γῆν τὴν Ἠλείων
" ἢ τὴν Μαντινέων ἢ τὴν Ἀργείων, καθ' ὅτι ἂν ἐπαγγέλ-
" λωσιν αἱ πόλεις αὗται, τρόπῳ ὁποίῳ ἂν δύνωνται
" ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν. ἢν δὲ δηώσαντες οἴχων-
" ται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Ἀθηναίοις καὶ
" Ἀργείοις καὶ Μαντινεῦσι καὶ Ἠλείοις, καὶ κακῶς
" πάσχειν ὑπὸ πασῶν τούτων τῶν πόλεων· καταλύειν δὲ

8. ἐπαγγέλλωσιν] ζητῶσι. 10. ταύτην τὴν πόλιν] ἐξ ἧς οἱ πολέμιοι ὡρμήθησαν.

1. ἤν—ξυμμάχους] om. K.
4. κατά τε τάδε L.
6. ἢν A.B.F.H.K.c.f.g.h. ἤν δὲ Q. vulgo καὶ ἤν.
τὴν ἀθηναίων A.F.H. τῶν ἀθηναίων vulgo.
7. ἀργείους τε καὶ K.
8. ἐπαγγέλωσιν i.
9. καὶ κατὰ L.O.P.
12. πασῶν om. L.O.P.
13. ἐξεῖναι τοῦτον τὸν i.
14. τὴν πόλιν ταύτην h.
16. τὴν ἠλείων] τῶν ἠλείων L.O. c.k.
17. ἢ τῶν c.i.
ἐπαγγείλωσιν B.h. ἐπαγγέλωσιν d.i.
18. ὁποίῳ] ᾧ i. om. c.
19. ἰσχυροτάτῳ om. L.O.P.k.
22. τῶν πόλεων τούτων B.h.

" μὴ ἐξεῖναι τὸν πόλεμον πρὸς ταύτην τὴν πόλιν, ἢν μὴ
" ἀπάσαις δοκῇ ταῖς πόλεσιν. ὅπλα δὲ μὴ ἐᾷν ἔχοντας
" διέναι ἐπὶ πολέμῳ διὰ τῆς γῆς τῆς σφετέρας αὐτῶν
" καὶ τῶν ξυμμάχων ὧν ἂν ἄρχωσιν ἕκαστοι, μηδὲ κατὰ
" θάλασσαν, ἢν μὴ ψηφισαμένων τῶν πόλεων ἁπασῶν
" τὴν δίοδον εἶναι, Ἀθηναίων καὶ Ἀργείων καὶ Μαντι-
" νέων καὶ Ἠλείων. τοῖς δὲ βοηθοῦσιν ἡ πόλις ἡ πέμ-
" πουσα παρεχέτω μέχρι μὲν τριάκοντα ἡμερῶν σῖτον,
" ἐπὴν ἔλθῃ ἐς τὴν πόλιν τὴν ἐπαγγείλασαν βοηθεῖν,
" καὶ ἀπιοῦσι κατὰ ταὐτά· ἢν δὲ πλέονα βούλων-
" ται χρόνον τῇ στρατιᾷ χρῆσθαι, ἡ πόλις ἡ μετα-
" πεμψαμένη διδότω σῖτον, τῷ μὲν ὁπλίτῃ καὶ ψι-
" λῷ καὶ τοξότῃ τρεῖς ὀβολοὺς Αἰγιναίους τῆς ἡμέρας
" ἑκάστης, τῷ δ' ἱππεῖ δραχμὴν Αἰγιναίαν. ἡ δὲ πόλις
" ἡ μεταπεμψαμένη τὴν ἡγεμονίαν ἐχέτω, ὅταν ἐν τῇ αὐ-
" τῆς ὁ πόλεμος ᾖ· ἢν δέ ποι δόξῃ ταῖς πόλεσι κοινῇ στρα-
" τεύεσθαι, τὸ ἴσον τῆς ἡγεμονίας μετεῖναι πάσαις ταῖς
" πόλεσιν. ὀμόσαι δὲ τὰς σπονδὰς Ἀθηναίους μὲν ὑπέρ τε

2. ὅπλα δὲ μὴ ἐᾷν ἔχοντας] τινάς. 9. τὴν ἐπαγγείλασαν] ζητήσασαν.

1. τὴν πόλιν om.Q.
2. πάσαις k.
3. Διέναι] Et hoc in Fœdere vetustissimo Romam inter et Latinos icto cautum est, auctore D. Halic. Μὴ τοῖς ἐπιφέρουσι πόλεμον ΟΔΟΥΣ ΠΑΡΕΧΕΤΩΣΑΝ ἀσφαλεῖς. Livius XXXVIII. 38. " Ne quem exercitum (Antio-" chus), qui cum Populo Soci-" isve bellum gesturus erit, Rex " per fines regni sui, eorumve, " qui sub ditione ejus erunt, " transire sinito, neu commeatu, " neu qua alia ope juvato." Wass.
ἐπὶ] ἐν I.
4. ἂν ἄρχουσιν e.
5. ἢν] εἰ d.
8. μέχρι om. P.
9. τὴν ἀπαγγείλασαν B. ἐπαγγείλασαν, omisso articulo, P.
10. ἀπιοῦσιν ἔσται κατὰ A.B. ταῦτα F.H.K.
ἢν] εἰ d.
14. Δραχμὴν Αἰγιναίαν] De Drachma, et speciatim Æginetica, fuse Paulus Manutius Comment. in Ciceronis Epist. Famil. l. 2. ep. 17. Huds.
15. αὐτῆς Dukerus: vulgo αὑτῆς.
16. τῇ L.Q.c.d.e.
17. πάσαις A.B.F.H.e. vulgo ἁπάσαις.

" σφῶν αὐτῶν καὶ τῶν ξυμμάχων, Ἀργεῖοι δὲ καὶ
" Μαντινῆς καὶ Ἠλεῖοι καὶ οἱ ξύμμαχοι τούτων κατὰ
" πόλεις ὁμνύντων. ὁμνύντων δὲ τὸν ἐπιχώριον ὅρκον ἕκα-
" στοι τὸν μέγιστον κατὰ ἱερῶν τελείων. ὁ δὲ ὅρκος ἔστω
" ὅδε ' ἐμμένω τῇ ξυμμαχίᾳ κατὰ τὰ ξυγκείμενα, δι-
" καίως καὶ ἀβλαβῶς καὶ ἀδόλως, καὶ οὐ παραβήσο-
" μαι τέχνῃ οὐδὲ μηχανῇ οὐδεμίᾳ.' ὁμνύντων δὲ Ἀθήνησι
" μὲν ἡ βουλὴ καὶ αἱ ἔνδημοι ἀρχαὶ, ἐξορκούντων δὲ οἱ

8. Αἱ ἔνδημοι ἀρχαὶ] οἱ ἐπιδημοῦντες ἄρχοντες.

2. καὶ οἱ ξύμμ. τούτων] om. A. B.h.

4. τὸν μέγιστον ἕκαστοι g.

κατὰ ἱερῶν A.B.F.H.K.L.O.P. c.g.h.k. vulgo κατὰ τῶν ἱερῶν.

Κατὰ τῶν ἱερῶν τελείων] Demosthenes contra Eubulidem καθ' ἱερῶν simpliciter dicit. at contra Neæram καθ' ἱερῶν τελείων. quænam autem sint ἱερὰ τέλεια, et quid ὅρκος καθ' ἱερῶν τελείων, docet idem in Oratione contra Aristocratem, ubi agit de jurejurando, quo se obstringebat is, qui apud Areopagitas cædis aliquem accusabat, quem jurare dicit στάντα ἐπὶ τῶν τομίων κάπρου, καὶ κριοῦ, καὶ ταύρου, καὶ ταύτων ἐσφαγμένων. Plura vide in notis ad Appianum, pag. 432. Ed. Amstel. Hudс. Budæus Commentar. Ling. Gr. pag. 626. ἱερὰ τέλεια proprie sunt τὰ ὁλόκληρα κατὰ ἡλικίαν καὶ μὴ λελαβηκότα, qualia τελησσας ἑκατόμβας vocat Homerus Il. I. 315. Sed quum hoc commune fuerit omnibus sacris, ne quid in iis mutilum, sed omnia integra ac perfecta diis offerrentur, ut ex Aristotele refert Athenæus XV. 5. et Lucian. de Sacrific. p. 368. στεφανώσαντες τὸ ζῶον, καὶ τοῦτό γε πρότερον ἐξετάσαντες, εἰ ἐντελὲς εἴη, ἵνα μὴ τῶν ἀχρήστων τι κατασφάττωσι· verius est, quod Budæus ibid. dicit, Græcis ἱερὰ τέλεια esse, quæ Latinis sunt *majores* et *eximiæ hostiæ:* quales sunt, quas memorant Demosthenes, et alii apud Henr. Stephanum ad Appianum, et hecatombæ, quas τελείας θυσίας vocat Scholiastes parvus Homeri in Iliad. α'. v. 65. Add. Græv. ad Luciani Philopseud. pag. 341. In hac formula autem alii dicunt καθ' ἱερῶν τελείων, sine articulo τῶν. Ita Lucianus l. d. et Timon. p. 71. Demosthenes et Andocides apud Budæum. Itaque τῶν merito suspectum haberi potest, quum præsertim a plerisque MSS. et Edd. absit. Duк.

7. δὲ om. L.O.k.

ἀθήνησι—δὲ om. H.

8. αἱ βουλαὶ e.

δὲ om. L.O.P.

Αἱ ἔνδημοι ἀρχαὶ] Acacius, *Urbani Magistratus.* Ἔνδημον Thucydides I. 70. opponit ἀποδήμῳ, et lex Atheniensium apud Æschinem in Orat. adversus Timarchum, quem locum etiam Lexica habent, non longe a principio, ἐνδήμους ἀρχὰς ὑπαρχούσας,

" πρυτάνεις· ἐν Ἄργει δὲ ἡ βουλὴ καὶ οἱ ὀγδοήκοντα καὶ
" αἱ ἀρτῦναι, ἐξορκούντων δὲ οἱ ὀγδοήκοντα· ἐν δὲ Μαν-
" τινείᾳ οἱ δημιουργοὶ καὶ ἡ βουλὴ καὶ αἱ ἄλλαι ἀρχαὶ,
" ἐξορκούντων δὲ οἱ θεωροὶ καὶ οἱ πολέμαρχοι· ἐν δὲ Ἠ-

his verbis: Μηδὲ ἀρχὴν ἀρχέτω μηδεμίαν, μήτε ἔνδημον, μήτε ὑπερόριον, μήτε κληρωτὴν, μήτε χειροτονητὴν, i. e. Hieron. Wolfio interprete: *nec ullo fungi Magistratu ei liceat, sive domi, sive peregre; sive sortito, sive suffragio mandari solito.* Duk.

2. Αἱ Ἀρτῦναι] Plutarchus in Quæstion. Græc. Senatores Epidauriorum Ἀρτύνους vocatos scribit. Sed apud Argivos alius is Magistratus fuisse videtur: Artynas enim Thucydides ab senatu distinguit. Acac. Est in principio Quæst. Græc. Plutarchi. Emmius de Republ. Achæor. Argis urbanos Magistratus, et fortassis etiam Judices fuisse conjicit. Ut autem Lacedæmoniorum quidam Magistratus ab ἁρμόζω dicti sunt Ἁρμοσταὶ, sic hi ab ἀρτύω, quod ἁρμόζω exponit Auctor Etymol. M. Ἀρτῦναι. Hesychius: ἄρτυεν, ἀντὶ τοῦ διέτασσεν, ἐβασίλευεν, et ἄρτυνος, ἄρχων. Athenis quoque magistratuum quoddam genus fuisse, qui εὐθύναι dicerentur, docet Harpocration. Quum autem ἀρτύναι hi, quos hic memorat Thucydides, magistratus videantur fuisse, quæri potest cur voluerit αἱ ἀρτύναι dicere quam οἱ ἀρτύναι. Nam a recto ἀρτύνης esse plane verosimile est. Duk.

ἐν μαντινείᾳ L.O.P.k.

3. Οἱ Δημιουργοὶ] Quales hi fuerint, nihil pro certo affirmare possum. Valla *opifices* convertit, sed minime verosimile est, hos potissimum juramento præstando delectos. Itaque magis assentior Winshemio, qui *Tribunos plebis* appellat. Et Henr. Stephanus in Gr. L. Thesauro Δημιουργοὺς apud Peloponnesios Doresque fuisse ait, qui populo præerant: auctoribus Demosthene, Hesychio, et Eustathio. Acac. Vide supr. ad I. 56. Lucianus Phalar. II. in princ. etiam Magistratus Delphorum ita videtur vocare. De Achæorum Reipublicæ Δημιουργοῖς est apud Polybium in Excerpt. Legat. XLVII. et Livium XXXII. 22. Ἐπιδημιουργοὺς Magistratus, quos Corinthii quotannis Potidæam mittebant, memorat Thucydides, I. 56. Duk.

4. Οἱ θεωροὶ] Valla vertit *vates*. Acacius putat esse, *qui ad certamina sacra, vel ad oracula consulenda mittebantur*: de quibus supra ad cap. 16. Fortassis hoc fuit nomen ordinariorum quorumdam sacerdotum apud Mantinenses, ut Polemarchi et ceteri erant Magistratus ordinarii. Nam θεωροὺς in universum dici τοὺς τὰ θεῖα φυλάττοντας, ἢ τῶν θείων φροντίζοντας tradit Harpocration. Prioris generis θεωροὺς, prout res ac tempus postulabat, creatos fuisse verosimile est. Paullo post οἱ τὰ τέλη ἔχοντες Vallæ et Porto sunt *Quæstores ærarii*. Si ostendi potest, hos a Græcis ita speciatim vocari, nihil repugno. Interim sequor versionem Acacii, *reliqui*

" λιθὶ οἱ δημιουργοὶ καὶ οἱ τὰ τέλη ἔχοντες καὶ οἱ ἐξα-
" πόσιοι, ἐξορκούντων δὲ οἱ δημιουργοὶ καὶ οἱ θεσμοφύ-
" λακες. ἀναπεᾶσθαι δὲ τοὺς ὅρκους Ἀθηναίους μὲν ἰόν-
" τας ἐς Ἦλιν καὶ ἐς Μαντίνειαν καὶ ἐς Ἄργος, τριά-
" κοντα ἡμέραις πρὸ Ὀλυμπίων, Ἀργείους δὲ καὶ Ἠλεί-
" ους καὶ Μαντινέας ἰόντας Ἀθήναζε, δέκα ἡμέραις πρὸ
" Παναθηναίων τῶν μεγάλων. τὰς δὲ ξυνθήκας τὰς περὶ
" τῶν σπονδῶν καὶ τῶν ὅρκων καὶ τῆς ξυμμαχίας ἀνα-
" γράψαι ἐν στήλῃ λιθίνῃ Ἀθηναίους μὲν ἐν πόλει, Ἀρ-
" γείους δὲ ἐν ἀγορᾷ ἐν τοῦ Ἀπόλλωνος τῷ ἱερῷ, Μαν-
" τινέας δὲ ἐν τοῦ Διὸς τῷ ἱερῷ ἐν τῇ ἀγορᾷ· καταθέν-
" των δὲ καὶ Ὀλυμπιάσι στήλην χαλκῆν κοινῇ Ὀλυμ-
" πίοις τοῖς νυνί. ἐὰν δέ τι δοκῇ ἄμεινον εἶναι ταῖς πό-
" λεσι ταύταις, προσθεῖναι πρὸς τοῖς ξυγκειμένοις. ὅ τι
" δ' ἂν δόξῃ ταῖς πόλεσιν ἁπάσαις κοινῇ βουλευομέ-
" ναις, τοῦτο κύριον εἶναι."

Αἱ μὲν σπονδαὶ καὶ αἱ ξυμμαχίαι οὕτως ἐγένοντο· καὶ αἱ τῶν Λακεδαιμονίων καὶ Ἀθηναίων οὐκ ἀπείρηντο τούτου ἕνεκα οὐδ' ὑφ' ἑτέρων. Κορίνθιοι δὲ Ἀργείων ὄντες ξύμμαχοι οὐκ ἐσῆλθον ἐς αὐτὰς, ἀλλὰ καὶ γενομένης πρὸ τούτου Ἠλείοις καὶ Ἀργείοις καὶ Μαντινεῦσι ξυμμαχίας, τοῖς αὐτοῖς πολεμεῖν καὶ εἰρήνην ἄγειν, οὐ ξυνώμοσαν, ἀρκεῖν δ' ἔφασαν σφίσι τὴν πρώτην γενομένην

48. Corinthii, in prioribus cum Argivis fœderibus acquiescentes, hujus societatis participes esse noluerunt, sed magis ad Lacedæmo-

18. Οὐκ ἀπείρηντο] οὐκ ἀπηγορεύθησαν.

Magistratus. Τέλη, et τοὺς ἐν τέλει in universum dici *Magistratus*, nemo ignorat. Dux.

5. ἡμέραις L.O.P.k.
6. ἡμέραις c.d.
7. περὶ] τε Q.
10. ἀπόλλωνος] διὸς I.
11. τῇ om. g.
κατέθεντο g.
12. ὀλυμπιάδι c. ἐν ὀλυμπιάσι e.
13. νῦν Q.
ταῖς ταύταις πόλεσι K.
15. δ' omiserim, mutata antea interpunctione.
βουλευομέναις A.B.F.I.L.O.c.d. e.h.i.k. βουλευομένοις H.K.N.g. vulgo βουλευσαμέναις.
18. καὶ αἱ ἀθηναίων g.

nios iterum animum converterunt.

ἐπιμαχίαν, ἀλλήλοις βοηθεῖν, ξυνεπιστρατεύειν δὲ μηδενί. οἱ μὲν Κορίνθιοι οὕτως ἀπέστησαν τῶν ξυμμάχων, καὶ πρὸς τοὺς Λακεδαιμονίους πάλιν τὴν γνώμην εἶχον.

49. Elei autem ludis Olympicis tum forte commissis Lacedæmonios aditu templi prohi-

Ὀλύμπια δ' ἐγένετο τοῦ θέρους τούτου, οἷς Ἀνδροσθένης Ἀρκὰς παγκράτιον τὸ πρῶτον ἐνίκα· καὶ Λακεδαιμόνιοι τοῦ ἱεροῦ ὑπὸ Ἠλείων εἴρχθησαν, ὥστε μὴ θύειν μηδ' ἀγωνίζεσθαι, οὐκ ἐκτίνοντες τὴν δίκην αὐτοῖς, ἣν ἐν τῷ Ὀλυμπιακῷ νόμῳ Ἠλεῖοι κατεδικάσαντο αὐτῶν,

2. Τῶν ξυμμάχων] ἦγουν τῶν Ἀργείων. 7. Ἐν τῷ Ὀλυμπικῷ] γρά-

2. μὲν οὖν κορίνθιοι d.

3. πάλιν γνώμην g.

5. Παγκράτιον τὸ πρῶτον ἐνίκα] Petrus Faber III. Agonist. 23. observat, Thucydidem hic designationi Olympiadis adponere nomen illius, qui pancratio vicerat, contra morem aliorum Historicorum, qui ei plerumque nomen illius, qui stadio vicerat, addere soleant: quem morem e Dionysio Halicarn. et Diodoro Siculo pluribus ostendit II. 15. Certum est, Dionysium et Diodorum fere ubique tenere morem illum, quem ex iis adnotat Faber. Sed non credo, omnes alios eum sequutos. Thucydides quidem etiam III. 8. nullam rationem habuit illius, qui stadio victor fuerat. Nam in designanda Olympiade LXXXVIII. ita scribit: ἦν δὲ Ὀλυμπιὰς, ᾗ Δωριεὺς Ῥόδιος τοδεύτερον ἐνίκα. Dorieum autem tribus continuis Olympiadibus pancratio vicisse, testatur Pausanias II. Eliacor. 7. quod etiam in Ὀλυμπιάδων ἀναγραφῇ legitur. Et Xenophon. I. Hist. Græc. p. 433. in Olympiade XCIII. itidem præter morem Dionysii et Diodori, qui fere illos solos memorant, qui stadio vicerant, primo loco eum, qui biga, secundo eum, qui stadio victor fuerat, nominat. Duk.

6. ἤρχθησαν H.I.

7. ἐκτείνοντες I.P.Q.c.

ἐν τῷ] ἔκτῳ I.Q.

Ἠν—αὐτῶν] Thomas Magister. Wass. In v. Ὀλυμπικὸς, ubi rejicit Ὀλυμπιακὸς, et hic legit Ὀλυμπικῷ, et paullo post Ὀλυμπικαῖς, non Ὀλυμπιακαῖς. de quo ad I. 6. actum est. Variam scripturam hujus loci adnotat etiam Scholiastes vulgatus: præterit Cass. Ἔκτῳ fortassis ortum est ab aliquo, qui, quod sciebat usitatius dici ἐκ τοῦ νόμου, in margine, vel inter versus scripserat ἐκ, nec mutaverat casum ceterorum vocabulorum. Sed in recepta lectione nihil vitii est. Recte omitti poterat præpositio: sed addita neque mutari, neque detrahi debet. Sic Aristophanes idem verbum et cum hac præpositione, et sine ea effert. Plut. v. 764. Ἀναδῆσαι βούλομαι Εὐαγγέλιά σ' ἐν κριβανωτῶν ἑρμαθῷ. Et ibid. 589. Λήροις ἀναδῶν τοὺς νικῶντας. Et quod apud Platonem in Timæo p. 481. est δίκῃ, *jure, merito*, idem Comicus in Nubib. v. 1335. et Equit. 258. dicit ἐν δίκῃ. Duk.

8. ὀλυμπικῷ c.k.

φάσκοντες σφᾶς ἐπὶ Φύρκον τε τεῖχος ὅπλα ἐπενεγκεῖν καὶ ἐς Λέπρεον αὐτῶν ὁπλίτας ἐν ταῖς Ὀλυμπιακαῖς σπονδαῖς ἐσπέμψαι. ἡ δὲ καταδίκη δισχίλιαι μναῖ ἦσαν, κατὰ τὸν ὁπλίτην ἕκαστον δύο μναῖ, ὥσπερ ὁ νόμος ἔχει. Λακεδαιμόνιοι δὲ πρέσβεις πέμψαντες ἀντέλεγον μὴ δικαίως σφῶν καταδεδικάσθαι, λέγοντες μὴ ἐπηγγέλθαι πω ἐς Λακεδαίμονα τὰς σπονδὰς, ὅτ' ἐσέπεμψαν τοὺς ὁπλίτας. Ἠλεῖοι δὲ τὴν παρ' αὐτοῖς ἐκεχειρίαν ἤδη ἔφασαν εἶναι (πρώτοις γὰρ σφίσιν αὐτοῖς ἐπαγγέλλουσι), καὶ ἡσυχαζόντων σφῶν καὶ οὐ προσδεχομένων, ὡς ἐν σπονδαῖς, αὐτοὺς λαθεῖν ἀδικήσαντας. οἱ δὲ Λακεδαιμόνιοι ὑπελάμβανον οὐ χρεὼν εἶναι αὐτοὺς ἐπαγγεῖλαι ἔτι ἐς Λακεδαίμονα, εἰ ἀδικεῖν γε ἤδη ἐνομίζον αὐτοὺς, ἀλλ' οὐχ ὡς νομίζοντας τοῦτο δρᾶσαι, καὶ ὅπλα οὐδαμόσε ἔτι αὐτοῖς ἐπενεγκεῖν. Ἠλεῖοι δὲ τοῦ αὐτοῦ λόγου εἴχοντο, ὡς μὲν οὐκ ἀδικοῦσι, μὴ ἂν πεισθῆναι· εἰ δὲ βούλονται σφίσι Λέπρεον ἀποδοῦναι, τό τε αὐτῶν μέρος ἀφιέναι τοῦ ἀργυρίου, καὶ ὃ τῷ θεῷ γίγνεται, αὐτοὶ ὑπὲρ ἐκείνων ἐκτίσειν. * ὡς δ' οὐκ ἐσήκουον, αὖθις τάδε ἠξίουν, Λέπρεον μὲν μὴ ἀποδοῦναι, εἰ μὴ βούλονται, ἀναβάντας δὲ ἐπὶ τὸν βωμὸν τοῦ Διὸς τοῦ Ὀλυμπίου, ἐπειδὴ προθυμοῦνται χρῆσθαι τῷ ἱερῷ, ἀπομόσαι ἐναντίον τῶν

buerunt, quod pernam non persolvissent, quam ex lege Olympiaca ipsi illis imposuerant, propterea quod Lepreo armatos immiserint fœderis Olympici tempore.

50. Ac ne per vim accedere possent (id quod tota panegyris metu-

φεται, ἣν ἕκτῳ Ὀλυμπικῷ. 6. Μὴ δικαίως σφῶν καταδεδικάσθαι] ἤγουν καταδικάσαι τοὺς Ἠλείους εἰς τὸ Λέπρεον. 10. Σφῶν] τῶν Ἠλείων. Οὐ προσδεχομένων] πόλεμον δηλονότι. 12. Ὑπελάμβανον] ἀντὶ τοῦ ἀντέλεγον, ἐκ διαδοχῆς ἀπεκρίνοντο. 18. Γίγνεται] ὀφείλεται. 19. Ἐσήκουον] οἱ Λακεδαιμόνιοι. Αὖθις τάδε ἠξίουν] οἱ Ἠλεῖοι. 22. Ἀπομόσαι ἐναντίον] κυρῶ-

1. φύρ B.h.
2. ὀλυμπικαῖς I.K.d.i.
7. πω A.B.F.H.K.N.Q.e.g.k. vulgo ποτε.
11. ὡς om. L.O.P.c.d.e.i.k.
12. ἀπαγγεῖλαι L.O.Q.
15. ἔτι ἐν αὐτοῖς f. ἀπενεγκεῖν H.
17. βούλωνται L.
18. μέρος om. K. τῷ om. c.i.
22. ἐναντίον F.H.f.

ebat) armatos custodes partim suorum, partim sociorum, Elei disponunt.

Ἑλλήνων ἢ μὴν ἀποδώσειν ὕστερον τὴν καταδίκην. ὡς δὲ οὐδὲ ταῦτα ἤθελον, Λακεδαιμόνιοι μὲν εἴργοντο τοῦ ἱεροῦ, θυσίας καὶ ἀγώνων, καὶ οἴκοι ἔθυον, οἱ δὲ ἄλλοι Ἕλληνες ἐθεώρουν, πλὴν Λεπρεατῶν. ὅμως δὲ οἱ Ἠλεῖοι, δεδιότες μὴ βίᾳ θύσωσι, ξὺν ὅπλοις τῶν νεωτέρων φυλακὴν εἶχον· ἦλθον δὲ αὐτοῖς καὶ Ἀργεῖοι καὶ Μαντινῆς, χίλιοι ἑκατέρων, καὶ Ἀθηναίων ἱππῆς, οἱ ἐν Ἄργει ὑπέμενον τὴν ἑορτήν. δίος δ' ἐγένετο τῇ πανηγύρει μέγα μὴ ξὺν ὅπλοις ἔλθωσιν οἱ Λακεδαιμόνιοι, ἄλλως τε καὶ ἐπειδὴ καὶ Λίχας ὁ Ἀρκεσιλάου Λακεδαιμόνιος ἐν τῷ ἀγῶνι ὑπὸ τῶν ῥαβδούχων πληγὰς ἔλαβεν, ὅτι, νικῶντος τοῦ ἑαυτοῦ ζεύγους καὶ ἀνακηρυχθέντος Βοιωτῶν δημοσίου κατὰ τὴν οὐκ ἐξουσίαν τῆς ἀγωνίσεως, προελθὼν ἐς τὸν ἀγῶνα ἀνέδησε τὸν ἡνίοχον, βουλόμενος δηλῶσαι ὅτι ἑαυτοῦ ἦν τὸ ἅρμα· ὥστε πολλῷ δὴ μᾶλλον ἐπεφόβηντο πάντες, καὶ ἐδόκει τι νέον ἔσεσθαι. οἱ μέντοι Λακεδαιμόνιοι ἡσύχασάν τε, καὶ ἡ ἑορτὴ αὐτοῖς οὕτω διῆλθεν. ἐς δὲ Κόρινθον μετὰ

σαι δι' ὅρκων ἐνώπιον. 4. Ἐθεώρουν] τῆς θεωρίας μετεῖχον. 5. Μὴ βίᾳ θύσωσιν] οἱ Λακεδαιμόνιοι. 6. Αὐτοῖς] τοῖς Ἠλείοις. Χίλιοι ἑκατέρων] τουτέστι δισχίλιοι. 7. Ἄργει τὴν ἑορτὴν] προσεδέχοντο τὴν ἑορτὴν τῶν Ὀλυμπίων. 11. Τοῦ ἑαυτοῦ ζεύγους] τοῦ ἅρματος. 12. Κατὰ τὴν οὐκ ἐξουσίαν τῆς ἀγωνίσεως] διὰ τὸ μὴ ἐξεῖναι Λακεδαιμονίοις ἀγωνίζεσθαι. 17. Αὐτοῖς οὕτω διῆλθε] τοῖς Λακεδαιμονίοις οὕτω παρῆλθεν.

1. τὴν om. i.
2. οὐ H.c.d.i.
εἶργον A.B.H.h.
5. σὺν B.F.H.K.d.e.f.g.h.i.k.
9. λίχας A.B.H.h.k. μείχας i. ceteri λείχας.
13. προσελθὼν B.h.
Προελθὼν — ἡνίοχον] Suidas in ἀγών. Photius in Lex. προελθὼν etiam servat. vocem ἀγωνίσεως agnoscit Pollux III. 141. Wass. Suidas ex hoc loco, et ex Homero ostendit, etiam locum ipsum, in quo certatur, vocari ἀγῶνα. Adnotat ibi Portus Odyss. θ'. 260. ἀγῶνα poni pro loco, in quo saltatur: quod et Eustathius ibi monet p. 1595. Et Homerus ita etiam alibi. Ἀνακηρύττειν proprium esse in hac re verbum ostendit Heraldus II. Adversarior. 14. Duk.
14. ὅτι καὶ ἑαυτοῦ Q.
16. ἡσυχάσαντες, omissa τε, A. h. ἡσύχαζόν τε margo N.

τὰ Ὀλύμπια Ἀργεῖοί τε καὶ οἱ ξύμμαχοι ἀφίκοντο, δεησόμενοι αὐτῶν παρὰ σφᾶς ἐλθεῖν. καὶ Λακεδαιμονίων πρέσβεις ἔτυχον παρόντες· καὶ πολλῶν λόγων γενομένων τέλος οὐδὲν ἐπράχθη, ἀλλὰ σεισμοῦ γενομένου διελύθησαν ἕκαστοι ἐπ' οἴκου. καὶ τὸ θέρος ἐτελεύτα.

51. Insequente hieme Heracleotæ in Trachiniis a vicinis Thessaliæ populis, semper in-

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἡρακλεώταις τοῖς ἐν Τραχῖνι μάχη ἐγένετο πρὸς Αἰνιᾶνας καὶ Δόλοπας καὶ Μηλιέας καὶ Θεσσαλῶν τινάς. προσοικοῦντα γὰρ τὰ ἔθνη ταῦτα τῇ πόλει πολέμια ἦν· οὐ γὰρ ἐπ' ἄλλῃ τινὶ γῇ ἢ τῇ τούτων τὸ χωρίον ἐτειχίσθη. καὶ εὐθύς τε καθιστα-

9. Οὐ γὰρ ἐπ' ἄλλῃ τινὶ γῇ] ἀντὶ τοῦ οὐκ ἐπὶ βλάβῃ ἄλλης τινὸς γῆς. 10. Τὸ χωρίον] ἡ Ἡράκλεια.

5. Καὶ τὸ θέρος ἐτελεύτα] Ex hoc loco quidam putarunt ostendi posse Olympia in exitu æstatis, atque adeo initio autumni fuisse acta, quæ sub solstitium celebrari solita fuisse, recepta, et multorum scriptorum veterum testimoniis confirmata sententia est. Bene respondet eruditissimus Petavius IX. de Doctrin. Tempor. 48. quia post Olympia nihil memorabile æstate illa actum sit, Thucydidem mentioni Olympiorum statim subjecisse exitum æstatis. Duk.

θέρος] τέλος B. θέλος h.

6. ἡρακλειώταις B.k.

7. τραχῦνι H.

αἰνιᾶνας I.

Αἰνιᾶνας] Ænienses Herodoto Ἐνιῆρες, circa Heracleam ἐν Τραχῖνι, a Perrhæborum oppido Αἰνίῃ sunt, auctore Steph. Herodotum vero secutus Plinius Ænienses a Perrhæbis rectius distinguit: quemadmodum et Scymnus. Urbis situm depingunt Liv. XLIV. 10. Heliodor. II. 125. Originem his verbis docet Scymnus: τῶν Αἰμόνων δοκοῦσι, Λαπιθῶν, Μυρμιδόνων τε γεγονέναι. Δόλοπας καὶ Αἰνιᾶνας καὶ Ὀλιυθίους conjungit Xenophon, et saltationem iis in usu Καρπαίαν dictam narrat. Diodorus XVIII. p. 595. Αἰνιᾶνες, καὶ Κλυζαῖοι, καὶ Δόλοπες. Ordo Geogr. et hic et alibi apud hunc nonnihil turbat. Forte ergo reponendum Λυζαῖοι, ut in margine, vel Ἀλυζαῖοι. Urbs Steph. Ἀλύζεια, Straboni Ἀλυζία. Apud Stephanum alibi, contra seriem literarum Λύξεια, pro Αὔζεια. Civitas est haud longe ab Acheloi ostiis, et Leucadiis, quos proxime enumerat Diodorus hoc modo: Δόλοπες. πρὸς δὲ τούτοις, Ἀθάμαντες, καὶ Λευκάδιοι. Gemina loci scriptura variam lectionem concinnavit. Wass.

8. γὰρ om. h.

9. ταῦτα A.B.F.H.I.K.L.O. Q.c.d.e.f.g.h.k. vulgo ταύτῃ.

10. ἢ τῇ] ἢ πῃ B.h.

ἀνισταμένῃ L.O.P.e.k.

festis huic oppido, clade afficiuntur. Finis anni duodecimi.

μένῃ τῇ πόλει ἠναντιοῦντο, ἐς ὅσον ἐδύναντο φθείροντες, καὶ τότε τῇ μάχῃ ἐνίκησαν τοὺς Ἡρακλεώτας, καὶ Ξενάρης ὁ Κνίδιος Λακεδαιμόνιος ἄρχων αὐτῶν ἀπέθανε, διεφθάρησαν δὲ καὶ ἄλλοι τῶν Ἡρακλεωτῶν. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ δωδέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

52. Sequente æstate Bœoti Heracleam recipiunt, veriti, ne Athenienses id faciant. Alcibiades, dux Atheniensium expeditionem cum paucis copiis in Peloponnesum facit, et ibi res sociorum ordinat, Patrensibus persuadet, ut murum usque ad mare perducant, et ipse alium murum usque ad Rhium Achaicum struere occipit, impeditus tamen a Corinthiis et Sicyoniis.

Τοῦ δ' ἐπιγιγνομένου θέρους, εὐθὺς ἀρχομένου, τὴν Ἡράκλειαν, ὡς μετὰ τὴν μάχην κακῶς ἐφθείρετο, Βοιωτοὶ παρέλαβον, καὶ Ἡγησιππίδαν τὸν Λακεδαιμόνιον, ὡς οὐ καλῶς ἄρχοντα, ἐξέπεμψαν. δείσαντες δὲ παρέλαβον τὸ χωρίον, μὴ Λακεδαιμονίων τὰ κατὰ Πελοπόννησον θορυβουμένων Ἀθηναῖοι λάβωσι· Λακεδαιμόνιοι μέντοι ὠργίζοντο αὐτοῖς. καὶ τοῦ αὐτοῦ θέρους Ἀλκιβιάδης ὁ Κλεινίου, στρατηγὸς ὢν Ἀθηναίων, Ἀργείων καὶ τῶν ξυμμάχων ξυμπρασσόντων, ἐλθὼν ἐς Πελοπόννησον μετ' ὀλίγων Ἀθηναίων ὁπλιτῶν καὶ τοξοτῶν, καὶ τῶν αὐτόθεν ξυμμάχων παραλαβών, τά τε ἄλλα ξυγκαθίστη περὶ τὴν ξυμμαχίαν, διαπορευόμενος Πελοπόννησον τῇ στρατιᾷ, καὶ Πατρέας τε τείχη καθεῖναι ἔπεισεν ἐς θάλασσαν, καὶ αὐτὸς ἕτερον διενοεῖτο τειχίσαι ἐπὶ τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ. Κορίνθιοι δὲ καὶ Σικυώνιοι, καὶ οἷς ἦν ἐν βλάβῃ τειχισθὲν, βοηθήσαντες διεκώλυσαν.

53. Bellum in-

Τοῦ δ' αὐτοῦ θέρους Ἐπιδαυρίοις καὶ Ἀργείοις πόλε-

9. Ἐξέπεμψαν] ἐξεδίωξαν οἱ Βοιωτοί. 15. Αὐτόθεν] ἀπὸ Πελοποννήσου. 16. Παραλαβὼν] τινὰς δηλονότι. Ξυγκαθίστη] βεβαιοτέρους ἐποίει. 21. Βοηθήσαντες διεκώλυσαν] μετὰ βοηθείας δραμόντες.

1. Ἠναντιοῦντο] Vid. III. 92. 93. Dux.
ἐδύναντο A.
2. τότε om. Q.
4. καὶ οἱ ἄλλοι N.
5. καὶ δωδ.—ἐτελεύτα om. K.h.
12. ὁ ἀλκιβιάδης ὁ K.
κλεινιδίου P.
14. πρασσόντων Q.
15. ὁπλιτῶν ἀθηναίων g.
ξυμμάχων παραλαβὼν A.B.F.H.K.N.c.g.h.i.k.
17. πελοποννήσου P.
18. ἐπὶ Q.
20. καὶ οἱ σικυώνιοι e.

μος ἐγένετο, προφάσει μὲν περὶ τοῦ θύματος τοῦ Ἀπόλ- ter Epidaurios et Arlωνος τοῦ Πυθέως, ὃ δέον ἀπαγαγεῖν οὐκ ἀπέπεμπον givos ortum, Alciὑπὲρ Βοταμίων Ἐπιδαύριοι· κυριώτατοι δὲ τοῦ ἱεροῦ ἦσαν biade incitante.
Ἀργεῖοι· ἐδόκει δὲ καὶ ἄνευ τῆς αἰτίας τὴν Ἐπίδαυρον
τῷ τε Ἀλκιβιάδῃ καὶ τοῖς Ἀργείοις προσλαβεῖν, ἣν δύνωνται, τῆς τε Κορίνθου ἕνεκα ἡσυχίας, καὶ ἐκ τῆς Αἰγίνης βραχυτέραν ἔσεσθαι τὴν βοήθειαν ἢ Σκύλλαιον περιπλεῖν τοῖς Ἀθηναίοις. παρεσκευάζοντο οὖν οἱ Ἀργεῖοι ὡς αὐτοὶ ἐς τὴν Ἐπίδαυρον διὰ τοῦ θύματος τὴν ἔσπραξιν
ἐσβαλοῦντες. * ἐξεστράτευσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι 54.
κατὰ τοὺς αὐτοὺς χρόνους παν δημεὶ ἐς Λεῦκτρα τῆς Lacedæmonii quidem usque ad
ἑαυτῶν μεθορίας πρὸς τὸ Λύκαιον, Ἄγιδος τοῦ Ἀρχιδά- Leuctra in confiniis
μου βασιλέως ἡγουμένου· ἤδει δὲ οὐδεὶς ὅποι στρατεύ- castra movebant, sed
ουσιν, οὐδὲ αἱ πόλεις ἐξ ὧν ἐπέμφθησαν. ὡς δ' αὐτοῖς ominibus moniti
τὰ διαβατήρια θυομένοις οὐ προὐχώρει, αὐτοί τε ἀπῆλ- recedebant domum,
θον ἐπ' οἴκου, καὶ τοῖς ξυμμάχοις περιήγγειλαν μετὰ Carnea ce-

4. Τῆς αἰτίας] ταύτης δηλονότι. 7. Βραχυτέραν] διὰ βραχέος διαστήματος. 14. Πόλεις] αἱ Λακωνικαί. 15. Οὐ προὐχώρει] ἤγουν οὐ καλὰ ἐφαίνετο. 16. Μετὰ τὸν μέλλοντα] μῆνα δηλονότι.

2. πυθιέως K. f. g. πιθέως B. πειθαίως e. πυθαιέως Valcken. ad Roever. p. lxxiv. πυθαέως Wesseling. ad Diodor. Sic. T. I. p. 533.

Πυθέως] Apud Nostrum fere Πύθιος. agnoscit et Πυθεὺς Stephanus, ex cujus genitivo Πυθῆος possessivum Πυθηΐος. Est et Πυθαιεύς. Pausan. lib. X. cap. ult. Χάρων δὲ ὁ Πίθεω φησὶν, pro Πίθου Ionice. Wass. Hermionici agri templum fuisse e Pausaniæ lib. II. hic adnotat Acacius. Sed ibi Πυθαεὺς, non Πυθεὺς est, cap. 35. et 36. Duk.

3. βοταμένων c.d.i. παραβοταμίων f. παραποταμίων Wesselingius et g. παρὰ ποταμίων K.

4. καὶ om. K.

7. σκύλαιον c.i.

10. ἐσβαλόντες A.B.H.Q.

ἐστράτευσαν d.

12. πρὸς] ἐπὶ e.

13. ὅπη Q.c.g.i. ὅπου L.

15. Τὰ διαβατήρια θυομένοις οὐ προὐχώρει] Hoc cap. seq. dicit, οὐδ' ἐνταῦθα τὰ διαβατήρια αὐτοῖς ἐγένετο. Et cap. 116. ὡς αὐτοῖς τὰ διαβατήρια ἱερὰ οὐκ ἐγίγνετο. Vide Heraldum I. Adversar. 5. Duk.

τε om. e.

16. τοὺς ξυμμάχους c.i.k.

περιήγγελλον h.

lebratari. Interim Argivi Epidauriam vastabant.

τὸν μέλλοντα (Καρνεῖος δ' ἦν μὴν, ἱερομηνία Δωριεῦσι) παρασκευάζεσθαι ὡς στρατευσομένους. Ἀργεῖοι δ' ἀνα-

1. Καρνεῖος δ' ἦν μὴν] τοῦ γὰρ Καρνείου πολλὰς ἔχοντος ἱερὰς ἡμέρας, ἢ καὶ πάσας ἱερὰς μᾶλλον, οὐκ ἐστρατεύοντο. Ἱερομήνια] ἡ ἑορτώδης ἡμέρα.

1. τὸν] τὰ L.O.Q.
κρανεῖος e.g.

Καρνεῖος etc.] Carneus cognomen erat Apollinis; quem ita appellatum ait Macrobius, ὅτι καιόμενος ὁρᾶται νέος. quod quum alia omnia ardentia consumerentur, hic suo calore candens semper novus existit. Vide Pausaniam in Laconicis cap. 13. Huds. Κρανεῖος Gr. passim, ἀπὸ τῆς κρανείας, inquit Pausanias l. d. Vetustiores tamen cum vulgatis faciunt. Wass. Pausanias varias hujus nominis causas prodit. Infra cap. 75. Κάρνεια, dies festi Apollinis apud Lacedæmonios. Vid. Spanhem. ad Callimach. Hymn. Apoll. v. 72. et 78. Add. Meurs. III. Miscellan. Lacon. 8. Quantum ex his verbis, et iis, quæ hic paullo post leguntur, τὸν μῆνα προὐφασίσαντο, adparet, totus hic mensis, vel certe maxima illius pars, sacris ac diebus festis apud Lacedæmonios videtur destinatus fuisse. Et fortassis talis fuit ἱερομηνία, per quam Thebani Platæas occupare voluerunt, III. 56. et 65. quemadmodum apud Romanos totus fere December diebus festis et ludis absumebatur. Et ἱερομηνίαν non unius, sed plurium dierum, sacrum, et per eam ab armis cessatum, atque inducias ante ἱερομηνίαν promulgatas fuisse, e Luciani Icaromenippo in fin. intelligitur: ubi Jovem Diis pœnas in Philosophos poscentibus respondisse fingit, se, quæ vellent, facturum, sed in præsentia non fas esse quemquam supplicio adfici: ἱερομηνία γάρ ἐστιν, ὡς ἴστε, μηνῶν τεττάρων· καὶ ἤδη τὴν ἐκεχειρίαν ἐπηγγειλάμην. Quæ etsi ficta sunt, tamen quid in ἱερομηνίᾳ observari solitum fuerit, indicant; et quod de ἐκεχειρίᾳ dicit, non magnopere tantum unius diei sacro convenit. Dio lib. XXXVIII. p. 61. ἱερομηνίαν vocat dies, quibus Bibulus Cæsari obnunciabat: ἱερομηνίαν, inquit, ἐς πάσας ὁμοίως τὰς λοιπὰς τοῦ ἔτους ἡμέρας, ἐν αἷς οὐδ' εἰς ἐκκλησίαν ὁ δῆμος ἐκ τῶν νόμων συνελθεῖν ἐδύνατο, προηγόρευσε. Et p. 62. ἀεὶ τῷ Καίσαρι, ὁσάκις γε ἐνεωτέριζέ τι, ἐνετέλλετο διὰ τῶν ὑπηρετῶν, ὅτι ἱερομηνία εἴη. Vertunt ibi *dies festos:* quod caute accipiendum dicit Casaubonus ad Sueton. Cæs. c. 20. quia obnunciatione quidem dies nefastus fit, et comitialis esse desinit, nec tamen festus, et ἑορτάσιμος fit. Itaque quid Dio appellet ἱερομηνίαν se non intelligere addit. Non videtur alia ratio dari posse cur Dio hos dies ἱερομηνίαν vocarit, quam quod illis non magis cum populo agi poterat, quam ἱερομηνίαις et diebus ἑορτασίμοις. Illa porro, ἱερομηνία Δωριεῦσι, non minus, quam præcedentia, per parenthesin inseruntur. Duk.

μὴν om. Q.
ἱερομηνία N.g.
2. στρατευσομένους g.
δ' om. B.

χαιροσάντων αὐτῶν, τῶν πρὸ τοῦ Καρνείου μηνὸς ἐξελθόντες στρατιὰ φθάνουσι, καὶ ἄγοντες τὴν ἡμέραν ταύτην πάντα τὸν χρόνον, ἐσέβαλλον ἐς τὴν Ἐπιδαυρίαν καὶ ἐδήουν. Ἐπιδαύριοι δὲ τοὺς ξυμμάχους ἀπεκαλοῦντο· ὧν τινὲς οἱ μὲν, τὸν μῆνα προὐφασίσαντο, οἱ δὲ καὶ ἐς μαθορίαν τῆς Ἐπιδαυρίας ἐλθόντες ἡσύχαζον. * καὶ καθ' ὃν χρόνον ἐν τῇ Ἐπιδαύρῳ οἱ Ἀργεῖοι ἦσαν, ἐς Μαντίνειαν πρεσβεῖαι ἀπὸ τῶν Ἀθηναίων παρακαλεσάντων. καὶ γιγνομένων λόγων Εὐφαμίδας ὁ Κορίνθιος οὐκ ἔφη τοὺς λόγους τοῖς ἔργοις ὁμο-

55. Legationes urbium postquam Mantineam convenerant, Epidaurium bellum

2. Καὶ ἄγοντες τὴν ἡμέραν ταύτην] ἐπιτηροῦντες, καιροφυλακοῦντες. ἔνιοι δὲ, ἑορτάζοντες διὰ παντὸς τὴν ἡμέραν ταύτην, τότε ἀπροσδοκήτως τοῖς Ἐπιδαυρίοις ἐπέπεσον. 4. Ἐπεκαλοῦντο] εἰς βοήθειαν δηλονότι. 5. Ὧν τινὲς] ἀφ' ὧν. Τὸν μῆνα προὐφασίσαντο] τοῦ μὴ ἐξελθεῖν δηλονότι. ἀντὶ τοῦ λέγοντες εἶναι ἱερομηνίαν. 10. Ὁμιλεῖν] γράφεται ὁμολογεῖν.

1. πρανείου K.g.
ἐξελθόντος c.d.e.g.i.
2. τετάρτῃ e. εἰκοστῇ ἑβδόμῃ c. d.i.
Καὶ ἄγοντες τὴν ἡμέραν ταύτην] Portus et Acacius hoc de celebratione dierum festorum acceperunt. Et sic ante eos alii apud Scholiasten. Mihi Valla rectius videtur vertisse, *itinere facto*. Nam ut ἄγειν, ἀπάγειν, ἐξάγειν, et προσάγειν τὴν στρατιὰν, ita etiam ἐλλειπτικῶς eadem omnia sola dicuntur. Xenophon. I. Cyrip. in fin. Ἢ ὅπως πρὸς πολεμίους προσάγειν, ἢ ἀπάγειν ἀπὸ πολεμίων, ἢ ὅπως πρὸς τεῖχος ἄγειν, ἢ ἀπάγειν. Ibid. εἴγε δή σοι κατὰ κέρας ἄγοντα—καὶ εἰ σοι ἐπὶ φάλαγγος ἄγοντι. Idem II. 59. Καὶ αὐτὸς ἐξάγει δὴ ὡς εἰς θήραν παρεσκευασμένος. Et III. p. 83. Ὅτι ἤδη καιρὸς εἴη, ἄγειν ἐπὶ τοὺς πολεμίους. Dux.
3. ἐσέβαλλον B.K.h.
ἐπιδαυρίων d.
5. προφασίσαντες e.
7. οἱ ἀργεῖοι A.B.F.H.K.L.N. O.P. c.d.e.g.h.i.k. vulgo omittunt articulum.
8. ἀπὸ] ἐκ h.
9. εὐφαμίδας A.B.F.H.K.L. N.O.P.c.g.k. ἀφαμίδας h. vulgo ἐφαμίδας. Conf. 2, 33. et Valcken. ad Herodot. 4, 150.
10. Ὁμολογεῖν] Ὁμιλεῖν quidam Codd. et Schol. ὁμιλεῖν, pro *concordare* figurate Hesychio ἑπακολουθῆσαι λόγοις. ὁμολογεῖν minus placuit ob tautologiam scilicet. inter res et verba nullum commercium. Noster ὁμιλητικὸς πολέμῳ. et VI. 5. οὐ πρότερον ὁμιλήκει τῇ ἀρχῇ. Isocrates Nicocl. ὁμιλεῖν καὶ τοῖς πράγμασι καὶ τοῖς ἀνθρώποις δύνασθαι. Aristoteles Physiogn. p. 146. τὰ δὲ περὶ τὴν ψυχὴν, δοτικὸν καὶ ἐλεύθερον, μεγαλόψυχον καὶ φιλόνικον πρὸς ἃ ἂν ὁμιλήσῃ. apud Josephum ὁμιλεῖν τραύμασιν. Alterum tamen haud refugiunt auctores. Diodor. p. 34.

componitur, in breve tempus; de pace universali nihil conficitur.

λογεῖν· σφεῖς μὲν γὰρ περὶ εἰρήνης ξυγκαθῆσθαι, τοὺς δ' Ἐπιδαυρίους καὶ τοὺς ξυμμάχους καὶ τοὺς Ἀργείους μεθ' ὅπλων ἀντιτετάχθαι· διαλῦσαι οὖν πρῶτον χρῆναι ἀφ' ἑκατέρων ἐλθόντας τὰ στρατόπεδα, καὶ οὕτω πάλιν λέγειν περὶ τῆς εἰρήνης. καὶ πεισθέντες ᾤχοντο, καὶ τοὺς Ἀργείους ἀπήγαγον ἐκ τῆς Ἐπιδαυρίας. ὕστερον δὲ ἐς τὸ αὐτὸ ξυνελθόντες οὐδ' ὡς ἐδυνήθησαν ξυμβῆναι, ἀλλ' οἱ Ἀργεῖοι πάλιν ἐς τὴν Ἐπιδαυρίαν ἐσέβαλον καὶ ἐδῄουν. ἐξεστράτευσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ἐς Καρύας· καὶ ὡς οὐδ' ἐνταῦθα τὰ διαβατήρια αὐτοῖς ἐγένετο, ἐπανεχώ-

5. Ὤχοντο] οἱ πρέσβεις δηλονότι. 6. Ἐς τὸ αὐτὸ ξυνελθόντες] ἐνωθέντες. 10. Τὰ διαβατήρια αὐτοῖς ἐγένετο] καλὰ δηλονότι.

οὐχ ὁμολογούμενα λέγουσι. Plato Epist. ὁμολογούμενοι λόγοι. Aristot. de Gen. et Corr. I. ΛΟΓΟΙ πρὸς τὴν αἴσθησιν ΟΜΟΛΟΓΟΥΜΕΝΑ ΛΕΓΟΝΤΕΣ. Dion. Halic. ὁμολογούμενα τῇ σκέψει ἔργα. Itaque nihil mutandum. Wass.

1. συγκαθῆσθαι B.F.f.g.

2. καὶ τοὺς Ἀργείους] l. κατὰ τ. A. v. Valla. Wasse. not. MS.

4. ἐφ' H.

Τὰ στρατόπεδα] Hic valde se torquet Portus non maxima de causa. Στρατὸς et στρατόπεδον quidem inter se distinguuntur, ut docet Ammonius. Et Æschylus Sept. contra Theb. v. 79. Μεθεῖται στρατὸς στρατόπεδον λιτών. Sed τὰ στρατόπεδα hic recte possunt sumi pro exercitibus, ut lib. IV. cap. 94. et 96. infra cap. 59. ἤδη τῶν στρατοπέδων ὁσονοὺ ξυνιόντων. Plutarchus in Apophth. pag. 328. Ἐλάφων στρατόπεδον ἡγουμένου λέοντος. Duk.

5. περὶ εἰρήνην N.

6. ἐπήγαγον c.

8. ἐσέβαλλον h.

9. ἐστράτευσαν Q.

Ἐς Καρύας] Κάρυα apud Stephanum, ait Huds. At Idem v. Βοῶν numero plurativo Κάραι. Lacones Hesychio auctore Καρεῦναν dixere. Ita legit et Phavorinus. Carya, Caryatibus, Caryatium Vitruvius I. 1. Codex Arondel. Carynatium perperam, ut ex Plinio XXXVI. 5. patet. rotundatis Caryatidis Sidonius. Gentile Καρυάται Inscript. apud Reinesium II. 61. Vid. Pausan. Lacon. cap. X. et Messen. XVI. Plutarch. Arato p. 1020. Pheneatis confines erant Caryæ. Vid. Liv. XXXIV. 26. De Arcadum Civit. Statius IV. Theb. 225. et Hesych. v. Καρυᾶτις. Apud Statium pro *impulit* Codex D. " quas magno non *ab-*" *stulit* igne Napæas?" recte. Virg. " me malus *abstulit* er-" ror." Vid. Xenoph. p. 619. C. ἐν Καρύαις τῆς Λακωνικῆς Lucian. de saltat. p. 790. Wass.

10. τὰ om. g.

ρησαν. Ἀργεῖοι δὲ τεμόντες τῆς Ἐπιδαυρίας ὡς τὸ τρίτον μέρος, ἀπῆλθον ἐπ' οἴκου. καὶ Ἀθηναίων αὐτοῖς χίλιοι ἐβοήθησαν ὁπλῖται, καὶ Ἀλκιβιάδης στρατηγός· πυθόμενοι δὲ τοὺς Λακεδαιμονίους ἐξεστρατεῦσθαι, καὶ ὡς οὐδὲν ἔτι αὐτῶν ἔδει, ἀπῆλθον. καὶ τὸ θέρος οὕτω διῆλθεν.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι, λαθόντες Ἀθηναίους, φρουρούς τε τριακοσίους καὶ Ἀγησιπίδαν ἄρχοντα κατὰ θάλασσαν ἐς Ἐπίδαυρον ἐσέπεμψαν. Ἀργεῖοι δ' ἐλθόντες παρ' Ἀθηναίους ἐπεκάλουν ὅτι, γεγραμμένον ἐν ταῖς σπονδαῖς διὰ τῆς ἑαυτῶν ἑκάστους μὴ ἐᾶν πολεμίους διιέναι, ἐάσειαν κατὰ θάλασσαν παραπλεῦσαι· καὶ εἰ μὴ κἀκεῖνοι ἐς Πύλον νομιοῦσιν ἐπὶ Λακεδαιμονίους τοὺς Μεσσηνίους καὶ Εἵλωτας, ἀδικήσεσθαι αὐτοί. Ἀθηναῖοι δὲ Ἀλκιβιάδου πείσαντος τῇ μὲν Λακωνικῇ στήλῃ ὑπέγραψαν ὅτι οὐκ ἐνέμειναν οἱ Λακεδαιμόνιοι τοῖς ὅρκοις, ἐς δὲ Πύλον ἐκόμισαν τοὺς ἐκ Κρανίων Εἵλωτας ληΐζεσθαι, τὰ δ' ἄλλα ἡσύχαζον. τὸν δὲ χειμῶνα τοῦτον πολεμούντων Ἀργείων καὶ Ἐπι-

56. Lacedæmonii CCC milites clam Atheniensibus Epidaurum mittunt per mare. Quare offensi Argivi cum postularent, ut Athenienses Pylum Messenios et Helotes reducerent: illi morem iis gesserunt. Bellum cum Epidauriis integratum.

3. Ἐβοήθησαν] μετὰ βοηθείας ἦλθον. 9. Ἐσέπεμψαν] εἰσέβαλον πέμψαντες. 12. Ἐάσειαν] οἱ Ἀθηναῖοι. 13. Καὶ εἰ μὴ κἀκεῖνοι ἐς Πύλον] οἱ Ἀργεῖοι τοῖς Ἀθηναίοις ἔλεγον ὅτι, ἐὰν μὴ εἰσαγάγωσι πάλιν ἐς Πύλον τοὺς Εἵλωτας καὶ Μεσσηνίους, οὓς ἐξήγαγον ἐκ Πύλου διὰ τὰς πρὸς Λακεδαιμονίους συνθήκας, ἀδικήσεσθαι αὐτοὶ οἱ Ἀργεῖοι. ἔνιοι δὲ, αὐτοὶ οἱ Ἀθηναῖοι, ἤκουσαν. 14. Ἀδικήσεσθαι αὐτοί] ἤγουν ἀδικηθήσεσθαι οἱ Ἀργεῖοι. 15. Τῇ μὲν Λακωνικῇ στήλῃ] ἣν ἔστησαν οἱ Ἀθηναῖοι, ἔχουσαν τὰς Λακωνικὰς σπονδάς. 18. Εἵλωτας ληΐζεσθαι] ὥστε ληΐζεσθαι. Τὰ δ' ἄλλα] ἤγουν κατὰ τὰ ἄλλα.

1. ὡς om. B.h.
3. καὶ ὁ ἀλκιβιάδης K.
4. πυθόμενος F.H.K.c.d.e.f.g.k.
5. ἀπῆλθε d.i.
7. λαθόντες τοὺς ἀθηναίους d.
8. φρουροὺς τετρακοσίους K.
9. ἐς] ὡς N. om. B. h.
ἐπιδαυρίαν e.
13. καὶ εἰ] κεἰ K.
14. τοὺς] καὶ i.
16. ἐπέγραψαν I.
18. ἐν κρανίῳ g.
19. πολεμούντων τῶν ἀργείων B.

δαυρίων, μάχη μὲν οὐδεμία ἐγένετο ἐκ παρασκευῆς, ἐνέδραι δὲ καὶ καταδρομαὶ, ἐν αἷς ὡς τύχοιεν ἑκατέρων τινὲς διεφθείροντο. καὶ τελευτῶντος τοῦ χειμῶνος πρὸς ἔαρ ἤδη, κλίμακας ἔχοντες οἱ Ἀργεῖοι ἦλθον ἐπὶ τὴν Ἐπίδαυρον, ὡς ἐρήμου οὔσης διὰ τὸν πόλεμον βίᾳ αἱρήσοντες· καὶ ἄπρακτοι ἀπῆλθον. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ τρίτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

57. Ne glisceret hac civitatum Peloponnesiacarum defectio, latinusque serperet, Lacedæmonii antevertere statuunt, et duce Agide una cum sociis tendunt adversus Argos. Copiæ sociorum enumerantur.

Τῶν δ' ἐπιγιγνομένου θέρους μεσοῦντος Λακεδαιμόνιοι, ὡς αὐτοῖς οἵ τε Ἐπιδαύριοι ξύμμαχοι ὄντες ἐταλαιπώρουν, καὶ τἆλλα ἐν τῇ Πελοποννήσῳ τὰ μὲν ἀφεστήκει, τὰ δ' οὐ καλῶς εἶχε, νομίσαντες, εἰ μὴ προκαταλήψονται ἐν τάχει, ἐπὶ πλέον χωρήσεσθαι αὐτὰ, ἐστράτευον αὐτοὶ καὶ οἱ Εἵλωτες πανδημεὶ ἐπ' Ἄργος· ἡγεῖτο δὲ Ἀγις ὁ Ἀρχιδάμου, Λακεδαιμονίων βασιλεύς. ξυνεστράτευον δ' αὐτοῖς Τεγεᾶται καὶ ὅσοι ἄλλοι Ἀρκάδων Λακεδαιμονίοις ξύμμαχοι ἦσαν. οἱ δ' ἐκ τῆς ἄλλης Πελοποννήσου ξύμμαχοι καὶ οἱ ἔξωθεν ἐς Φλιοῦντα ξυνελέγοντο, Βοιωτοὶ μὲν πεντακισχίλιοι ὁπλῖται καὶ τοσοῦτοι

1. Ἐκ παρασκευῆς] ἤγουν ἐκ φανερᾶς παρατάξεως. Ἐνέδραι δὲ καὶ καταδρομαὶ] λεληθυῖαι ἐπιθέσεις. 5. Ὡς ἐρήμου οὔσης] συμμαχίας δηλονότι. 10. Καὶ τἆλλα] ἔθνη δηλονότι. Τὰ μὲν ἀφεστήκει] τῶν Λακεδαιμονίων δηλονότι. τουτέστιν Ἦλις καὶ Μαντίνεια. 11. Τὰ δ' οὐ καλῶς εἶχεν] ἤγουν ἐστασίαζον. τουτέστιν ἡ Κόρινθος. 12. Ἐπὶ πλέον] ἤγουν κακόν. 17. Καὶ οἱ ἔξωθεν] Πελοποννήσου δηλονότι.

2. ἐκδρομαὶ h.
3. ἐφθείροντο K.Q.
4. ἦλθον] ἐλθόντες B.h.
7. καὶ τὸ τρίτον g. καὶ τρίτον —ἐτελεύτα om. d.
8. μεσοῦντος om. Q.
10. ἀφεστήκει A.B.h. ceteri ἀφειστήκει.
11. καταλήψονται A.B.F.h.
12. αὐτοὺς c. τὰ αὐτὰ K.
13. ἐς K.c.d.i. ἄργους Q.
14. ὁ om. h. λακεδαιμονίων om. g.
15. τεγεᾶται καὶ A.B.F.H.Q. e.f.ceteri τεγεᾶταί τε καὶ. ἀρκάδες L.O.P.Q.
17. φλιοῦντα i. φιλιοῦντα B.h. φιλοῦντα Q.

ψιλοὶ καὶ ἱππῆς πεντακόσιοι καὶ ἄμιπποι ἴσοι, Κορίνθιοι δὲ δισχίλιοι ὁπλῖται, οἱ δ' ἄλλοι ὡς ἕκαστοι, Φλιάσιοι δὲ παυστρατιᾷ, ὅτι ἐν τῇ ἐκείνων ἦν τὸ στράτευμα.

58. Argivi sentientes contra eunt; at Agis alio itinere ad socios pervenit, quibuscum consilio exposito,

* Ἀργεῖοι δὲ προαισθόμενοι τό τε πρῶτον τὴν παρασκευὴν τῶν Λακεδαιμονίων, καὶ ἐπειδὴ ἐς τὸν Φλιοῦντα βουλόμενοι τοῖς ἄλλοις προσμίξαι ἐχώρουν, τότε δὴ ἐξεστράτευσαν καὶ αὐτοί. ἐβοήθησαν δ' αὐτοῖς καὶ Μαντινῆς, ἔχοντες τοὺς σφετέρους ξυμμάχους, καὶ Ἠλείων τρισχίλιοι ὁπλῖται. καὶ προϊόντες ἀπαντῶσι τοῖς Λακεδαιμονίοις ἐν Μεθυδρίῳ τῆς Ἀρκαδίας. καὶ καταλαμβάνουσιν ἑκάτεροι λόφον· καὶ οἱ μὲν Ἀργεῖοι ὡς μεμονωμένοις τοῖς Λακεδαιμονίοις παρεσκευάζοντο μάχεσθαι, ὁ δὲ Ἄγις, τῆς νυκτὸς ἀναστήσας τὸν στρατὸν καὶ λαθὼν, ἐπορεύετο ἐς Φλιοῦντα παρὰ τοὺς ἄλλους ξυμμάχους. καὶ οἱ Ἀργεῖοι

4. Ἀργεῖοι δὲ προαισθόμενοι τότε πρῶτον] Ἀργεῖοι προαισθόμενοι τήν τε πρώτην τῶν Λακεδαιμονίων παρασκευὴν, καὶ αὖθις προσχωροῦντας τοὺς Λακεδαιμονίους ἐπὶ Φλιοῦντος ὑπὲρ τοῦ τοῖς ἰδίοις συμμῖξαι συμμάχοις, τότε καὶ αὐτοὶ ἐξεστράτευσαν. ἔνιοι δὲ τὸ τότε πρῶτον φήθησαν σημαίνειν, ἐν τῷ τότε καιρῷ. 6. Ἐχώρουν] οἱ Λακεδαιμόνιοι. 7. Αὐτοῖς] τοῖς Ἀργείοις. 11. Ὡς μεμονωμένοις] ἐρήμοις συμμάχων. 13. Λαθὼν] τοὺς Ἀρ-

1. καὶ ἄμιπποι—ὁπλῖται om. K.
ἄνιπποι A.B.F.c.g.k.
Ἄμιπποι] Vide Eustathium in Odyss. ε. p. 1539. Harpocrat. et Tollii notas ad Palæphatum p. 6. Hudson. Antea nullo sensu ἄνιπποι. Vid. Eustathium ad Il. 1046. 48. Ed. Bas. et Kusterum ad Suidam v. ἄμιπποι. Wass. Add. Interpretes Pollucis ad I. 131. Duk.
ἴσοι] ὅσοι A.B.
5. φιλιοῦντα B. h. φλοιοῦντα e.i.
6. δὲ Q.
8. τοὺς om. d.
9. προσιόντες L.O.P.
10. Μεθυδρίῳ] Μεθύδριον τῆς Μεγαλοπολίτιδος vocat Polybius IV. 11. Nam ex quo condita est Megalopolis, in vicum degeneravit; unde inter Κέμας recenset Pausanias, a quo etiam nominis ratio petatur. meminerunt ejus etiam Plutarch. Cleon. p. 806. Plin. I. 420. Porphyr. de Abstin. II. 16. Wass. Vide etiam Holstenium ad Stephanum. Duk.
λαμβάνουσιν I.
11. μεμονωμένοι h.
14. φιλιοῦντα B. φλειοῦντα h. φλοιοῦντα i.
οἱ om. f.

αἰσθόμενοι ἅμα ἕῳ ἐχώρουν, πρῶτον μὲν ἐς Ἄργος, ἔπειτα ἢ προσεδέχοντο μετὰ τῶν ξυμμάχων τοὺς Λακεδαιμονίους καταβήσεσθαι, τὴν κατὰ Νεμέαν ὁδόν. Ἄγις δὲ ταύτην μὲν ἣν προσεδέχοντο οὐκ ἐτράπετο, παραγγείλας δὲ τοῖς Λακεδαιμονίοις καὶ Ἀρκάσι καὶ Ἐπιδαυρίοις, ἄλλην ἐχώρησε χαλεπήν, καὶ κατέβη ἐς τὸ Ἀργείων πεδίον· καὶ Κορίνθιοι καὶ Πελληνῆς καὶ Φλιάσιοι ὄρθιον ἑτέραν ἐπορεύοντο· τοῖς δὲ Βοιωτοῖς καὶ Μεγαρεῦσι καὶ Σικυωνίοις εἴρητο τὴν ἐπὶ Νεμέας ὁδὸν καταβαίνειν, ἢ οἱ Ἀργεῖοι καθῆντο, ὅπως, εἰ οἱ Ἀργεῖοι ἐπὶ σφᾶς ἰόντες ἐς τὸ πεδίον βοηθοῖεν, ἐφεπόμενοι τοῖς ἵπποις χρῷντο. καὶ ὁ μὲν οὕτω διατάξας, καὶ ἐσβαλὼν ἐς τὸ πεδίον, ἐδῄου Σάμινθόν τε καὶ ἄλλα· * οἱ δὲ Ἀργεῖοι γνόντες ἐβοήθουν ἡμέρας ἤδη ἐκ τῆς Νεμέας, καὶ περιτυχόντες τῷ Φλιασίων καὶ Κορινθίων στρατοπέδῳ τῶν μὲν Φλιασίων ὀλίγους ἀπέκτειναν, ὑπὸ δὲ τῶν Κορινθίων αὐτοὶ οὐ πολλῷ πλείους διεφθάρησαν. καὶ οἱ Βοιωτοὶ καὶ οἱ Μεγαρῆς καὶ οἱ Σικυώνιοι ἐχώρουν, ὥσπερ εἴρητο αὐτοῖς, ἐπὶ τῆς

59. undique Argivos circumcludit. Quod periculum cum animadvertissent principes quidam Argivorum, ad

γείους δηλωνότι. 6. Χαλεπὴν] δύσοδον. 18. Εἴρητο] ὅριστο.

1. ἔπειτα A.B.h. ceteri ἔπειτα δέ.

2. μετὰ τῶν ξυμμ. τοὺς λακ. A. B.h. vulgo τοὺς λακ. μετὰ τῶν ξ.

6. ἀργεῖαν K.d.

7. παλληνεῖς B.h.
καὶ οἱ φλιάσιοι K.

8. ὄρθριαν A.B.F.H.I.P.b.c.e.g. h.i.k. ὄρθριοι Q. ὄρθρειοι d. κατὰ ὄρθριον L.O. ὁδὸν K.

Ὄρθιον] Subintellige ὁδὸν, et respondent τοῖς, ἄλλην χαλεπήν. nihil ergo mutandum. Wass. Scriptura, quam Vallam sequutum esse putat Stephanus, defendi posset ex hoc Menandri in Ὀργῇ apud Athenæum VI. 10. ὄρθριος πρὸς τὴν σελήνην ἔτρεχε. Sed haud dubie rectum est ὄρθιον. Vel pueris notum est hoc Hesiodi, μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν. Duk.

10. οἱ om. Q.f.g.
κάθηντο A.B.F.H.h. κάθηντο K. ἐπεκάθηντο e. vulgo ἐκάθηντο.
οἱ om. g.

11. ἐχῶντο c.d.i.

12. ἐς τὸ πεδίον om. d.i.

13. Σάμινθον] De hoc oppido tacent veteres, opinor, universi. Itaque membranarum fides nonnihil mihi suspecta est. Wass.

14. ἐσεβοήθουν Q.
τῷ] τῶν b.c.d.i.

17. καὶ μεγαρῆς K.

Νεμέας, καὶ τοὺς Ἀργείους οὐκέτι κατέλαβον, ἀλλὰ καταβάντες, ὡς ἑώρων τὰ ἑαυτῶν δηούμενα, ἐς μάχην παρετάσσοντο. ἀντιπαρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι. ἐν μέσῳ δὲ ἀπειλημμένοι ἦσαν οἱ Ἀργεῖοι. ἐκ μὲν γὰρ τοῦ πεδίου οἱ Λακεδαιμόνιοι εἶργον τῆς πόλεως καὶ οἱ μετ' αὐτῶν, καθύπερθε δὲ Κορίνθιοι καὶ Φλιάσιοι καὶ Πελληνῆς, τὸ δὲ πρὸς Νεμέας Βοιωτοὶ καὶ Σικυώνιοι καὶ Μεγαρῆς. ἵπποι δὲ αὐτοῖς οὐ παρῆσαν· οὐ γάρ πω οἱ Ἀθηναῖοι μόνοι τῶν ξυμμάχων ἦκον. τὸ μὲν οὖν πλῆθος τῶν Ἀργείων καὶ τῶν ξυμμάχων οὐχ οὕτω δεινὸν τὸ παρὸν ἐνόμιζον, ἀλλ' ἐν καλῷ ἐδόκει ἡ μάχη ἔσεσθαι, καὶ τοὺς Λακεδαιμονίους ἀπειληφέναι ἐν τῇ αὐτῶν τε καὶ πρὸς τῇ πόλει. τῶν δὲ Ἀργείων δύο ἄνδρες, Θράσυλλός τε, τῶν πέντε στρατηγῶν εἷς ὤν, καὶ Ἀλκίφρων, πρόξενος Λακεδαιμονίων, ἤδη τῶν στρατοπέδων ὅσον οὐ ξυνιόντων προσελθόντε Ἀγιδὶ διελεγέσθην μὴ ποιεῖν μάχην· ἑτοίμους γὰρ εἶναι Ἀργείους δίκας δοῦναι καὶ δέξασθαι ἴσας καὶ ὁμοίας, εἴ τι ἐπικαλοῦσιν Ἀργείοις Λακεδαιμόνιοι, καὶ τὸ λοιπὸν εἰρήνην ἄγειν σπονδὰς ποιησαμένους.

Agidem se conferunt, petentes, ne prœlium committat. Se enim ad pacem faciendam paratos esse.

2. Καταβάντες] οἱ Ἀργεῖοι. Ἐς μάχην] φανερὰν δηλονότι. 5. Οἱ Λακεδαιμόνιοι εἶργον] ὥστε μὴ ἔρχεσθαι εἰς τὴν πόλιν. Τῆς πόλεως] τοῦ Ἄργους. 8. Αὐτοῖς] ἤγουν τοῖς Ἀργείοις. 11. Ἐν καλῷ] ἐπὶ συμφέροντι. 14. Πρόξενος] φίλος. 15. Ὅσονοῦ ξυνιόντων] ἤγουν ὁσονοὐκ ἤδη μελλόντων.

3. ἀντεπαρεσκευάζοντο H.I.K. P.b.c.f.i.k. ἀντεπαρασκευάζοντο d. δὲ οἱ K.
4. μέσῳ K.
5. εἶργον om. d.i. τῆς A.B.F.H.K.L.N.O.P.f.g. h. ceteri ἀπὸ τῆς. Conf. 2, 85. εἴργεσθαι τῆς θαλάσσης.
6. καθύπερθεν L.O.g. κάθυπερ H. καθύπερ F. δὲ οἱ κορίνθιοι K.
7. παλληνεῖς h.
9. μόνοι om. c.i.
13. θράσυλος d.e.f.
14. Πρόξενος] Ammonius, πρόξενος πόλεως, καὶ ἔθνους. ξένος δ' ὁ εἷς ἑνός. Vid. II. 28. et Ælium Dionysium apud Eustath. in Iliad. γ'. p. 405. Hoc sensu utuntur Plato, Aristoteles, alii. WASS.
15. οὐκ ἐξιόντων A.B.h. οὔπω ξυνιόντων e.
16. προσελθόντε A.F.H.I.L.N. O.c.e.f. προελθόντε d.i. τῷ ἄγιδι H.

60. Panguntur igitur inducias in quatuor menses cum eo, ut interea Argivi efficerent, quæ promisissent. Sed Agidi ea res magnam invidiam conflavit; nec minus Argivi illi proceres odio erant suis, opinantibus, optimam Lacedæmonios profligandi occasionem per eos sibi ereptam.

καὶ οἱ μὲν ταῦτα εἰπόντες τῶν Ἀργείων ἀφ' ἑαυτῶν καὶ οὐ τοῦ πλήθους κελεύσαντος εἶπον· καὶ ὁ Ἄγις δεξάμενος τοὺς λόγους αὐτὸς, καὶ οὐ μετὰ τῶν πλειόνων οὐδὲ αὐτὸς βουλευσάμενος, ἀλλ' ἢ ἑνὶ ἀνδρὶ κοινώσας τῶν ἐν τέλει ξυστρατευομένων, σπένδεται τέσσαρας μῆνας ἐν οἷς ἔδει ἐπιτελέσαι αὐτοὺς τὰ ῥηθέντα. καὶ ἀπήγαγε τὸν στρατὸν εὐθὺς, οὐδενὶ φράσας τῶν ἄλλων ξυμμάχων. οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι εἵποντο μὲν, ὡς ἠγεῖτο, διὰ τὸν νόμον, ἐν αἰτίᾳ δ' εἶχον κατ' ἀλλήλους πολλῇ τὸν Ἄγιν, νομίζοντες ἐν καλῷ παρατυχὸν σφίσι ξυμβαλεῖν, καὶ πανταχόθεν αὐτῶν ἀποκεκλημένων καὶ ὑπὸ ἱππέων καὶ πεζῶν, οὐδὲν δράσαντας ἄξιον τῆς παρασκευῆς ἀπιέναι. στρατόπεδον γὰρ δὴ τοῦτο κάλλιστον Ἑλληνικὸν τῶν μέχρι τοῦδε ξυνῆλθεν· ὥφθη δὲ μάλιστα, ἕως ἔτι ἦν ἀθρόον ἐν Νεμέᾳ, ἐν ᾧ Λακεδαιμόνιοί τε παν-

6. Ἀπήγαγε] ἄστρεψεν. 8. Ὡς ἠγεῖτο] ἦγεν προηγεῖτο. 10. Ἐν καλῷ παρατυχὸν σφίσι ξυμβαλεῖν] τοῖς Ἀργείοις τῆς τύχης δούσης ἐπὶ συμφέροντι συμβαλεῖν. 11. Αὐτῶν] τῶν Ἀργείων. 12. Ἄξιον τῆς παρασκευῆς] οὕτως μεγάλης δηλονότι. 14. Τῶν μέχρι τοῦδε] τῶν στρατοπέδων. Μάλιστα] ἀκριβῶς. 15. Ἕως ἔτι ἦν ἀθρόον ἐν Νεμέᾳ] ζητεῖται πῶς, τριχῇ διαιρεθέντος τοῦ τῶν Πελοποννησίων στρατεύματος εἰς Φλιοῦντα, καὶ ἑνὸς μόνου μέρους τὴν ἐπὶ Νεμέαν ἰόντος, τῶν δὲ ἄλλων ἄλλως χρησαμένων ὁδοῖς καὶ οὐδαμοῦ συμμιξάντων, ἔφη ἀθρόους αὐτοὺς ὤφθαι περὶ Νεμέαν. μή ποτε δὲ μετὰ τὰς σπονδὰς ἀναχωροῦντα τὰ τρία μέρη ἐπίσω ἐπὶ Φλιοῦντα, ἐν Νεμέᾳ πάντα ἐγένετο. εὔπορος γὰρ ἥδε ἡ ὁδός· καὶ διὰ τοῦτο καὶ οἱ Ἀργεῖοι, ἐγγύθεν πάντας ἥξειν ἐπὶ τὴν

1. τῶν ἀργείων om. d.
2. κελεύοντος e.
ὁ om. d.i.
3. Αὐτὸς] Homerus Iliad. θ'. v. 99. Τυδείδης αὐτός περ ἐὼν τρομάχοισιν ἐμίχθη. Hoc Schol. parv. et Eustathius in Il. ρ'. pag. 1105. exponunt μόνος. Lucian. Dial. Deor. p. 203. Αὐτοὶ γὰρ ἐσμέν. Et Theocrit. X. Idyll. 19. Τυφλὸς δ' οὐκ αὐτὸς ὁ Πλοῦτος, Ἀλλὰ καὶ ἀφραδέστατος Ἔρως. Duk.
τῶν om. K.
4. ἢ om. d.
ἑνὶ om. e.i. post ἀνδρὶ ponit L.
κοινώσασθαι A.F.e.h. κοινωσάμενος Q.
5. ξυστρατευσαμένων K.
10. πολλῇ κατ' ἀλλήλους P.
ἐν τῷ καλῷ K.
Ἐν καλῷ] Thucyd. cap. præced. Ἀλλ' ἐν καλῷ ἔδοξεν ἡ μάχη ἔσεσθαι. Duk.
11. ἀποκεκλημένων F.H.L.O.k. ἀποκεκλειμένων A.B.h. ἀποκεκλαμένων g. vulgo ἀποκεκλεισμένων.
15. ᾧ οἱ λακεδ. K.

στρατιᾷ ἦσαν καὶ Ἀρκάδες καὶ Βοιωτοὶ καὶ Κορίνθιοι καὶ Σικυώνιοι καὶ Πελληνῆς καὶ Φλιάσιοι καὶ Μεγαρῆς, καὶ οὗτοι πάντες λογάδες ἀφ' ἑκάστων, ἀξιόμαχοι δοκοῦντες εἶναι οὐ τῇ Ἀργείων μόνον ξυμμαχίᾳ ἀλλὰ καὶ ἄλλῃ ἔτι προσγενομένῃ. τὸ μὲν οὖν στρατόπεδον οὕτως, ἐν αἰτίᾳ ἔχοντες τὸν Ἄγιν, ἀνεχώρουν τε καὶ διελύθησαν ἐπ' οἴκου ἕκαστοι. Ἀργεῖοι δὲ καὶ αὐτοὶ ἔτι ἐν πολλῷ πλείονι αἰτίᾳ εἶχον τοὺς σπεισαμένους ἄνευ τοῦ πλήθους, νομίζοντες κἀκεῖνοι μὴ ἂν σφίσι ποτὲ κάλλιον παρασχὸν Λακεδαιμονίους διαπεφευγέναι· πρός τε γὰρ τῇ σφετέρᾳ πόλει καὶ μετὰ πολλῶν καὶ ἀγαθῶν ξυμμάχων τὸν ἀγῶνα ἂν γίγνεσθαι. τόν τε Θράσυλλον ἀναχωρήσαντες ἐν τῷ Χαράδρῳ, οὗπερ τὰς ἀπὸ στρατιᾶς δίκας, πρὶν ἐσιέναι, κρίνουσιν, ἤρξαντο λεύειν. ὁ δὲ καταφυγὼν ἐπὶ τὸν βωμὸν περιγίγνεται· τὰ μέντοι χρήματα ἐδήμευσαν αὐτοῦ.

61. Interim Alcibiades, cum Atheniensium copiæ duce Lachete Ar-

Μετὰ δὲ τοῦτο, Ἀθηναίων βοηθησάντων χιλίων ὁπλιτῶν καὶ τριακοσίων ἱππέων, ὧν ἐστρατήγουν Λάχης καὶ Νικόστρατος, οἱ Ἀργεῖοι (ὅμως γὰρ τὰς σπονδὰς ὤκνουν λῦσαι πρὸς τοὺς Λακεδαιμονίους) ἀπιέναι ἐκέλευον αὐ-

μάχην προσδεχόμενοι, προαπήντων εἰς τὴν Νεμέαν. 3. Λογάδες] ἐκλελεγμένοι. 5. Ἔτι προσγενομένῃ] προστεθείσῃ. 6. Ἐπ' οἴκου ἕκαστοι] μεμερισμένως εἰς τὴν ἑαυτῶν πατρίδα. 9. Κἀκεῖνοι] οἱ Ἀργεῖοι. Πρὸς] πλησίον. 12. Ἀναχωρήσαντες] εἰς τὴν πόλιν δηλονότι. 15. Περιγίγνεται] σώζεται. Ἐδήμευσαν] δημόσια ἐποίησαν.

2. καὶ πελλ. καὶ φλιάσιοι om. K.
3. ἐφ' e.
4. καὶ] Immo κἄν.
5. ἄλλῃ τῇ ἔτι L.O. τῇ ἔτι, omissis καὶ ἄλλῃ, P.
προσγινομένῃ Q.
Ἐν αἰτίᾳ ἔχοντες] Vide Diod. Sicul. p. 326. a. Wass.
7. πολλῷ ἐν πλ. L.O.
8. αἰτίᾳ om. P.
9. παρασχεῖν d.i.
12. θράσυλλον e.
13. χαράνδρῳ d.i.
14. λέγειν K.
15. περιγίγνεται] Thomas Mag. in περιεγένετο. Duk.
18. ἱππέων καὶ τριακοσίων ὁπλιτῶν b.
ἐστρατήγει d.i.

gos advenissent, persuadet sociis, ut Orchomenum aggrediantur; qua urbe capta,

τοὺς, καὶ πρὸς τὸν δῆμον οὐ προσῆγον βουλομένους χρηματίσαι, πρὶν ἡ Μαντινῆς καὶ Ἠλεῖοι (ἔτι γὰρ παῆσαν) κατηνάγκασαν δεόμενοι. καὶ ἔλεγον οἱ Ἀθηναῖοι, Ἀλκιβιάδου πρεσβευτοῦ παρόντος, ἔν τε τοῖς Ἀργείοις καὶ ξυμμάχοις ταῦτα, ὅτι οὐκ ὀρθῶς αἱ σπονδαὶ ἄνευ τῶν ἄλλων ξυμμάχων καὶ γένοιντο, καὶ νῦν (ἐν καιρῷ γὰρ παρεῖναι σφεῖς) ἅπτεσθαι χρῆναι τοῦ πολέμου. καὶ πείσαντες ἐκ τῶν λόγων τοὺς ξυμμάχους, εὐθὺς ἐχώρουν ἐπὶ Ὀρχομενὸν τὸν Ἀρκαδικὸν πάντες, πλὴν Ἀργείων. οὗτοι δὲ ὅμως

9. Τὸν Ἀρκαδικὸν] τὸν παρ' Ὁμήρῳ πολύμηλον.

1. Βουλομένους χρηματίσαι] Spanhemius ad Julian. Orat. I. pag. 122. de hoc verbo agens scribit, veteres Atticos χρηματίζειν dixisse pro *deliberare*, aut de re quapiam *cum aliquo agere*; et adfert hunc locum Thucydidis; et alium e V. 5. Ἐν τῇ Ἰταλίᾳ τισὶ πόλεσιν ἐχρημάτισε περὶ φιλίας τοῖς Ἀθηναίοις, nec non ex Aristoph. Thesmophor. 380. Καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου. Puto eum non voluisse hoc ita accipi, quasi Græcis χρηματίζειν in universum idem sit, quod Latinis *cum aliquo agere*; nam de iis, quæ privati de rebus privatis inter se agunt, ac deliberant, rarius χρηματίζειν dici invenias: sed de iis, quæ publice et publico nomine aguntur: ut in his Thucydidis, Aristophanis, et infinitis aliorum Scriptorum locis. Hic χρηματίζειν esse *cum populo agere*, vel *verba ad populum facere*, apertum est e præcedentibus, πρὸς τὸν δῆμον οὐ προσῆγον. Duk.

3. οἱ om. K.

4. ξυμμάχων ἐγεγένητο d. i. ξυμμάχων γεγένοιντο e.

7. σφᾶς f.

Πείσαντες ἐκ τῶν λόγων] Gr. ἐν τῷ λόγῳ. Hoc defendi quidem posset: sed non est recedendum a scriptura vulgata, quam tuentur alii omnes scripti et editi libri. Lucianus Catapl. p. 440. Ἐκ τοῦ λόγου δείξω φανερώτερον. Idem de Sacrific. p. 363. κατεδυσώπησεν αὐτὸν ἐκ τῶν λόγων. Plutarchus Romul. p. 45. Πεπεισμένων ἔκ τινων ἄρα λογίων. Duk.

8. ἐν τῷ λόγῳ K.

Ὀρχομενὸν τὸν Ἀρκαδικὸν] Recte additur hic, et apud Herodotum Ἀρκαδικὸν, ut nempe a Bœotico distinguatur. Apud Nostrum I. ἡ Ὀρχομενὸς, Aristot. Hist. An. VIII. 252. et Schol. Pindari Masc. articulum adjungunt. Hujus urbis meminit Laërtius Epimenide p. 74. et Antipater Epig. Anthol. IV. 22. Est et *mons* ejusdem nominis in Thessalia, et in Arcadia etiam *fluvius*. Ita Duris apud Schol. Aristoph. Nub. 397. et Schol. Apollonii 1190. Historiam ejus tradunt Diodor. XIX. p. 705. et Pausan. VIII. p 626. 655. Strabo p. 411. Wass.

τὸν ὀρχομενὸν N.

9. πάντες om. d.

καὶ πεισθέντες ὑπελείποντο πρῶτον, ἔπειτα δ' ὕστερον καὶ οὗτοι ἦλθον. καὶ προσκαθεζόμενοι τὸν Ὀρχομενὸν πάντες ἐπολιόρκουν, καὶ προσβολὰς ἐποιοῦντο, βουλόμενοι ἄλλως τε προσγενέσθαι σφίσι, καὶ ὁμηροι ἐκ τῆς Ἀρκαδίας ἦσαν αὐτόθι ὑπὸ Λακεδαιμονίων κείμενοι. οἱ δὲ Ὀρχομένιοι, δείσαντες τήν τε τοῦ τείχους ἀσθένειαν καὶ τοῦ στρατοῦ τὸ πλῆθος, καὶ ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, μὴ προαπόλωνται, ξυνέβησαν ὥστε ξύμμαχοί τε εἶναι, καὶ ὁμήρους σφῶν τε αὐτῶν δοῦναι Μαντινεῦσι, καὶ οὓς κατέθεντο Λακεδαιμόνιοι, παραδοῦναι. * Μετὰ δὲ τοῦτο, ἔχοντες ἤδη τὸν Ὀρχομενὸν, ἐβουλεύοντο οἱ ξύμμαχοι ἐφ' ὅ τι χρὴ πρῶτον ἰέναι τῶν λοιπῶν. καὶ Ἠλεῖοι μὲν ἐπὶ Λέπρεον ἐκέλευον, Μαντινῆς δὲ ἐπὶ Τέγεαν· καὶ προσέθεντο οἱ Ἀργεῖοι καὶ Ἀθηναῖοι τοῖς Μαντινεῦσι. καὶ οἱ μὲν Ἠλεῖοι, ὀργισθέντες ὅτι οὐκ ἐπὶ Λέπρεον ἐψηφίσαντο, ἀνεχώρησαν ἐπ' οἴκου· οἱ δὲ ἄλλοι ξύμμαχοι παρεσκευάζοντο ἐν τῇ Μαντινείᾳ ὡς ἐπὶ Τέγεαν ἰόντες. καί τινες αὐτοῖς καὶ αὐτῶν τῶν Τεγεατῶν ἐν τῇ πόλει ἐνεδίδοσαν τὰ πράγματα. 62. Tegeam obsidere decernunt, præter Eleos, qui propter offensionem quandam domum recesserunt.

Λακεδαιμόνιοι δὲ, ἐπειδὴ ἀνεχώρησαν ἐξ Ἄργους τὰς τετραμήνους σπονδὰς ποιησάμενοι, Ἄγιν ἐν μεγάλῃ αἰτίᾳ εἶχον οὐ χειρωσάμενον σφίσιν Ἄργος, παρασχὸν καλῶς 63. Lacedæmonii, ira incitati, acerbius quam

4. προσγενέσθαι] προσκτηθῆναι. 5. αὐτόθι] ἐν τῷ Ὀρχομενῷ. 13. προσέθεντο] συνῆλθων τῇ γνώμῃ. 18. ἐν τῇ πόλει ἐνεδίδοσαν τὰ πράγματα] ἠμέλουν τῶν κατὰ τὴν πόλιν πραγμάτων. 22. σφίσιν] τοῖς Λακεδαιμονίοις. παρασχὸν καλῶς] ἀντὶ τοῦ συμβάντος καλῶς τοῦ χειρώσασθαι αὐτούς.

2. προκαθεζόμενοι K.O.P.b.c. ἀρχόμενοι g.
4. τε om. L.O.P.d.
8. ἀπέλιπονται g. συνέβησαν F.
9. δοῦναι μαντινεῦσι A.B.F.H. K.N.Q.g.h.
17. ἰόντας B.
18. αὐτοῖς om. g. αὐτῶν τεγεατῶν B.F.H.K.L.N. O. ἐνέδοσαν Q.k.
Ἐνεδίδοσαν] Habet significationem proditionis. Sic IV. 76. Χαιρώνειαν δὲ ἄλλοι ἐξ Ὀρχομενοῦ ἐνεδίδοσαν. Ibid. 88. et VII. 48. Duk.
21. τετραμμένους B.i. τετραμμένας h.
22. κοινωσάμενον d. χειρωσάμενοι h. παρασχεῖν d. καλὸν e.

λῶς, ὡς οὔπω πρότερον αὐτοὶ ἐνόμιζον· ἀθρόους γὰρ τοσ-
pro more suo in Agidem statuunt, ut domus ejus diruatur, ipse grandi pecunia damnetur. Sed, deprecante eo, iram compescunt, privilegium tamen de Agide faciunt, ne exercitum urbe educere liceret sine decem consiliariis, ad hoc ipsum delectis.
οὑτους ξυμμάχους καὶ τοιούτους οὐ ῥᾴδιον εἶναι λαβεῖν.
ἐπειδὴ δὲ καὶ περὶ Ὀρχομενοῦ ἠγγέλλετο ἐαλωκέναι,
πολλῷ δὴ μᾶλλον ἐχαλέπαινον, καὶ ἐβούλευον εὐθὺς ὑπ'
ὀργῆς, παρὰ τὸν τρόπον τὸν ἑαυτῶν, ὡς χρὴ τήν τε οἰκίαν
αὐτοῦ κατασκάψαι καὶ δέκα μυριάσι δραχμῶν ζημιῶ-
σαι. ὁ δὲ παρητεῖτο μηδὲν τούτων δρᾶν· ἔργῳ γὰρ ἀγα-
θῷ ῥύσεσθαι τὰς αἰτίας στρατευσάμενος· ἢ τότε ποιεῖν
αὐτοὺς ὅ τι βούλονται. οἱ δὲ τὴν μὲν ζημίαν καὶ τὴν
κατασκαφὴν ἐπέσχον, νόμον δὲ ἔθεντο ἐν τῷ παρόντι, ὃς
οὔπω πρότερον ἐγένετο αὐτοῖς· δέκα γὰρ ἄνδρας Σπαρτι-
ατῶν προσείλοντο αὐτῷ ξυμβούλους, ἄνευ ὧν μὴ κύριον
εἶναι ἀπάγειν στρατιὰν ἐκ τῆς πόλεως. * ἐν τούτῳ δ'
64. Interim cum Tegeatæ sui periculi nuntium misissent, Lacedæmonii et ipsi omnes cum Helotibus statim succurrunt, et
ἀφικνεῖται αὐτοῖς ἀγγελία παρὰ τῶν ἐπιτηδείων ἐκ Τε-
γέας ὅτι, εἰ μὴ παρέσονται ἐν τάχει, ἀποστήσεται αὐτῶν
Τεγέα πρὸς Ἀργείους καὶ τοὺς ξυμμάχους, καὶ ὅσον
οὐκ ἀφέστηκεν. ἐνταῦθα δὴ βοήθεια τῶν Λακεδαιμονίων
γίγνεται αὐτῶν τε καὶ τῶν Εἱλώτων πανδημεὶ ὀξεῖα καὶ
οἷα οὔπω πρότερον. ἐχώρουν δὲ ἐς Ὀρέσθειον τῆς Μαινα-

1. τοσούτους] ἤγουν πολλούς. 2. τοιούτους] ἤγουν ἀνδρείους. λαβεῖν] ἀντὶ τοῦ συλλαβεῖν. 7. ὁ δὲ] ὁ Ἄγις. 8. ῥύσεσθαι] ἀπολύσειν. 10. ἐν τῷ παρόντι] τῷ τότε καιρῷ, ὅτε ὠργίζοντο. 12. μὴ κύριον] τὸν Ἄγιν. 14. παρὰ τῶν ἐπιτηδείων] τῶν ἐν τῇ Τεγέᾳ. 15. ὅτι εἰ μὴ παρέσονται] οἱ Λακεδαιμόνιοι. 17. βοήθεια] ἡ στρατιὰ ἡ βοηθήσουσα. 18. καὶ οἷα οὔπω] γράφεται καὶ ὡς οὔπω. ἐχώρουν δὲ ἐς Ὀρέστειον] οἱ βοηθήσαντες. γράφεται ἐς Ὀρίσειον.

4. ἐβούλοντο Q.
εὐθὺς om. P.
5. τὴν οἰκίαν L.O.P.c.d.e.k.
8. ῥύσασθαι L.N.
στρατευσάμενος A.B.F.H.N.h.
13. ἐπάγειν Q.
14. αὐτοῖς ἀφικνεται L.
18. ὀξεῖα om. d.
19. οἷα A.B.H.I.P.c.d.e.g.h.i. k. οἷα F.K.N.Q. vulgo ὡς.
καὶ οἷα οὔπω] Si quid mutandum sit, malim οἷα: nam οἷα plurale neutrum hic vix potest locum habere. Thucyd. V. 14. Τῇ ἐν τῇ νήσῳ ξυμφορᾷ, οἷα οὔπω γεγένητο τῇ Σπάρτῃ. Duk.
ὀρέσθειον A.B.F.H. ὀρέστιον K. ὀρεστίειον Q. ὀρίσειον N. et γρ. A. B. vulgo ὀρέστειον. Sic et infra.
Ὀρέστειον] Vid. Salmasium ad

λίας· καὶ τοῖς μὲν Ἀρκάδων σφετέροις οὖσι ξυμμάχοις προεῖπον ἀθροισθεῖσιν ἰέναι κατὰ πόδας αὐτῶν ἐς Τέγεαν, αὐτοὶ δὲ μέχρι μὲν τοῦ Ὀρεσθείου πάντες ἐλθόντες, ἐκεῖθεν δὲ τὸ ἕκτον μέρος σφῶν αὐτῶν ἀποπέμψαντες ἐπ' οἶκου, ἐν ᾧ τὸ πρεσβύτερόν τε καὶ τὸ νεώτερον ἦν, ὥστε τὰ οἴκοι φρουρεῖν, τῷ λοιπῷ στρατεύματι ἀφικνεῖσθαι ἐς Τέγεαν. καὶ οὐ πολλῷ ὕστερον οἱ ξύμμαχοι ἀπ' Ἀρκάδων παρῆσαν. πέμπουσι δὲ καὶ ἐς τὴν Κόρινθον καὶ Βοιωτοὺς καὶ Φωκέας καὶ Λοκροὺς, βοηθεῖν κελεύοντες κατὰ τάχος ἐς Μαντίνειαν. ἀλλὰ τοῖς μὲν ἐξ ὀλίγου τε ἐγίγνετο, καὶ οὐ ῥᾴδιον ἦν μὴ ἀθρόοις καὶ ἀλλήλους περιμείνασι διελθεῖν τὴν πολεμίαν· ξυνέκλῃε γὰρ διὰ μέσου· ὅμως δὲ ἠπείγοντο. Λακεδαιμόνιοι δὲ ἀναλαβόντες τοὺς παρόντας Ἀρκάδων ξυμμάχους ἐσέβαλον ἐς τὴν Μαντινικὴν, καὶ στρατοπεδευσάμενοι πρὸς τῷ Ἡρακλείῳ ἐδῄουν τὴν γῆν. * οἱ δὲ Ἀργεῖοι καὶ οἱ ξύμμαχοι, ὡς εἶδον αὐτοὺς, καταλαβόντες χωρίον ἐρυμνὸν καὶ δυσπρόσοδον παρετάξαντο ὡς ἐς μάχην. καὶ οἱ Λακεδαι-

socios Arcades excitant, ut se Tegeam sequerentur. Præterea etiam Corinthios, Bœotos, Phocenses et Locros invitant.

65. Argivi occurrunt locumque editum ac na-

1. Ἀρκάδων] ἤγουν ἐκ τῶν Ἀρκάδων. 4. ἐπ' οἴκου] ἤγουν εἰς τὴν Λακεδαίμονα. 10. ἐξ ὀλίγου] ἐξαίφνης. 12. ξυνέκλειε γὰρ διὰ μέσου] ἀντὶ τοῦ ἐν μέσῳ γὰρ οὖσα ἡ πολεμία γῆ ἐφύλαττεν αὐτούς. Ἢ, ὃ μᾶλλον, ἀπέκλειε τοῖς ἐξ Ἄργους. 13. ἀναλαβόντες] ἤγουν, ἀναστήσαντες, καὶ λαβόντες. 14. Ἀρκάδων] ἤγουν ἐκ τῶν Ἀρκάδων. 15. πρὸς τῷ Ἡρακλείῳ] ναῷ δηλονότι. 17. ἐρυμνὸν] ὀχυρόν. δυσπρόσοδον] δυσέμβατον.

Solinum p. 145. Herodotum, Euripid. Electr. V. 1273. et Tzetzem VIII. 247. Wass. Ὀρέστειαν dicit Euripides Orest. v. 1647. Ὀρέστιον Stephanus. Salmas. Ed. pag. 100. Ed. Traj. Duk.

2. προεῖπον om. K.
3. μὲν om. d.
4. δὲ] τε e.
ἐκπέμψαντος h.
5. πρεσβύτερον καὶ P.
τὸ om. L.O.P.c.k.
τὰ οἴκου L.O.d. τοὺς οἴκους c.
11. ἐγένετο f.
ἀλήλοις F.H.
τὴν πολεμίαν om. N. in margine ponit B. inter versus h. τὴν solum om. Q.
12. ξυνέκλῃε K.g. ceteri ξυνέκλειε.
14. παρόντας om. g.
ξυμμάχων K.
17. ἀστοὺς k.
ἀπολαβόντες K.
τὸ χωρίον B.
Δυσπρόσοδον] Thomas Mag. h.

turs munitum occupant. Quos cum Agis aggredi statuisset, monitus increpatione senioris cujusdam gregarii militis, mutat sententiam,

μόνιοι εὐθὺς αὐτοῖς ἐπῆσαν· καὶ μέχρι μὲν λίθου καὶ ἀκοντίου βολῆς ἐχώρησαν· ἔπειτα τῶν πρεσβυτέρων τις Ἀγιδι ἐπεβόησεν, ὁρῶν πρὸς χωρίον καρτερὸν ἰόντας σφᾶς, ὅτι διανοεῖται κακὸν κακῷ ἰᾶσθαι, δηλῶν τῆς ἐξ Ἄργους ἐπαιτίου ἀναχωρήσεως τὴν παροῦσαν ἄκαιρον προθυμίαν ἀνάληψιν βουλομένην εἶναι. ὁ δὲ, εἴτε καὶ διὰ τὸ ἐπιβόημα, εἴτε καὶ αὐτῷ ἄλλο τι ἢ κατὰ τὸ αὐτὸ

1. αὐτοῖς] τοῖς Ἀργείοις δηλονότι. 2. τῶν πρεσβυτέρων] Λακεδαιμονίων. 3. Ἀγιδι ἐπεβόησεν] ἦγουν ἐνώπιον πάντων. 4. ὅτι διανοεῖται] ὁ Ἀγις. κακὸν κακῷ ἰᾶσθαι] τὸ προγεγονὸς τῷ νῦν δηλαυτι. τὴν ἀρχαίαν παροιμίαν ἐξ Ὀρέστου τοῦ Ἀγαμέμνονος ῥηθεῖσαν, ὅστις τὸν τοῦ πατρὸς θάνατον τῇ τῆς μητρὸς φόνῳ ἐθεράπευσε. τῆς ἐξ Ἄργους ἐπαιτίου ἀναχωρήσεως] διὰ τὴν ἐξ Ἄργους δηλονότι ἀναχώρησιν, ἐν αἰτίᾳ γενομένην, νῦν ἀκαίρως αὐτὴν προθυμεῖσθαι ἀναλαβεῖν, καὶ ἐπανορθῶσαι τὴν τότε γενομένην ἁμαρτίαν. 6. ἀνάληψιν] θεραπείαν. 7. ἄλλο τι ἢ κατὰ τὸ αὐτὸ] ἀντὶ τοῦ ἄλλο τι δόξαν ἢ κατὰ τὸ αὐτό. ἤτοι, ἤπερ αὐτό.

v. exponit δύσκολον περὶ τὴν εἴσοδον. Add. eumdem in εὐπρόσοδος. Priore loco interposita particula τε legit, ἐρυμνόν τε καὶ δυσπρόσοδον. Duk.

2. τῷ ἄγιδι K.

3. ἐβόησεν B. διεβόησεν h. ἐπεβοήθησεν c.

ἰδὼν ἐς χωρίον c.d.i. ὁρῶν πρὸς τὸ χωρίον L.O.P.

4. Κακὸν κακῷ ἰᾶσθαι] Vide Dionys. Halicarnass. XI. 14. p. 698. Ed. Sylburg. Huds. Citat Plutarchus in Moralib. pag. 797. et legit ἰάσασθαι. Wass. Herodoti locus est III. 53. Versus Sophoclis exstant apud Stobæum Serm. IV. Ἐνταῦθα μέντοι πάντα τ' ἀνθρώπων νοσεῖ, Κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά. Idem in Ajac. v. 362. Μὴ κακὸν κακῷ δίδοὺς Ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει. Duk.

τῆς] τὴν F.H.K.

5. ἐπ' αἰτίου F.H.

Ἐπαιτίου] Plutarchus l. d. εὐπετοῦς, et βουλόμενον. Non videtur recedendum a scriptura recepta. Duk.

6. Ὁ δὲ εἴτε—ἀπῆγε] Laudat Suidas in ἐπιβόημα, ὁ δὲ εἴτε τὸ ἐπ. qui ex hoc loco emendandus. Εἴτε καὶ διὰ τὸ ἐπ. et pro ἢ καὶ αὐτῷ leg. εἴτε καὶ etc. ibi male vertitur a Kustero *acclamatio*. ἐπιβόημα σκληρὸν esse autumat Pollux VI. 208. pro quo ἐπιβόησις apud D. Halic. in Arte VII. 2. At verbalia in ις non semper *actionem* denotant. Noster ἐπιβούλευμα, et ex illo Josephus pro ἐπιβουλευσις. Sic γύμνασμα, δεξίωμα, μειδίασμα et ejusmodi sexcenta. Wass. Si ἐπιβόημα tam durum videbatur Polluci, non debebat ipse eo uti IX. 123. Post δόξαν in Suida distinctio ponitur, et ἐξαίφνης conjungitur cum sequentibus: non deterius, quam in Edd. Thucyd. Duk.

εἴτε om. h.

καὶ om. Q.

διὰ om. P.

7. εἴτε αὐτῷ Q.

δόξαν ἐξαίφνης, πάλιν τὸ στράτευμα κατὰ τάχος, πρὶν ξυμμίξαι, ἀπῆγε. καὶ ἀφικόμενος πρὸς τὴν Τεγεᾶτιν τὸ ὕδωρ ἐξέτρεπεν ἐς τὴν Μαντινικὴν, περὶ οὗπερ, ὡς τὰ πολλὰ βλάπτοντος, ὁποτέρωσε ἂν ἐσπίπτῃ, Μαντινῆς καὶ Τεγεᾶται πολεμοῦσιν. ἐβούλετο δὲ τοὺς ἀπὸ τοῦ λόφου βοηθοῦντας ἐπὶ τὴν τοῦ ὕδατος ἐκτροπὴν, ἐπειδὰν πύθωνται, καταβιβάσαι τοὺς Ἀργείους καὶ τοὺς ξυμμάχους, καὶ ἐν τῷ ὁμαλῷ τὴν μάχην ποιεῖσθαι· καὶ ὁ μὲν τὴν ἡμέραν ταύτην μείνας αὐτοῦ περὶ τὸ ὕδωρ ἐξέτρεπεν· οἱ δ' Ἀργεῖοι καὶ οἱ ξύμμαχοι τὸ μὲν πρῶτον, καταπλαγέντες τῇ ἐξ ὀλίγου αἰφνιδίῳ αὐτῶν ἀναχωρήσει, οὐκ εἶχον ὅ τι εἰκάσωσιν· εἶτα, ἐπειδὴ ἀναχωροῦντες ἐκεῖνοί τε

et, reducto exercitu, aquam avertit in Mantinensium fines, atque ita duces Argivorum, multitudini quietis impatienti suspectos permovet, ut in planitiem descendant.

2. ἀπῆγεν] εἰς τοὐπίσω ἔστρεψε. 3. ἐξέτρεπε] μετωχέτευεν. 4. ὁποτέρωσε ἂν ἐκπίπτῃ] εἰς ὁποτέραν πόλιν ῥέῃ. 5. πολεμοῦσιν] ἀλλήλοις δηλονότι. 6. βοηθοῦντας] βοηθήσοντας. 7. καταβίβασαι] ἀντὶ τοῦ ἀνάγκην αὐτοῖς τοῦ καταβῆναι παρασχεῖν. 9. Περὶ τὸ ὕδωρ] πρὸς τῷ ὕδατι. 11. ἐξ ὀλίγου.] καιροῦ δηλονότι. 12. ἀναχωροῦντες] οἱ Λακεδαιμόνιοι.

2. ξυμμίξαι] ξυμβῆναι B.h.

πρὸς] ἐς Valckenar. ad Herodot. 7. p. 602.

3. ἐς (vel εἰς) A.B.F.H.K.L. O.P.Q.c.d.e.f.g.h.i.k. vulgo πρός.

τὴν om. L.O.

ὡς] ἐς d.e. ὡς ἐς L.O.P.c.g.k.

4. ὁποτέρως ἐὰν A.F.H. ὁποτέρων ἐὰν B.

ἐμπίπτῃ K. ἐστίπτοι f.

6. βοηθοῦντας] Pro βοηθήσοντας, si Scholiastæ credimus, ait Stephanus Append. ad Scripta de Dialect. pag. 138. Potest credi Scholiastæ. Thucydides sæpe præsens pro futuro ponit. IV. 40. ἀποδοῦναι et ἀποθνήσκειν. V. 4. πείθειν. Et sic quamplurimis aliis locis. Vide ad IV. 61. Duk.

7. πείθωνται A.B.I.K.L.N.O. P.b.c.h.

9. παρὰ h.

11. Τῇ ἐξ ὀλίγου αἰφνιδίῳ] Reg. non habet αἰφνιδίῳ. Et potest suspectum esse, tamquam ex interpretatione. Nam ἡ ἐξ ὀλίγου ἀναχώρησις eadem est, quæ αἰφνίδιος. Thucydides II. 61. Μεταβολῆς μεγάλης, καὶ ταύτης ἐξ ὀλίγου ἐμπεσούσης. IV. 108. Οἱ μὲν Ἀθηναῖοι φυλακὰς, ὡς ἐξ ὀλίγου καὶ ἐν χειμῶνι διέπεμπον ἐς τὰς πόλεις. V. 64. Ἀλλὰ τοῖς μὲν ἐξ ὀλίγου τε ἐγένετο. ubi Schol. Cass. itidem supplet καιροῦ. Et 71. Ἐν αὐτῇ τῇ ἐφόδῳ καὶ ἐξ ὀλίγου παραγγείλαντι. Duk.

αἰφνιδίῳ om.g.

αὐτῶν om. K.

12. ὅτι ἂν εἰκάσωσιν g.

Ἐκεῖνοί τε ἀπέκρυψαν] Ἑαυτοὺς deese putat Scholiastes. Sed videndum est, an potius suppleri debeat αὐτοὺς, nempe τοὺς Ἀργείους, e conspectu eorum evaserunt. Ita certe hoc verbo utitur Lucianus,

ἀπέκρυψαν καὶ σφεῖς ἡσύχαζον καὶ οὐκ ἐπηκολούθουν, ἐνταῦθα τοὺς ἑαυτῶν στρατηγοὺς αὖθις ἐν αἰτίᾳ εἶχον, τό τε πρότερον καλῶς ληφθέντας πρὸς Ἄργει Λακεδαιμονίους ἀφεθῆναι, καὶ νῦν ὅτι ἀποδιδράσκοντας οὐδεὶς ἐπιδιώκει, ἀλλὰ καθ' ἡσυχίαν οἱ μὲν σώζονται, σφεῖς δὲ προδίδονται. οἱ δὲ στρατηγοὶ ἐθορυβήθησαν μὲν τὸ παραυτίκα, ὕστερον δὲ ἀπάγουσιν αὐτοὺς ἀπὸ τοῦ λόφου, καὶ προελθόντες ἐς τὸ ὁμαλὸν ἐστρατοπεδεύσαντο ὡς ἰόντες ἐπὶ τοὺς πολεμίους.

66. Raptim quidem sed ordine consueto Lacedæmonii aciem instruunt.

Τῇ δ' ὑστεραίᾳ οἵ τε Ἀργεῖοι καὶ οἱ ξύμμαχοι ξυνετάξαντο, ὡς ἔμελλον μαχεῖσθαι, ἢν περιτύχωσιν· οἵ τε Λακεδαιμόνιοι, ἀπὸ τοῦ ὕδατος πρὸς τὸ Ἡράκλειον πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον ἰόντες, ὁρῶσι δι' ὀλίγου τοὺς ἐναντίους ἐν τάξει τε ἤδη πάντας καὶ ἀπὸ τοῦ λόφου προεληλυθότας. μάλιστα δὴ Λακεδαιμόνιοι, ἐς ὃ ἐμέμνητο, ἐν τούτῳ τῷ καιρῷ ἐξεπλάγησαν. διὰ βραχείας γὰρ μελλήσεως ἡ παρασκευὴ αὐτοῖς ἐγίγνετο· καὶ εὐθὺς

1. ἀπέκρυψαν] ἑαυτοὺς δηλονότι· ἀφανεῖς ἐγένοντο. ἰδίως δὲ ἐπὶ τῶν πλοϊζομένων καὶ οὐκέτι ὁρωμένων λέγεται, ὅτι ἀπέκρυψαν. Σφεῖς] οἱ Ἀργεῖοι. 2. αὖθις ἐν αἰτίᾳ εἶχον] ἐμέμφοντο. 3. καλῶς ληφθέντας] εὐκαίρως καὶ βεβαίως ἁπολημφθέντας. 5. οἱ μὲν] οἱ Λακεδαιμόνιοι. σφεῖς δὲ] οἱ Ἀργεῖοι. 11. ἢν περιτύχωσι] τοῖς Λακεδαιμονίοις. 13. δι' ὀλίγου] ἐξαίφνης. 14. ἐν τάξει] παρατεταγμένους. 16. διὰ βραχείας γὰρ μελλήσεως] χωρὶς ἀναβολῆς καὶ μελλήσεως. 17. ἡ παρασκευὴ] ἐφόπλισις.

qui non pauca a Thucydide sumsit, II. Ver. Hist. pag. 687. Ἐφεύγομεν, ἀπολιπόντες αὐτοὺς μαχομένους.—Ἐπεὶ δ' ἀπεκρύψαμεν αὐτοὺς, ἰώμεθά τε τοὺς τραυματίας. Sic ἀποκρύπτειν γῆν dicuntur navigantes, qui tam longe in altum provecti sunt, ut terram conspicere non amplius possint. Vid. Budæum Commentar. Ling. Gr. pag. 324. Ab his autem ductum hoc genus loquendi docet Schol. Duk. Virgil. Æn. 3, 291. Phæacum abscondimus arces. Bauer.

ἐπέκρυψαν Q.
2. αὖθις] εὐθὺς γρ. h.
ἐν αἰτίᾳ] ἐναντία I.
3. πρῶτον Q.
6. ἐθορύβησαν A.B.h.
8. προσελθόντες B.L.O.P.Q.d h.i.
11. μάχεσθαι P.
ἤπερ τύχωσιν k.
15. δὴ] δὲ καὶ Q.
ἐμέμνητο K.
14. διὰ γὰρ βραχείας g.

ὑπὸ σπουδῆς καθίσταντο ἐς κόσμον τὸν ἑαυτῶν, Ἄγιδος τοῦ βασιλέως ἕκαστα ἐξηγουμένου κατὰ τὸν νόμον. βασιλέως γὰρ ἄγοντος ὑπ' ἐκείνου πάντα ἄρχεται, καὶ τοῖς μὲν πολεμάρχοις αὐτὸς φράζει τὸ δέον, οἱ δὲ τοῖς λοχαγοῖς, ἐκεῖνοι δὲ τοῖς πεντηκοντῆρσιν, αὖθις δ' οὗτοι τοῖς ἐνωμοτάρχαις, καὶ οὗτοι τῇ ἐνωμοτίᾳ. καὶ αἱ παραγγέλσεις, ἤν τι βούλωνται, κατὰ τὰ αὐτὰ χωροῦσι καὶ ταχεῖαι ἐπέρχονται· σχεδὸν γάρ τι πᾶν, πλὴν ὀλίγου, τὸ στρατόπεδον τῶν Λακεδαιμονίων ἄρχοντες ἀρχόντων

1. ἐς κόσμον] εἰς τὴν σύνταξιν. 2. ἐξηγουμένου] ἀντὶ τοῦ διατάττοντος, ἑρμηνεύοντος. Βασιλέως γὰρ ἄγοντος] ἡγεμονεύοντος. ὅρα τὴν τάξιν τῆς ἀρχῆς. πρῶτος βασιλεὺς, δεύτερος πολέμαρχος, τρίτος λοχαγὸς, τέταρτος πεντηκοντὴρ, πέμπτος ἐνωμοτάρχης, ἕκτη, ἐνωμοτία. 7. κατὰ τὰ αὐτὰ χωροῦσι] διὰ τούτων χωροῦσι καὶ ταχέως διέρχονται. 8. σχεδὸν γάρτοι πᾶν] σχεδὸν ὅπαν τὸ τῶν Λακεδαιμονίων στρατόπεδον ἄρχοντες ἀρχόντων εἰσί.

3. Ὑπ' ἐκείνου πάντα ἄρχεται] Fuit summa et absoluta Regis in bello potestas, quum domi esset adstricta et obnoxia. Itaque de Leotychide ait Herodotus lib. 6. quod illi Imperatorem agenti adversus Thessalos licuerit omnia agere. Vide Cragium de Rep. Laced. I. 4. c. 4. Huds.

4. Πολεμάρχοις] Cuilibet moræ præerat unus Polemarchus, ut docet Xenophon de Rep. Laced. Huds.

5. πεντηκοντῆρσιν A.B.F.H.K. L.N.O.d.e.f.g.h.i.k. πεντηκοντέρσιν c. vulgo πεντηκοντατῆρσιν.

Πεντηκοντατῆρσιν] Qui Thucydidi πεντηκοντατῆρες, Xenophonti πεντηκοστῆρες dicuntur. πεντηκοστὺς autem erat λόχου seu turmæ pars dimidia, atque octo (ut ait Xenophon) in qualibet mora. unde patet, (ut inquit Cragius l. 4. c. 4.) Pentecostyn quamlibet fuisse quinquagenorum militum, sicut nomen ipsum indicare videtur. Qui vero præfecti erant huic numero militum, dicebantur πεντηκοντατῆρες. Huds. Add. Emmium in Descript. Reip. Lacon. pag. 494. et 499. et Meursium Miscellan. Lac. II. 2. Lipsius V. de Milit. Rom. 10. Πολεμάρχους, dicit, velut *Tribunos* in exercitu Rom. fuisse; λοχαγοὺς vertit *Centuriones*; πεντηκοντατῆρας *Quinquagenarios*; ἐνωμοτάρχας *Decanos*; et ἐνωμοτίαν *Decuriam*. Non possunt hæc omnia propriis nominibus Latinis exprimi, propter discrimen inter militiam Græcam et Romanam. De λόχοις et λοχαγοῖς multa habet Spanhemius ad Julian. Orat. I. p. 236. Add. Perizon. ad Ælian. Var. Hist. 2, 44. Duk.

8. τι A.B.F.H.I.K.L.O.P.b. c.d.e.f.g.h.i.k. vulgo τοι.

ὀλίγου] Aristides tom. I. p. 387. Ed. Canter. ὀλίγων. Wass.

εἰσὶ, καὶ τὸ ἐπιμελὲς τοῦ δρωμένου πολλοῖς προσήκει.

67. Utrorumque acies qualis fuerit.

* τότε δὲ κέρας μὲν εὐώνυμον Σκιρῖται αὐτοῖς καθίσταντο, ἀεὶ ταύτην τὴν τάξιν μόνοι Λακεδαιμονίων ἐπὶ σφῶν αὐτῶν ἔχοντες· παρὰ δ' αὐτοῖς οἱ ἐπὶ Θράκης Βρασίδειοι στρατιῶται, καὶ Νεοδαμώδεις μετ αὐτῶν· ἔπειτ' ἤδη Λακεδαιμόνιοι αὐτοὶ ἐξῆς καθίστασαν τοὺς λόχους, καὶ παρ' αὐτοὺς Ἀρκάδων Ἡραιῆς, μετὰ δὲ τούτους Μαινάλιοι, καὶ ἐπὶ τῷ δεξιῷ κέρᾳ Τεγεᾶται καὶ Λακεδαιμονίων ὀλίγοι, τὸ ἔσχατον ἔχοντες, καὶ οἱ ἱππῆς αὐτῶν ἐφ' ἑκατέρῳ τῷ κέρᾳ. Λακεδαιμόνιοι μὲν οὕτως ἐτάξαντο· οἱ δ' ἐναντίοι αὐτοῖς, δεξιὸν μὲν κέρας Μαντινῆς εἶχον ὅτι ἐν τῇ ἐκείνων τὸ ἔργον ἐγίγνετο, παρὰ δ' αὐτοὺς οἱ ξύμμαχοι Ἀρκάδων ἦσαν, ἔπειτα Ἀργείων οἱ χίλιοι λογάδες, οἷς ἡ πόλις ἐκ πολλοῦ ἄσκησιν τῶν ἐς τὸν πόλεμον δημοσίᾳ παρεῖχε, καὶ ἐχόμενοι αὐτῶν οἱ ἄλλοι Ἀργεῖοι, καὶ μετ' αὐτοὺς οἱ ξύμμαχοι αὐτῶν, Κλεωναῖοι καὶ

1. τὸ ἐπιμελὲς] ἡ ἐπιμέλεια τοῦ πράγματος. τοῦ δρωμένου] ἤτοι τῶν ἐπιγινομένων, γινομένων. 2. Σκιρῖται] λόχος Λακωνικὸς οὕτω λεγόμενος. 4. Βρασίδειοι] οἱ μετὰ Βρασίδου. 7. παρ' αὐτοὺς] πλησίον. Ἡραιῆς] λεγόμενοι δηλονότι. 11. οἱ δ' ἐναντίοι] οἱ Ἀργεῖοι καὶ οἱ σύμμαχοι αὐτῶν. αὐτοῖς] τοῖς Λακεδαιμονίοις. 14. τῶν ἐς τὸν πόλεμον] τῶν πολεμικῶν. 15. δημοσίᾳ παρεῖχε] ἤτοι δημοσίᾳ ἤσκει αὐτούς. ἢ, ὅς τινες, ἐξουσίαν παρεῖχε τοῦ ἀσκεῖν αὐτούς.

2. μὲν τὸ εὐώνυμον h.
3. τὴν om. A.B.F.h.
4. παρ' αὐτοῖς L.
βρασίδιοι A.B.F.L.O.d.e. βραδίσιοι f.h.i.
5. νεοδαμώδας Q.
Νεοδαμώδεις] Supra cap. 34. Duk.
6. ἐξῆς] εὐθὺς Q.
καθίσταντο Q.
7. αὐτοῖς e.
8. καὶ om. A.B.h.
9. οἱ om. K.e.
10. ἑκατέρων F.H.
12. τῇ] γῇ L.
αὐτοὺς B.F.H.K.L.N.O.P.b.c. d.e.g.h.i.k. vulgo αὐτοῖς.
αὐτοὺς] Αὐτοὺς habent omnes MSS. et Edd. ante Stephani secundam. Et hoc non minus recte ea significatione, quam hic habere debet, dicitur, quam παρ' αὐτοῖς. Thucydides hoc ipso cap. καὶ παρ' αὐτοὺς Ἀρκάδων Ἡραιῆς. Duk.
16. Κλεωναῖοι] Thucyd. VI. 95. μέχρι Κλεωνῶν. Melæ, inquit Lloydius, Cleona. At fallitur,

Ὀρνεᾶται, ἔπειτα Ἀθηναῖοι ἔσχατοι, τὸ εὐώνυμον κέρας ἔχοντες, καὶ ἱππῆς μετ' αὐτῶν οἱ οἰκεῖοι.

Τάξις μὲν ἥδε καὶ παρασκευὴ ἀμφοτέρων ἦν, τὸ δὲ στρατόπεδον τῶν Λακεδαιμονίων μεῖζον ἐφάνη. ἀριθμὸν δὲ γράψαι, ἢ καθ' ἑκάστους ἑκατέρων ἢ ξύμπαντας, οὐκ ἂν ἐδυνάμην ἀκριβῶς· τὸ μὲν γὰρ Λακεδαιμονίων πλῆθος διὰ τῆς πολιτείας τὸ κρυπτὸν ἠγνοεῖτο, τῶν δ' αὖ διὰ τὸ ἀνθρώπειον κομπῶδες ἐς τὰ οἰκεῖα πλήθη ἠπιστεῖτο. ἐκ μέντοι τοιοῦδε λογισμοῦ ἔξεστί τῳ σκοπεῖν τὸ Λακε-

68. De numero utriusque exercitus nihil certi constare; Lacedæmoniorum tamen numerum ratiocinando inveniri posse.

1. τὸ εὐώνυμον κέρας ἔχοντες] τῶν ἀρίστερῶν συντάξεων δηλονότι. 5. Ἑκατέρων ἢ ξύμπαντας] τῶν Λακεδαιμονίων καὶ Ἀργείων. 7. Διὰ τῆς πολιτείας τὸ κρυπτὸν] διὰ τὸ ἔθος εἶναι Λακεδαιμονίοις πάντα κρύφα πράττειν. Διὰ τὸ ἀνθρώπειον κομπῶδες] διὰ τὸ περὶ τῶν οἰκείων καὶ μάλιστα περὶ

ut alias. Duplices etenim Cleonæ, Argolicæ et Chalcidicæ. De posterioribus Mela, qui in hac scriptura solus est: plurium numero extulit Herodotus, et plerique omnes. Cæterum Cleonæ Argolicæ supra Mycenas, colle edito sitæ erant, in via, quæ Argis Corinthum ducit. Consule Xenoph. p. 644. Liv. XXXIV. 25. Pausan. p. 143. Plutarch. Arato p. 1040. Oppida circum jacentia hoc ordine a Polybio memorantur, Καφύας, Πελλήνην, Φενεὸν, Ἄργος, Φλιοῦντα, ΚΛΕΩΝΑΣ, Ἐκβαυραν, Ἑρμιόνα, Τροιζῆνα, Κόρινθον. Nomen eis aut a Cleone, Asopi filia, juxta Herodotum et Diodorum, aut a Cleone, Pelopis filio, quod Pausaniæ placuit. Civium inopiam satis innuit Ovidius non uno in loco epitheto *humiles*. Situm respexit Statius, "celsa Prosym-" ne, Aptior armentis *Midea*, " pecorosaque Phyllos, Quæque " pavet longa spumantem valle " Charadron, Neris, et ingenti " Turritæ mole *Cleonæ*." Codices nostri *Prosymna*, Mide, Phylos, Clionæ, perperam. De cæteris oppidis Schol. et Adnot. consulantur. De *Midea* tacent etiam Mela, Plinius, et Geographorum vulgus; nempe a Copaide Lacu absorpta est. Et tam Μίδεια quam Μιδέα scribi, testis alicubi Strabo. Cleonæ vero *Nigro*, sed nescio quam vere, *Sanvasili*. Inter raphani species τὴν Κλεωναίαν recensuit Theophrastus Hist. Pl. VII. 4. Vid. Eustathium ad Il. β'. p. 220. et Demosthenem de Coron. pag. 326. Wass.

1. ὀρναιάται A. ὀρναιᾶται B.
οἱ ἔσχατοι G.
3. ἀμφοτέρων d.i.
4. ἐφάνη om. d.i.
7. τῶν] τὸ c.
8. Κομπῶδες] Laudat Pollux IX. 148. et agn. Hesychius, ut recte observat Hemsterhusius. Qua forma Aristot. Polit. τὸ κομψὸν ἔχοντες λόγοι. Wass.
πλήθει F.H.I.
9. μέντοι] μὲν g.

δαιμονίων τότε παραγενόμενον πλῆθος. λόχοι μὲν γὰρ ἐμάχοντο ἑπτὰ ἄνευ Σκιριτῶν, ὄντων ἑξακοσίων, ἐν δὲ ἑκάστῳ λόχῳ πεντηκοστύες ἦσαν τέσσαρες, καὶ ἐν τῇ πεντηκοστύϊ ἐνωμοτίαι τέσσαρες. τῆς τε ἐνωμοτίας ἐμάχοντο ἐν τῷ πρώτῳ ζυγῷ τέσσαρες· ἐπὶ δὲ βάθος ἐτάξαντο μὲν οὐ πάντες ὁμοίως, ἀλλ' ὡς λοχαγὸς ἕκαστος ἐβούλετο, ἐπὶ πᾶν δὲ κατέστησαν ἐπὶ ὀκτώ. παρὰ δὲ ἅπαν, πλὴν Σκιριτῶν, τετρακόσιοι καὶ δυοῖν δέοντες πεντήκοντα ἄνδρες ἡ πρώτη τάξις ἦν.

69. Orationum ad singulos

Ἐπεὶ δὲ ξυνιέναι ἔμελλον ἤδη, ἐνταῦθα καὶ παραινέσεις καθ' ἑκάστους ὑπὸ τῶν οἰκείων στρατηγῶν τοιαίδε

τοῦ ἰδίου πλήθους κομπάζειν τοὺς ἀνθρώπους. 1. Παραγενόμενον πλῆθος] ἡ πεντηκοστὺς συνίσταται ἀπὸ ἀνδρῶν ἑκατὸν εἴκοσι ὀκτώ. ὁ δὲ λόχος, τούτων τετραπλάσιος, γίνεται ἀνδρῶν πεντακοσίων καὶ δυοκαίδεκα. οἱ δὲ ἑπτὰ λόχοι ἄνδρες τρισχίλιοι πεντακόσιοι ὀγδοήκοντα τέσσαρες. ὡς τε μετὰ τῶν ἑξακοσίων Σκιριτῶν γίνονται ἄνδρες οἱ πάντες Λακεδαιμονίων τετρακισχίλιοι ἑκατὸν ὀγδοήκοντα τέσσαρες. ἡ γὰρ πεντηκοστὺς ἑκκαίδεκα εἶχε τοὺς πρωτοστάτας· ὁ δὲ λόχος ἑξήκοντα τέσσαρας. οἱ δὲ ἑπτὰ λόχοι γίνονται τετρακόσιοι τεσσαράκοντα ὀκτώ. 2. Ἐν δὲ ἑκάστῳ λόχῳ πεντηκοστύες ἦσαν δ.] ἔχει ἕκαστος λόχος πεντηκοστύας δ', καὶ γίνονται τῶν ζ' λόχων πεντηκοστύες κή. ἔχει ἑκάστη πεντηκοστὺς ἐνωμοτίας δ', καὶ γίνονται τῶν κή πεντηκοστύων ἐνωμοτίαι ριβ'. ἔχει ἑκάστη ἐνωμοτία ἄνδρας λβ'. ὡς γίνεσθαι τὸν πάντα στρατὸν ἄνδρας τρισχιλίους πεντακοσίους ὀγδοήκοντα τέσσαρας.

Λόχοι ζ'.	α'	β'	γ'	δ'	ε'	ς'	ζ'
Πεντηκοστύες κή.	,,,, νννν	,,,, νννν	,,,, νννν	,,,, νννν	,,,, νννν	,,,, νννν	,,,, νννν
Ἐνωμοτίαι ριβ'.	ις'	ις'	ις'	ις'	ις'	ις'	ις'

10. Ξυνιέναι ἔμελλον ἤδη] ἀλλήλοις δηλονότι τὰ στρατεύματα.

1. τότε παραγεν.] τὸ περιγενόμενον h.
γὰρ om. P.
2. ἐμάχοντο] ἐγένοντο e.
Ἐν δὲ ἑκάστῳ λόχῳ πεντηκοστύες ἦσαν τέσσαρες &c.] De hoc loco, præter Cragium, agunt Emmius, Meursius, l. d. et Camerarius ad Xenoph. II. Cyripæd. pag. 309. Duk.
3. ἑκατοστύε P.c.
4. ἐνωμοσίαι K.
5. Ἐν τῷ πρώτῳ ζυγῷ] Suidas, ζυγὸς ἐν τοῖς Τακτικοῖς τὸ ἐκ παρεστηκότων ἀλλήλοις πλῆθος. Vide ibi Kusterum, qui ita recte emendavit e MSS. pro περιεστηκότων: quod tamen etiam Arcerius viderat ad Æliani Tactic. cap. 7. Duk.
6. ὡς ὁ λοχαγὸς O.
7. ἐπὶ πᾶν A.B. vulgo ἐπέπαν.
παρὰ] περὶ d.
10. ἐπειδὴ Q.d.i.

populos habitarum argumenta.

ἐγίγνοιτο, Μαντινεῦσι μὲν ὅτι ὑπέρ τε πατρίδος ἡ μάχη ἔσται καὶ ὑπὲρ ἀρχῆς ἅμα καὶ δουλείας, τὴν μὲν μὴ πειρασαμένοις ἀφαιρεθῆναι, τῆς δὲ μὴ αὖθις πειρᾶσθαι· Ἀργείοις δὲ ὑπὲρ τῆς τε παλαιᾶς ἡγεμονίας, καὶ τῆς ἐν Πελοποννήσῳ ποτὲ ἰσομοιρίας μὴ διὰ παντὸς στερισκομένους ἀνέχεσθαι, καὶ ἄνδρας ἅμα ἐχθροὺς καὶ ἀστυγείτονας ὑπὲρ πολλῶν ἀδικημάτων ἀμύνασθαι· τοῖς δὲ Ἀθηναίοις, καλὸν εἶναι μετὰ πολλῶν καὶ ἀγαθῶν ξυμμάχων ἀγωνιζομένους μηδενὸς λείπεσθαι, καὶ ὅτι ἐν Πελοποννήσῳ Λακεδαιμονίους νικήσαντες τήν τε ἀρχὴν βεβαιοτέραν καὶ μείζω ἔχουσι, καὶ οὐ μή ποτέ τις αὐτοῖς ἄλλος ἐς τὴν γῆν ἔλθῃ. τοῖς μὲν Ἀργείοις καὶ ξυμμάχοις τοιαῦτα παρηνέθη· Λακεδαιμόνιοι δὲ καθ' ἑκάστους τε καὶ μετὰ τῶν πολεμικῶν νόμων ἐν σφίσιν αὐτοῖς ὧν ἠπίσταντο τὴν παρακέλευσιν τῆς μνήμης ἀγαθοῖς οὖσιν ἐποιοῦντο, εἰδότες ἔργων ἐκ πολλοῦ μελέτην πλείω σώ-

2. Τὴν μὲν] τουτέστι τὴν ἀρχήν. 3. Τῆς δὲ] τῆς δουλείας. 14. Μετὰ τῶν πολεμικῶν νόμων] νόμους πολεμικοὺς λέγει τὰ ᾄσματα, ἅπερ ᾖδον οἱ Λακεδαιμόνιοι μέλλοντες μάχεσθαι· ἦν δὲ προτρεπτικά. ἐκάλουν δὲ ἐμβατήρια. ἡ δὲ διάνοια· ἕκαστος τῶν Λακεδαιμονίων αὐτοῖς παρεκελεύοντο, ἀγαθοῖς οὖσι, μεμνῆσθαι ὧν μεμαθήκεσαν καὶ ἠπίσταντο. ἐποιοῦν δὲ τοῦτο ᾄδοντες. 16. Εἰδότες ἔργων ἐκ πολλοῦ μελέτην πλείω σώζουσαν] εἰδότες ὅτι τὰ πλείω σώζεται ὑπὸ τῆς ἐν τοῖς ἔργοις μελέτης ἐκ πολλοῦ γεγονυίας, ἢ ὑπὸ τῶν καλῶς

1. ἐγένοντο g.
ἔσται ὑπὲρ L.
2. μὴ om. c.
4. τε om. L. ante τῆς ponit f.
ἐν τῇ πελοποννήσῳ e.
6. ἀμύνασθαι A.B.h.
ἅμα καὶ ἐχθροὺς K.
7. ἀνέχεσθαι A.B.h.
8. ἀγαθῶν om. Q.
12. ἄλλος om. K.
ἔλθοι Q.e.
13. τοιαῦτα A.B.F.H.L.N.O. P.c.f.g.h.i.k. vulgo ταῦτα.
παρηνέχθη P.
λακεδαιμονίων K.
τε om. c.
14. πολιτικῶν f.
15. μνήμης] γνώμης c.d.i.
16. ἔργοις c. ἔργων I.
Ἔργων — παραίνεσιν] Stobæus p. 201. qui μελέτη habet. Wass. Stobæus omittit participium εἰδότες, nec utitur oratione infinita: ob eamque causam etiam σώζει et παραίνεσις dicit. In eo magis a scriptura, quæ in Thucydide est, abit, quod pro ῥηθεῖσαν habet ῥηθέντων. Duk.

ζουσαν ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθεῖσαν παραίνεσιν.
70. Acriter Argivi, lento et æquo gradu Lacedæmonii procedunt congressuri.
* καὶ μετὰ ταῦτα ἡ ξύνοδος ἦν, Ἀργεῖοι μὲν καὶ οἱ ξύμμαχοι ἐντόνως καὶ ὀργῇ χωροῦντες, Λακεδαιμόνιοι δὲ βραδέως καὶ ὑπὸ αὐλητῶν πολλῶν νόμῳ ἐγκαθεστώτων, οὐ τοῦ θείου χάριν, ἀλλ' ἵνα ὁμαλῶς μετὰ ῥυθμοῦ βαίνοντες προέλθοιεν, καὶ μὴ διασπασθείη αὐτοῖς ἡ τάξις, ὅπερ φιλεῖ τὰ μεγάλα στρατόπεδα ἐν ταῖς προσόδοις

ῥηθέντων λόγων. 2. Ἡ ξύνοδος] ἡ ξυνέλευσις τῶν στρατευμάτων. 3. Ἐντόνως καὶ ὀργῇ χωροῦντες] ἰσχυρῶς καὶ σὺν ὀργῇ. 4. Ὑπὸ αὐλητῶν] ἦγουν μετά. 5. Οὐ τοῦ θείου χάριν] ὕμνου δηλονότι. Ἀλλ' ἵνα ὁμαλῶς] ἠρεμαίως. 6. Προσέλθοιεν] καὶ ὅπως, εἰ προσέλθοιεν, μὴ διασπασθείη αὐτῶν ἡ τάξις. 7. Ἐν ταῖς προσόδοις] ἐν ταῖς προβολαῖς, ἐν ταῖς ἐνόδοις.

3. ὁρμῇ A. Gellius I. 11. Heringa Observ. VI. p. 54.

4. Ὑπὸ αὐλητῶν πολλῶν νόμῳ ἐγκαθεστώτων] Νόμου ita defendi potest, ut ea vox non pro lege accipiatur, sed pro nomo musico, et hæc conjungantur ὑπὸ νόμου πολλῶν αὐλητῶν. Quæ significatio vocis νόμος etiam retento dativo νόμῳ manere potest. Nam hæc sine discrimine secundo et tertio casu dicuntur. Hesiod. ἀσπ. v. 280. Αἱ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα. Aristoph. Acharn. v. 1000. Πίνειν ὑπὸ τῆς σάλπιγγος. Anacreon Carm. VI. Ὑπὸ βαρβίτῳ χορεύει. Lucianus Dial. Deor. p. 187. Ὑπ' αὐλῷ καὶ τυμπάνοις εὔρυθμα βαίνει. Et hæc interpretatio ex eo confirmari videtur, quod mox addit Thucydides, οὐ τοῦ θείου χάριν; quod Scholiastes exponit ὕμνου: nam νόμος est hymnus deorum, ut Scholiastes Aristophanis Equit. v. 9. et ex eo aliisque Spanhemius ad Callim. Hymn. in Delum ostendit. Nec tamen plane improbem versionem Interpretum, *ex Lege*. Erat enim, ut ait Xenophon de Lacedæmonior. Republ. in fine, νόμος, αὐλεῖν πάντας τοὺς παρόντας αὐλητάς. Respexit ad hunc locum Servius ad Virgil. VIII. Æneïd. 2. Duk.

νόμου A.B.F.H.I.K.N.f.g. ὁμοῦ h.i.

ἐγκαθεστῶτος f.

5. Μετὰ ῥυθμοῦ] Vide Polybium apud Athenæum XIV. 5. Saltantium in morem Aristophanis verbis Plut. v. 758. ἐκτυπεῖτο δὲ Ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν. Pollux III. 92. μετὰ ῥυθμοῦ βαίνοιεν. male, pro βαίνοντες προέλθοιεν. Wass. De iisdem Polyænus I. 10. Πρὸς τὸ μέλος καὶ τὸν ῥυθμὸν ἐμβαίνοντες ἄρῤῥηκτοι τὴν τάξιν ἐγένοντο. Et Lucianus de Saltat. p. 790. Ἅπαντα μετὰ μουσῶν ποιοῦσιν, ἄχρι τοῦ πολεμεῖν πρὸς αὐλὸν καὶ ῥυθμὸν, καὶ εὔτακτον ἔμβασιν τοῦ ποδός. Pro προέλθοιεν Gellius et Scholiastes habent προσέλθοιεν. Duk.

6. προσέλθοιεν f.

7. μέγιστα K.

πρόοδος L.O.P.k. ποιεῖν ἐν ταῖς προσόδοις Gellius.

ποιεῖν. *ξυνιόντων δ' ἔτι Ἄγις ὁ βασιλεὺς τοιόνδε ἐβουλεύσατο δρᾶσαι. τὰ στρατόπεδα ποιεῖ μὲν καὶ ἅπαντα τοῦτο· ἐπὶ τὰ δεξιὰ κέρατα αὐτῶν ἐν ταῖς ξυνόδοις μᾶλλον ἐξωθεῖται, καὶ περισχοῦσι κατὰ τὸ τῶν ἐναντίων εὐώνυμον ἀμφότεροι τῷ δεξιῷ, διὰ τὸ φοβουμένους προστέλλειν τὰ γυμνὰ ἕκαστον ὡς μάλιστα τῇ τοῦ ἐν δεξιᾷ παρατεταγμένου ἀσπίδι, καὶ νομίζειν τὴν πυκνότητα τῆς ξυγκλήσεως εὐσκεπαστότατον εἶναι· καὶ ἡγεῖται μὲν τῆς αἰτίας ταύτης ὁ πρωτοστάτης τοῦ δεξιοῦ κέρως, προθυμούμενος ἐξαλλάττειν ἀεὶ τῶν ἐναντίων τὴν ἑαυτοῦ γύμνωσιν, ἕπονται δὲ διὰ τὸν αὐτὸν φόβον καὶ οἱ ἄλλοι. καὶ τότε περιέσχον μὲν οἱ Μαντινῆς πολὺ τῷ κέρᾳ τῶν Σκιριτῶν, ἔτι δὲ πλέον οἱ Λακεδαιμόνιοι καὶ Τεγεᾶται τῶν Ἀθηναίων, ὅσῳ μεῖζον τὸ στράτευμα εἶχον. δείσας δὲ Ἄγις μὴ σφῶν κυκλωθῇ τὸ εὐώνυμον, καὶ νομίσας ἄγαν

71. Agidis ratio, levum suorum cornu hostibus aequandi.

5. Προστέλλειν τὰ γυμνὰ ἕκαστον] ἀντὶ τοῦ σκέπειν καὶ προσάγειν. ἀπὸ μὲν τοῦ στέλλειν καὶ στολὴ ὀνομάσθη· ἀπὸ δὲ τοῦ προσάγειν τὸ προστέλλειν δύνασθαι λέγεσθαι. δῆλον δὲ ἐκ τοῦ ἀπάγειν. ἀποστέλλειν. προσάγεσθαι. 7. Τῆς ξυγκλείσεως] καὶ νομίζειν τὸ πεπυκνῶσθαι καὶ ὑπ' ἀλλήλων πεφράχθαι εὐσκεπαστότερον, ἤπερ τὸ διεστάναι ἀπ' ἀλλήλων. 10. Ἐξαλλάττειν ἀεὶ] μὴ κατὰ δόρυ τοῦ ἐναντίου ἔχειν τὰ γυμνὰ τοῦ σώματος, τουτέστι τὰ δεξιά. 12. Περιέσχον] ἐκυκλώσαντο ἐπικάμψαντες.

1. Ποιεῖν Valla satis recte vertit *accidere*. Aristophanes Plut. v. 1205. Καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία Αὗται ποιοῦσι. Eamdem significationem τοῦ ποιεῖν puto esse in eo, quod paullo post dicit Thucydides, Τὰ στρατόπεδα ποιεῖ μὲν καὶ ἅπαντα τοῦτο. Nam loquitur de eo, quod in concursu prœlii accidere solet exercitibus, non, ut Portus accepit, de stratagemate, quo illi uti soleant. Duk.

ἔτι om. d.i.

τοιόνδε τι ἐβουλεύσατο e.

2. τὰ om. Q.

μεν ποιεῖ P.

4. περιῶσχούσι A.B.h.

5. περιστέλλειν

6. τὸ] τοὺς c.d.i.

8. ξυγκλήισεως F.H.K.g. συγκλήισεως A.B.d.h.i. vulgo ξυγκλείσεως.

εὐσκεπτότατον e.

10. γνῶσιν K.g.

11. οἱ om. Q.

12. πολὺ τῷ κέρᾳ A.B.F.L.O.P. Q.c.f.h.i.k. πολὺ τὸ κέρᾳ H.d.e.g. πολὺ τὸ κέρας K. vulgo τῷ κέρᾳ πολύ.

15. ὁ ἄγις g.

περιέχειν τοὺς Μαντινέας, τοῖς μὲν Σκιρίταις καὶ Βρασιδείοις ἐσήμηνεν ἐπεξαγαγόντας ἀπὸ σφῶν ἐξισῶσαι τοῖς Μαντινεῦσιν, ἐς δὲ τὸ διάκενον τοῦτο παρήγγελλεν ἀπὸ τοῦ δεξιοῦ κέρως δύο λόχους τῶν πολεμάρχων Ἱπποκοίδα καὶ Ἀριστοκλεῖ ἔχουσι παρελθεῖν καὶ ἐσβαλόντας πλη- 5
ρῶσαι, νομίζων τῷ θ' ἑαυτῶν δεξιῷ ἔτι περιουσίαν ἔσεσθαι, καὶ τὸ κατὰ τοὺς Μαντινέας βεβαιότερον τετάξεσθαι. * ξυνέβη οὖν αὐτῷ, ἅτε ἐν αὐτῇ τῇ ἐφόδῳ καὶ ἐξ ὀλίγου παραγγείλαντι, τόν τε Ἀριστοκλέα καὶ τὸν Ἱπ-
πονοίδαν μὴ θελῆσαι παρελθεῖν, ἀλλὰ καὶ διὰ τοῦτο τὸ 10
αἰτίαμα ὕστερον φεύγειν ἐκ Σπάρτης δόξαντας μαλα-
κισθῆναι, καὶ τοὺς πολεμίους φθάσαι τῇ προσμίξει, καὶ κελεύσαντος αὐτοῦ ἐπὶ τοὺς Σκιρίτας ὡς οὐ παρῆλθον οἱ λόχοι, πάλιν αὖ σφίσι προσμίξαι μὴ δυνηθῆναι ἔτι, μηδὲ τούτους ξυγκλεῖσαι. ἀλλὰ μάλιστα δὴ κατὰ πάντα 15
τῇ ἐμπειρίᾳ Λακεδαιμόνιοι ἐλασσωθέντες τότε, τῇ ἀν-
δρίᾳ ἔδειξαν οὐχ ἧσσον περιγενόμενοι. ἐπειδὴ γὰρ ἐν χερσὶν ἐγίγνοντο τοῖς ἐναντίοις, τὸ μὲν τῶν Μαντινέων δεξιὸν τρέπει αὐτῶν τοὺς Σκιρίτας καὶ τοὺς Βρασιδείους,

72. Pugnæ eventus ab altera parte Mantinensibus, ab altera Lacedæmoniis magis favet.

3. Τὸ διάκενον τοῦτο] τὸ ἐν μέσῳ κενόν. 5. Πληρῶσαι] τὸ διάκενον δηλονότι. 6. Νομίζων τῷ θ' ἑαυτῶν δεξιῷ] νομίζων τό τε δεξιὸν τῶν Λακεδαιμονίων ἔτι ὑπερέχειν τῶν ἐναντίων, καὶ τὸ εὐώνυμον τὸ κατὰ τοὺς Μαντινεῖς ἐν ἀσφαλείᾳ ἔσεσθαι, ὡς ἂν μὴ δυνάμενον κυκλωθῆναι. 10. Μὴ θελῆσαι παρελθεῖν] καὶ οἱ πολέμαρχοι οὐκ ἠθέλησαν ἐς τὸ διάκενον ἀγαγεῖν τοὺς λόχους. 11. Φεύγειν] συνέβη δηλονότι. Μαλακισθῆναι] χαύνους γενέσθαι. 12. Καὶ τοὺς πολεμίους φθάσαι] καὶ φθάσαι τοὺς πολεμίους τοῖς Λακεδαιμονίοις προσμίξαι, πρὶν εἰς τὸ διάκενον παρελθεῖν τοὺς δύο λόχους. 13. Αὐτοῦ] τοῦ Ἀγιδος. Ὡς οὐ παρῆλθον] ἤγουν ἐπὶ τὸ μέρος τῶν Σκιριτῶν. 17. Ἐν χερσὶν ἐγίγνοντο] οἱ Λακεδαιμόνιοι δηλονότι.

1. τοῖς βρασιδίοις N. βρασιδίοις et A.B.e.
2. ἐσήμαινεν K.g.
3. παρήγγειλεν Q.d.
6. θ'] μεθ' Q.e.f. καθ' d.i.
7. τὸ om. L.O.P.
τοὺς om. e.
τάξασθαι d.i.
13. κελεύοντος K.
οὐ om. g.
14. μὴ] οὐ d.i.
17. περιγενέσθαι f.
18. τῶν om. c.
19. βρασιδίους A.e.h.

καὶ ἐσπεσόντες οἱ Μαντινῆς καὶ οἱ ξύμμαχοι αὐτῶν, καὶ τῶν Ἀργείων οἱ χίλιοι λογάδες, κατὰ τὸ διάκενον καὶ οὐ ξυγκληισθὲν τοὺς Λακεδαιμονίους διέφθειρον καὶ κυκλωσάμενοι ἔτρεψαν καὶ ἐξέωσαν ἐς τὰς ἁμάξας, καὶ τῶν πρεσβυτέρων τῶν ἐπιτεταγμένων ἀπέκτειναν τινας. καὶ ταύτῃ μὲν ἠσσῶντο οἱ Λακεδαιμόνιοι· τῷ δ' ἄλλῳ στρατοπέδῳ, καὶ μάλιστα τῷ μέσῳ, ἥπερ ὁ βασιλεὺς Ἄγις ἦν καὶ περὶ αὐτὸν οἱ τριακόσιοι ἱππῆς καλούμενοι, προσπεσόντες τῶν τε Ἀργείων τοῖς πρεσβυτέροις καὶ πέντε λόχοις ὠνομασμένοις, καὶ Κλεωναίοις καὶ Ὀρνεάταις καὶ Ἀθηναίων τοῖς παρατεταγμένοις, ἔτρεψαν οὐδὲ ἐς χεῖρας τοὺς πολλοὺς ὑπομείναντας, ἀλλ' ὡς ἐπήσαν οἱ Λακεδαιμόνιοι, εὐθὺς ἐνδόντας, καὶ ἔστιν οὓς καὶ καταπατηθέντας, τοῦ μὴ φθῆναι τὴν ἐγκατάληψιν. * ὡς δὲ 73.
ταύτῃ ἐνεδεδώκει τὸ τῶν Ἀργείων καὶ ξυμμάχων στράτευμα, παρεῤῥήγνυντο ἤδη ἅμα καὶ ἐφ' ἑκάτερα, καὶ ἅμα τὸ δεξιὸν τῶν Λακεδαιμονίων καὶ Τεγεατῶν ἐκυκλοῦτο τῷ περιέχοντι σφῶν τοὺς Ἀθηναίους, καὶ ἀμφοτέρωθεν αὐτοὺς κίνδυνος περιειστήκει, τῇ μὲν κυκλουμένους, τῇ δὲ ἤδη ἡσσημένους. καὶ μάλιστ' ἂν τοῦ στρατεύματος

Tandem Mantinenses, cum socios victos viderent, et Agidem adversus se aciem ducentem, non sustinuerunt, sed et ipsi

4. Ἔτρεψαν] τοὺς Λακεδαιμονίους. Ἐς τὰς ἁμάξας] ἀντὶ τοῦ ἔσω τῶν ἁμαξῶν. 9. Πεντελόχοις] ἅμα ἀναγνωστέον πεντελόχοις, ὡς ἀρχιλόχοις. 11. Οὐδὲ ἐς χεῖρας τοὺς πολλοὺς] ἐλθεῖν δηλονότι. 13. Ἐνδόντας] τραπέντας. 17. Ἐκυκλοῦτο] ἐκύκλου. 18. Τῷ περιέχοντι] τῷ ἰσχυρῷ.

2. διακείμενον d.
3. συγκληισθὲν F.H.K. ceteri ξυγκλεισθέν.
διέφθειραν d.e.i.k.
4. ἐς om. c.
5. τεταγμένων H.
8. ἦν om. P. ante ἄγις ponunt K.L.O.c.d.e.g.k.
προσπεσοῦντες K.
9. τε om. A.B.F.H.
10. ὀρναιάταις A.h.
12. ὑπομένοντας e.
13. οὓς καταπατηθέντας K.
16. ἐπερῥήγνυντο c.d.i.
ἤδη] δὴ g.
17. ἐκυκλοῦντο A.B.c.h.
Ἐκυκλοῦτο] Thomas Mag. in κυκλέω. Duk.
19. κίνδυνος αὐτοὺς K.
20. ἤδη om. A.
ἡσσημένους I.

in fugam se converterunt.

ἐταλαιπώρησαν, εἰ μὴ οἱ ἱππῆς παρόντες αὐτοῖς ὠφέλιμοι ἦσαν. καὶ ξυνέβη τὸν Ἄγιν, ὡς ἤσθετο τὸ εὐώνυμον σφῶν πονοῦν τὸ κατὰ τοὺς Μαντινέας καὶ τῶν Ἀργείων τοὺς χιλίους, παραγγεῖλαι παντὶ τῷ στρατεύματι χωρῆσαι ἐπὶ τὸ νικώμενον. καὶ γενομένου τούτου οἱ μὲν Ἀθηναῖοι ἐν τούτῳ, ὡς παρῆλθε καὶ ἐξέκλινεν ἀπὸ σφῶν τὸ στράτευμα, καθ' ἡσυχίαν ἐσώθησαν, καὶ τῶν Ἀργείων μετ' αὐτῶν τὸ ἡσσηθέν· οἱ δὲ Μαντινῆς καὶ οἱ ξύμμαχοι καὶ τῶν Ἀργείων οἱ λογάδες οὐκέτι πρὸς τὸ ἐγκεῖσθαι τοῖς ἐναντίοις τὴν γνώμην εἶχον, ἀλλ' ὁρῶντες τούς τε σφετέρους νενικημένους καὶ τοὺς Λακεδαιμονίους ἐπιφερομένους ἐς φυγὴν ἐτράποντο. καὶ τῶν μὲν Μαντινέων καὶ πλείους διεφθάρησαν, τῶν δὲ Ἀργείων λογάδων τὸ πολὺ ἐσώθη. ἡ μέντοι φυγὴ καὶ ἀποχώρησις οὐ βίαιος οὐδὲ μακρὰ ἦν· οἱ γὰρ Λακεδαιμόνιοι μέχρι μὲν τοῦ τρέψαι χρονίους τὰς μάχας καὶ βεβαίους τῷ μένειν ποιοῦνται, τρέψαντες δὲ βραχείας καὶ οὐκ ἐπὶ πολὺ τὰς διώξεις.

74. Hæc ex longinquo tempore maxima inter Græcos pugna erat. Numerus cæsorum.

* Καὶ ἡ μὲν μάχη τοιαύτη καὶ ὅτι ἐγγύτατα τούτων ἐγένετο, πλείστου δὲ χρόνου μεγίστη δὴ τῶν Ἑλληνικῶν καὶ ὑπὸ ἀξιολογωτάτων πόλεων ξυνελθοῦσα. οἱ δὲ Λακεδαιμόνιοι, προθέμενοι τῶν πολεμίων νεκρῶν τὰ ὅπλα, τροπαῖον εὐθὺς ἵσταν, καὶ τοὺς νεκροὺς ἐσκύλευον, καὶ

5. Ἐπὶ τὸ νικώμενον] μέρος δηλονότι. 15. Μακρὰ ἦν] ἐπὶ πολὺ διάστημα. 19. Πλείστου δὴ χρόνου] ἤγουν διὰ πλείστου. 22. Ἐσκύλευον] ἀπεγύμνουν.

1. νί om. e.
3. πονοῦν κατὰ c.e.i.
7. στρατοπέδῳ Q.
8. ἡσσημένον i.
12. μὲν om. N.
καὶ] οἱ L.O.
13. διέφθειραν Q.
14. διεσώθη N.
Φυγὴ] Pharacis Spartani salubre consilium legas apud Diodorum Siculum pag. 326. d. Wass.
16. χρονίους τε τὰς d.
18. καὶ om. i.
ἐγγυτάτω Q.
19. δὲ] δὴ A.B.F.H.K.f.g.k.
21. προθέμενοι om. f.
πολεμίων] πόλεων B.
22. ἔστασαν A. ἔστασαν B. ἔστησαν L.O.P.

τοὺς αὐτῶν ἀπείλοντο καὶ ἀπήγαγον ἐς Τέγεαν, οὓπερ ἐτάφησαν, καὶ τοὺς τῶν πολεμίων ὑποσπόνδους ἀπέδοσαν. ἀπέθανον δὲ Ἀργείων μὲν καὶ Ὀρνεατῶν καὶ Κλεωναίων ἑπτακόσιοι, Μαντινέων δὲ διακόσιοι, καὶ Ἀθηναίων ξὺν Αἰγινήταις διακόσιοι καὶ οἱ στρατηγοὶ ἀμφότεροι. Λακεδαιμονίων δὲ οἱ μὲν ξύμμαχοι οὐκ ἐταλαιπώρησαν, ὥστε καὶ ἀξιόλογον τι ἀπογενέσθαι· αὐτῶν δὲ χαλεπὸν μὲν ἦν τὴν ἀλήθειαν πυθέσθαι, ἐλέγοντο δὲ περὶ τριακοσίους ἀποθανεῖν.

Τῆς δὲ μάχης μελλούσης ἔσεσθαι καὶ Πλειστοάναξ ὁ ἕτερος βασιλεὺς, ἔχων τούς τε πρεσβυτέρους καὶ νεωτέρους, ἐβοήθησε· καὶ μεχρὶ μὲν Τεγέας ἀφίκετο, πυθόμενος δὲ τὴν νίκην ἀπεχώρησε. καὶ τοὺς ἀπὸ Κορίνθου καὶ ἔξω ἰσθμοῦ ξυμμάχους ἀπέστρεψαν πέμψαντες οἱ Λακεδαιμόνιοι· καὶ αὐτοὶ ἀναχωρήσαντες καὶ τοὺς ξυμμάχους ἀφέντες, (Κάρνεια γὰρ αὐτοῖς ἐτύγχανεν ὄντα) τὴν

75. Lacedæmonii, dimissis sociis, et ipsi domum redeunt, et Carnea celebrant. Bellum ab Epidauriis integratum. Argivorum socii Epi-

5. Οἱ στρατηγοὶ] τῶν Ἀθηναίων. 6. Οὐκ ἐταλαιπώρησαν] οὐ κακῶς ἔσχον ἐν τῷ πολέμῳ. 7. Ἀπογενέσθαι] ἀποβῆναι. 16. Κάρνεια] τὴν ἐπὶ τῷ

3. ἁπαιατῶν A.h.
4. καὶ ἀθ.—διακόσιοι] om. I.
5. σὺν K.
7. καὶ om. K.g.
Ἀπογενέσθαι] Vide Suidam in ἀπεγένετο. Noster sæpe hoc sensu. Wass.
8. ἐλέγετο d.i.
δ' οὖν h.
9. τετρακοσίους K.O.
11. Ὁ ἕτερος βασιλεὺς] *Lex Spartæ lata*, (ut scribit Herodotus lib. V.) *non licere prodeunte exercitu utrumque regem comitari.* Hac tamen lege non obstante, Plistoanax, quum bellum Agis gereret adversus Argivos et Mantinenses, duxit et ipse copias ex junioribus et senioribus conscriptas. Vide Cragium lib. IV. c. 4. Huds.
14. ἀπέστρεψαν B.F.H.K.L.N. O.c.k. ceteri ἀπέτρεψαν. Conf. IV. 97. ἀπαντᾷ κήρυκι βοιωτῷ, ὃς αὐτὸν ἀποστρέψας.
Ἀπέτρεψαν] Magis placet ἀπέστρεψαν, quod est in plerisque MSS. Thucydides IV. 97. Ἀπαντᾷ κήρυκι βοιωτῷ, ὃς αὐτὸν ἀποστρέψας. Duk.
15. καὶ τοὺς] τούς τε i.
16. Κάρνεια] Sacrum circa Olympiad. XXVII. institutum. Wass. Est de hoc etiam supra cap. 54. Duk.
ἐτύγχανεν e. Vide Dobreum ad Aristophan. Plut. 145.

daurum circumvallare conantes, Heræum promontorium muniunt, custodiaque ibi relicta, discedunt.

ἑορτὴν ἦγον. καὶ τὴν ὑπὸ τῶν Ἑλλήνων τότε ἐπιφερομένην αἰτίαν ἔς τε μαλακίαν, διὰ τὴν ἐν τῇ νήσῳ ξυμφοράν, καὶ ἐς τὴν ἄλλην ἀβουλίαν τε καὶ βραδυτῆτα, ἐνὶ ἔργῳ τούτῳ ἀπελύσαντο, τύχῃ μὲν, ὡς ἐδόκουν, κακιζόμενοι, γνώμῃ δὲ οἱ αὐτοὶ ἔτι ὄντες.

Τῇ δὲ προτεραίᾳ ἡμέρᾳ ξυνέβη τῆς μάχης ταύτης καὶ τοὺς Ἐπιδαυρίους πανδημεὶ ἐσβαλεῖν ἐς τὴν Ἀργείαν ὡς ἔρημον οὖσαν, καὶ τοὺς ὑπολοίπους φύλακας τῶν Ἀργείων ἐξελθόντων διαφθεῖραι πολλούς. καὶ Ἠλείων τρισχιλίων ὁπλιτῶν βοηθησάντων Μαντινεῦσιν ὕστερον τῆς μάχης, καὶ Ἀθηναίων χιλίων πρὸς τοῖς προτέροις, ἐστράτευσαν ἅπαντες οἱ ξύμμαχοι οὗτοι εὐθὺς ἐπὶ Ἐπίδαυρον ἕως οἱ Λακεδαιμόνιοι Κάρνεια ἦγον, καὶ διελόμενοι τὴν πόλιν περιετείχιζον. καὶ οἱ μὲν ἄλλοι ἐξεπαύσαντο, Ἀθηναῖοι δὲ, ὥσπερ προσετάχθησαν, τὴν ἄκραν τὸ Ἡραῖον εὐθὺς ἐξειργάσαντο. καὶ ἐν τούτῳ ξυγκαταλιπόντες ἅπαντες

Ἀπόλλωνι ἑορτὴν λέγει. 7. Ὡς ἔρημον οὖσαν] τοῦ στρατεύματος. 14. Ἐξεπαύσαντο] ἀπέκαμον τοῦ περιτειχίζειν.

1. εἶχον L.O.P.
τῶν om. B.h.
3. ἐς om. K.
4. Ἀπελύσαντο] Confer omnino Plutarchum Agesil. pag. 614. Wass.
6. Τῇ δὲ προτεραίᾳ ἡμέρᾳ] Ammonius et Thomas Magister hoc discrimen statuunt inter προτέρα et προτεραίᾳ: προτέρα, ἐπὶ τάξεως· προτεραία δὲ, ἐπὶ μόνης ἡμέρας. Itaque ex illorum sententia non recte dicitur, τῇ προτέρᾳ ἡμέρᾳ τῆς μάχης. Sed, non minus recte dici τῇ προτέρᾳ ἡμέρᾳ, quam τῇ προτεραίᾳ, ostendit Stephanus ex Homero Iliad. φ'. v. 5. Odyss. π'. 50. et ex Aristotele V. Polit. 12. εἰ τῇ προτέρᾳ ἐγένετο τῆς τροπῆς, pridie solstitii, vel brumæ. Pollux I. 65. Φαίης δ' ἂν—καὶ τῇ προτεραίᾳ, καὶ τῇ προτέρᾳ. Duk.
προτέρᾳ A.B.F.H.N.Q.
ξυνέβη A. B. F. H. K. d.e.f.g. ceteri συνέβη. Male. Poetæ omnes ξ pro σ passim usurparunt, oratores perraro, Isocrates bis tantum, si libri non fallunt. Circa Alexandri Magni tempora usus elementi ξ exolevisse videtur. Apud Polybium vix invenitur. Wass.
7. ἀργείων A.B.Q.c.d.f.i.
8. ἐρήμην d.
9. ἐξελθόνας Q. ἐξελθόντων αὐτῶν B.F.H.I.L.N.O.P.c.g.h.i.k.
13. κράνεια L.
16. ξυγκαταλείποντες Q.
ἅπαντες om. b.

τῷ τειχίσματι φρουρὰν, ἀνεχώρησαν κατὰ πόλεις ἕκαστοι. καὶ τὸ θέρος ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἀρχομένου εὐθὺς οἱ Λακεδαιμόνιοι, ἐπειδὴ τὰ Κάρνεια ἤγαγον, ἐξεστράτευσαν, καὶ ἀφικόμενοι ἐς Τέγεαν λόγους προὔπεμπον ἐς τὸ Ἄργος ξυμβατηρίους. ἦσαν δὲ αὐτοῖς πρότερόν τε ἄνδρες ἐπιτήδειοι καὶ βουλόμενοι τὸν δῆμον τὸν ἐν Ἄργει καταλῦσαι· καὶ ἐπειδὴ ἡ μάχη ἐγεγένητο, πολλῷ μᾶλλον ἐδύναντο πείθειν τοὺς πολλοὺς ἐς τὴν ὁμολογίαν. ἐβούλοντο δὲ πρῶτον σπονδὰς ποιήσαντες πρὸς τοὺς Λακεδαιμονίους, αὖθις ὕστερον καὶ ξυμμαχίαν, καὶ οὕτως ἤδη τῷ δήμῳ ἐπιτίθεσθαι. καὶ ἀφικνεῖται πρόξενος ὢν Ἀργείων Λίχας ὁ Ἀρκεσιλάου, παρὰ τῶν Λακεδαιμονίων δύο λόγω φέρων ἐς τὸ Ἄργος, τὸν μὲν καθ' ὅτι εἰ βούλονται πολεμεῖν, τὸν δ' ὡς εἰ εἰρήνην ἄγειν. καὶ γενομένης πολλῆς ἀντιλογίας (ἔτυχε γὰρ καὶ ὁ Ἀλκιβιάδης παρὼν) οἱ ἄνδρες οἱ τοῖς Λακεδαιμονίοις πράσσοντες, ἤδη καὶ ἐκ τοῦ φανεροῦ τολμῶντες, ἔπεισαν τοὺς Ἀργείους προσδέξασθαι τὸν ξυμβατήριον λόγον. ἔστι δὲ ὅδε.

76. Legati Lacedæmoniorum de pace Argos veniunt, et, agentibus nonnullis Argivorum, pacis conditiones ab Argivis accipiuntur.

" ΚΑΤΤΑΔΕ δοκεῖ τᾷ ἐκκλησίᾳ τῶν Λακεδαιμο- 77. Fœdus in-

4. Ἤγαγον] ἑόρτασαν. 6. Ἦσαν δὲ αὐτοῖς] ἐν τῷ Ἄργει. 7. Ἐπιτήδειοι] φίλοι. Τὸν δῆμον] τὴν δημοκρατίαν. 9. Πείθειν τοὺς πολλοὺς] ἤγουν καταπεῖσαι ὁμολογῆσαι καὶ συνθέσθαι. 15. Γενομένης πολλῆς ἀντιλογίας] ἐν τῷ Ἄργει. 17. Πράσσοντες] τὸ τῆς ἐνώσεως. 18. Ἐκ τοῦ φανεροῦ τολμῶντες] ἤγουν ἀναισχυντοῦντες καὶ εἰς τὸ φανερὸν λέγοντες. 20. Καττάδε] Δωριστὶ, ἀντὶ τοῦ κατὰ τάδε.

6. τε om. i.
13. ἀργείων om. O.
λείχας I.L.O.P.c.d.e.f.g.k.
14. φέρων ἐς τὸ ἄργος δύο λόγω L.O.P.c.i.k.
εἰ] ἢν i. om. K.
15. εἰ] ἂν h. om. K.c.
16. ὁ om. L.O.P.
18. καὶ οὐκ ἐκ c.i.
19. ξυμβατήριον A. B. ceteri συμβατήριον.
20. κατὰ τάδε δοκεῖ τῇ K.L.O.

ter Lacedæmonios et Argivos, dorice scriptum.

" νίων ξυμβαλέσθαι ποττὼς Ἀργείους, ἀποδιδόντας τὼς
" παῖδας τοῖς Ὀρχομενίοις καὶ τὼς ἄνδρας τοῖς Μαντα-
" λίοις, καὶ τὼς ἄνδρας τὼς ἐν Μαντινείᾳ τοῖς Λακε-
" δαιμονίοις ἀποδιδόντας, καὶ ἐξ Ἐπιδαύρῳ ἐκβάντας,
" καὶ τὸ τεῖχος ἀναιροῦντας. αἰ δέ κα μὴ εἴκωντι τοὶ
" Ἀθηναῖοι ἐξ Ἐπιδαύρω, πολεμίους εἶμεν τοῖς Ἀργείοις
" καὶ τοῖς Λακεδαιμονίοις καὶ τοῖς τῶν Λακεδαιμονίων
" ξυμμάχοις καὶ τοῖς τῶν Ἀργείων ξυμμάχοις. καὶ
" αἴ τινα τοὶ Λακεδαιμόνιοι παῖδα ἔχωντι, ἀποδό-
" μεν ταῖς πολίεσι πάσαις. περὶ δὲ τῶ σιῶ σύ-
" ματος εἶμεν λῆν τοῖς Ἐπιδαυρίοις ὅρκον, δάμεν δὲ
" αὐτοὺς ὀμόσαι. τὰς δὲ πόλιας τὰς ἐν Πελοποννάσῳ, καὶ

4. Ἐξ Ἐπιδαύρου] ἐξελθεῖν δηλονότι.

1. ποτ τὼς H. ποτὶ τὼς L.O. ποτὼς K.

Ποττὼς] Pro πρὸς τοὺς. Vide Eustathium ad Iliad. λ'. pag. 828. et Iliad. ρ'. p. 1106. πὸτ τῶ Διὸς, ἦγουν πρὸς τοῦ Διός. Etymol. M. conjungit: Ποττὰν, ἀντὶ τοῦ πρὸς τὰν, Δωρικῶς. ποττὸ πῦρ, ἀντὶ τοῦ πρὸς τὸ πῦρ. Posterius est ex Aristoph. Acharn. v. 751. qui ibid. v. 732. ποττὰν μάδδαν, Lysistr. v. 1005. ποττὰν Ἑλλάδα, v. 1266. ποττὰς σπονδάς. Et Theocritus XI. 1. ποττὸν Ἔρωτα. Dux.

4. ἐξ om. K.

ἐπιδαύρου A.H.I.K.L.O.c.e.f.g.

ἐκβάντας g. ἐκβαλόντας d.i.k. ἐκβαλόντες c.

5. εἴκωντι A.F.H.L.O.Q.

6. εἶμεν A.L.N. εἶμεν Q. εἰ μὲν B.F.H.K.c.f.g.h.i.k.

7. καὶ τοῖς λακεδαιμονίοις om. B.H.Q. καὶ τοῖς om. L.O. τοῖς om. P.k.

9. αἴ A.B.F.H.I.L.M.O.c.d. e.f.h.i. vulgo ἤν.

ἔχωντι A.F.H.K.L.N.O.Q. g.h.i.

ἀποδῶμεν d.i.k. ἀποδόμεναι h.

10. πολέεσι K.

δὲ om. c.d.l.

τὼ σιὼ L.O.K. τως ω c.d.i. τὼς ἴωσι I.e.k. τῶ τῶ σιῶ Valckenar. Ep. ad Roever. p. 73. et ad Adoniaz. p. 284.

σύματος ἐμέλην A.B.h. σύματος ἐμὲν λῆν F.H. συματόσαι μὲν λῆν f.g. συμβατόσαι μὲν λῆν K. σύγματος ἐμελην Q. σύγματος λῆν L. σύμτειλην P. σύμτολην O. συματι εἰ μὲν λῆν c. σύματι ἐμὲν λῆν d.i. μὰ τὴν σεμέλην e. μὰ τὸν σεμέλην I.k. vulgo cum M. συμβατόσαιμεν λῆν. Vide Valcken. Equidem malim σύματος, αἰ μὲν λῆν τὼς ἐπιδαυρίως, ὅρκων δάμεναι αὐτοῖς ὀμόσαι.

11. τοῖς] τὸν L.O.P.k.

δάμεν A. B. F. H. K. Q. δάμεναι h. vulgo δῶμεν.

12. αὐτοῖς I.c.h.i.

πελοποννήσω c.

αὐτοὺς] Magis αὐτὼς, ut puto,

" μικρὰς καὶ μεγάλας, αὐτονόμους εἶμεν πάσας κατὰ
" πάτρια. αἰ δέ κα τῶν ἐκτὸς Πελοποννάσου τις ἐπὶ τὰν
" Πελοπόννασον γᾶν ἴῃ ἐπὶ κακῷ, ἀλεξέμεναι ἀμοθεὶ
" βουλευσαμένους, ὅπα κα δικαιότατα δοκῇ τοῖς Πελο-
" ποννασίοις. ὅσοι δ' ἐκτὸς Πελοποννάσω τῶν Λακεδαι-
" μονίων ξύμμαχοι ἐντὶ, ἐν τῷ αὐτῷ ἐσσοῦνται ἐν τῷπερ
" καὶ τοὶ τῶν Λακεδαιμονίων καὶ τοὶ τῶν Ἀργείων ξύμ-
" μαχοί ἐντι, τὰν αὐτῶν ἔχοντες. ἐπιδείξαντας δὲ τοῖς
" ξυμμάχοις ξυμβαλέσθαι, αἴ κα αὐτοῖς δοκῇ. αἰ δέ τι
" δοκῇ τοῖς ξυμμάχοις, οἶκαδ' ἀπιάλλειν."

3. Ἐπὶ κακῷ] αὐτῆς, τῆς γῆς δηλονότι. 10. Ἀπιάλλειν] ἐκπέμπειν, στέλλειν.

dicunt Dores, quam αὐτοὺς, ut καθαροὺς, ὀφθαλμοὺς, et alia hujusmodi apud Theocritum: item δόμεν pro δοῦναι, quod et hic quidam libri habent, ut paullo ante omnes ἀποδόμεν pro ἀποδοῦναι; non δῶμεν, nec ἀποδῶτε. Mox pro Πελοποννάσου, etsi ita in omnibus scriptis et editis est, non dubitem legere Πελοποννάσω, ut paullo inferius ἐκτὸς Πελοποννάσω. Scio, a quibusdam dici, non ubique servari dialectum Doricam: sed nulla causa est, cur in eadem voce servari non debeat. Nec improbabile est, sæpe scribis librariis, qui communi linguæ Græcæ magis adsueti erant, tribuendum esse, quod interdum dialecti Doricæ ratio non habetur. Cui rei vel sola varietas Editionum Theocriti in iisdem vocabulis argumento esse potest. Duk.

1. εἶμεν A.I.Q. εἰ μὲν B.c.d.e. f.g.h.i.k. vulgo ἦμεν.

πάσας om. I.

κατὰ τὰ I.K.L.O.P.d.

3. γᾶς K.

κακῷ γε ἀλεξέμεναι c.h.

ἀμοθεὶ A.B.e.f.h.k. ἀμοθὶ F.H. K. ἀμοθεῖ g. ceteri ἀμόθι.

4. Ὅπα καὶ] Sine dubio rectum est ὅτακα, vel, si quis hoc mavult, ὅπα κα. cap. 79. ὅπα κα δικαιότατα κρίναντες. Hujusmodi sunt αἶκα, ἐπεί κα, et alia hujus generis in Scriptoribus Doricis, et monumentis veteribus Dorica dialecto scriptis. Duk.

κα B.F.H.I.L.N.O.d.e.k. κἂν K. vulgo καί.

5. τῶν om. c.d.i.

6. ἔντι K.

ἐσσοῦνται B.F.H.K.

9. τι δοκῇ A.B.F.H.L.O.P. Q.c.d.e.i.k. τι ἄλλο δοκῇ h. vulgo τι καὶ ἄλλο δοκῇ.

10. ἀπιάλλην B.

Ἀπιάλλειν] Hesychius ἀπιαλεῖς, ἀπεκπέμψεις. Etymologici M. Auctor in ἠπίαλος: ἢ παρὰ τὸ πέμπεσθαι ἀπὸ τοῦ σώματος, ἀπίαλος, ἢ ἀπὸ τοῦ ἀπιέναι, ὁ ὀφείλων ἀπιέναι. De ἰάλλω Idem compluribus locis agit, ut et Eustathius ad Homerum. Duk.

78. Paullo post etiam societatem cum Lacedæmoniis ineunt Argivi, Mantinensium, Eleorum et Athenienſium ſocietate omiſſa.

Τοῦτον μὲν τὸν λόγον προσεδέξαντο πρῶτον οἱ Ἀργεῖοι, καὶ τῶν Λακεδαιμονίων τὸ στράτευμα ἀνεχώρησεν ἐκ τῆς Τεγέας ἐπ' οἴκου· μετὰ δὲ τοῦτο ἐπιμιξίας οὔσης ἤδη παρ' ἀλλήλους, οὐ πολλῷ ὕστερον ἔπραξαν αὖθις οἱ αὐτοὶ ἄνδρες, ὥστε τὴν Μαντινέων καὶ Ἠλείων καὶ τὴν Ἀθηναίων ξυμμαχίαν ἀφέντας Ἀργείους σπονδὰς καὶ ξυμμαχίαν ποιήσασθαι πρὸς Λακεδαιμονίους. καὶ ἐγένοντο αἵδε.

79. Ejus formula, item dorice conſcripta.

" ΚΑΤΤΑΔΕ ἔδοξε τοῖς Λακεδαιμονίοις καὶ Ἀργείοις
" σπονδὰς καὶ ξυμμαχίαν εἶμεν πεντήκοντα ἔτη, ἐπὶ
" τοῖς ἴσοις καὶ ὁμοίοις δίκας διδόντας κατὰ πάτρια·
" ταὶ δὲ ἄλλαι πόλιες ταὶ ἐν Πελοποννάσῳ κοινανεόντων
" τᾶν σπονδᾶν καὶ τᾶς ξυμμαχίας, αὐτόνομοι καὶ αὐ-
" τοπόλιες, τὰν αὐτῶν ἔχοντες, κατὰ πάτρια δίκας
" διδόντες τὰς ἴσας καὶ ὁμοίας. ὅσοι δὲ ἔξω Πελοπον-
" νάσω Λακεδαιμονίοις ξύμμαχοί ἐντι ἐν τοῖς αὐτοῖς
" ἐσοῦνται τοῖσπερ καὶ τοὶ Λακεδαιμόνιοι· καὶ τοὶ τῶν

1. οἱ om. L.O.P.e.

3. ἤδη om. d.i.

5. καὶ τὴν ἀθηναίων καὶ ἠλείων A.B.F.Q.e. et, qui τῶν habent pro τὴν, H.K.g.

6. ἀργείους om. L.O.P.

ξυμμαχίας L.P.

7. ἐλέγοντο K.

9. κατὰ τάδε I.K.L.O.P.

τοῖς ἀργείοις g.

10. εἶμεν A.I.K.Q. c.d.e.f.g.h. i.k. εἰ μὲν B.F.H. vulgo ἦμεν.

πεντακοντα ἔτη A.B.F.H. vulgo πεντηκονταετῆ.

11. διδόναι c.d.i.

κατὰ τὰ I. κατὰ τάδε K.P. κὰτ τὰ g. καττὰ τὰ c.d.i.

12. ταὶ—αὐτοπόλιες] om. K.

ταὶ] καὶ A.B.

κοινὰν ἐόντων F.H.g. κοινὰν ἐχόντων Q. κοινᾶν δὲ ἐόντων B.h. κοιρανεόντων f. vulgo κοινᾶν ἐόντων. Correxit Valckenar. ad Eurip. Phœn. p. 65.

13. τὰν σπονδὰν καὶ τὰν ξυμμαχίαν F.H.Q.g. σπονδᾶν καὶ τᾶν ξυμμαχιᾶν B. vulgo τᾶν σπονδᾶν καὶ τᾶν ξυμμαχιᾶν. Conf. c. 27 et 78. extr.

15. διδόντες δίκας f.

ὅσσοι A.F.H.K.

Ὅσοι] Gr. ὅσσοι, et mox ἐσσοῦνται Cl. Gr. passim; et sic forte rescribendum. Ita enim Archimedes, Theocritus, alii. Wass.

πελοποννάσω h. vulgo πελοποννάσου.

16. καὶ λακεδαιμονίοις c.d.i.

17. ἐσσοῦνται A.B.F.H.K.N. sic et mox.

τοῖσπερ καὶ λακεδαιμόνιοι f. τοῖσπερ τοὶ λακεδαιμόνιοι L.O.P.k. τοῖς περ—ἐσοῦνται om. B.

" Ἀργείων ξύμμαχοι ἐν τῷ αὐτῷ ἐσοῦνται τῷπερ καὶ τοὶ
" Ἀργεῖοι, τὰν αὐτῶν ἔχοντες. αἰ δέ ποι στρατιᾶς δέη
" κοινᾶς, βουλεύεσθαι Λακεδαιμονίως καὶ Ἀργείως, ὅπᾳ
" κα δικαιότατα κρίναντας τοῖς ξυμμάχοις. αἰ δέ τινι
" τᾶν πολίων ἢ ἀμφίλογα, ἢ τᾶν ἐντὸς ἢ τᾶν ἐκτὸς Πε-
" λοποννάσου, αἴτε περὶ ὅρων αἴτε περὶ ἄλλου τινός,
" διακριθῆμεν. αἰ δέ τις τῶν ξυμμάχων πόλις πόλει
" ἐρίζοι, ἐς πόλιν ἐλθεῖν, ἄν τινα ἴσαν ἀμφοῖν ταῖς
" πολίεσι δοκοίη. τοῖς δὲ ἔταις καττὰ πάτρια δικάζεσ-
" θαι."

Αἱ μὲν σπονδαὶ καὶ ἡ ξυμμαχία αὕτη ἐγεγένητο· καὶ ὁπόσα ἀλλήλων πολέμῳ ἢ εἴ τι ἄλλο εἶχον, διελύσαντο. κοινῇ δὲ ἤδη τὰ πράγματα τιθέμενοι, ἐψηφίσαντο κήρυκα καὶ πρεσβείαν παρ' Ἀθηναίων μὴ προσδέχεσθαι, ἢν μὴ ἐκ Πελοποννήσου ἐξίωσι τὰ τείχη ἐκλιπόντες, καὶ μὴ ξυμβαίνειν τῳ μηδὲ πολεμεῖν ἀλλ' ἢ ἅμα. καὶ τά τε ἄλλα θυμῷ ἔφερον, καὶ ἐς τὰ ἐπὶ Θράκης χωρία καὶ ὡς Περδίκκαν ἔπεμψαν ἀμφότεροι πρέσβεις, καὶ ἀνέπεισαν Περδίκκαν ξυνομόσαι σφίσιν. οὐ μέντοι εὐθύς γε ἀπέστη τῶν Ἀθηναίων, ἀλλὰ διενοεῖτο, ὅτι καὶ τοὺς Ἀργείους ἐώρα· ἦν δὲ καὶ αὐτὸς τὸ ἀρχαῖον ἐξ Ἄργους. καὶ τοῖς

80. Lacedæmonii et Argivi cum Thraciæ populis et cum Perdicca contra Athenienses societates inire student, et ab his petunt, ut ex Epidauria cedant. Quod postea factum est.

9. Τοῖς δὲ ἔταις καττὰ πάτρια δικάζεσθαι] τοὺς δὲ πολιτευομένους ἐν μιᾷ ἑκάστῃ πόλει δι' ἀλλήλων λύειν τὰ διάφορα. 13. Τιθέμενοι] διατιθέμενοι. οἰκουμενοῦντες. 15. Τὰ τείχη] τῆς Ἐπιδαύρου. 17. Θυμῷ ἔφερον] ἐφέροντο. 18. Ἀμφότεροι] Ἀργεῖοι καὶ Λακεδαιμόνιοι. 20. Καὶ τοὺς Ἀρ-

2. δέσποι F.H.
δέοι c.i. δέει K.
3. ἐκάκα K.
5. ἀμφίλλογα A.F.H. τὰ ἀμφίλογα Q.
ἢν ἐντὸς f.
ἢ τᾶν ante ἐκτὸς om. c.d.i.
7. διακριθεῖμεν P.
8. ἄν A.B.F.H.I.K.L.O. αἴ e. vulgo ἄν.
9. πολίεσσι B.F.H.
δοκείη h. δοκεῖ οἱ Q.g. δοκεῖοι A.B.H.K.
ἔτταις B.h.k.
δικάζεσθαι] Valckenar. δίκας ἐσεῖσθαι.
12. πολέμῳ] post ἄλλο ponunt c.d.i. post ἀλλήλων et iterum post εἶχον e.
15. καὶ τά] κατά I.
19. γε om .e.
20. καὶ om. L.O.g.

Χαλκιδεῦσι τούς τε παλαιοὺς ὅρκους ἀνενεώσαντο καὶ ἄλλους ὤμοσαν. ἔπεμψαν δὲ καὶ παρὰ τοὺς Ἀθηναίους οἱ Ἀργεῖοι πρέσβεις, τὸ ἐξ Ἐπιδαύρου τεῖχος κελεύοντες ἀκλιπεῖν. οἱ δ' ὁρῶντες ὀλίγους πρὸς πλείους ὄντας τοὺς ξυμφύλακας, ἔπεμψαν Δημοσθένην τοὺς σφετέρους ἐξάξοντα. ὁ δὲ ἀφικόμενος, καὶ ἀγῶνά τινα πρόφασιν γυμνικὸν ἔξω τοῦ φρουρίου ποιήσας, ὡς ἐξῆλθε τὸ ἄλλο φρούριον, ἀπέκλησε τὰς πύλας. καὶ ὕστερον Ἐπιδαυρίοις ἀνανεωσάμενοι τὰς σπονδὰς αὐτοὶ οἱ Ἀθηναῖοι ἀπέδοσαν τὸ τείχισμα. * μετὰ δὲ τὴν τῶν Ἀργείων ἀπόστασιν ἐκ τῆς ξυμμαχίας καὶ οἱ Μαντινῆς, τὸ μὲν πρῶτον ἀντέχοντες, ἔπειτ' οὐ δυνάμενοι ἄνευ τῶν Ἀργείων, ξυνέβησαν καὶ αὐτοὶ τοῖς Λακεδαιμονίοις, καὶ τὴν ἀρχὴν ἀφεῖσαν τῶν πόλεων. καὶ Λακεδαιμόνιοι καὶ Ἀργεῖοι, χίλιοι ἑκάτεροι, ξυστρατεύσαντες, τά τ' ἐν Σικυῶνι ἐς ὀλίγους μᾶλλον κατέστησαν αὐτοὶ οἱ Λακεδαιμόνιοι ἐλθόντες, καὶ

81. Etiam Mantinenses cum Lacedæmoniis pacisuntur. Lacedæmonii Sicyone oligarchiam instituunt; item Argis. Finis anni

γελους ἐάσα] ἀποστάντας. 10. Ἐκ τῆς ξυμμαχίας] τῶν Ἀθηναίων.

4. ὀλίγους N.

5. ἐξ ἐλάσοντα d. ἐξετάζοντα i.

6. Πρόφασιν] Sic Thucydides III. 111. Οἱ Μαντινεῖς, καὶ οἷς ἔσπεισντο, πρόφασιν ἐπὶ λαχανισμὸν καὶ φρυγάνων ξυλλογὴν ἐξελθόντες. Euripides Iphigenia in Aul. v. 360. Καὶ πέμπεις ἐκὼν—παῖδα σὴν Δεῦρ' ἀποστέλλειν, Ἀχιλλεῖ πρόφασιν ὡς γαμουμένην. Demosthenes de Coron. pag. 148. Ὅτι ἐξαπεστάλη ταῦτα τὰ πλοῖα, πρόφασιν μὲν ὡς τῶν σίτων παραπέμψοντα ἐκ τοῦ Ἑλλησπόντου εἰς Λῆμνον, βοηθήσοντα δὲ Σηλυμβριανοῖς. Duk.

7. Τὸ ἄλλο φρούριον] Retinendum est φρούριον, si ostendi possit, vocabulum illud non tantum de loco, sed etiam de hominibus, qui custodiæ et præsidii causa in eo sunt, dici. Sin, præferrem, quod est in quibusdam MSS. φρουρικὸν, etsi nusquam alibi lectum. Nam, quin eodem modo dici possit τὸ φρουρικὸν pro ἡ φρουρὰ, sive οἱ φρουροὶ, quo τὸ Ἑλληνικὸν, τὸ βαρβαρικὸν, pro οἱ Ἕλληνες, οἱ βάρβαροι, et alia id genus, dubitari non potest. Duk.

φρουρικὸν K.

8. ἀπέκλησε F.H.K. vulgo ἀπέκλεισε.

9. οἱ om. e.i.

10. τῶν om. L.O.k.

12. τῶν om. L.

13. αὐτοὶ καὶ τὰς τῶν λακεδαιμονίων σπονδὰς καὶ τὴν ἀρχὴν f.

15. τ' om. K.

16. οἱ ἐλθόντες K.

μετ' ἐκεῖνα ξυναμφότεροι ἤδη καὶ τὸν ἐν Ἀργεῖ δῆμον κατέλυσαν, καὶ ὀλιγαρχίαν ἐπιτηδείαν τοῖς Λακεδαιμονίοις κατέστη. καὶ πρὸς ἔαρ ἤδη ταῦτα ἦν, τοῦ χειμῶνος λήγοντος· καὶ τέταρτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα. quarti decimi.

82. Τῶν δ' ἐπιγιγνομένου θέρους Δικτιδῆς τε οἱ ἐν Ἄθῳ ἀπέστησαν Ἀθηναίων πρὸς Χαλκιδέας, καὶ Λακεδαιμόνιοι τὰ ἐν Ἀχαΐᾳ οὐκ ἐπιτηδείως πρότερον ἔχοντα καθέστασαν. καὶ Ἀργείων ὁ δῆμος, κατ' ὀλίγον ξυνιστάμενός τε καὶ ἀναθαρσήσας, ἐπέθεντο τοῖς ὀλίγοις, τηρήσαντες αὐτὰς τὰς γυμνοπαιδίας τῶν Λακεδαιμονίων. καὶ μάχης γενομένης ἐν τῇ πόλει ἐπεκράτησεν ὁ δῆμος, καὶ τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ ἐξήλασεν. οἱ δὲ Λακεδαιμόνιοι, ἕως μὲν αὐτοὺς μετεπέμποντο οἱ φίλοι, οὐκ ἦλθον ἐκ πλείονος, ἀναβαλόμενοι δὲ τὰς γυμνοπαιδίας ἐβοήθουν. καὶ ἐν Τεγέᾳ πυθόμενοι ὅτι νενίκηνται οἱ ὀλίγοι, προελθεῖν μὲν οὐκέτι ἠθέλησαν δεομένων τῶν διαπεφευγότων, ἀναχωρήσαντες δὲ ἐπ' οἴκου τὰς γυμνοπαιδίας ἦγον. καὶ 82. Dictidienses desciscunt ab Atheniensibus ad Chalcidenses. Res Achaias in utilitatem suam componunt Lacedæmonii. Argis plebs optimates opprimit pugna commissa. Sero, nec priusquam arcesserentur, Lacedæmonii succurrunt, et nihil agentes do-

8. Ἐπιτηδείως] συμφερόντως τοῖς Λακεδαιμονίοις, ἁρμοζόντως. 10. Ἀναθαρσήσας] ἀναλαβόντες αὖθις ἐλπίδας ἀγαθάς. Ἐπέθεντο τοῖς ὀλίγοις] τοῖς ἐν αὐτοῖς ὀλιγαρχοῦσι. 11. Τὰς γυμνοπαιδίας] ἑορτὴ τῶν Λακεδαιμονίων, ἐν ᾗ γυμνοὶ ἠγωνίζοντο. 12. Ἐν τῇ πόλει] τῶν Ἀργείων. 14. Οἱ φίλοι] οἱ ἐν τῷ Ἄργει. Ἐκ πλείονος] ἤτοι πρὸ πλείονος χρόνου. 17. Δεομένων τῶν διαπεφευγότων] ἤγουν, καὶ ταῦτα δεομένων. 18. Ἦγον] ἑώρταζον.

1. ξυναμφότεροι K.L.f.

2. Ὀλιγαρχία] Locum hunc illustrat Diodorus, p. 327. a. Wass.

3. ταῦτα ἤδη ἦν τοῦ πολέμου λήγοντος g.

6. δικτυδιεῖς P.c.d.e.i. δικτιεῖς Q. δικτιεῖς f. διεῖς N. δῆς A.H.K. b.g. δεῖς B.h.

Δικτιδῆς] De hac gente nihil videor legisse. Wass. Διεῖς 'et Δεῖς fortassis sunt compendia scripturæ. Duk.

11. Τὰς γυμνοπαιδίας] De Gymnopædia Lacedæmoniorum habet etiam Scaliger ad Euseb. Chron. pag. 81. Duk.

γυμνοπαιδείας γυμνοπαιδιὰς F.g.

15. ἀναβαλόμενοι A.B.F.H.c.d. e.i.k.

γυμνοπαιδείας A. et hic et infra.

16. πειθόμενοι Q.

ἐνενίκηνται I.

mum redeunt. Mox ab Argivis societas cum Atheniensibus redintegrata, et longi muri usque ad mare ducti.

ὕστερον ἐλθόντων πρέσβεων ἀπό τε τῶν ἐν τῇ πόλει ἀγγέλων καὶ τῶν ἔξω Ἀργείων, παρόντων τε τῶν ξυμμάχων, καὶ ῥηθέντων πολλῶν ἀφ' ἑκατέρων, ἔγνωσαν μὲν ἀδικεῖν τοὺς ἐν τῇ πόλει καὶ ἔδοξεν αὐτοῖς στρατεύειν ἐς Ἄργος, διατριβαὶ δὲ καὶ μελλήσεις ἐγίγνοντο. ὁ δὲ δῆμος τῶν Ἀργείων ἐν τούτῳ, φοβούμενος τοὺς Λακεδαιμονίους, καὶ τὴν τῶν Ἀθηναίων ξυμμαχίαν πάλιν προσαγόμενός τε καὶ νομίζων μέγιστον ἂν σφᾶς ὠφελήσειν, τειχίζει μακρὰ τείχη ἐς θάλασσαν, ὅπως, ἢν τῆς γῆς εἴργωνται, ἡ κατὰ θάλασσαν σφᾶς μετὰ τῶν Ἀθηναίων ἐπαγωγὴ τῶν ἐπιτηδείων ὠφελῇ. ξυνήδεσαν δὲ τὸν τειχισμὸν καὶ τῶν ἐν Πελοποννήσῳ τινὲς πόλεων. καὶ οἱ μὲν Ἀργεῖοι πανδημεί, καὶ αὐτοὶ καὶ γυναῖκες καὶ οἰκέται, ἐτείχιζον· καὶ ἐκ τῶν Ἀθηνῶν αὐτοῖς ἦλθον τέκτονες καὶ λιθουργοί. καὶ τὸ θέρος ἐτελεύτα.

83. Lacedæmonii cum sociis longum murum Argivorum evertunt, nihil amplius ex iis, quæ parabant, perficientes. Argivi ad-

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι, ὡς ἠσθοντο τειχιζόντων, ἐστράτευσαν ἐς τὸ Ἄργος, αὐτοί τε καὶ οἱ ξύμμαχοι, πλὴν Κορινθίων· ὑπῆρχε δέ τι αὐτοῖς καὶ ἐκ τοῦ Ἄργους αὐτόθεν πρασσόμενον. ἦγε δὲ τὴν στρατιὰν Ἄγις ὁ Ἀρχιδάμου, Λακεδαιμονίων βασιλεύς. καὶ τὰ μὲν ἐκ τῆς πόλεως δοκοῦντα προϋπάρχειν οὐ προυχώρησεν ἔτι· τὰ δὲ οἰκοδομούμενα τείχη ἑλόντες καὶ

7. Προσαγόμενος] οἰκειούμενος. 8. Σφᾶς ὠφελήσειν] τοὺς Ἀργείους δηλονότι τοὺς Ἀθηναίους. 9. Ἐς θάλασσαν] ἕως τῆς θαλάσσης. 11. Τειχισμὸν] τῶν Ἀργείων. 18. Αὐτοῖς] τοῖς Λακεδαιμονίοις. 19. Αὐτόθεν] ἐκ τοῦ Ἄργους.

2. ἐξ f.
5. διατριβαὶ καὶ O.
ὁ δῆμος g.
7. τὴν] ἐκ c.i.
9. ἐς] πρὸς g.
10. τῶν om. e.
11. ὠφελεῖ g.
16. δὲ γιγνομένου L.
ὡς om. F.
17. Ἐστράτευσαν ἐς τὸ Ἄργος] Diodorus Sic. p. 327. c. Wass.
19. Ἐκ τοῦ Ἄργους αὐτόθεν] Alterum horum supervacuum videtur. Ex adnotatione Scholiastæ colligas, eum non habuisse in exemplari suo verba ἐκ τοῦ Ἄργους. Dux.

καταβαλόντες, καὶ Τσιὰς χωρίον τῆς Ἀργείας λαβόντες, καὶ τοὺς ἐλευθέρους ἅπαντας οὓς ἔλαβον ἀποκτείναντες, ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πόλεις. ἐστράτευσαν δὲ μετὰ τοῦτο καὶ Ἀργεῖοι ἐς τὴν Φλιασίαν, καὶ δηώσαντες ἀπῆλθον, ὅτι σφῶν τοὺς φυγάδας ὑπεδέχοντο· οἱ γὰρ πολλοὶ αὐτῶν ἐνταῦθα κατῴκηντο. κατέκλησαν δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ Μακεδονίας Ἀθηναῖοι Περδίκκαν, ἐπικαλοῦντες τήν τε πρὸς Ἀργείους καὶ Λακεδαιμονίους γενομένην ξυνωμοσίαν, καὶ ὅτι παρασκευασαμένων αὐτῶν στρατιὰν ἄγειν ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θράκης καὶ Ἀμφίπολιν, Νικίου τοῦ Νικηράτου στρατηγοῦντος, ἔψευστο τὴν ξυμμαχίαν, καὶ ἡ στρατιὰ μάλιστα διελύθη ἐκείνου ἀπάραντος· πολέμιος οὖν ἦν. καὶ ὁ χειμὼν ἐτελεύτα οὕτω, καὶ πέμπτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

versus Philasios, qui exsules suos receperant, expeditionem faciunt, eorumque agrum devastant. Athenienses Perdiccam, ob conjurationem cum Lacedæmoniis et Argivis factam, coercent in Macedonia, et hostem judicant. Finis anni quinti decimi.

Τοῦ δ' ἐπιγιγνομένου θέρους Ἀλκιβιάδης τε πλεύσας ἐς Ἄργος ναυσὶν εἴκοσιν, Ἀργείων τοὺς δοκοῦντας ἔτι ὑπόπτους εἶναι καὶ τὰ Λακεδαιμονίων φρονεῖν ἔλαβε τριακοσίους ἄνδρας, καὶ κατέθεντο αὐτοὺς Ἀθηναῖοι ἐς 84.

Iidem cum sociis expeditionem navalem adversus Melios susce-

3. Διελύθησαν] οἱ Λακεδαιμόνιοι. 6. Οἱ γὰρ πολλοὶ αὐτῶν] τῶν φυγάδων τῶν Ἀργείων ἐν τῇ Φλιασίᾳ κατῴκηντο. Κατεκλείσαν] τουτέστι τῶν εἰσαγωγίμων, ἢ τῆς θαλάττης, αὐτοὺς ἀπέκλεισαν. 9. Ξυνωμοσίαν] ἔνορκον ξυμμαχίαν. 13. Ἀπάραντος] ἀντὶ τοῦ ἀναπεισθέντος.

1. ὑσίας A.B.L.O. ὑσσίας F. σιὰς I.
Τσιὰς] Vide ad p. 161. De hujus situ Plinius IV. 5. Strabo IX. 404. Pausan. Arcad. VI. Εἰσὶν οὖν ἐς Ἀρκαδίαν ἐσβολαὶ κατὰ τὴν Ἀργείαν, πρὸς μὲν ΤΣΙΩΝ καὶ κατὰ τὸ ὄρος τὸ Παρθένιον ἐς τὴν Τεγεατικήν. WASS.
χωρία I.L.O.
4. τὴν om. c.
5. ὑπεδέχοντο A.B.F.H.I.L.N. O.P.Q.c.d.g.k. vulgo ἀπεδέχοντο.
6. κατέκλησαν F.H.K.g.
7. χειμῶνος μακεδονίας c.d. περδίκκαν καὶ ἐπικαλοῦντες L.O. P.Q.k.
9. παρασκευασμένων K.
14. οὗτος Q.f.g.
16. ὁ ἀλκιβιάδης K.
18. ἐνυπόπτους e.
καὶ τοὺς λακεδαιμονίων φρουροὺς ἔλαβε L.O.P.

cipiunt, qui ipsorum imperium soli ex insulanis detrectabant.

τὰς ἐγγὺς νήσους ὧν ἦρχον· καὶ ἐπὶ Μῆλον τὴν νῆσον Ἀθηναῖοι ἐστράτευσαν ναυσὶν ἑαυτῶν μὲν τριάκοντα, Χίαις δὲ ἓξ, Λεσβίαιν δὲ δυοῖν, καὶ ὁπλίταις ἑαυτῶν μὲν διακοσίοις καὶ χιλίοις καὶ τοξόταις τριακοσίοις καὶ ἱπποτοξόταις εἴκοσι, τῶν δὲ ξυμμάχων καὶ νησιωτῶν ὁπλίταις μάλιστα πεντακοσίοις καὶ χιλίοις. οἱ δὲ Μήλιοι Λακεδαιμονίων μέν εἰσιν ἄποικοι, τῶν δ' Ἀθηναίων οὐκ ἤθελον ὑπακούειν ὥσπερ οἱ ἄλλοι νησιῶται, ἀλλὰ τὸ μὲν πρῶτον οὐδετέρων ὄντες ἡσύχαζον, ἔπειτα, ὡς αὐτοὺς ἠνάγκαζον οἱ Ἀθηναῖοι δηοῦντες τὴν γῆν, ἐς πόλεμον φανερὸν κατέστησαν. στρατοπεδευσάμενοι οὖν ἐς τὴν γῆν αὐτῶν τῇ παρασκευῇ ταύτῃ οἱ στρατηγοὶ Κλεομήδης τε ὁ Λυκομήδους καὶ Τισίας ὁ Τισιμάχου, πρὶν ἀδικεῖν τι τῆς γῆς, λόγους πρῶτον ποιησομένους ἔπεμψαν πρέσβεις. οὓς οἱ Μήλιοι πρὸς μὲν τὸ πλῆθος οὐκ ἤγαγον, ἐν δὲ ταῖς ἀρχαῖς καὶ τοῖς ὀλίγοις λέγειν ἐκέλευον περὶ ὧν ἥκουσιν.

85—111. Legati A-

οἱ δὲ τῶν Ἀθηναίων πρέσβεις ἔλεγον τοιάδε. * " Ἐπειδὴ

9. Οὐδετέρων ὄντες] γράφεται, μεθ' ἑτέρων, τῶν Λακεδαιμονίων καὶ Ἀθηναίων. 13. Πρὶν ἀδικεῖν τι τῆς γῆς] βλέπετε. 16. Καὶ τοῖς ὀλίγοις λέγειν] διηριθμημένοις καὶ ἐντίμοις. 17. Ἐπειδὴ οὐ πρὸς τὸ πλῆθος] ἐπειδὴ οὐ παρὰ τῷ δήμῳ κελεύετε ἡμᾶς ποιεῖσθαι τοὺς λόγους, ἵνα μὴ, συνεχοῦς ῥήσεως γινομένης καὶ ἐναποτεινομένου λόγου, ὑποπτεύσῃ τὸ πλῆθος ὑμῶν ἀπατᾶσθαι, ὡς ἂν ἅπαξ ἀκούσαντες πιθανῶν μὲν λόγων, ἐλέγχους δὲ οὐ παρεχομένων οὐδ' ἀποδείξεις. γιγνώσκομεν γὰρ ὅτι ταῦτα ὑπονοήσαντες, πρὸς τοὺς ἄρχοντας ὑμῶν μόνους ἠγάγετε ἡμᾶς. ἃ ὑμεῖς οἱ προεστῶτες ἀσφαλέστερον ποιήσατε. ἕκα-

2. χίαις] χιλίαις c.e.f.g.h.

3. δὲ om. A.F.H.K.c.e.f.g.h. λεσβίαις A.B.F.H.K.N.c.e.f.g.h.

4. καὶ χιλίοις καὶ τοξόταις] om. I.

τριακοσίοις τοξόταις f.

6. Οἱ δὲ Μήλιοι] Melios Lacedæmoniorum fuisse colonos, docet Herodotus l. VII. et Xenophon Ἑλληνικῶν lib. II. A quo autem, quando, et qua occasione hæc colonia deducta, refert Plutarchus lib. de Virt. Mul. ubi de Tyrrhenis agit; item Conon Narrat. 36. Hudson.

7. μὲν om. f.

10. ἐς—γῆν om. I.

11. αὐτῶν ἐς τὴν γῆν K.

13. τι om. k.

17. Nomina interlocutorum aut omittit aut in margine ponit B.

Ἐπειδὴ οὐ πρὸς] Vide Dio-

" οὐ πρὸς τὸ πλῆθος οἱ λόγοι γίγνονται, ὅπως δὴ μὴ
" ζυνεχεῖ ῥήσει οἱ πολλοὶ ἐπαγωγὰ καὶ ἀνέλεγκτα ἐσά-
" παξ ἀκούσαντες ἡμῶν ἀπατηθῶσι (γιγνώσκομεν γὰρ
" ὅτι τοῦτο φρονεῖ ὑμῶν ἡ ἐς τοὺς ὀλίγους ἀγωγὴ), ὑμεῖς
" οἱ παθήμενοι ἔτι ἀσφαλέστερον ποιήσατε. καθ' ἕκα-
" στον γὰρ καὶ μηδ' ὑμεῖς ἐνὶ λόγῳ, ἀλλὰ πρὸς τὸ μὴ
" δοκοῦν ἐπιτηδείως λέγεσθαι εὐθὺς ὑπολαμβάνοντες,
" κρίνετε. καὶ πρῶτον, εἰ ἀρέσκει ὡς λέγομεν, εἴπατε."
οἱ δὲ τῶν Μηλίων ζύνεδροι ἀπεκρίναντο * " Ἡ μὲν ἐπιεί-

thenienſium præmiſſi ad colloquium de ſingulis rebus ſingulatim tractandis provocant. Adnuentibus Meliis, illud colloquium inſtituitur, quo Athenienſes qui-

86.

στων γὰρ ὧν λέγομεν, δοκιμάζοντες, πρὸς τὸ μὴ δοκοῦν ἐπιτηδείως ἔχειν ὑποκρούετε, τουτέστι διὰ πλειόνων λόγων κρίνετε. Ἐν πᾶσιν ὁ Θουκυδίδης ἔφυγε τὴν συνήθειαν, οὐκ ἥκιστα δὲ ἐνταῦθα. ἀντὶ γὰρ δημηγορίας διάλογόν τινα τῶν Μηλίων καὶ Ἀθηναίων ἐτόλμησε συνθεῖναι. ἐπεὶ δὲ ἐργάζεται τὴν ἀσάφειαν μάλιστα τὸ δύσκριτον τοῦ παρ' ἑκατέρων λόγου, διαιρετέον κατὰ πρόσωπα τὴν ῥῆσιν. 3. Ἡμῶν] τῶν Ἀθηναίων. 4. Τοῦτο φρονεῖ] βούλεται. τοῦτό ἐστι σκοπὸς τῆς εἰς τοὺς Ἕλληνας προσαγωγῆς. Ἀγωγὴ] προσαγωγή. 9. Ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ' ἡσυχ.] τῆς μὲν περὶ τοὺς λόγους

nys. Halicarn. qui Dialogum hunc ob varietatem venuste interpositum acerbe nimis exagitat in Judic. de Thucyd. §. 37. Wass. Dionysius Halicarn. non solum multa vitia orationis in hoc Dialogo reprehendit; sed etiam satis aperte significat, totum hoc colloquium a Thucydide confictum esse; quod neque ipse conventui interfuerit, neque ea, quæ ab Atheniensibus aut Meliis dicerentur, audiverit: nam post ea, quæ ad Amphipolin gesta erant, eum, patria ejectum, omne reliquum tempus hujus belli in Thracia egisse: idque ipsum testari libro superiore. Satis animose Thucydidem defendit Acacius, et e Vita Thucydidis ostendit, falsum esse, eum toto illo tempore in Thracia vixisse; atque etiam ex ipso Thucydide V. 26. docet, eum in exsilio cum utrisque partibus versatum fuisse. Ac denique, multo justius e Dionysio quæri posse, dicit, unde ipse orationes Æneæ, Latini, Romuli, atque, in primis illud omni artificio oratorio elaboratum colloquium Tulli Hostilii cum Metio Albano acceperit. Non male hæc Acacius. Ac Dionysius quoque, si non sequutus est aliam divisionem librorum Thucydidis, in eo memoriæ vitio erravit, quod Thucydidem libro superiore de exsilio suo narrare scribit. De cetero non male judicat, multa perplexa, contorta et coacta esse in hoc Dialogo. Duk.

1. δὴ om. L.O.P.k. post μὴ ponit h.

4. ἡμῶν L. cum Dionysio.

5. ποιήσετε Dionysius.

6. ἐν ὀλίγῳ A.B.F.H.I.K.L.M. O.d.e.f.g.h.k. cum Dionysio.

9. ἀρέσκοι L.M.O.

dem conantur demonstrare, justum adeoque utile Meliis suum imperium esse, certe tam firmum et validum, ut Melii illud depellere non possint.

" κεια τοῦ διδάσκειν καθ' ἡσυχίαν ἀλλήλους οὐ ψέγε-
" ται, τὰ δὲ τοῦ πολέμου παρόντα ἤδη καὶ οὐ μέλλοντα
" διαφέροντα αὐτοῦ φαίνεται. ὁρῶμεν γὰρ αὐτούς τε
" κριτὰς ἥκοντας ὑμᾶς τῶν λεχθησομένων, καὶ τὴν τε-
" λευτὴν ἐξ αὐτοῦ κατὰ τὸ εἰκὸς περιγενομένοις μὲν τῷ
" δικαίῳ, καὶ δι' αὐτὸ μὴ ἐνδοῦσι, πόλεμον ἡμῖν φέρου-
" σαν, πεισθεῖσι δὲ δουλείαν."

87. Melii contra injustam et noxiam esse dominationem Atheniensium

ΑΘ. Εἰ μὲν τοίνυν ὑπονοίας τῶν μελλόντων λογιούμε-
νοι ἢ ἄλλο τι ξυνήκετε ἢ ἐκ τῶν παρόντων καὶ ὧν ὁρᾶτε
περὶ σωτηρίας βουλεύσοντες τῇ πόλει, παυοίμεθ' ἄν· εἰ
δ' ἐπὶ τοῦτο, λέγοιμεν ἄν.

88. contendunt, sibique gloriosum fore, quam maxime reniti, ne sponte

ΜΗΛ. Εἰκὸς μὲν καὶ ξυγγνώμη ἐν τῷ τοιῷδε καθε-
στῶτας ἐπὶ πολλὰ καὶ λέγοντας καὶ δοκοῦντας τρέπε-
σθαι· ἡ μέντοι ξύνοδος καὶ περὶ σωτηρίας ἥδε πάρεστι,
καὶ ὁ λόγος ᾧ προκαλεῖσθε τρόπῳ, εἰ δοκεῖ, γιγνέσθω.

εὐγνωμοσύνης οὐκ ἄν τις μέμψαιτο ὑμῖν. ἡμέρα γὰρ καὶ κατὰ σχολὴν ἀλλήλους ἀξιοῦτε πείθεσθαι. ἥδε δὲ πολεμοῦντες ἡμῖν οὐκέτι εὐγνωμονεῖτε, οὐδὲ ὅμοια οἷς λέγετε ποιεῖτε. κριταὶ γὰρ ἥκετε τῶν λόγων ὧν λέγετε αὐτοί. καὶ γνώριμον ἡμῖν τὸ τέλος ἐκ τῆς κρίσεως, ἤτι νικῶντες μὲν ὑμᾶς τοῖς δικαίοις, καὶ διὰ τοῦτο μὴ θέλοντες προσχωρεῖν, εἰς πόλεμον εὐθὺς καταστησόμεθα· πεισθέντες δὲ ἴσως δικαιότερα ἡμῶν λεγόντων, δουλείαν καθ' αὐτῶν καταψηφιούμεθα. 4. Τῶν λεχθησομένων] ὑπό τε ὑμῶν καὶ ἡμῶν δηλονότι. Καὶ τὴν τελ.] ἀπὸ κοινοῦ τὸ ὁρῶμεν ἡμῖν δηλονότι. 8. Εἰ μὲν τοίνυν ὑπονοίας τῶν μελλόντων] εἰ μὲν ὑπονοήσαντες περὶ τῶν μελλόντων ἔσεσθαι συνελήλυθατε, ἢ ἄλλο τι σκεψόμενοι, καὶ μὴ περὶ σωτηρίας τῆς δυνάμεως ἐκ τῶν παρόντων, ἡσυχίαν ἄγοιμεν ἄν. εἰ δὲ περὶ τοῦ δύνασθαι σωθῆναι συνελήλυθατε, λέγοιμεν ἄν. 9. Ἢ ἄλλο τι] τὸ ἢ ἀντὶ τοῦ εἴπερ. 12. Εἰκὸς μὲν καὶ ξυγγνώμη] εἰκὸς ἡμᾶς, ἐν τοιούτῳ καθεστῶτας, ἐπὶ πολλὰ καὶ ἐπινοοῦντας

3. Διαφέροντα αὐτοῦ] Dionysius Hal. dicit, genitivum αὐτοῦ neque cum fœminino ἐπιείκεια, neque cum neutris τὰ παρόντα et μέλλοντα convenire, et, ut apta et congruens esset oratio, debuisse dici διαφέροντα αὐτῆς, nempe τῆς ἐπιεικείας. Fortassis Thucydides genitivum αὐτοῦ retulit ad τοῦ διδάσκειν. Dux.

5. περιγενομένοις A.B.F.I.b.c.d. e.f.g.h.i.k. vulgo περιγιγνομένοις.
7. δὲ om. A.B.h.
8. εἰ] οἱ B.h.
10. βουλεύσαντες B.f.g.h. cum Dionysio.
12. ξυγγνώμην A.B.H.g.h.
15. εἰ] ᾗ Q.
γενέσθαι d.

ΑΘ. Ἡμεῖς τοίνυν οὔτε αὐτοὶ μετ' ὀνομάτων καλῶν, 89.
ὡς ἢ δικαίως τὸν Μῆδον καταλύσαντες ἄρχομεν ἢ ἀδι- jugum subiisse videantur.
κούμενοι νῦν ἐπεξερχόμεθα, λόγων μῆκος ἄπιστον παρ-
έξομεν· οὔθ' ὑμᾶς ἀξιοῦμεν, ἢ ὅτι Λακεδαιμονίων ἄποι-
κοι ὄντες οὐ ξυνεστρατεύσατε, ἢ ὡς ἡμᾶς οὐδὲν ἠδικήκατε,
λέγοντας αἴεσθαι πείσειν, τὰ δυνατὰ δ' ἐξ ὧν ἑκάτεροι
ἀληθῶς φρονοῦμεν διαπράσσεσθαι, ἐπισταμένους πρὸς εἰ-
δότας ὅτι δίκαια μὲν ἐν τῷ ἀνθρωπείῳ λόγῳ ἀπὸ τῆς ἴσης
ἀνάγκης κρίνεται, δυνατὰ δὲ οἱ προὔχοντες πράσσουσι
καὶ οἱ ἀσθενεῖς ξυγχωροῦσιν.

ΜΗΛ. Ἡμεῖς δὴ νομίζομέν γε χρήσιμον (ἀνάγκη γὰρ, 90.
ἐπειδὴ ὑμεῖς οὕτω παρὰ τὸ δίκαιον τὸ ξυμφέρον λέγειν
ὑπέθεσθε) μὴ καταλύειν ὑμᾶς τὸ κοινὸν ἀγαθὸν, ἀλλὰ

καὶ λέγοντας τρέπεσθαι. καὶ οὐ συγγινώσκετε ἡμῖν ὑποτείνουσιν. 1. Μετ' ὀνομάτων καλῶν] λέξεων εὐπρεπῶν. 7. Ἐπισταμένους πρὸς εἰδ.] ἐπισταμένων καὶ ὑμῶν καὶ ἡμῶν. 8. Ἐν τῷ ἀνθρωπείῳ λόγῳ] ὁ ἀνθρώπινος λογισμὸς (φασί) τότε τὸ δίκαιον ἐξετάζει, ὅταν ἴσην ἰσχὺν ἔχωσιν οἱ κρινόμενοι. ὅταν δὲ οἱ ἕτεροι προέχωσιν ἰσχύϊ, προστάττουσι πᾶν τὸ δυνατὸν, καὶ οἱ ἥττονες οὐκ ἀντιλέγουσιν. 11. Ἡ μὲν δὴ νομίζομέν γε] ἐπειδὴ ὑμεῖς, ὦ Ἀθηναῖοι, τοῦ συμφέροντος μᾶλλον ἀξιοῦτε στοχάζεσθαι, νομίζομεν ἡμῖν προσήκειν μὴ καταλύειν τὸ κοινὸν ἀγαθὸν, τουτέστι τὸ πρᾶγμα τοῖς ἀσθενεστέροις χρῆσθαι. δεῖ γὰρ τοῖς κινδυνεύουσι τὰ προσήκοντα καὶ τὰ δίκαια νέμεσθαι, καὶ μᾶλλον τῆς φιλανθρωπίας ἤπερ τοῦ πρὸς ἀκρίβειαν δικαίου τυγχάνειν τοὺς ἥττονας. ὃ δὴ καὶ ὑπὲρ ὑμῶν ἐστὶν, ὦ Ἀθηναῖοι. εἰ γὰρ δὴ μὴ πρᾴως χρήσεσθε ἡμῖν, αὐτοὶ σφαλέντες ποτὲ παράδειγμα πάντως τοῖς ἄλλοις γενήσεσθε. μεγάλως γὰρ ὑμᾶς οἱ νικήσαντες τιμωρήσονται καὶ αὐτοὶ, τοὺς περὶ ἡμᾶς χαλεποὺς

3. ἐπερχόμεθα Q.
5. οὐδὲ A.h.
ἠδικήσατε P.c.i.
6. λέγοντες B.
δ' om. A.B.P.
7. διαπράττεσθαι A. B. F. H. N.h.

Ἐπισταμένους—ξυγχωροῦσι] Stobæus 303. ubi ἀνθρωπίνῳ perperam; ibi tamen πράσσουσι cum nostris. Confer Æschylum Agam. 1430. et Euripidem Hec. 226. Wass.

9. κρίνεται om. g.
11. ἡμεῖς g. ἦ μὲν B.K. vulgo ἢ μέν.
13. ὑμᾶς F.H.

Μὴ καταλύειν ἡμᾶς] Scriptura Cod. Cass. ὑμᾶς melius videtur convenire sententiæ: nam Melii de eo agunt, quod Atheniensibus utile futurum sit. Et sic etiam Schol. Cass. νομίζομεν ὑμῖν προσήκειν, non ἡμῖν. Τὸ κοινὸν ἀγαθὸν Idem interpretatur τὴν ἐλευθερίαν. Εἶναι τὰ εἰκότα pot-

τῷ ἀεὶ ἐν κινδύνῳ γιγνομένῳ εἶναι τὰ εἰκότα καὶ δίκαια, καί τι καὶ ἐντὸς τοῦ ἀκριβοῦς πείσοντά τινα ὠφεληθῆναι. καὶ πρὸς ὑμῶν οὐχ ἧσσον τοῦτο, ὅσῳ καὶ ἐπὶ μεγίστῃ τιμωρίᾳ σφαλέντες ἂν τοῖς ἄλλοις παράδειγμα γένοισθε.

91. ΑΘ. Ἡμεῖς δὲ τῆς ἡμετέρας ἀρχῆς, ἣν καὶ παυθῇ, οὐκ ἀθυμοῦμεν τὴν τελευτήν· οὐ γὰρ οἱ ἄρχοντες ἄλλων, ὥσπερ καὶ Λακεδαιμόνιοι, οὗτοι δεινοὶ τοῖς νικηθεῖσιν. ἔστι δὲ οὐ πρὸς Λακεδαιμονίους ἡμῖν ὁ ἀγών, ἀλλ' ἢν οἱ ὑπήκοοί που τῶν ἀρξάντων αὐτοὶ ἐπιθέμενοι κρατήσωσι. καὶ περὶ μὲν τούτου ἡμῖν ἀφείσθω κινδυνεύεσθαι· ὡς δὲ ἐπ' ὠφελίᾳ τε πάρεσμεν τῆς ἡμετέρας ἀρχῆς καὶ ἐπὶ σωτηρίᾳ νῦν τοὺς λόγους ἐροῦμεν τῆς ὑμετέρας πόλεως,

γενομένους. 4. Σφαλέντες ἂν] τοῦ δικαίου. 5. Ἡμεῖς δὲ τῆς ἡμετέρας] ἂν καὶ καταλυθῇ (φασίν) ἡμῶν τὰ τῆς ἡγεμονίας, οὐκ ἀθυμοῦμεν περὶ τῆς καταστροφῆς. Λακεδαιμόνιοι γὰρ, καὶ πάντες οἱ ἄρχειν εἰωθότες ἑτέρων, οὐ χαλεπῶς τοῖς νικηθεῖσι προσφέρονται. ὥστε οὐ Λακεδαιμονίους δέδιμεν, ἀλλὰ τοὺς ὑπηκόους. οὗτοι γὰρ, ἅτε οὐκ εἰωθότες ἑτέρων ἄρχειν, ἐπειδὰν κρατήσωσι τῶν ἀρχόντων, ὠμότατα αὐτοῖς χρῶνται. ἀλλὰ περὶ μὲν τούτου ἐν ἀδήλῳ κείσθω ὅπως ποτὲ ἕξει. 9. Τῶν ἀρξάντων] τοῦ πολέμου δηλονότι. 10. Ὡς δὲ ἐπ' ὠφελείᾳ] ὅτι δὲ ἐπ' ὠφελείᾳ πάρεσμεν, τοῦτο δηλώσομεν. βουλόμεθα γὰρ ἄνευ πραγμάτων αὐτοί τε ὑμῶν ἄρξαι, καὶ ὑμᾶς σωθῆναι συμφερόντως καὶ

est esse, obvenire, obtingere æqua: ut dicant Melii, se putare utile futurum esse Atheniensibus, eos, qui in periculo sunt, *ab iis* adipisci, quod æquum et justum est. Thucyd. III. 39. Ὅταν ἡ κατορθώσαντι ἐλευθέρωσις ᾖ, ἢ σφαλέντι μηδὲν παθεῖν ἀνήκεστον. Duk.

1. εἰκότα δίκαια A.B.F.H.g.h.

2. Καί τι καὶ ἐντὸς τοῦ ἀκριβοῦς πείσοντά τινα ὠφεληθῆναι] Horum verborum hæc, ni fallor, est sententia: iis, qui in periculo versantur, debere prodesse qualemcunque orationem ad persuadenda potentioribus, quæ cupiunt; etiamsi ab ea absit exactissima ἀκρίβεια, neque adcuratissime apud eos se defendere, iisque purgare se possint. Utrum autem, qui hujusmodi oratione utuntur, rectius dicantur ἐκτὸς an ἐντὸς τοῦ ἀκριβοῦς conari πείθειν, non satis constituere possum, et fortassis utrumque defendi queat. Ἐντὸς legit etiam Valla, et habent omnes libri scripti et editi ante Stephanum. Duk.

τι] τοι g.

ἐντὸς A.B.F.H.I.K.L.M.N.O. P.c.d.e.g.h.i.k. vulgo ἐκτός.

πείσαντά L.O.

5. παυθῇ A.I.L.O.P.Q.c.g.h.i. k. cum Dionysio: πάθῃ B. vulgo παυσθῇ.

6. οἱ om. L.Q.

ταῦτα δηλώσομεν, βουλόμενοι ἀπόνως μὲν ὑμῶν ἄρξαι, χρησίμως δ' ὑμᾶς ἀμφοτέροις σωθῆναι.

ΜΗΛ. Καὶ πῶς χρήσιμον ἂν ξυμβαίη ἡμῖν δουλεῦσαι, ὥσπερ καὶ ὑμῖν ἄρξαι; 92.

ΑΘ. Ὅτι ὑμῖν μὲν πρὸ τοῦ τὰ δεινότατα παθεῖν ὑπακοῦσαι ἂν γένοιτο, ἡμεῖς δὲ μὴ διαφθείραντες ὑμᾶς κερδαίνοιμεν ἄν. 93.

ΜΗΛ. Ὥστε δὲ ἡσυχίαν ἄγοντας ἡμᾶς φίλους μὲν εἶναι ἀντὶ πολεμίων, ξυμμάχους δὲ μηδετέρων, οὐκ ἂν δέξαισθε; 94.

ΑΘ. Οὐ γὰρ τοσοῦτον ἡμᾶς βλάπτει ἡ ἔχθρα ὑμῶν, 95.

ἡμῖν καὶ ὑμῖν, 1. Βουλόμενοι ἀπόνως μὲν] οἱ Ἀθηναῖοι δηλονότι πρεσβεύουσιν. 2. Ἀμφοτέροις] καὶ ἡμῖν καὶ ὑμῖν. 3. Καὶ πῶς χρήσιμον] πῶς (φασίν) ὁμοίως χρήσιμόν ἐστιν, ὥσπερ ὑμῖν ἄρξαι, οὕτως ἡμῖν δουλεῦσαι; 5. Ὅτι ὑμῖν μὲν πρὸ τοῦ τὰ δεινότατα] ὅτι ὑμεῖς μέν, ἂν εὐθὺς ὑπακούσητε, οὐδὲν δεινὸν πείσεσθε· ἡμεῖς δὲ, εἰ μὴ διαφθείρωμεν ὑμᾶς, ξξομεν ὑμῖν εἰς δέον χρῆσθαι, καὶ γίνεται κέρδος ἡμῖν ἡ ὑμετέρα σωτηρία. 11. Οὐ γὰρ τοσοῦτον ἡμᾶς] ἐχθροὺς μὲν ὑμᾶς ἔχοντες οὐδὲν βλαβησομέθα, μᾶλλον δὲ ὠφεληθησόμεθα, τεκμήριον τῆς ἰσχύος ἡμῶν καὶ δήλωμα τοῖς ἀρχομένοις παρέχοντες τὸ ὑμᾶς καταδουλώσασθαι· εἰ δὲ φίλους ποιησόμεθα, διὰ τὴν ἡμετέραν ἀσθέ-

2. χρησίμους g.
ἀμφοτέρους B.F.H.g.

8. Ὥστε] Si ὥστε accipias pro *itaque*, cum *Interprete* Dionysii Halic. non opus erit supplementis illis, quæ huc inferciuntur. Nec omnino necessarium est ad sententiam, ut hæc cum interrogatione legantur, quæ et a Græv. abest. Ea demta, locus ita accipi potest: itaque, quantum scilicet ex oratione vestra intelligimus, non receperitis, vel non volueritis, id est, non concesseritis nobis, ut otium agentes vobis pro hostibus amici, et neutris socii simus. Accusativum ἡμᾶς vulgo conjungunt cum δέξοισθε, qui æque referri potest ad sequentem infinitivum εἶναι. Δέχεσθαι autem hac significatione recte dici, ostendi potest e locis veterum Scriptorum apud Budæum in Commentar. Ling. Gr. p. 892. Lucian. Dial. Mort. p. 297. Οἱ οὐκ ἂν δέξαιντο ἀνελθεῖν, εἴ τις αὐτοὺς ἀναπέμψειε, *non velint, non cupiant.* Thucyd. V. 32. Μὴ δεχομένων δὲ Ἀθηναίων, *non volentibus, recusantibus* Atheniensibus. Dux.

δὲ om. A.B.F.H.f.g.h.i.

10. δέξησθε I.L.O.P. ceteri δέξοισθε.

11. Οὐ γὰρ—δηλούμενον] Dion. Halic. p. 153. ἐνθύμημα, inquit, ποιηρὸν, καὶ σκολιῶς ἀπηγγελμένον. Wass.

ὅσον ἡ φιλία μὲν ἀσθενείας τὸ δὲ μῖσος δυνάμεως παράδειγμα τοῖς ἀρχομένοις δηλούμενον.

96. ΜΗΛ. Σκοπεῖσι δ' ὑμῶν οὕτως οἱ ὑπήκοοι τὸ εἰκὸς, ὥστε τούς τε μὴ προσήκοντας, καὶ ὅσοι ἄποικοι ὄντες οἱ πολλοὶ καὶ ἀποστάντες τινὲς κεχείρωνται, ἐς τὸ αὐτὸ τιθέασιν;

97. ΑΘ. Δικαιώματι γὰρ οὐδετέρους ἐλλείπειν ἡγοῦνται, κατὰ δύναμιν δὲ τοὺς μὲν περιγίγνεσθαι, ἡμᾶς δὲ φόβῳ οὐκ ἐπιέναι· ὥστε, ἔξω καὶ τοῦ πλεόνων ἄρξαι, καὶ τὸ ἀσφαλὲς ἡμῖν διὰ τὸ καταστραφῆναι ἂν παράσχοιτε, ἄλλως τε καὶ νησιῶται ναυκρατόρων, καὶ ἀσθενέστεροι ἑτέρων ὄντες, εἰ μὴ περιγένοισθε.

98. ΜΗΛ. Ἐν δ' ἐκείνῳ οὐ νομίζετε ἀσφάλειαν; δεῖ γὰρ

νειαν τοῦτο δρᾶσαι νομισθησόμεθα, ὡς φοβούμενοι ὑμᾶς. 3. Σκοπεῖσι δ' ὑμῶν οὕτως] εἰπόντων τῶν Ἀθηναίων ὅτι οἱ σύμμαχοι ἀσθένειαν ἡμῶν καταγνόσονται, οἱ Μήλιοι ὑποφέροντες φασὶν, εἰ οἱ ὑπήκοοι ὑμῶν τοῦτο κρίνουσιν εὔλογον, ὥστε ἐν τῷ αὐτῷ τιθέναι καὶ ὁμοίως ἀξιοῦν καταδουλοῦσθαι τούς τε μηδὲν προσήκοντας ὑμῖν, ὥσπερ ἡμᾶς, καὶ τοὺς ἀποίκους μὲν ὑμῶν ὄντας, ἀποστάντας δὲ, καὶ διὰ τοῦτο χειρωθέντας. 7. Δικαιώματι γὰρ οὐδετέρους ἐλλείπειν ἡγοῦνται] οἱ ὑπήκοοι ἡμῶν δικαιολογίας μὲν οὔτε τοὺς ἡμετέρους ἀποίκους ἀποστάντας οὔτε τοὺς μὴ προσήκοντας ἀπορεῖν ἡγοῦνται· τοὺς δὲ μὴ καταστραφέντας ὑπὸ ἡμῶν οὐχὶ διὰ τὸ δίκαιον, ἀλλὰ δι' ἰσχὺν μένειν ἐλευθέρους, καὶ ἡμᾶς αὐτοὺς μὴ ἐπιέναι οὐ διὰ δικαιοσύνην, ἀλλὰ φοβουμένους. ὥστε, εἰ καταστραφείητε, οὐ μόνον ἡμῖν περιέσται τὸ πλεόνων ἄρχειν, ἀλλὰ καὶ ἀσφάλεια προσέσται, ὡς ἂν μὴ καταφρονουμένοις ὑπὸ τῶν ἤπειρον συμμάχων. 11. Νησιῶται] ἰσχύοντες ταῖς ναυσὶ μᾶλλον ἢ κατὰ τὴν ἤπειρον. 13. Ἐν δ' ἐκείνῳ οὐ νομίζετε ἀσφάλειαν] ἐν δ' ἐκείνῳ οὐχ ἡγεῖσθε ἀσφάλειαν εἶναι,

3. οὕτως om. I.
4. τοὺς] τούτους g.
μὴ om. i.
ἔποικοι c.
5. καὶ om. b.
7. γὰρ] μὲν Q.
11. Ἄλλως τε καὶ] Hæc satis obscura sunt. Melior, quam Vallæ et Porti, videtur esse interpretatio Acacii: maxime cum vos insulam colentes, infirmioresque aliis, nobis maris dominis superiores non fueritis. Ναυκρατόρων recte probat Portus. Nam sic quoque Hesychius, et ναυκρατεῖν dicunt Græci, non ναυτοκρατεῖν. Paullo post ἐκβιάσαντες, quod est in Reg. et Cass. non minus bene huic loco convenit, quam vulgatum ἐκβιβάσαντες. Dux.
ναυκρατόρων F.H.K.L.N.O.P. g.i.k. vulgo ναυτοκρατόρων.
13. ἐν] τί Q.

αὖ καὶ ἐνταῦθα, ὥσπερ ὑμεῖς τῶν δικαίων λόγων ἡμᾶς ἐκβιβάσαντες τῷ ὑμετέρῳ ξυμφόρῳ ὑπακούειν πείθετε, καὶ ἡμᾶς τὸ ἡμῖν χρήσιμον διδάσκοντας, εἰ τυγχάνει καὶ ὑμῖν τὸ αὐτὸ ξυμβαῖνον, πειρᾶσθαι πείθειν. ὅσοι γὰρ
5 νῦν μηδετέροις ξυμμαχοῦσι, πῶς οὐ πολεμώσεσθε αὐτούς, ὅταν ἐς τάδε βλέψαντες ἡγήσωνταί ποτε ὑμᾶς καὶ ἐπὶ σφᾶς ἥξειν; κἀν τούτῳ τί ἄλλο ἢ τοὺς μὲν ὑπάρχοντας πολεμίους μεγαλύνετε, τοὺς δὲ μηδὲ μελλήσοντας γενέσθαι ἄκοντας ἐπάγεσθε;

10 ΑΘ. Οὐ γὰρ νομίζομεν ἡμῖν τούτους δεινοτέρους, ὅσοι 99.
ἠπειρῶταί που ὄντες τῷ ἐλευθέρῳ πολλὴν τὴν διαμέλλησιν τῆς πρὸς ἡμᾶς φυλακῆς ποιήσονται, ἀλλὰ τοὺς νησιώτας τέ που ἀνάρκτους, ὥσπερ ὑμᾶς, καὶ τοὺς ἤδη τῆς ἀρχῆς τῷ ἀναγκαίῳ παροξυνομένους. οὗτοι γὰρ

ἐν τῷ μὴ πειρᾶσθαι τοὺς μὴ προσήκοντας καταστρέφεσθαι; δεῖ γάρ, ὥσπερ ὑμεῖς, ἐκκρούσαντες ἡμᾶς τῆς δικαιολογίας, ἀξιοῦτε πείθειν ἅστε ὑπακούειν ὑμῖν, στοχαζόμενοι τοῦ ὑμῶν αὐτῶν συμφέροντος, οὕτω καὶ ἡμᾶς περὶ τοῦ ἡμῖν αὐτοῖς λυσιτελοῦς πειρᾶσθαι διδάσκειν, ὅτι καὶ ὑμῖν τὸ αὐτὸ σύμφερον, τοῦτέστι τὸ μὴ καταδουλώσασθαι τοὺς μὴ προσήκοντας. τοὺς γὰρ μηδετέροις ξυμμαχοῦντας πῶς οὐ ποιήσετε πολεμίους, ἐπειδὰν, ἀποβλέψαντες εἰς τὴν γνώμην ὑμῶν, ὑποπτεύωσι καὶ αὐτοῖς ἐπιστρατεύσειν; κἀν τούτῳ τί ἄλλο ἢ καὶ τοὺς πρόσθεν πολεμίους αὐξήσετε, καὶ τοὺς μὴ διανοηθέντας ὑμῖν τὴν ἀρχὴν πολεμεῖν ἄκοντας αὐτὸ ποιεῖν ἀναγκάσετε; 5. Μηδετέροις] μήτε τοῖς Ἀθηναίοις μήτε τοῖς Λακεδαιμονίοις. Πολεμώσεσθε] εἰς πόλεμον ἐμβαλεῖτε. 6. Ἐς τάδε] τὰ ἡμέτερα πάθη. 10. Οὐ γὰρ νομίζομεν ἡμῖν τ.] οὐ γὰρ νομίζομεν τοὺς ἐλευθέρους τῶν ἠπειρωτῶν ἡμῖν ἔσεσθαι πολεμίους. μὴ δεδιότες γὰρ ἡμᾶς, ὡς ἂν κατὰ γῆν οὐ μέλλοντας αὐτοῖς ἐπιστρατεύειν, πολλὴν μέλλησιν τοῦ φυλάττεσθαί τε ἡμᾶς καὶ πολεμεῖν ποιήσονται. τοὺς δὲ ἐν ταῖς νήσοις ἐλευθέρους, ὥσπερ ὑμᾶς, καὶ τοὺς ὑπακούοντας μὲν ἤδη, διὰ δὲ τὸ ἐξ ἀνάγκης καὶ μὴ ἑκοντὶ ὑπακούειν παροξυνομένους καὶ ταραττομένους, τούτους ἡγούμεθα, εἰ περιΐδοιμεν ὑμᾶς ἐλευθέρους, ἐπαρθέντας ἀλογίστως καὶ ἀντιστάντας ἡμῖν, αὐτούς τε καὶ ἡμᾶς αὐτοὺς εἰς κίνδυνον καταστήσειν. 11. Τῷ ἐλευθέρῳ] ἐπὶ τῇ ἐλευθερίᾳ αὐτῶν. 14. Τῆς ἀρχῆς τῷ ἀναγκαίῳ]

1. αὖ] ἂν L.O.
2. ἐκβιάσαντες A.B.F.H.Q.f.g.
3. τυγχάνει A.B.F.H.K.L.N. O.P.Q.c.d.e.g.h.i.k. vulgo τυγχάνοι.
8. μὴ K.L.O.P.
11. μέλλησιν L.
12. ποιήσονται A.B.F.H.I.L.O. Q.g.
14. ἀναγκαίως c. γὰρ καὶ πλεῖστ' L.O.P.

πλεῖστ' ἂν τῷ ἀλογίστῳ ἐπιτρέψαντες σφᾶς τε αὐτοὺς καὶ ἡμᾶς ἐς προὔπτον κίνδυνον καταστήσειαν.

100. ΜΗΛ. Ἦ που ἄρα, εἰ τοσαύτην γε ὑμεῖς τε μὴ παυθῆναι ἀρχῆς καὶ οἱ δουλεύοντες ἤδη ἀπαλλαγῆναι τὴν παρακινδύνευσιν ποιοῦνται, ἡμῖν γε τοῖς ἔτι ἐλευθέροις πολλὴ κακότης καὶ δειλία μὴ πᾶν πρὸ τοῦ δουλεῦσαι ἐπεξελθεῖν.

101. ΑΘ. Οὐκ ἦν γε σωφρόνως βουλεύησθε· οὐ γὰρ περὶ ἀνδραγαθίας ὁ ἀγὼν ἀπὸ τοῦ ἴσου ὑμῖν, μὴ αἰσχύνην ὄφλειν, περὶ δὲ σωτηρίας μᾶλλον ἡ βουλή, πρὸς τοὺς κρείσσονας πολλῷ μὴ ἀνθίστασθαι.

102. ΜΗΛ. Ἀλλ' ἐπιστάμεθα τὰ τῶν πολέμων ἔστιν ὅτε κοινοτέρας τὰς τύχας λαμβάνοντα ἢ κατὰ τὸ διαφέρον

τῇ ἀνάγκῃ τῆς ἀρχῆς. ἤγουν τῇ δουλείᾳ. 3. Ἦ που ἄρα, εἰ τοσαύτην] εἰ ὑμεῖς τε, ὦ Ἀθηναῖοι, σπουδὴν ποιεῖσθε πολλὴν ὑπὲρ τοῦ μὴ ἀφαιρεθῆναι τῆς ἡγεμονίας, καὶ οἱ δουλεύοντες ὑμῖν ὑπὲρ τοῦ ἀπαλλαγῆναι τῆς ὑμετέρας ἀρχῆς διακινδυνεύειν θέλουσι, πῶς ἡμεῖς, οἱ ἔτι ἐλεύθεροι ὄντες, οὐκ ἂν κάκιστοι καὶ δειλότατοι κριθείημεν, μὴ πάντα κίνδυνον ὑπομείναντες πρὸ τοῦ δουλεῦσαι; 7. Ἐπεξελθεῖν] εἰς τέλος ἐργάσασθαι. 8. Οὐκ, ἦν γε σωφρόνως βουλεύησθε] ἐὰν σωφρόνως βουλεύσησθε, οὐ καταστήσετε ὑμᾶς αὐτοὺς εἰς κίνδυνον. οὐ γὰρ περὶ ἀρετῆς ἀγωνίζεσθε. καὶ γὰρ ἐλάσσονες ἡμῖν ὄντες, αἰσχρὸν ἡγήσασθε τὸ αἰσχύνην ὄφλειν. περὶ δὲ σωτηρίας ὑμῖν ἡ βουλὴ πρόκειται. διὸ χρὴ μὴ ἀνθίστασθαι τοῖς πολλῷ κρείττοσιν. 12. Ἀλλ' ἐπιστάμεθα τὰ τῶν πολεμίων] ὀρθῶς ἐπιστάμεθα τὰ τῶν πολεμίων τύχῃ μᾶλλον ἢ πλήθους ὑπεροχῇ κρινόμενα. προσέτι δὲ, καὶ τοῦτο γιγνώσκομεν, ὅτι τὸ μὲν εὐθὺς εἶξαι οὐδεμίαν ἐλπίδα ἐλευθερίας ἔχει, ἐν δὲ τῷ ἀνθίστασθαι ἐλπίς τις ὑπολείπεται τοῦ καταπρᾶξαι ὀρθῶς.

3. ἦ] εἴ d.
ἄρα om. g.
παυθῆναι A.B.I.g.h.i.k. παυῆναι c. vulgo παυσθῆναι.
4. δουλεύσαντες i.
6. δειλία] δουλεία P.
11. μὴ ἀνθίστασθαι] μᾶλλον ἵστασθαι g.
12. Ἀλλ' ἐπιστάμεθα—πλῆθος] Stobæus pag. 364. Wass.
πολέμων Q. ceteri πολεμίων.
13. κοινοτέρας P.Q. cum Stob. τὰς om. c.i.

Κοινοτέρας τὰς τύχας] Cod. Dan. et Stobæus κοινοτέρας, quod non contemnendum, et melius sententiæ convenire videtur, quam κοινοτέρας. Gesnerus apud Stobæum non male ita Latine expressit: *in bellis interdum eventus inopinatos accidere, et longe alios, quam pro multitudinis utrimque ratione.* Καινὸν sæpe idem esse, quod παράλογον et

ἑκατέρων πλῆθος. καὶ ὑμῖν τὸ μὲν εἶξαι εὐθὺς ἀνέλπιστον, μετὰ δὲ τοῦ δρωμένου ἔτι καὶ σῶσαι ἐλπὶς ὀρθῶς.

ΑΘ. Ἐλπὶς δὲ κινδύνῳ παραμύθιον οὖσα τοὺς μὲν ἀπὸ περιουσίας χρωμένους αὐτῇ, κἂν βλάψῃ, οὐ καθεῖλε· τοῖς δ' ἐς ἅπαν τὸ ὑπάρχον ἀναῤῥιπτοῦσι (δάπανος 103.

3. Ἐλπὶς δὲ κινδύνῳ παραμύθιον οὖσα] τοὺς ἐν κινδύνῳ καθεστῶτας αὐτὸ μόνον παρηγοροῦσιν· ἀλλὰ τοὺς μὲν ἐν δυνάμει τυγχάνοντας, κἂν σφαλῇ ποτὲ ἡ ἐλπὶς, οὐ κατέλυσε παντελῶς, διὰ τὸ ὑπολείπεσθαι δύναμιν αὐτοῖς· οἱ δὲ περὶ πάντων ὧν ἔχουσιν ἀγωνιζόμενοι ἐπ' ἀδήλῳ ἐλπίδι, ἐπειδὰν ἡ ἐλπὶς σφαλῇ, ἅμα τε ἔγνωσαν ὅτι ἐσφάλησαν, καὶ οὐδὲν αὐτοῖς ὑπολείπεται, ἐν ᾧ γνωρίσαντες τὸ ἀβέβαιον τῆς ἐλπίδος ἐπιφυλάξονται. ὃ ὑμεῖς, ὦ Μήλιοι, ἀσθενεῖς ὄντες καὶ μηδεμιᾷ μάχῃ ἐξαρκέσαι δυνάμενοι, μὴ πάθητε, τὸ ἐλπίδι πιστεῦσαι· μηδὲ τοῖς πολλοῖς ὁμοιωθῆτε, οἳ δυνάμενοι σώζεσθαι, ἐπειδὰν ὑπὸ τῶν φανερῶν ἐλπίδων καταλειφθῶσιν, ἐπὶ τὰς ἀφανεῖς καταφεύγουσι, μαντικήν τε καὶ χρησμοὺς δηλαδὴ, καὶ ὅσα τοιαῦτα λυμαίνεται ἀνθρώπους, ἐν ἐλπίδι τοιοῦντες. ΕΛΠΙΣ ΔΕ ΚΙΝΔΥΝΟΥ ΠΑΡΑΜΥΘΙΟΝ ΟΥΣΑ. τὸ "ἐλπὶς κινδύνου παραμύθιον" σφόδρα βραχέως εἴρηται. τὸ δὲ "δάπανος γὰρ "(τουτέστι δαπανηρὰ) "ἡ ἐλπὶς" καὶ αὐτὸ μὲν βραχὺ, δύναται δὲ τοιοῦτόν τι, ὅτι οἱ ἐλπίζοντές τινος τεύξεσθαι πολλὰ προσδαπανῶσι καὶ προσαναλίσκουσι. τὸ δὲ ἐπὶ ῥοπῆς, καθὰ καὶ τὸ προτεθὲν Ὁμηρικὸν δηλονότι, ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς (Il. 10, 173.) τουτέστι μιᾷ μάχῃ μόγις ἐξαρκεῖν δυνάμενοι. ἔνιοι δὲ ἀπὸ τῶν ἐν μιᾷ ῥοπῇ καὶ πληγῇ ζώων ἀναιρουμένων τὸ ὄνομά

παράδοξον, nemo dubitat. Τὸ καινὸν τοῦ πολέμου, Thucydides III. 30. i. e. ut Scholiastes, τὸ παρ' ἐλπίδα, καὶ παρὰ δόξαν. Τὰ τῶν πολεμίων fortassis defendi potest. Si tamen in scripto aliquo invenissem πολέμων, id præferrem; ut in loco Thucydidis modo laudato, et I. 78. τοῦ πολέμου τὸν παράλογον. Duk.

3. Ἐλπὶς — λυμαίνεται] Dionys. Halic. Tom. II. pag. 156. et λαβυρίνθων, inquit, σκολιώτερα. Æschylus Prom. Θνητούς τ' ἔπαυσα μὴ προδέρκεσθαι μόρον. Τὸ ποίων εὐρὼν τῆσδε φάρμακον νόσου; ΤΥΦΛΑΣ ἐν αὐτοῖς ἘΛΠΙΔΑΣ κατῴκισα. Vid. Hesiod. Ἔργ. 97. Æschylus Agam. Οἵδ' ἐγὼ φεύγοντας ἄνδρας ἘΛΠΙΔΑΣ σιτουμένους. Idem fere Euripid. Phœniss. 399. Noster ad Pindarum respexit Isthm. V. 73. οὗτοι τετύφλωται, μακρὸς Μόχθος ἀνδρῶν· οὐδ' ὁπόσαι ΔΑΠΑΝΑΙ ἘΛΠΙΔΩΝ, ἔκνισ' ὄπιν. Stobæus 364. ἐλπὶς— ἐλλείπει. Κινδύνου legit. non audio. Wass.

Παραμύθιον] Proclus in Hesiodum p. 35. παραμυθίαν legit, et κινδύνου, male. Schol. etiam κινδύνου. Dion. Halic. παραμύθιον, hunc locum citans, exhibet, et bis terque in Antiqq. libris utitur. Plato apud Athenæum XIV. ὅσα ΠΑΡΑΜΥΘΙΑ ἡδονῆς. Plutarch. Coriol. ἀτυχίας πάσης ΠΑΡΑΜΥΘΙΟΝ. Glossæ παραμύθιον Solamen. Sophocles Elect. 129. Ἥκε τ' ἐμῶν καμάτων ΠΑΡΑΜΥΘΙΟΝ. Wass.

5. ἀναῤῥίπτουσι Dionysius.

δάπονος A.

Δάπανος γὰρ φύσει] Citat Thomas Magister in δάπανος. Wass.

γὰρ φύσει) ἅμα τε γιγνώσκεται σφαλέντων, καὶ ἐν ὅτῳ ἔτι φυλάξεταί τις αὐτὴν γνωρισθεῖσαν, οὐκ ἐλλείπει. ὃ ὑμεῖς, ἀσθενεῖς τε καὶ ἐπὶ ῥοπῆς μιᾶς ὄντες, μὴ βούλεσθε παθεῖν, μηδὲ ὁμοιωθῆναι τοῖς πολλοῖς, οἷς παρὸν ἀνθρωπείως ἔτι σώζεσθαι, ἐπειδὰν πιεζομένους αὐτοὺς ἐπιλίπωσιν αἱ φανεραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς καθίστανται, μαντικήν τε καὶ χρησμοὺς καὶ ὅσα τοιαῦτα μετ' ἐλπίδων λυμαίνεται.

104. ΜΗΛ. Χαλεπὸν μὲν καὶ ἡμεῖς (εὖ ἴστε) νομίζομεν πρὸς δύναμίν τε τὴν ὑμετέραν καὶ τὴν τύχην, εἰ μὴ ἀπὸ τοῦ ἴσου ἔσται, ἀγωνίζεσθαι· ὅμως δὲ πιστεύομεν τῇ μὲν τύχῃ ἐκ τοῦ θείου μὴ ἐλασσώσεσθαι, ὅτι ὅσιοι πρὸς οὐ δικαίους ἱστάμεθα, τῆς δὲ δυνάμεως τῷ ἐλλείποντι τὴν Λακεδαιμονίων ἡμῖν ξυμμαχίαν προσέσεσθαι, ἀνάγκην ἔχουσαν, καὶ εἰ μή του ἄλλου, τῆς γε ξυγγενείας ἕνεκα καὶ αἰσχύνῃ βοηθεῖν. καὶ οὐ παντάπασιν οὕτως ἀλόγως θρασυνόμεθα.

105. ΑΘ. Τῆς μὲν τοίνυν πρὸς τὸ θεῖον εὐμενείας οὐδ' ἡμεῖς

φασι πεποιῆσθαι. 4. Τοῖς πολλοῖς] τοῖς ἀπαιδεύτοις. Ἀνθρωπείως] κατὰ τὸ ὀφειλόμενον τῷ ἀνθρωπείῳ γένει. 9. Χαλεπὸν μὲν καὶ ἡμεῖς] τὸ ἑξῆς, πρὸς δύναμίν τε τὴν ὑμετέραν καὶ τὴν τύχην ἀγωνίζεσθαι. τὸ δὲ "εἰ μὴ "ἀπὸ τοῦ ἴσου ἔσται" ὅτι πρὸς ἄνισόν τε καὶ τύχην καὶ δύναμιν τὴν ὑμετέραν ἀγωνιζόμεθα. 13. τῷ ἐλλείποντι] τῇ ἀσθενείᾳ ἡμῶν. 17. Θρασυνόμεθα]

2. ἔτι om. I.O.P.c.i.k.
γνωσθεῖσαν O.
3. κοπῆς f.
μιᾶς om. I.k. ante ῥοπῆς ponit e.
βούλεσθε A.B.F.K.g. vulgo βούλησθε.
5. ἐπιλίπωσιν A.B.h. vulgo ἐπιλείπωσιν.
6. ἐπὶ—λυμαίνεται in margine ponunt F.H.
7. μαντικὴν—λυμαίνεται om. g.
Μαντικὴν] Vide Euripidem Helen. v. 760. Wass.
13. δικαίους K.
14. προέσεσθαι B.
15. ἔχουσα I.P.
μή του B.
τῆς τε ξυγγενείας e. καὶ τῆς ξυγγενείας c.i. τῆς ξυγγενειας P.
18. Τῆς μὲν—ἄρχειν] Dionys. Halic. p. 156. αἰθαδέστερον, ait, ἔτι τὸν Ἀθηναῖον ἀποκρινόμενον εἰσάγει. immo, non malus est civis, sed bonus Historicus. Wass. Thomas Mag. in εἴνια scribit,

εἰόμεθα λελείψεσθαι. οὐδὲν γὰρ ἔζω τῆς ἀνθρωπείας τῶν μὲν ἐς τὸ θεῖον νομίσεως τῶν δ' ἐς σφᾶς αὐτοὺς βουλήσεως δικαιοῦμεν ἢ πράσσομεν. ἡγούμεθα γὰρ τό τε θεῖον δόξῃ, τὸ ἀνθρώπειόν τε σαφῶς διὰ παντὸς ὑπὸ φύσεως ἀναγκαίας, οὗ ἂν κρατῇ, ἄρχειν. καὶ ἡμεῖς οὔτε θέντες τὸν νόμον οὔτε κειμένῳ πρῶτοι χρησάμενοι, ὄντα δὲ παραλαβόντες καὶ ἐσόμενον ἐς ἀεὶ καταλείψοντες, χρώμεθα αὐτῷ, εἰδότες καὶ ὑμᾶς ἂν καὶ ἄλλους ἐν τῇ αὐτῇ δυνάμει ἡμῖν γενομένους δρῶντας ἂν αὐτό. καὶ πρὸς μὲν

ἤγουν ἀνθιστάμεθα. 2. Ἐς τὸ θεῖον νομίσεως] νομίσεως μὲν εἶπε διὰ τὰ νενομισμένα· εἰς σφᾶς δὲ αὐτοὺς βουλήσεως, τῆς εἰς ἀνθρώπους δηλονότι φησὶ προαιρέσεως. 3. Ἡγούμεθα γὰρ τό τε θεῖον] ὁ νοῦς· οὐκ ἔλαττον ἡγούμεθα εὐμενεῖς ἡμῖν ἔσεσθαι τοὺς θεοὺς ἅπερ ὑμῖν. οὐδὲν γὰρ ἔζω πράττομεν οὔτε τῶν εἰθισμένων περὶ τοὺς θεοὺς οὔτε τῶν πρὸς ἀνθρώπους δικαίων. τό τε γὰρ θεῖον θεραπεύομεν κατὰ τὸ κοινὸν πάντων ἀνθρώπων ἔθος, τούς τε ἀνθρώπους ἡγούμεθα φύσει γεγονέναι πρὸς τὸ ἄρχειν ὧν κρατοῦσιν. ὥστε οὔτε αὐτοὶ νομοθετήσαντες περὶ τοῦ ἄρχειν, οὔτε κειμένῳ νόμῳ πρῶτοι χρησάμενοι, παραλαβόντες δὲ τοῦτον καὶ τοῖς ἔπειτα καταλείψοντες, ἄρχομεν ὧν ἂν κρατήσωμεν, εἰδότες ὅτι καὶ ὑμεῖς καὶ ἄλλος ὁστισοῦν, ἐν τῇ ὁμοίᾳ δυνάμει γενόμενος ἡμῶν, τὸ αὐτὸ ἂν ἔπραττεν. 9. Καὶ πρὸς μὲν τὸ θεῖον, οὕτως ἐκ τοῦ εἰκότος οὐ φοβούμεθα ἐλασσώσεσθαι] ὥστε οὐ διὰ ταῦτα φοβούμεθα ἔλαττον ὑμῶν

εὐμένειαν esse majoris erga minorem, et interdum contra; idque ex Æschylo, Aristide, et hoc loco Thucydidis docet. Sed hic εὐμένεια priore sensu accipitur. Dionysius Halicarn. dicit, etiam iis, qui multum in lectione Thucydidis versati sunt, difficile esse adsequi sententiam eorum, quæ hic Atheniensem loquentem inducit. Duk.

2. Ἐς τὸ θεῖον νομίσεως] Νόμισις hoc loco nihil aliud est, quam θρησκεία, vel τὸ περὶ τῶν θεῶν δόγμα. Ita etiam usurpatur a Dione, pag. 21. Ed. Steph. p. 37. Ed. Leunclav. Huds. Polluci V. 126. durum videtur νόμισις. Duk.

3. τό τε] τε τὸ G.

4. τἀνθρώπειον Dionysius: τὸ δὲ ἀνθρώπειον P.

σαφῶς om. B.h.

5. ἀναγκαίως Dionysius.

6. Θέντες] Hoc sensu Clytæmnestra apud Æschylum, Agam. 1050. ζυγῶν θίγειν βίᾳ—Οἱ δ' οὔποτ' ἐλπίσαντες ἥμησαν καλῶς, Ὡμοί τε δούλοις πάντα, καὶ παρὰ στάθμην. Ἔχεις παρ' ἡμῶν οἷάπερ NOMI'ZETAI. Noster Herodoti verba respexit VII. 8. Ὅντ' αὐτὸς ΚΑΤΗΓΗ'ΣΟΜΑΙ νόμον τόνδε ἐν ὑμῖν ΤΙΘΕΙ'Σ, παραδεξάμενός τε, αὐτῷ χρήσομαι. Wass.

καινῷ γρ. h.

7. καταλήψονται g. καταλήψαντες I.

9. ἂν om. I.

τὸ θεῖον αὕτως ἐκ τοῦ εἰκότος οὐ φοβούμεθα ἐλασσώσεσθαι· τῆς δὲ ἐς Λακεδαιμονίους δόξης, ἣν διὰ τὸ αἰσχρὸν δὴ βοηθήσειν ὑμῖν πιστεύετε αὐτοὺς, μακαρίσαντες ὑμῶν τὸ ἀπειρόκακον οὐ ζηλοῦμεν τὸ ἄφρον. Λακεδαιμόνιοι γὰρ πρὸς σφᾶς μὲν αὐτοὺς καὶ τὰ ἐπιχώρια νόμιμα πλεῖστα ἀρετῇ χρῶνται· πρὸς δὲ τοὺς ἄλλους πολλὰ ἄν τις ἔχων εἰπεῖν ὡς προσφέρονται, ξυνελὼν μάλιστ' ἂν δηλώσειεν ὅτι ἐπιφανέστατα ὧν ἴσμεν τὰ μὲν ἡδέα καλὰ νομίζουσι, τὰ δὲ ξυμφέροντα δίκαια. καίτοι οὐ πρὸς τῆς ὑμετέρας νῦν ἀλόγου σωτηρίας ἡ τοιαύτη διάνοια.

106. ΜΗΛ. Ἡμεῖς δὲ κατ' αὐτὸ τοῦτο ἤδη καὶ μάλιστα πιστεύομεν τῷ ξυμφέροντι αὐτῶν, Μηλίους ἀποίκους ὄντας μὴ βουλήσεσθαι προδόντας τοῖς μὲν εὔνοις τῶν Ἑλλήνων ἀπίστους καταστῆναι, τοῖς δὲ πολεμίοις ὠφελίμους.

107. ΑΘ. Οὔκουν οἴεσθε τὸ ξυμφέρον μὲν μετὰ ἀσφαλείας

εὐμενὲς ἕξειν τὸ θεῖον. ἐπεὶ δὲ τοὺς Λακεδαιμονίους δοκεῖτε βοηθήσειν ὑμῖν, αἰσχρὸν νομίζοντας περιιδεῖν τοὺς ἀποίκους πολεμουμένους, τὸ μὲν ὑμῶν μακαρίζομεν ἀπειρόκακον, τὸ δὲ ἄφρον οὐκ ἐπαινοῦμεν. Λακεδαιμόνιοι γὰρ πρὸς μὲν ἀλλήλους καὶ τὴν κοινὴν πολιτείαν τὰ πλεῖστα μετ' ἀρετῆς πράττουσι· πρὸς δὲ τοὺς ἄλλους ὅπως ἔχουσι, μάλιστα ἄν τις ὑμῖν ἐν βραχεῖ δηλώσειεν, καίτοι πολλὰ εἰπεῖν ἔχων, ὅτι πάντων ἀνθρώπων ὧν ἴσμεν ἐκφανέστατα Λακεδαιμόνιοι ἐν ταῖς πρὸς ἄλλους ξυναλλαγαῖς τὰ μὲν ἑαυτοῖς ἡδέα, ταῦτα καὶ καλὰ νομίζουσι, τὰ δὲ συμφέροντα αὐτοῖς καὶ δίκαια. ὥστε οὐκ ἔστιν ἀλογίστως διανοεῖσθαι περὶ τῆς σωτηρίας ὑμῶν, προσδεχομένων τὴν παρ' ἐκείνων βοήθειαν. 12. Ἡμεῖς δὲ κατ' αὐτὸ τοῦτο] εἰπόντων τῶν Ἀθηναίων ὅτι Λακεδαιμόνιοι τοῦ ὑμετέρου συμφέροντος οὐ στοχάζονται, φασὶν οἱ Μήλιοι ὅτι διὰ τὸ ἴδιον συμφέρον τοὺς Λακεδαιμονίους πιστεύομεν καὶ μάλιστα ἥξειν ἡμῖν βοηθούς, ὅπως μὴ τοῖς μὲν εἰνοοῦσι τῶν Ἑλλήνων ἄπιστοι φανῶσιν, ὑμᾶς δὲ τοὺς πολεμίους ὠφελήσωσι, προδόντες ἡμᾶς τοὺς συμμάχους. 17. Οὔκουν οἴεσθε] ἀλλ' οὖν, ὥσπερ ἴστε, συμφέρει μὲν τὸ μετ' ἀσφαλείας

2. ἣν H.g.
δὴ διὰ τὸ αἰσχρὸν f.
5. τὰ om. L.O.
8. ἂν ὡς δηλώσειε P.
14. βουλήσεσθαι A.B.F.H.N. c.f.g.
17. οὔκουν] Ita scribendum putavi quod vulgo est οὐκοῦν.
οἴεσθε b.

εἶναι, τὸ δὲ δίκαιον καὶ καλὸν μετὰ κινδύνου δρᾶσθαι· ὃ Λακεδαιμόνιοι ἥκιστα ὡς ἐπὶ τὸ πολὺ τολμῶσιν.

ΜΗΛ. Ἀλλὰ καὶ τοὺς κινδύνους τε ἡμῶν ἕνεκα μᾶλ- 108.
λον ἡγούμεθ' ἂν ἐγχειρίσασθαι αὐτούς, καὶ βεβαιοτέρους ἢ ἐς ἄλλους νομιεῖν, ὅσῳ πρὸς μὲν τὰ ἔργα τῆς Πελοποννήσου ἐγγὺς κείμεθα, τῆς δὲ γνώμης τῷ ξυγγενεῖ πιστότεροι ἑτέρων ἐσμέν.

ΑΘ. Τὸ δ' ἐχυρόν γε τοῖς ξυναγωνιουμένοις οὐ τὸ εὔ- 109.
νουν τῶν ἐπικαλεσαμένων φαίνεται, ἀλλ' ἢν τῶν ἔργων τις δυνάμει πολὺ προὔχῃ· ὃ Λακεδαιμόνιοι καὶ πλεῖόν τι τῶν ἄλλων σκοποῦσι. τῆς γοῦν οἰκείας παρασκευῆς ἀπιστίᾳ καὶ μετὰ ξυμμάχων πολλῶν τοῖς πέλας ἐπέρχονται, ὥστε οὐκ εἰκὸς ἐς νῆσόν γε αὐτοὺς ἡμῶν ναυκρατόρων ὄντων, περαιωθῆναι.

ΜΗΛ. Οἱ δὲ καὶ ἄλλους ἂν ἔχοιεν πέμψαι· πολὺ 110.

ἕκαστα πράττειν, τὸ δὲ καλὸν καὶ τὸ δίκαιον διὰ κινδύνων περιγίγνεται. Λακεδαιμόνιοι δὲ τοὺς κινδύνους περίστανται. 3. Ἀλλὰ καὶ τοὺς κινδύνους] ἀλλὰ καὶ τὸν κίνδυνον αὐτοὺς τὸν ὑπὲρ ἡμῶν ἀναδέξασθαι ἡγούμεθα, καὶ πεπείσμεθά γε μᾶλλον ὑπὲρ ἡμῶν ἢ ὑπὲρ ἄλλων αὐτοὺς διακινδυνεύσειν. εἴς τε γὰρ τὰς χρείας ὠφέλιμοι τυγχάνομεν αὐτοῖς, ἐγγὺς τῆς Πελοποννήσου κείμενοι, διὰ συγγένειαν. 8. Τὸ δ' ἐχυρόν γε τοῖς ξυναγωνιουμένοις] τοῖς ἐπὶ συμμαχίαν (φησί) παρακαλουμένοις ἐχυρὸν φαίνεται πρὸς τὸ βοηθῆσαι, οὐχ ἡ εὐνοια τῶν παρακαλούντων, ἀλλ' ἡ δύναμις αὐτῶν, ἣν Λακεδαιμόνιοι μᾶλλον τῶν ἄλλων ἐξετάζουσι, καὶ διὰ τὸ ἐχυρῶς ἐξετάζειν καὶ τῇ ἰδίᾳ δυνάμει πολλάκις ἀπιστοῦσι. διὰ τοῦτό γέ τοι μετὰ συμμάχων πολλῶν ἐπιστρατεύουσι τοῖς πέλας. ὥστε οὐκ εἰκὸς αὐτοὺς, ἡμῶν θαλαττοκρατούντων, εἰς νῆσον ἕνεκεν ὑμῶν περαιώσασθαι, εἰδότας ὅτι κατὰ τοῦτο ἥττους ἡμῶν εἰσίν. 15. Οἱ δὲ καὶ ἄλλους ἂν ἔχοιεν πέμψαι] ἀλλὰ, εἰ καὶ αὐτοὶ πλεῦσαι ἀκήσουσιν, ἔχουσί γε συμμάχους ἄλλους ἡμῖν πέμψαι βοηθούς. Πολὺ δὲ τὸ Κρητικὸν πέλαγος] μεγάλου τε ὄντος τοῦ Κρητικοῦ πελάγους, δι' οὗ πέμψουσι τὴν βοήθειαν. μᾶλλον γὰρ οἱ πεμφθέντες δυήσονται, λαθόντες ὑμᾶς θαλαττοκρα-

1. κινδύνων h.
δρᾶσαι A.B.F.H.I.K.N.P.b.c. d.e.f.i.k. δράσαι L.M.O.g.
2. τὸ om. k.
5. νομίσειν I.K.e.k.
8. γε om. L.O.P.
9. ἢν om. P.
10. πολλῇ e.g.
13. ναυκρατόρων A.F.H.I.K.L. N.O.P.c.d.e.k. αὐτοκρατόρων g. vulgo ναυτοκρατόρων.
15. οἱ] εἰ g.k.
δὲ μὴ καὶ L.O.P.Q.
ἀνέχοιεν g.

τὸ Κρητικὸν πέλαγος, δι' οὗ τῶν κρατούντων ἀπορώτερος ἡ λῆψις ἢ τῶν λαθεῖν βουλομένων ἡ σωτηρία. καὶ εἰ τοῦδε σφάλλοιντο, τράποιντ' ἂν καὶ ἐς τὴν γῆν ὑμῶν καὶ ἐπὶ τοὺς λοιποὺς τῶν ξυμμάχων, ὅσους μὴ Βρασίδας ἐπῆλθε· καὶ οὐ περὶ τῆς μὴ προσηκούσης μᾶλλον ἢ τῆς οἰκειοτέρας ξυμμαχίδος τε καὶ γῆς ὁ πόνος ὑμῖν ἔσται.

111. ΑΘ. Τούτων μὲν καὶ πεπειραμένοις ἄν τι γένοιτο καὶ ὑμῖν, καὶ οὐκ ἀνεπιστήμοσιν ὅτι οὐδ' ἀπὸ μιᾶς πώποτε πολιορκίας Ἀθηναῖοι δι' ἄλλων φόβον ἀπεχώρησαν. ἐν-

τοῦντας, σωθῆναι πρὸς ἡμᾶς, ἥπερ ὑμεῖς, οἱ κρατοῦντες τῆς θαλάσσης, συλλαβεῖν αὐτούς. εἰ δὲ καὶ τούτου διαμάρτοιεν, τὴν γῆν ὑμῶν δῃώσουσι, καὶ τοὺς ἄλλους συμμάχους, ὅσους Βρασίδας οὐκ ἐπῆλθε, χειρώσονται· ὥστε ὑμῶν οὐ περὶ τῆς μὴ προσηκούσης, τῆς ἡμετέρας, ὁ ἀγὼν ἔσται, ἀλλὰ περὶ τῆς τῶν συμμάχων καὶ τῆς ὑμετέρας. 7. Τούτων μὲν καὶ πεπειραμένοις] τούτων μὲν καὶ ὑμεῖς πεπείρασθε, καὶ οὐκ ἀνεπιστήμονές ἐστε ὅτι οὐδέποτε Ἀθηναῖοι, πολιορκοῦντες ἑτέρους, ἀπεχώρησαν διὰ τὸ φοβηθῆναι περὶ τῶν συμμάχων ἢ περὶ τῆς γῆς τῆς ἑαυτῶν δῃουμένης· ἐκεῖνο δὲ ἐνθυμούμεθα, ὅτι, περὶ σωτηρίας βουλευόμενοι, οὐδὲν ἐν τοσούτοις λόγοις εἰρήκατε σωτήριον, καὶ δυνάμενον πεῖσαι ὅτι δύναται σώζειν. ἀλλὰ τὰ μὲν ἰσχυρότερα ὑμῶν ἐλπίδες εἰσὶ μέλλουσαι· τὰ δὲ ὑπάρχοντα, ὡς πρὸς τὰ ἡμέτερα, παντελῶς εἰσὶ σμικρά. κἀν τε δὴ ἀλόγιστοι καθεστήκατε, εἰ μὴ καθ' ἑαυτοὺς γενόμενοι βουλεύσεσθε φρονιμώτερον. οὐ γὰρ δὴ εἰκότως ἐπὶ τὴν μάλιστα λυμαίνουσαν τοὺς ἀνθρώπους αἰσχύνην καταφεύξεσθε, δι' ἣν πολλοί, καίπερ ὁρῶντες ὅτι εἰς κίνδυνον ἔρχονται, ὅμως, φεύγοντες τὸ ἀπρεπὲς τοῦ ὀνόματος (τοῦτό ἐστι τὸ ὑπακοῦσαι, ἔχον τι ποιητικὸν αἰσχύνης· τοῦτο γάρ ἐστι τὸ ἀναγωγὸν) συμφορᾶς μεγίστας περιέπεσον, καὶ αἰσχύνην μείζονα προσέλαβον ἧς ἔφευγον. ἀντὶ τοῦ, ἀνοήτους αὐτοὺς συνέβη νομίζεσθαι, καὶ οὐ δοκεῖν διὰ τύχην πταῖσαι. ἐν γὰρ τῷ "ἡ τύχῃ" ὁ ἡ σύνδεσμος ἀντὶ τοῦ ἥπερ κεῖται. ὑμεῖς οὖν φυλάξεσθε τὴν πάντα λυμαινομένην αἰσχύνην, ἂν εὖ βουλεύσησθε· καὶ μὴ ἀπρεπὲς ἡγήσεσθε ὑπακοῦσαι πόλει τῇ μεγίστῃ, καὶ προκαλουμένῃ ὑμᾶς ἐπὶ μετρίοις, ὥστε συμμάχους γενέσθαι, ἔχοντας τὴν ὑμετέραν γῆν ὑποτελῆ. αἱρέσεως οὖν προκειμένης ἢ πολεμεῖν ἢ ζῆν ἀσφαλῶς, μὴ τὸ χεῖρον ἕλησθε φιλονεικήσαντες. ὅσοι γὰρ τῶν ἀνθρώπων τοῖς μὲν ἴσοις μὴ ὑπείκουσι, τῶν δὲ κρειττόνων ἡττῶνται, τοῖς δὲ ἥττοσι μετρίως προσφέρονται, οὗτοι μέγιστα δὴ κατορθοῦσι. βουλεύσασθε οὖν, μεταστάντων ἡμῶν, καὶ πολλάκις πρὸ ὀφθαλμῶν λάβετε ὅτι περὶ πατρίδος ἡ σκέψις, μιᾶς οὔσης, περὶ ἧς ἐν μιᾷ βουλῇ ἡ κατορθώσετε ἢ σφα-

1. δὲ om. B.h.
2. λαβεῖν I.
3. σφάλοιντο B.P.Q.f.
4. λοιποὺς ξυμμάχους e.
5. μὴ om. f.
6. καὶ γῆς] γῆς καὶ g. ἡμῶν g.
8. οὐδ'] δ' P.
9. ἄλλων L.

θυμούμεθα δὲ ὅτι, φήσαντες περὶ σωτηρίας βουλεύσειν, οὐδὲν ἐν τοσούτῳ λόγῳ εἰρήκατε ᾧ ἄνθρωποι ἂν πιστεύσαντες νομίσαιεν σωθήσεσθαι, ἀλλ' ὑμῶν τὰ μὲν ἰσχυρότατα ἐλπιζόμενα μέλλεται, τὰ δ' ὑπάρχοντα βραχέα πρὸς τὰ ἤδη ἀντιτεταγμένα περιγίγνεσθαι. πολλήν τε ἀλογίαν τῆς διανοίας παρέχετε, εἰ μὴ μεταστησάμενοι ἔτι ἡμᾶς ἄλλο τι τῶνδε σωφρονέστερον γνώσεσθε. οὐ γὰρ δὴ ἐπί γε τὴν ἐν τοῖς αἰσχροῖς καὶ προὔπτοις κινδύνοις πλεῖστα διαφθείρουσαν ἀνθρώπους αἰσχύνην τρέψεσθε. πολλοῖς γὰρ προορωμένοις ἔτι ἐς οἷα φέρονται, τὸ αἰσχρὸν καλούμενον ὀνόματος ἐπαγωγοῦ δυνάμει ἐπεσπάσατο, ἡσσηθεῖσι τοῦ ῥήματος, ἔργῳ ξυμφοραῖς ἀνηκέστοις ἑκόντας περιπεσεῖν, καὶ αἰσχύνην αἰσχίω μετὰ ἀνοίας ἢ τύχης προσλαβεῖν. ὃ ὑμεῖς, ἢν εὖ βουλεύησθε, φυλάξεσθε, καὶ οὐκ ἀπρεπὲς νομιεῖτε πόλεώς τε τῆς μεγίστης ἡσσᾶσθαι μέτρια προκαλουμένης, ξυμμάχους γενέσθαι, ἔχοντας τὴν ὑμετέραν αὐτῶν, ὑποτελεῖς, καὶ δοθείσης αἰ-

7. Σωφρονέστερον] *φρονιμώτερον.* 10. Προορωμένοις] *φανερῶς βλέπουσιν.* 11. Ἐπαγωγοῦ] *ἐπισπαστικοῦ.*

1. δὲ om. Q.
2. οὐδὲ d.
3. *ἰσχυρότερα* L. *ἰσχυρὰ ὄντα* Dionysius.
4. δὲ *παρόντα* Dionysius.
5. *περιγενέσθαι* Dionysius.
6. *ἀναλογίαν* f. *παρέχεται* B.
7. ἔτι om. Dionysius.
8. *προὔπτοις*] *πλείστοις* i.
9. *διαβλάψασαν γρ.* h.
10. Πολλοῖς γὰρ προορωμένοις] Portus per enallagen dictum putat, pro *πολλοὺς προορωμένους*, et *ἡσσηθέντας*. Sed fortassis recte dici potest, *τὸ αἰσχρὸν ἐπεσπάσατο πολλοῖς τὸ αὐτοὺς ἑκόντας περιπεσεῖν συμφοραῖς, multis hoc conciliavit, causa fuit*, ut volentes in calamitates inciderent. Nam quum dicitur *ἐπισπάσασθαι φθόνον, κίνδυνον*, et alia, haud dubie dativus aliquis, ut *ἑαυτῷ*, vel alius, supplendus est. Thucydides infinito *περιπεσεῖν* utitur pro nomine, ut omnes Græci. Si eo omisso dixisset, *τὸ αἰσχρὸν πολλοῖς ἐπεσπάσατο συμφοράς*, nemo, opinor, de enallage cogitasset. Duk.
ἔτι B.b.c.d.e.h.i.k. vulgo ὅτι.
φέρεται d.
13. *ἑκόντας* om. Q.
14. *βουλεύσεσθαι* K. *φυλάξησθε* P. *φυλάξασθε* e.
17. *ὑποτελεῖς* A.B.F.H.K.L.M. N.O.P.Q.b.c.d.e.f.g.h.i.k. vulgo *ὑποτελῆ*.
Ἔχοντας τὴν ὑμετέραν αὐτῶν ὑπο-

ρέσεως πολέμου πέρι καὶ ἀσφαλείας μὴ τὰ χείρω φιλονεικῆσαι· ὡς, οἵτινες τοῖς μὲν ἴσοις μὴ εἴκουσι, τοῖς δὲ κρείσσοσι καλῶς προσφέρονται, πρὸς δὲ τοὺς ἥσσους μέτριοί εἰσι, πλεῖστ' ἂν ὀρθοῖντο. σκοπεῖτε οὖν καὶ μεταστάντων ἡμῶν, καὶ ἐνθυμεῖσθε πολλάκις ὅτι περὶ πατρίδος βουλεύεσθε, ἣν μιᾶς πέρι καὶ ἐς μίαν βουλὴν τυχοῦσάν τε καὶ μὴ κατορθώσασαν ἔσται.

112. Re seorsum deliberata, Melii in eadem sententia perstant, idque Athe-

Καὶ οἱ μὲν Ἀθηναῖοι μετεχώρησαν ἐκ τῶν λόγων· οἱ δὲ Μήλιοι κατὰ σφᾶς αὐτοὺς γενόμενοι, ὡς ἔδοξεν αὐτοῖς παραπλήσια καὶ ἀντέλεγον, ἀπεκρίναντο τάδε "Οὔτε "ἄλλα δοκεῖ ἡμῖν ἢ ἄπερ καὶ τὸ πρῶτον, ὦ Ἀθηναῖοι,

3. Προσφέρονται] ὁμιλοῦσι. Μέτριοι] δίκαιοι.

τελῆ] Merces vectigali obnoxias ὑποτελεῖς dici, docet Pollux IX. 31. An agri stipendiarii etiam ὑποτελεῖς dicantur, quærant, qui vulgatam hujus loci scripturam defendere volent. Thucydides quidem ubique homines stipendiarios, non agros, ὑποτελεῖς vocat. Vid. I. 19. 56. II. 9. et VII. 57. Et eosdem ὑποτελεῖν dicit III. 46. Add. Lucianum Catapl. p. 444. Duk.

2. ὡς] καὶ ὡς I.

Ὡς, οἵτινες—ὀρθοῖντο] Stobæus pag. 270. κρείττοσι legit, et εἰς δὲ τοὺς ἥσσους. Wass.

3. ἥσσους] ἴσους O.P.e. ἐλάττους L.

6. ἣν A.

Μιᾶς πέρι] Scholiastes hoc de patria exponit. Eum sequuti sunt Valla et Acacius, qui vertit, *quam unicam* unico consilio conservare et evertere potestis. Portus e sequenti membro huc revocat βουλῆς, et interpretatur, quasi *in una ancora constitutam*, et ab hoc unico consilio vestro pendentem. Hoc tolerabilius est, quam prius illud. In his, quæ paullo post dicuntur, nonnihil dubito, an participia τυχοῦσαν et κατορθώσασαν pro infinitivis, quod Thucydidi usitatissimum est, possint accipi, hac sententia: ἔσται τὴν πατρίδα τυχεῖν, καὶ μὴ κατορθώσειν, erit, eveniet, patriam felicem, vel infelicem esse. Cui hoc non placet, est enim satis durum, ei vel Porti conjectura, ἢ—τυχοῦσά τε καὶ μὴ κατορθώσασα ἔσται, amplectenda; vel, pro ἔσται, ἴστε legendum est: quam lectionem Vallam, sive e conjectura, sive quod ita in Codice suo invenerat, sequutum esse, ex illius interpretatione Latina, *quam — scitis*, adparet. Et hoc, quum omnem difficultatem, quæ in his verbis est, tollat, ac præterea ἴστε facile in ἔσται degenerare potuerit, sine ulla hæsitatione probarem, si alicujus libri scripti auctoritas accederet. Duk.

7. μὴ om. e.

ἔσται] ἴστε I. ἵστασαι γρ. h. πειρασόμεθα K.

" οὔτ' ἐν ὀλίγῳ χρόνῳ πόλεως ἑπτακόσια ἔτη ἤδη οἰ- niensibus respondent;
" κουμένης τὴν ἐλευθερίαν ἀφαιρησόμεθα, ἀλλὰ τῇ τε
" μέχρι τοῦδε σωζούσῃ τύχῃ ἐκ τοῦ θείου αὐτὴν καὶ τῇ
" ἀπὸ τῶν ἀνθρώπων καὶ Λακεδαιμονίων τιμωρίᾳ πι-
" στεύοντες πειρασόμεθα σώζεσθαι. προκαλούμεθα δὲ
" ὑμᾶς φίλοι μὲν εἶναι, πολέμιοι δὲ μηδετέροις, καὶ ἐκ
" τῆς γῆς ἡμῶν ἀναχωρῆσαι σπονδὰς ποιησαμένους, αἵ-
" τινες δοκοῦσιν ἐπιτήδειοι εἶναι ἀμφοτέροις." * Οἱ μὲν 113. qui eventum prædicunt,
δὴ Μήλιοι τοσαῦτα ἀπεκρίναντο· οἱ δὲ Ἀθηναῖοι διαλυ-
όμενοι ἤδη ἐκ τῶν λόγων ἔφασαν " Ἀλλ' οὖν μόνοι γε
" ἀπὸ τούτων τῶν βουλευμάτων, ὡς ἡμῖν δοκεῖτε, τὰ μὲν
" μέλλοντα τῶν ὁρωμένων σαφέστερα κρίνετε, τὰ δὲ
" ἀφανῆ τῷ βούλεσθαι ὡς γιγνόμενα ἤδη θεᾶσθε, καὶ
" Λακεδαιμονίοις καὶ τύχῃ καὶ ἐλπίσι πλεῖστον δὴ
" παραβεβλημένοι καὶ πιστεύσαντες πλεῖστον καὶ σφα-
" λήσεσθε." * Καὶ οἱ μὲν Ἀθηναίων πρέσβεις ἀνεχώρη- 114. statim ad obsidionem se parant, et urbem munitione cingunt.
σαν ἐς τὸ στράτευμα· οἱ δὲ στρατηγοὶ αὐτῶν, ὡς οὐδὲν
ὑπήκουον οἱ Μήλιοι, πρὸς πόλεμον εὐθὺς ἐτράποντο, καὶ
διελόμενοι κατὰ πόλεις περιετείχισαν κύκλῳ τοὺς Μη-
λίους. καὶ ὕστερον φυλακὴν σφῶν τε αὐτῶν καὶ τῶν
ξυμμάχων καταλιπόντες οἱ Ἀθηναῖοι καὶ κατὰ γῆν
καὶ κατὰ θάλασσαν, ἀνεχώρησαν τῷ πλείονι τοῦ στρα-

1. Οὔτε ἐν ὀλίγῳ χρόνῳ πόλεως ἑπτακόσια] ὅτι ἔτη ἑπτακόσια Μῆλος ἡ νῆσος ὑπὸ Λακεδαιμονίων ἐλευθέρους οἰκισθεῖσα, ὕστερον ὑπὸ Ἀθηναίων ἐπὶ δουλείᾳ ἐξεπολιορκήθη. 12. Τὰ δὲ ἀφανῆ τῷ βούλεσθαι] τὰ δὲ ἄδηλα διὰ τὸ βούλεσθαι οὕτως ἔχειν οἴεσθε, καθάπερ τὰ παρόντα καὶ γιγνόμενα θεᾶσθε. 13. Ὡς γιγνόμενα] ὁρώμενα, ἐνεργούμενα. 15. Παραβεβλημένοι] πρόβλημα αὐτοὺς καὶ ἕρυμα ἔχοντες. ἐπιτρέψαντες παραβόλως.

11. ἀπὸ] ἐκ h.
13. βούλεσθαι] βουλεύεσθαι i. et γρ. h. βουλεύεσθε P.
14. ἐλπίδι e.
15. πλεῖστον P.
18. ἐτρέποντο A.B.I.f.g.h.i.
19. ἐτείχισαν κύκλῳ e. περιεκύκλωσαν κύκλῳ i. προεκύκλωσαν κύκλῳ d.
20. τε σφῶν g.
21. ἀθηναῖοι κατὰ L.O.P.

τοῦ. οἱ δὲ λειπόμενοι παραμένοντες ἐπολιόρκουν τὸ χωρίον.

115. Argivorum incursio in Phliasiam. Athenienses, Pylo profecti, a Lacedæmoniorum agro prædas abigunt. Spartani idem cuilibet suorum in Atheniense facere permittunt. Corinthii cum Atheniensibus de suis quibusdam rebus bellum gerebant. Melii partem munitionis

Καὶ Ἀργεῖοι κατὰ τὸν χρόνον τὸν αὐτὸν ἐσβαλόντες ἐς τὴν Φλιασίαν, καὶ λοχισθέντες ὑπό τε Φλιασίων καὶ τῶν σφετέρων φυγάδων, διεφθάρησαν ὡς ὀγδοήκοντα. καὶ οἱ ἐκ τῆς Πύλου Ἀθηναῖοι Λακεδαιμονίων πολλὴν λείαν ἔλαβον. καὶ Λακεδαιμόνιοι δι' αὐτὸ, τὰς μὲν σπονδὰς οὐδ' ὡς ἀφέντες, ἐπολέμουν αὐτοῖς, ἐκήρυξαν δὲ εἴ τις βούλεται παρὰ σφῶν Ἀθηναίους ληΐζεσθαι. καὶ Κορίνθιοι ἐπολέμησαν ἰδίων τινῶν διαφορῶν ἕνεκα τοῖς Ἀθηναίοις· οἱ δ' ἄλλοι Πελοποννήσιοι ἡσύχαζον. εἵλον δὲ καὶ οἱ Μήλιοι τῶν Ἀθηναίων τοῦ περιτειχίσματος τὸ κατὰ τὴν ἀγορὰν, προσβαλόντες νυκτὸς, καὶ ἄνδρας τε ἀπέκτειναν, καὶ ἐσενεγκάμενοι σῖτόν τε καὶ ὅσα πλεῖστα ἐδύ-

1. λειπόμενοι] πολέμιοι L.O.P. περιμένοντες h.
4. φλιασίων N.g. λογχισθέντες P. τε φλιασίων B.H.L.N.O.P.c.d. e.g.h.i.k. vulgo τε τῶν φλιασίων.
5. φυγάδων om. B.h.
6. πολλὴν] πόλιν A.B.c.g.
7. δι' αὐτὸ] δ' αὐτοὺ A.B.h.
9. ἀθηναίων g.
12. Τὸ κατὰ τὴν ἀγορὰν] Hoc vix potest intelligi de foro urbis Meliorum. Puto designari forum rerum venalium in munitionibus Atheniensium, et locum, ubi adservabatur frumentum, et alia ad usus militum, qui urbem obsidebant. Id indicant ea, quæ mox de frumento et aliis rebus a Meliis raptis dicit Thucydides. Dux.
14. Καὶ ὅσα πλεῖστα ἐδύναντο χρήμασιν] Portus religiose sequitur scripturam vulgatam. Sed quis credat, Meliis, qui de improviso noctu eruptione facta tantum partem aliquam munitionum hostilium, quibus undique claudebantur, expugnaverant, tempus et aliam facultatem commeatum alicunde pecunia comparandi superfuisse? Melius est ad sententiam, quod habet Cod. Ar. χρήματα. Etiam Valla et Acacius viderunt, non posse tolerari χρήμασι. Nam ille vertit, *quæ ex usu forent* quam potuere plurima: hic, quantum poterant *ad usus necessaria*. Qua significatione Thucydidem etiam I. 2. hac voce usum arbitror de priscis Græciæ incolis, νεμόμενοί τε τὰ αὐτῶν ἕκαστοι ὅσον ἀπεζῆν, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες. Nam, cur id ibi cum Interpretibus et Libanio in Progymn. pag. 114. ad pecuniam coarctetur, nulla causa est. Quin et VI. 93. χρήματα et τροφὴν pro eodem dicit: ἣν (τριήρη) ἀπίστει-

ναντο χρήσιμα ἀναχωρήσαντες ἡσύχαζον· καὶ οἱ Ἀθηναῖοι ἄμεινον τὴν φυλακὴν τὸ ἔπειτα παρεσκευάζοντο. καὶ τὸ θέρος ἐτελεύτα. Athenienses capiunt, et frumentum important.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι μελλήσαντες ἐς τὴν Ἀργείαν στρατεύειν, ὡς αὐτοῖς τὰ διαβατήρια ἱερὰ ἐν τοῖς ὁρίοις οὐκ ἐγίγνετο, ἀνεχώρησαν. καὶ Ἀργεῖοι, διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐν τῇ πόλει τινὰς ὑποτοπήσαντες, τοὺς μὲν ξυνέλαβον, οἱ δ' αὐτοὺς καὶ διέφυγον. καὶ οἱ Μήλιοι περὶ τοὺς αὐτοὺς χρόνους αὖθις καθ' ἕτερόν τι τοῦ περιτειχίσματος εἷλον τῶν Ἀθηναίων, παρόντων οὐ πολλῶν τῶν φυλάκων. καὶ ἐλθούσης στρατιᾶς ὕστερον ἐκ τῶν Ἀθηνῶν ἄλλης, ὡς ταῦτα ἐγίγνετο, ἧς ἦρχε Φιλοκράτης ὁ Δημέου, καὶ κατὰ κράτος ἤδη πολιορκούμενοι, γενομένης καὶ προδοσίας τινὸς ἀφ' ἑαυτῶν, 116. Sed cum iterum partem munitionum capissent, ab Atheniensibus studiosius oppugnantur, et sponte se dedunt. Tum omnes ad unum trucidantur præter mulieres et pueros. Atheniensium coloni Melum deducti.

2. Τὴν φυλακὴν] τῆς Μήλου. 13. Πολιορκούμενοι] οἱ Μήλιοι.

λων οἱ στρατηγοὶ ἐπί τε χρήματα καὶ ἱππέας. καὶ οἱ Ἀθηναῖοι ἀκούσαντες ἐψηφίσαντο τήν τε τροφὴν πέμπειν τῇ στρατιᾷ, καὶ τοὺς ἱππέας. Si quis tamen χρήματα hic interpretari velit pecuniam ad stipendia militum, et alios usus belli, cum eo non magnopere contendam. Duk.

1. χρήσιμα h.i. ut legendum esse viderat Wassius: χρήματα L.Q. vulgo χρήμασιν.

5. ἀργείων d.i.

6. καὶ οἱ ἀργεῖοι K.

9. αὖτις A.B.H.I.K.N.

12. ἐκ τῶν] αὐτῶν K. ἀθηναίων I.

14. καὶ γενομένης L.O.P.

13. Πολιορκούμενοι] Πολιορκοῦντες λιμῷ, inquit Hesych. (?) laudato Thucyd. unde proverbium λιμῷ Μηλίῳ natum. idem fere Schol. Aristoph. λιμῷ ἐκείσθησαν· ὡς Θουκυδ. ἐν τῇ πέμπτῃ· ad hæc Ὀρν. 186. θεοὺς ἀπολεῖτε λιμῷ Μηλίῳ. hoc factum a Nicia asserit Schol. Sed de Nicia nulla post pacem V. 32. mentio, neque extra urbem cum imperio fuisse videtur. Diodorus quidem diserte Νικίου στρατηγοῦντος Ἀθηναῖοι εἷλον Κύθηρα καὶ Νίσαιαν. τήν τε Μῆλον πολιορκήσαντες ἠβηδὸν ἀπέσφαξαν, nempe Athenienses: non Melum quidem ductu Niciæ, sed alio tempore atque Cytheram etc. Nescio ergo, an reponendum apud Schol. Aristoph. Τισίας? vide Thucyd. V. 84. et Plutarch. in Alcibiade, p. 199. Caute Strabo X. 484. Ἀθηναῖοι δέ ποτε, πέμψαντες στρατείαν, ἠβηδὸν κατέσφαξαν τοὺς πλείους. Vid. Aristoph. Schol. ad Aves 362. ubi, Niciæ *consiliis* deberi hanc deditionem, ait. Wass. Si Diodorus ea, quæ de Niciæ rebus gestis narrat, e Thucydide descri-

ξυνεχώρησαν τοῖς Ἀθηναίοις ὥστ᾽ ἐκείνους περι αὐτῶν βουλεῦσαι. οἱ δὲ ἀπέκτειναν Μηλίων ὅσους ἡβῶντας ἔλαβον, παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν. τὸ δὲ χωρίον αὐτοὶ ᾤκησαν, ἀποίκους ὕστερον πεντακοσίους πέμψαντες.

1. Ἐκείνους] τοὺς Ἀθηναίους.

psit, negligenter illum inspexerit, oportet. Thucydides tres memorat expeditiones Niciæ. Primam III. 91. in Melum irritam, ac deinde in Tanagræos, A. VI. Bell. Pelop. Ol. LXXXVIII. 3. Secundam IV. 42. adversus Corinthios, qua post pugnam cum Corinthiis Methonen munivit, A. VII. Bell. Pelop. Olymp. LXXXVIII. 4. Tertiam in Laconicam, qua Cythera, et Thyream cepit, A. VIII. Bell. Pelop. Olymp. LXXXVIII. 4. Has omnes Diodorus Lib. XII. pag. 319. in unum Ann. I. Olymp. LXXXIX. concludit, ac deinde eodem Lib. p. 327. Cythera, Nisæam, et Melum a Nicia expugnatas scribit, Olymp. XC. 3. quæ neque cum Thucydide, neque inter se conveniunt. Nec video, quomodo Suidæ in λιμὸς Μηλιαῖος, et Scholiastæ Aristophanis Melios fame coactos se Niciæ dedidisse scribentibus, contra disertam narrationem Thucydidis fides haberi possit. Nam in Aristophane ipso nihil est, e quo, Melum a Nicia captam, constet. Proverbium λιμὸς Μήλιος habent etiam Zenobius IV. 94. et Diogenianus VI. 14. in quo videtur excidisse vox λιμῷ et scribendum esse, τοὺς γὰρ Μηλίους Ἀθηναῖοι ἰσχυρῶς λιμῷ ἐκάκωσαν: nam sic Suidas, ἐκάκωσαν Μηλίους πολιορκοῦντες λιμῷ. Duk.

1. ἀθηναίοις μήλιοι ὥστε h.

2. οἱ δὲ ἀθηναῖοι τὴν πόλιν ἑλόντες ἀπέκτειναν h.

3. ἠνδραποδίσαντο L.O.P.k.

4. ᾤκισαν B.L.N.P.g.

ΘΟΥΚΥΔΙΔΟΥ ΞΥΓΓΡΑΦΗΣ

Z.

Τοῦ δ' αὐτοῦ χειμῶνος Ἀθηναῖοι ἐβούλοντο αὖθις μείζονι παρασκευῇ τῆς μετὰ Λάχητος καὶ Εὐρυμέδοντος ἐπὶ Σικελίαν πλεύσαντες καταστρέψασθαι, εἰ δύναιντο, ἄπειροι οἱ πολλοὶ ὄντες τοῦ μεγέθους τῆς νήσου καὶ τῶν ἐνοικούντων τοῦ πλήθους καὶ Ἑλλήνων καὶ βαρβάρων, καὶ ὅτι οὐ πολλῷ τινὶ ὑποδεέστερον πόλεμον ἀνῃροῦντο ἢ τὸν πρὸς Πελοποννησίους. Σικελίας γὰρ περίπλους μέν ἐστιν ὀλκάδι οὐ πολλῷ τινὶ ἔλασσον ἢ ὀκτὼ ἡμερῶν, καὶ τοσαύτη οὖσα ἐν εἴκοσι σταδίων μάλιστα μέτρῳ τῆς θαλάσσης διείργεται τὸ μὴ ἤπειρος οὖσα· ᾠκίσθη δὲ ὧδε τὸ ἀρχαῖον, καὶ τοσάδε ἔθνη ἔσχε τὰ ξύμπαντα. παλαιό-

1. Athenienses majore apparatu Siciliam subigere statuunt, imperiti rei, quam moliebantur, magnitudinis.

2. Principes Siciliæ in-

6. Τοσοδεέστερον πόλεμον ἀνῃροῦντο] ἀπὸ κοινοῦ τὸ ἄπειροι ὄντες. 9. Ἓν εἰ-

1. οἱ ἀθηναῖοι g.
2. τῆς] τῇ i. τῆς τε f. σφῶν e.
3. πέμψαντες d.i.
καταστρέψαι Q.
4. τὸ πλῆθος A.B.E.F.h.
7. πρὸς τοὺς πελοποννησίους h.
ἔστι μὲν e.
8. ὀλκάδος Q.
ἔλασσον ὀκτὼ ὑποδεέστερος ἡμερῶν d.
Ὀκτὼ ἡμερῶν] Quinque diebus et totidem noctibus, Ephorus apud Strabonem. Sed an nave oneraria, an expeditiore aliqua? Wass. Adnotat hic Acacius e Quintil. I. Instit. Orat. 10. in fin. reprehensos a Geometris esse Historicos, qui magnitudinem insularum satis significari navigationis ambitu crediderint. Rationem reprehensionis addit Quintilianus; ubi Pythœus hunc locum citans reprehensionem illam etiam ad Thucydidem pertinere videtur existimasse. Sed Thucydides tantum de ambitu Siciliæ loquitur, neque ex eo quidquam de magnitudine illius colligit. Duk.
9. τοσαῦτα B.
εἴκοσι σταδίοις B. I. N. h. εἰκοσισταδίῳ E.F.H.f.
Εἴκοσι] Huc respexit Aristides Jebbii, Orat. Cyzicen. Wass. Est in Edit. Canteri tom. I. p. 417. Duk.
10. διείργεται om. E.
τὸ μὴ] τομῇ E.
οὖσα] εἶναι h. εἶναι Demetrius Phaler. 72.
ὧδε] ἥιδε B.I.P. ἥδε A.E.F.H. K.L.N.O.e.h.k. ἤδη c.d.f.g.
Τοσάδε ἔθνη] Adeas Scylacem

colæ Cyclopes et Læstrygones, post hos Sicani ex Iberia et Elymi Troja oriundi, tum Siculi et Phœnices.

τατοι μὲν λέγονται ἐν μέρει τινὶ τῆς χώρας Κύκλωπες καὶ Λαιστρυγόνες οἰκῆσαι, ὧν ἐγὼ οὔτε γένος ἔχω εἰπεῖν, οὔτε ὁπόθεν εἰσῆλθον ἢ ὅποι ἀπεχώρησαν· ἀρκείτω δὲ ὡς ποιηταῖς τε εἴρηται καὶ ὡς ἕκαστός πη γιγνώσκει περὶ αὐτῶν. Σικανοὶ δὲ μετ' αὐτοὺς πρῶτοι φαίνονται ἐνοικισάμενοι, ὡς μὲν αὐτοί φασι, καὶ πρότεροι διὰ τὸ αὐτόχθονες εἶναι, ὡς δὲ ἡ ἀλήθεια εὑρίσκεται, Ἴβηρες ὄντες καὶ ἀπὸ τοῦ Σικανοῦ ποταμοῦ τοῦ ἐν Ἰβηρίᾳ ὑπὸ Λιγύων ἀναστάντες. καὶ ἀπ' αὐτῶν Σικανία τότε ἡ νῆσος ἐκαλεῖτο, πρότερον Τρινακρία καλουμένη· οἰκοῦσι δὲ ἔτι καὶ νῦν τὰ πρὸς ἑσπέραν τὴν Σικελίαν. Ἰλίου δὲ ἁλισκομένου τῶν Τρώων τινὲς διαφυγόντες Ἀχαιοὺς πλοίοις ἀφικνοῦνται πρὸς τὴν Σικελίαν, καὶ ὅμοροι τοῖς Σικανοῖς οἰκήσαντες ξύμπαντες μὲν Ἔλυμοι ἐκλήθησαν, πόλεις δ' αὐτῶν Ἔρυξ τε καὶ Ἔγεστα. προσξυνῴκησαν δὲ

κοσι σταδίοις] γράφεται, ἐν εἴκοσι σταδίων μάλιστα μέτρῳ. ἔστι δὲ κατὰ ταύτην τὴν γραφὴν περιττὴ ἡ ἐν πρόθεσις. 3. Ἀρκείτω δὲ ὡς ποιηταῖς τε εἴρηται] περὶ τῶν παρ' Ὁμήρῳ Κυκλώπων καὶ Λαιστρυγόνων, ὅτι τὴν Σικελίαν ᾤκουν. 6. Καὶ πρότεροι] τῶν Λαιστρυγόνων. 7. Ἴβηρες ὄντες] Ἰβήρων ἄποικοι οἱ Σικελοί. 9. Ἀναστάντες] ἦγουν μετανάσται καὶ μέτοικοι γεγονότες. 11. Τὰ πρὸς ἑσπέραν τῆς Σικ.] ἦγουν πρὸς τὸ δυτικὸν μέρος τῆς

pag. 4. Stephanum, Schol. Nicandri 46. et Tzetzem ad Lycophron. v. 951. seqq. Wass.

1. Κύκλωπες καὶ Λαιστρύγονες] Vid. Spanhem. ad Callimach. Hymn. in Dian. v. 67. Duk.

2. λεστρυγόνες F.Q.b.
οἰκησταὶ K.
οὔτ' ἔχω, omisso γένος, e.
3. ἢ] οὔτε e.
ὅπη L.O.P.
ἂν ἐχώρησαν E.
4. τε om. L.
πη om. e.
5. ἐνοικησάμενοι A.B.H.N.Q.f.g.h. ἐσοικησάμενοι γρ. h.
διὰ τὸ αὐτ.] διαυτόχθονες E
7. ὡ om. d.
8. καὶ om. L.O.P.d.i.k.
τοῦ om. L.
ποταμοῦ σικανοῦ K.
τοῦ ante ἐν om. d.i.
10. τὸ πρότερον g.
τρινακία O.d. τρινακαρία E. τρικαχρία Q.
13. τὴν σικελίαν A.B.E.F.H.K. L.N.O.P. c.d.e.f.g.h. ceteri τῆς σικελίας.
14. ἐλύμοι E.
πόλις A.B.E.F.H.K.Q.c.
15. δ' αὐτῶν om. Q.
αἴγεστα B. et correctus A.
ἄγεστα E.
Ἔγεστα] Vide Salmasium p. 78. b. Wass.
προξυνῴκισαν I.

αὐτοῖς καὶ Φωκέων τινὲς τῶν ἀπὸ Τροίας τότε, χειμῶνι ἐς Λιβύην πρῶτον, ἔπειτα ἐς Σικελίαν ἀπ' αὐτῆς κατενεχθέντες. Σικελοὶ δ' ἐξ Ἰταλίας (ἐνταῦθα γὰρ ᾤκουν) διέβησαν ἐς Σικελίαν, φεύγοντες Ὄπικας, ὡς μὲν εἰκὸς καὶ λέγεται, ἐπὶ σχεδιῶν, τηρήσαντες τὸν πορθμὸν κατιόντος τοῦ ἀνέμου, τάχα ἂν δὲ καὶ ἄλλως πως ἐσπλεύσαντες. εἰσὶ δὲ καὶ νῦν ἔτι ἐν τῇ Ἰταλίᾳ Σικελοί· καὶ ἡ χώρα ἀπὸ Ἰταλοῦ, βασιλέως τινὸς Σικελῶν, τοὔνομα τοῦτο ἔχοντος, οὕτως Ἰταλία ἐπωνομάσθη. ἐλθόντες δὲ ἐς τὴν Σικελίαν στρατὸς πολὺς, τούς τε Σικανοὺς κρατοῦντες μάχῃ ἀπέστειλαν πρὸς τὰ μεσημβρινὰ καὶ ἑσπέρια αὐτῆς, καὶ ἀντὶ Σικανίας Σικελίαν τὴν νῆσον ἐποίησαν καλεῖσθαι, καὶ τὰ κράτιστα τῆς γῆς ᾠκησαν

Σικελίας. 10. Στρατὸς πολὺς] τῶν Σικελῶν δηλονότι. 11. Πρὸς τὰ μεσημβρινὰ καὶ ἑσπέρια] περὶ τὸ Λιλύβαιον, ἀκρωτήριον τῆς νήσου.

1. τότε om. L.O.P.
χειμῶσιν L.
2. πρῶτα e.
4. ὄπικας B.N.h. ὄπηκας A. ὀπίκους K. vulgo ὀπικούς.
De Opicis sententiam Thucydidis refert Dion. Halicarn. I. 22. Duk.
6. Κατιόντος τοῦ ἀνέμου] ἄνεμος κατιὼν, est *ventus spirans et crebrescens*, ut loquitur Virgilius III. Æn. 530. et quidem a tergo euntes prosequens. Thucydidis II. 25. Ἀνέμου δὲ κατιόντος μεγάλου. Ibid. 84. Ὡς δὲ τὸ πνεῦμα κατῆει, i. e. ἐκ τοῦ κόλπου ἐξέπνευσε, ut paullo ante dixerat. Lucianus II. Ver. Hist. p. 686. ἔνθεν δὲ ἀνηγόμεθα σφοδρότερον κατιόντος τοῦ πνεύματος. Et Pollux I. 105. inter ea, quæ de secunda navigatione dicuntur, habet κατιόντος τοῦ ἀνέμου. Sic κατιόντα τὸν ῥοῦν aestum secundum dicit Dionysius Halic. apud Hudsonum: de quo vid. Casaubon. ad Dionys. pag. 4. Duk.
δὲ om. pr. A. ante ἂν ponit recens A.
7. τῇ om. L.
8. Ἰταλῶν d.i.
σικελῶν A.B.E.F.H.L.N.O.c. d.g. σικελοῦ I.P.Q.d.e.i.k. ἀρκάδων σικελοῦ f. vulgo ἀρκάδων.
Ἀρκάδων] Italum Siculorum Regem e Sicilia in Italiam venisse, scribit Servius in Virgil. Æn. I. 2. et 537. Idem Æn. VIII. 328. aliter hoc narrans locum hunc Thucydidis citat. Duk.
9. τοῦτο ἔχοντος] τοῦ τρέχοντος P.
Ἰταλία om. d.i.
11. ἀπέστειλαν] Nonne ἀνέστειλαν?
12. σικελίᾳ τῇ νήσῳ Q.
13. τῆς γῆς om. d.i.

ἔχοντες, ἐπεὶ διέβησαν, ἔτη ἐγγὺς τριακόσια, πρὶν Ἕλληνας ἐς Σικελίαν ἐλθεῖν· ἔτι δὲ καὶ νῦν τὰ μέσα καὶ τὰ πρὸς βορρᾶν τῆς νήσου ἔχουσιν. ᾤκουν δὲ καὶ Φοίνικες περὶ πᾶσαν μὲν τὴν Σικελίαν ἄκρας τε ἐπὶ τῇ θαλάσσῃ ἀπολαβόντες καὶ τὰ ἐπικείμενα νησίδια ἐμπορίας ἕνεκεν τῆς πρὸς τοὺς Σικελούς· ἐπειδὴ δὲ οἱ Ἕλληνες πολλοὶ κατὰ θάλασσαν ἐπεσέπλεον, ἐκλιπόντες τὰ πλείω, Μοτύην καὶ Σολόεντα καὶ Πάνορμον ἐγγὺς τῶν Ἐλύμων ξυνοικίσαντες ἐνέμοντο, ξυμμαχίᾳ τε πίσυνοι τῇ τῶν Ἐ-

1. Διέβησαν] οἱ ἀπὸ τῆς Ἰταλίας Σικελοὶ δηλονότι. 5. Ἀπολαβόντες] ἀντὶ τοῦ ἀποτειχίσαντες. γράφεται ἀναλαβόντες. 8. Ἐγγὺς τῶν Ἐλύμων ξυνοικίσαντες] ὁμοῦ μὲν διὰ τοὺς Ἐλύμους ὄντας φίλους καὶ οἰκοῦντας αὐτόθι, ὅθεν συμμαχοῦντο· ὁμοῦ δὲ διὰ Καρχηδονίους, οἵτινες, ἐκ Φοινίκης ὄντες τὸ

1. ἐπειδὴ L. ἐπεὶ δὲ A.
ἔτι H.
πρὶν] πλὴν A.K.
2. τὰς πρὸς βορρᾶν τῆς νήσου d.
4. ἄκρα Q.
τῇ om. L.O.P.d.i.k.
θαλάσσης P.
5. καταλαβόντες L. ἀναλαβόντες γρ. i.
ἕνεκα P.Q.
Ἕνεκεν] Thomas Mag. scribit, Thucydidem semper dicere ἕνεκα. Duk.
6. ἐπεὶ K.
7. ἐκλιπόντες K.
τὰ πλοῖα d. cum Valla.
μοτύην d.i. βοτύην h.
8. Πάνορμον] In Vet. Inscript. apud Sponium *Panhormum* semper. Wass. Est in Sponii Miscellan. pag. 176. In Plinio quoque et Vibio adspirationem addi; observat Cluverius Sicil. Ant. pag. 274. sed hoc Grammaticis et posterioris ævi librorum exscriptoribus tribuendum putat. Et quod ea Inscriptionibus suo seculo publicatis inseritur, id a prava curiositate eorum, qui has descripserunt, profectum putat. In Grutero una est cum adspiratione pag. cclxvi. 6. in Sponio sex cum eadem e Gualteri Sicilia; in quibus omnibus describendis an peccaverint exscriptores, is demum pro certo dicere queat, qui ipse eas viderit. Jov. Pontanus, et Surita ad Itin. Anton. p. 255. in illis legerunt H. Duk.
Ἐλύμων] ἑλλήνων K.d.i.
9. συνοικίσαντες E.b.e.k. συνοικήσαντες A.B.F.c.d.f g. ξυνοικήσαντες I.H.K.L.N.O.
Ξυνοικίσαντες] Non videtur mutandum, etsi plerique libri habent ξυνοικήσαντες. *Ammonius*: συνοικίζεται πόλις, ἡ ἐκ πολλῶν πόλεων εἰς μίαν πόλιν συναγομένη, ὑπὲρ τοῦ πλείονα δύναμιν σχεῖν. Itaque qui pleraque loca reliquerant, recte dicuntur has urbes συνοικίσαι. Sic etiam supra Thucydides II. 15. et III. 2. Bene quoque paullo post ᾤκισαν de coloniæ conditoribus, Clar. et Cass. quod merito probabat Wasse. Sic statim Συρακούσας Ἀρχίας ᾠ-

λυμιων, καὶ ὅτι ἐντεῦθεν ἐλάχιστον πλοῦν Καρχηδὼν Σικελίας ἀπέχει. βάρβαροι μὲν οὖν τοσοίδε Σικελίαν καὶ οὕτως ᾤκησαν.

Ἑλλήνων δὲ πρῶτοι Χαλκιδῆς ἐξ Εὐβοίας πλεύσαντες μετὰ Θουκλέους οἰκιστοῦ Νάξον ᾤκισαν, καὶ Ἀπόλλωνος ἀρχηγέτου βωμὸν, ὅστις νῦν ἔξω τῆς πόλεως ἐστιν, ἱδρύσαντο, ἐφ' ᾧ, ὅταν ἐκ Σικελίας θεωροὶ πλέωσι, πρῶτον θύουσι. Συρακούσας δὲ τοῦ ἐχομένου ἔτους Ἀρχίας τῶν Ἡρακλειδῶν ἐκ Κορίνθου ᾤκισε, Σικελοὺς ἐξελάσας πρῶτον ἐκ τῆς νήσου, ἐν ᾗ νῦν οὐκέτι περικλυζομένη ἡ πόλις ἡ ἐντός ἐστιν· ὕστερον δὲ χρόνῳ καὶ ἡ ἔξω προστει-

3. Graecorum primi in insulam migrarunt Chalcidenses ex Euboea, qui duce Thucle Naxum condidere 736. a. Chr., et uno anno post hos Syracusae conditae sunt ab Archia Corinthio. Chalciden-

ἀνέκαθεν, τοῖς μεσημβρινοῖς τῆς Σικελίας. 11. Ὕστερον δὲ χρόνῳ καὶ ἡ ἔξω]

κισε, et sæpius in sequentibus. Vid. Jungermannum et Hemsterhusium ad Pollucem IX. 7. Duk.

1. ἐνταῦθα d.

2. ἀπέχει om. K.

3. οὕτως] ὡς g.

ᾤκισαν d.

4. πρῶτον F.H.K.L.N.O.P.b. c.d.e.f.h.i.k.

καλχιδεῖς K.

5. οἰκιστοῦ d.

Νάξῳ] Syncellus conditam ait ante Batti et Archilochi tempora A. M. 4791. hoc est, circa 3429. Νάξον Apollinis filium facit Apollonii Schol. IV. 1492. Evertit Dionysius. v. Diodor. XIV. 403. Polyænum V. 2. 5. Strabon. VI. 267. Historiam et Origines tradit Herodotus VII. 154. VIII. 46. VI. 96. Urbem hanc cum insula confundit Sponius in Itinerario tom. III. Wass. Addenda sunt, quæ ad Eusebium adnotavit Scaliger num. MCCLXXXI. Duk.

ᾤκισαν H.N.d. vulgo ᾤκησαν.

Ἀπόλλωνος Ἀρχηγέτου] De hoc cognomine Apollinis etiam legi debent, quæ Spanhemius adnotavit ad Callimach. Hymn. in Apoll. v. 57. Duk.

7. πλέωσι A.B.E.F.H.K.L.N. O.P.Q.b.c.d.e.f.g.h.i. vulgo πλεύσωσι.

πρῶτοι L.O.P.d.e.i.k.

8. ἐρχομένου A.B.E.F.H.N.g.

Ἀρχίας] Hujus præter Strabonem multi alii meminerunt. Vid. Scaliger. ad Eusebium num. MCCLXXXIII. Cluver. Sicil. Ant. I. pag. 139. 140. Schol. Aristoph. ad Equit. v. 1089. Eustath. ad Dionys. Perieg. v. 369. Suidas perperam, Ἀρχίας Συρακούσιος, quem Corinthium fuisse constat. Ceterum omnia, quæ hic Thucydides de originibus urbium Siciliæ tradit, latius exsequitur Cluverius, qui de singulis consuli potest. Duk.

9. ὤικησε A.E.c.f.h.

10. Ἐκ τῆς νήσου] Vide Neapol. ad Ovid. IV. Fast. 471. Duk.

Fortasse leg. περικλυζομένη.

11. προτειχισθεῖσα E.

sos porro, Naxo profecti, Leontinos et Catanam colonias deduxerunt.

χισθεῖσα πολυάνθρωπος ἐγένετο. Θουκλῆς δὲ καὶ οἱ Χαλκιδῆς ἐκ Νάξου ὁρμηθέντες, ἔτει πέμπτῳ μετὰ Συρακούσας οἰκισθείσας, Λεοντίνους τε, πολέμῳ τοὺς Σικελοὺς ἐξελάσαντες, οἰκίζουσι, καὶ μετ' αὐτοὺς Κατάνην· οἰκιστὴν δὲ αὐτοὶ Καταναῖοι ἐποίησαντο Εὔαρχον. * κατὰ

4. Lamis cum Megarensibus in Siciliam advectus, primum Trotilum condidit, dein Thapsum; quam urbem post ejus obitum deserere coacti Megarenses, duce Hyblone, rege Siculo, Me-

δὲ τὸν αὐτὸν χρόνον καὶ Λάμις ἐκ Μεγάρων ἀποικίαν ἄγων ἐς Σικελίαν ἀφίκετο, καὶ ὑπὲρ Παντακύου τε ποταμοῦ Τρώτιλόν τι ὄνομα χωρίον οἰκίσας, καὶ ὕστερον αὐτόθεν τοῖς Χαλκιδεῦσιν ἐς Λεοντίνους ὀλίγον χρόνον ξυμπολιτεύσας, καὶ ὑπὸ αὐτῶν ἐκπεσὼν καὶ Θάψον οἰκίσας, αὐτὸς μὲν ἀποθνήσκει· οἱ δὲ ἄλλοι ἐκ τῆς Θάψου ἀναστάντες, Ὑβλωνος βασιλέως Σικελοῦ προδόντος τὴν χώραν καὶ καθηγησαμένου, Μεγαρέας ᾤκισαν τοὺς Ὑβλαίους κληθέντας. καὶ ἔτη οἰκήσαντες πέντε καὶ τεσ-

τὸ πρῶτον οἱ Συρακούσιοι τὸ νησίδιον ᾤκισαν μόνον, αὖθις δὲ, μὴ χωρεῦντες αὐτοῦ, συνάψαντες αὐτὸ τῇ Σικελίᾳ διὰ χώματος, κατῴκησαν καὶ ἐν τῇ Σικελίᾳ. ἐκαλεῖτο δὲ ἡ ἐν τῇ Σικελίᾳ ἔξω πόλις. 7. Ὑπὲρ] ὑπεράνω.

1. πολυάνθρωπος d.

Θουκλῆς δὲ καὶ οἱ Χαλκιδεῖς] Vide Holstenium ad Stephanum v. Χαλκίς, et de Catana ad h. v. nec non Scaligerum ad Eusebium l. d. Duk.

5. ἐποίησαν τὸν g.

6. λάμπις γρ. h.

μεγαρέων H.L.O.P.Q.

7. παντακύου A.B.E.F.H.f.h. παντακιοῦ G. vulgo παντακίου.

Παντακίου] De hoc post Cluverium etiam Bochartus egit I. Chanaan. cap. 28. Duk.

8. τρώτιλόν A.B.L.O.d.h.i.

Τρώτιλον] Cluverius quidem Τρώτιλον et Τρώγιλον tamquam diversa loca recenset: sed Pinedo ad Stephanum v. Τρώγιλος hic quoque legendum censet Τρώγιλον. Nec sine ratione: nam Τρώτιλον e nullo alio Scriptore memorare potuit Cluverius. Duk.

χωρίου g.

οἰκήσας L.Q.f.

10. ἐκπεσὼν] ἐκ πασῶν Q.

Θάψον] Latini fere *Tapsum*. Sed Virg. III. 689. Codex Mentelii et Servius rectius *Thapsum* 4. MSS. Cantabr. Isidorus XIV. p. 346. Silius *Tapsum*. Ovid. Fast. IV. 477. *Thapson*. Neque aliter Lucanus, in herba ejusdem nominis, IX. 919. Wass. Varietatem scripturæ adnotavit etiam Cluverius I. Sicil. Antiq. pag. 137. Heinsius ad Silium XIV. 206. probat *Thapsus* e Græco Θάψος. Duk.

οἰκήσας f.

11. ἄλλου B.

τῆς om. Q.

13. καὶ om. d.

ᾤκησαν E.F.c.

σαράκοντα καὶ διακόσια ὑπὸ Γέλωνος τυράννου Συρακουσίων ἀνέστησαν ἐκ τῆς πόλεως καὶ χώρας. πρὶν δὲ ἀναστῆναι, ἔτεσιν ὕστερον ἑκατὸν ἢ αὐτοὺς οἰκῆσαι, Πάμιλλον πέμψαντες Σελινοῦντα κτίζουσι· καὶ ἐκ Μεγάρων, τῆς μητροπόλεως οὔσης αὐτοῖς, ἐπελθὼν ξυγκατῴκισε. Γέλαν δὲ Ἀντίφημος ἐκ Ῥόδου καὶ Ἔντιμος ἐκ Κρήτης ἐποίκους ἀγαγόντες κοινῇ ἔκτισαν, ἔτει πέμπτῳ καὶ τεσσαρακοστῷ μετὰ Συρακουσῶν οἴκισιν. καὶ τῇ μὲν πόλει ἀπὸ τοῦ Γέλα ποταμοῦ τοὔνομα ἐγένετο, τὸ δὲ χωρίον, οὗ νῦν ἡ πόλις ἐστὶ καὶ ὃ πρῶτον ἐτειχίσθη, Λίνδιοι καλεῖται. νόμιμα δὲ Δωρικὰ ἐτέθη αὐτοῖς. ἔτεσι δὲ ἐγγύτατα ὀκτὼ καὶ ἑκατὸν μετὰ τὴν σφετέραν οἴκισιν Γελῷοι Ἀκράγαντα ᾤκισαν, τὴν μὲν πόλιν ἀπὸ τοῦ Ἀ-

gara Hyblæa condiderunt, unde ducentis quadraginta annis post a Gelone moti sunt. Interim vero Selinuntem coloniam deduxerant. Gela ab Antiphemo Rhodio et Entimo Cretensi communiter condita 690. a. Chr., inde Agrigentum. Zancle primum a pi-

2. Ἀνέστησαν] ἐξώχθησαν. 5. Τῆς μητροπόλεως] τῆς ἰδίας μητροπόλεως.

1. γέλωνος f.
3. αὐτοὶ γρ. h.
οἰκῆσαι A.B.E.F.H.L.N.O.Q. c.f.g. ἐνοικῆσαι K. vulgo οἰκίσαι.
πάμιλλον A.B.E.h. πάμιλον K. πάμμιλλον F.H.c. vulgo πάμμιλον.
4. Πέμψαντες ἐς Σελινοῦντα κτίζουσι] An hoc est: Pammilo in eum locum misso, ubi deinde Selinus fuit, urbem illam condiderunt? ut post κτίζουσι suppleatur αὐτὴν, cujus pronominis ellipsis frequentissima est apud Thucydidem? Sed mihi suspicio est, præpositionem ἐς huc inrepsisse e fine vocis præcedentis πέμψαντες, et ea demta legendum esse Πάμμιλον πέμψαντες Σελινοῦντα κτίζουσι. Paulo ante probo οἰκῆσαι cum plerisque MSS. et Valla, nec audio Clar. mox scribentem ξυγκατῴκησε. Ἑλινοῦντα pro Σελινοῦντα, quidam Codd. ut I. 65. Ἑρμυλίων pro Σερμυλίων, ubi vid. quæ adnotata sunt. Dux.
ἑλινοῦντα A. ἐλινοῦντα B.F.H. K.f.g.h.
5. αὐτὸν d. αὐτῆς g.
ἐπελθὸν A.
συγκατῴκισε B.E.F.H.K.d.g. h. ξυγκατῴκησε N.
6. ἐκ] ὁ ἐκ h. ἐκ τῆς d.i.
7. ἀποίκους L.O.P.Q.
8. μετὰ συρ. A.B.E.H.K.Q. c.d.e.f.g.h.i.k. μετὰ τὴν τῶν συρ. L. vulgo μετὰ τὴν συρ. Cf. c. 5. μετὰ Συρακουσῶν κτίσιν.
οἴκισιν H.
τὴν μὲν πόλιν d.
10. ἔστι om. L.
ὃ] τὸ K.
11. καλεῖται B. priore diphthongo a correctore posita, ut non dubitem fuisse καλοῦνται.
ἐτίθει d.
ἔτη O.
12. ἐγγυτάτω P.
οἴκισιν H.k. vulgo οἴκησιν.
13. ᾤκησαν A.B.E.I.L.O.P.Q. f.g.h.i.k.

ratis Cumaeis condita, tum a Chalcidensibus Euboicis aucta, nomen apud Siculos traxit a forma falci non absimili; postea oppressa a Samiis,

κράγαντος ποταμοῦ ὀνομάσαντες, οἰκιστὰς δὲ ποιησάντες Ἀριστόνουν καὶ Πυστίλον, νόμιμα δὲ τὰ Γελῴων δόντες. Ζάγκλη δὲ τὴν μὲν ἀρχὴν ἀπὸ Κύμης τῆς ἐν Ὀπικίᾳ Χαλκιδικῆς πόλεως ληστῶν ἀφικομένων ᾠκίσθη, ὕστερον δὲ καὶ ἀπὸ Χαλκίδος καὶ τῆς ἄλλης Εὐβοίας πλῆθος ἐλθὸν ξυγκατενείμαντο τὴν γῆν· καὶ οἰκισταὶ Περιήρης καὶ Κραταιμένης ἐγένοντο αὐτῆς, ὁ μὲν ἀπὸ Κύμης, ὁ δὲ ἀπὸ Χαλκίδος. ὄνομα δὲ τὸ μὲν πρῶτον Ζάγκλη ἦν ὑπὸ τῶν Σικελῶν κληθεῖσα, ὅτι δρεπανοειδὲς τὴν ἰδέαν τό χωρίον ἐστί, τὸ δὲ δρέπανον οἱ Σικελοὶ ζάγκλον καλοῦσιν· ὕστερον δὲ αὐτοὶ μὲν ὑπὸ Σαμίων καὶ ἄλλων Ἰώνων ἐκπίπτουσιν, οἳ Μήδους φεύγοντες προσέβαλον Σικελίᾳ, τοὺς δὲ Σαμίους Ἀναξίλας Ῥηγίνων τύραννος οὐ πολλῷ ὕστερον ἐκβαλὼν, καὶ τὴν πόλιν

5. quibus ejectis, Anaxi-

2. πύστιλον L.O. πίστυλον g.

3. ζάκλη I.d.e.i.k. ζάκκλη h. ζάγκη c.

δὲ om. d.k.

ὀπικίᾳ F.

5. δὲ καὶ ἀπὸ A.B.E.F.H.L.N.O.P.Q.c.d.e.g.k. vulgo δὲ ἀπό.

6. συγκατενείμαντο d.i.

7. περιήρος καὶ κραταιμενεῖς H.

οἱ B.

8. κυνῆς E.

οἱ B.

9. ὑπὸ om. P.

10. τὴν ἰδέαν τὸ χωρίον ἐστι A.B.E.F.H.I.L.O.Q.c.d.e.h.i.k. τὸ χωρίον ἐστὶ τὴν ἰδέαν g. vulgo τὸ χωρίον τὴν ἰδέαν.

ζάκλον I. ζάκλην d.e.i. ζάγκλην K.

Ζάγκλον] Hinc corrigendus Hesychius, qui ζάϊκλον exhibet, et Sextus Empiricus, qui pag. 13. legit ζάγηλον. Wass. Est cap. 3. contra Grammaticos. Callimachum in lib. II. Αἰτιῶν, ζάγκλον pro falce dixisse, e Tzetze ad Lycophronem observat Celeberr. Bentleius ad Callimach. fragm. XXII. Ζάγκλην, quod est in Gr. etsi eadem significatione, qua ζάγκλον, dicunt Græci, tamen propter consensum aliorum MSS. non admitti potest. Diodorum Siculum ab aliis dissentire adnotavit etiam Casaubonus ad Strab. l. d. in Var. Lect. Non est audiendus Thom. Mag. δρεπάνη dici jubens, non δρέπανον. Aristophanes Pace v. 1202. Οὐδεὶς ἐπρίατ' ἂν δρέπανον. Δρεπάνη poëticum potius est, quam Atticum. Vid. Stephanum in Append. ad Script. de Dialect. p. 157. Sed Thomas fortassis scripserat δρέπανον, οὐ δρεπάνη. Duk.

12. ἄλλων τινῶν ἰώνων h.

προσέβαλλον L.O. προσεῖχον γρ. h.

13. τῇ σικελίᾳ g.

ἀναξίας K.

ῥηγίων b.

αὐτοῖς ξυμμίκτων ἀνθρώπων οἰκίσας, Μεσσήνην ἀπὸ τῆς ἑαυτοῦ τὸ ἀρχαῖον πατρίδος ἀντωνόμασε. καὶ Ἱμέρα ἀπὸ Ζάγκλης ὠκίσθη ὑπὸ Εὐκλείδου καὶ Σίμου καὶ Σάκωνος, καὶ Χαλκιδῆς μὲν οἱ πλεῖστοι ἦλθον ἐς τὴν ἀποικίαν, ξυνώκισαν δὲ αὐτοῖς καὶ ἐκ Συρακουσῶν φυγάδες, στάσει νικηθέντες, οἱ Μυλητίδαι καλούμενοι· καὶ φωνὴ μὲν μεταξὺ τῆς τε Χαλκιδέων καὶ Δωρίδος ἐκράθη, νόμιμα δὲ τὰ Χαλκιδικὰ ἐκράτησεν. Ἄκραι δὲ καὶ Κασμέναι ὑπὸ Συρακοσίων ὠκίσθησαν, Ἄκραι μὲν ἑβδομήκοντα ἔτεσι μετὰ Συρακούσας, Κασμέναι δὲ ἐγγὺς εἴκοσι μετὰ Ἄκρας. καὶ Καμάρινα τὸ πρῶτον ὑπὸ Συρακοσίων ὠκίσθη, ἔτεσιν ἐγγύτατα πέντε καὶ τριάκοντα καὶ ἑκατὸν μετὰ Συρακουσῶν κτίσιν· οἰκισταὶ δὲ ἐγένοντο αὐτῆς Δάσκων καὶ Μενέκωλος. ἀναστάτων δὲ Καμαριναίων γενομένων πολέμῳ ὑπὸ Συρακοσίων δι' ἀπόστασιν, χρόνῳ Ἱπποκράτης ὕστερον Γέλας τύραννος, λύτρα ἀνδρῶν Συρακοσίων

las, Rhegi-norum tyrannus, urbem mixtis incolis restauratam a sua patria Messanam appellavit. Inde Himera orta, mixtis Chalcidensibus et Syracusanis exsulibus, quorum lingua quidem confusa, instituta a Chalcidensibus desumpta. Acræ et Casmenæ, et Camarina Syracusarum colonia. Sed Camarinam, a Syracusiis propter seditionem vacuefactam, post Hippocrati, Gelæ tyranno, concessam, hic restauravit. Ea-

1. αὐτοῖς] Malim αὐτὸς, ut c. extr. αὐτὸς οἰκιστὴς γενόμενος.

Μεσσήνην ἀπὸ τῆς &c.] A Messeniis subjugati erant Zanclæi (unde urbs, mutato nomine, Messene appellabatur,) Olymp. XXX. Archimede supremum magistratum gerente, ut ostendit Meursius in Attic. Lect. l. II. c. 23. Huds. Zanclen ab Anaxilao Olymp. XXIX. captam, scribit Pausanias IV. 23. Refellit eum ex ratione temporum, et Anaxilaum Olymp. LXXVI. mortuum, ostendit Spanhemius Dissert. VIII. p. 554. de Præstant. et Usu Numism. Cur hanc urbem Siciliæ nonnulli Μεσήνην potius, quam Μεσσήνην, dicendam voluerint, docet Casaubonus ad Polyb. p. 120. Duk.

2. ἀντωνόμασε] αὐτὸ ὠνόμασε A.B.E.F.N.c.f.g.h. ἂν τὸ ὄνομασεν H.

3. καὶ σιμοῦ K. om. A. ζάκωνος d.

4. οἱ μὲν K.

5. ξυνώκισαν A.B.H.h. vulgo ξυνώκησαν. ἐκ] οἱ d.

6. οἱ] οὐ E. μυλητίδαι H.Q. μιλητίδαι d.i.k. φωνῇ A. μὲν om. i.

10. κασμέναι A.B.E.F.H.L.Q. d.g. βασμέναι K. κασμίαι O. vulgo κάσμεναι. δ' αἱ ἐγγὺς e.

11. καμάρινα A.B.F.H.K.L.O. P.g.

13. αὐτοῖς d.

14. ἀναστάντων B.E.H.K.Q.d.

15. ὑπεκράτης d.

dem urbs postea a Gelone et vacuefacta, et denuo incolis repleta est.

αἰχμαλώτων λαβὼν τὴν γῆν τὴν Καμαριναίων, αὐτὸς οἰκιστὴς γενόμενος κατῴκισε Καμάρινα. καὶ αὖθις ὑπὸ Γέλωνος ἀνάστατος γενομένη τὸ τρίτον κατῳκίσθη ὑπὸ Γέλωνος.

6. Verum quidem Atheniensium consilium erat, totam Siciliam sibi subjicere; sed speciosa causa utebantur, cognatis suis et sociis auxilii ferendi. Maxime vero ab Segestanorum, qui bello cum Selinuntiis et Syracusanis premebantur, legatis ad

6. Τοσαῦτα ἔθνη Ἑλλήνων καὶ βαρβάρων Σικελίαν ᾤκει, καὶ ἐπὶ τοσήνδε οὖσαν αὐτὴν οἱ Ἀθηναῖοι στρατεύειν ὥρμηντο, ἐφιέμενοι μὲν τῇ ἀληθεστάτῃ προφάσει τῆς πάσης ἄρξειν, βοηθεῖν δὲ ἅμα εὐπρεπῶς βουλόμενοι τοῖς ἑαυτῶν ξυγγενέσι καὶ τοῖς προσγεγενημένοις ξυμμάχοις. μάλιστα δ' αὐτοὺς ἐξώρμησαν Ἐγεσταίων τε πρέσβεις παρόντες καὶ προθυμότερον ἐπικαλούμενοι. ὅμοροι γὰρ ὄντες τοῖς Σελινουντίοις ἐς πόλεμον καθέστασαν περί τε γαμικῶν τινῶν καὶ περὶ γῆς ἀμφισβητήτου, καὶ οἱ Σελινούντιοι, Συρακοσίους ἐπαγόμενοι ξυμμάχους, κατεῖργον αὐτοὺς τῷ πολέμῳ καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν· ὥστε τὴν γενομένην ἐπὶ Λάχητος καὶ τοῦ πρότερου πολέμου Λεοντίνων οἱ Ἐγεσταῖοι ξυμμαχίαν ἀναμιμνήσκοντες

6. Τοσήνδε οὖσαν] ἧγουν μεγάλην καὶ πολυάνθρωπον. 8. Εὐπρεπῶς] εὐπροφασίστως. Τοῖς ἑαυτῶν ξυγγενέσι] τοῖς Χαλκιδεῦσι. 12. Περί τε γαμικῶν τινῶν] συναλλαγμάτων.

1. λαβὼν αἰχμαλώτων d.
τὴν καμαρ.] τῶν καμαρ. F.K.L.
3. ἀναστάντος d.
8. ἄρξειν A.B.E.H.I.K.L.N. O.P.Q.b.c.d.e.f.g.i.k. vulgo ἄρχειν.
9. προγεγενημένοις E.K.L.O.P. d.i.k. Valla *pristinis*.
10. αἰγεσταίων A.B.h.
τε om. L.
11. προθυμότεροι K.
Ὅμοροι] Hæc fusius Diodor. pag. 328. b. Wass.
13. γῆς] τῆς Q.
ἀμφισβητησίμου f. ἀμφισβήτου d.e.k.
14. συμμάχους K.
καθεῖργον K.g.
15. τῷ πολεμῳ κατὰ K.L.
17. αἰγεσταῖοι A.N.
Ἐγεσταῖοι] Cl. passim Αἰγεσταῖοι. Strabo ex Apollodoro cum Clar. facit. Et, μετὰ Αἰγέστου τοῦ Τρωός. Contra Philo apud Stephanum Ἔγεστα, ἀπὸ Ἐγέστου τοῦ Τρωός. Ibi tamen Αἰγέστου et Αἰγεσταῖος cum MSS. omnino rescribendum. Ita Dionys. Halic. Tzetz. ad Lycoph. Diodorus XII. p. 328. ubi Thucydidem exscribit, Polybius, Livius et alii. Recte ergo Cl. In numis Ἐγεσταίων et Σεγεσταίων. Wass.

τοὺς Ἀθηναίους, ἐδέοντο σφίσι ναῦς πέμψαντας ἐπαμῦναι, λέγοντες ἄλλα τε πολλὰ καὶ κεφάλαιον, εἰ Συρακόσιοι Λεοντίνους τε ἀναστήσαντες ἀτιμώρητοι γενήσονται, καὶ τοὺς λοιποὺς ἔτι ξυμμάχους αὐτῶν διαφθείροντες αὐτοὶ τὴν ἅπασαν δύναμιν τῆς Σικελίας σχήσουσι, κίνδυνον εἶναι μήποτε μεγάλη παρασκευῇ Δωριῆς τε Δωριεῦσι κατὰ τὸ ξυγγενὲς καὶ ἅμα ἄποικοι τοῖς ἐκπέμψασι Πελοποννησίοις βοηθήσαντες καὶ τὴν ἐκείνων δύναμιν ξυγκαθέλωσι· σῶφρον δ' εἶναι μετὰ τῶν ὑπολοίπων ἔτι ξυμμάχων ἀντέχειν τοῖς Συρακοσίοις, ἄλλως τε καὶ χρήματα σφῶν παρεξόντων ἐς τὸν πόλεμον ἱκανά. ὧν ἀκούοντες οἱ Ἀθηναῖοι ἐν ταῖς ἐκκλησίαις τῶν τε Ἐγεσταίων πολλάκις λεγόντων καὶ τῶν ξυναγορευόντων αὐτοῖς, ἐψηφίσαντο, πρέσβεις πέμψαντες πρῶτον ἐς τὴν Ἔγεσταν, περί τε τῶν χρημάτων σκεψομένους, εἰ ὑπάρχει, ὥσπερ φασίν, ἐν τῷ κοινῷ καὶ ἐν τοῖς ἱεροῖς, καὶ τὰ τοῦ πολέμου ἅμα πρὸς τοὺς Σελινουντίους, ἐν ὅτῳ ἐστὶν, εἰσομένους.

rem suscipiendam incitabantur; quorum promissis captis, decreverunt auxilium mittere, si per legatos in Siciliam missos rem certius exploraverint.

Καὶ οἱ μὲν πρέσβεις τῶν Ἀθηναίων ἀπεστάλησαν ἐς τὴν Σικελίαν. Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ οἱ ξύμμαχοι, πλὴν Κορινθίων, στρατεύσαντες ἐς τὴν Ἀργείαν τῆς τε γῆς ἔτεμον οὐ πολλὴν καὶ σῖτον ἀνεκομί-

7. Lacedaemonii Argivorum agri partem non magnam devastant,

6. Δωριεῖς τε Δωριεῦσιν] οἱ Συρακούσιοι τοῖς Πελοποννησίοις. 7. Τοῖς ἐκπέμψασι] τοῖς Κορινθίοις. 8. Ἐκείνων] τῶν Ἀθηναίων. 11. Σφῶν] τῶν Ἐγεσταίων. Ἐς τὸν πόλεμον] τὸν μέλλοντα. 13. Τῶν ξυναγορευόντων] τῶν ῥητόρων.

1. πέμψαντες K.d.
3. ἀναστήσωντες d.
6. μήποτε] μήτε A.B.h.
8. ἐκείνην g.
9. ἔτι om. A.B.
11. παραξόντων A.
ἀκούσαντες N.g.
12. ἐς d.
αἰγεσταίων A.
14. πέμψαι h.
ἐγέσταν K. αἴγεσταν A.
τε om. d.
15. τῶν om. Q.
16. καὶ τὰ] κατὰ k.
17. τοῖς σελινουντίοις d.i.
18. τῶν om. Q.
21. Οὐ πολλὴν] Cum Valla facit Diodorus Sic. lib. XII. pag. 328. ubi hunc locum Thucydidis descripsit: Ἐμβάλλοντες εἰς τὴν Ἀργείαν, καὶ πολλὴν τῆς χώρας δηώσαντες. DUK.
πολλὰ Q. πολὺ K.
ἀνεκομίσαντό A.B.E.F.H.I.L.

et exules Argivos, Orneas ductos, cum parvo præsidio ibi relinquunt. Qui cum unum diem ab Argivis Athenienses busque essent obsessi, noctu urbem deserunt, statim postridie ab Argivis diruta.—Athenienses equites in Macedoniam mittunt adversus Perdiccam. Chalcidenses in Thracia, a Lacedæmoniis contra Athenienses stimulati, non obtemperant.—Finis anni sexti decimi.

σαντό τινα ζεύγη νομίσαντες, καὶ ἐς Ὀρνεὰς κατοικίσαντες τοὺς Ἀργείων φυγάδας, καὶ τῆς ἄλλης στρατιᾶς παρακαταλιπόντες αὐτοῖς ὀλίγους. καὶ σπεισάμενοί τινα χρόνον, ὥστε μὴ ἀδικεῖν Ὀρνεάτας καὶ Ἀργείους τὴν ἀλλήλων, ἀπεχώρησαν τῷ στρατῷ ἐπ' οἴκου. ἐλθόντων δὲ Ἀθηναίων οὐ πολλῷ ὕστερον ναυσὶ τριάκοντα καὶ ἑξακοσίοις ὁπλίταις, οἱ Ἀργεῖοι μετὰ τῶν Ἀθηναίων παντστρατιᾷ ἐξελθόντων τοὺς ἐν Ὀρνεαῖς μίαν ἡμέραν ἐπολιόρκουν· ὑπὸ δὲ νύκτα, αὐλισαμένου τοῦ στρατεύματος ἄποθεν, ἐκδιδράσκουσιν οἱ ἐκ τῶν Ὀρνεῶν. καὶ τῇ ὑστεραίᾳ οἱ Ἀργεῖοι, ὡς ἤσθοντο, κατασκάψαντες τὰς Ὀρνεὰς ἀνεχώρησαν, καὶ οἱ Ἀθηναῖοι ὕστερον ταῖς ναυσὶν ἐπ' οἴκου. καὶ ἐς Μεθώνην τὴν Ὁμόλου Μακεδονίας ἱππέας κατὰ θάλασσαν κομίσαντες Ἀθηναῖοι σφῶν τε αὐτῶν καὶ Μακεδόνων τοὺς παρὰ σφίσι φυγάδας, ἐκακούργουν τὴν Περδίκκου. Λακεδαιμόνιοι δὲ πέμψαντες παρὰ Χαλκιδέας τοὺς ἐπὶ Θράκης, ἄγοντας πρὸς Ἀθηναίους δεχημέρους σπονδάς, ξυμπολεμεῖν ἐκέλευον Περδίκκᾳ· οἱ δ' οὐκ ἤθελον. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ἕκτον καὶ δέκατον

9. Ἄποθεν] τῶν Ὀρνεῶν δηλωτέον. 12. Ἐπ' οἴκου] ἀνεχώρησαν δηλωτέον. 18. Οἱ δ'] οἱ Χαλκιδεῖς.

N.O.Q.c.d.f.g.i. ἀνήρεσαν γρ. g. vulgo ἀνεκόμισάν.

1. ὀρνειὰς A.B.N.h. κατοικήσαντες E.

2. τοὺς] τῶν e.

5. οἴκους d.

6. πολλῶν g.

8. ταὶς ἐν ὀρνειαὶς, bis gravate, pr. d. τοὺς μὲν ὀρνεάτας correctus d. τοὺς ἐν A.B.E.F.H.c.g.h. vulgo τοὺς μὲν ἐν. præpositionem om. i.

Ὀρνεαῖς] Cl. passim Ὀρναίαις. Aliter Noster libr. V. et bis etiam Diodorus, semel ubi Nostrum exscribit. Neque aliter Hesychius, aut Strabo. Nomen traxerunt Ornese ἀπὸ Ὀρνέως τοῦ Ἐρεχθέως. vid. Pausan. II. 25. Wass.

9. στρατοῦ d.

10. ἀποδιδράσκουσιν d.i.

13. μακεδονίας Q. λακεδαιμονίᾳ l.g.k. ἱππέας καὶ κατὰ d.

14. κομίσαντες οἱ ἀθηναῖοι B.h.

17. πρὸς τοὺς ἀθηναίους d.

18. ἐτελεύτα τῷ πολέμῳ τῷδε καὶ K.

ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

8. Reversis ex Sicilia legatis, Athenienses sexaginta naves in Siciliam mittere decreverunt, Alcibiade, Nicia et Lamacho ducibus constitutis. Nicias quidem quinque diebus post in alia ecclesia avocare ab hoc consilio Atheniensis conatur,

Τοῦ δ' ἐπιγιγνομένου θέρους, ἅμα ἦρι, οἱ τῶν Ἀθηναίων πρέσβεις ἦκον ἐκ τῆς Σικελίας, καὶ οἱ Ἐγεσταῖοι μετ' αὐτῶν, ἄγοντες ἑξήκοντα τάλαντα ἀσήμου ἀργυρίου ὡς ἐς ἑξήκοντα ναῦς μηνὸς μισθόν, ἃς ἔμελλον δεήσεσθαι πέμπειν. καὶ οἱ Ἀθηναῖοι ἐκκλησίαν ποιήσαν ες, καὶ ἀκούσαντες τῶν τε Ἐγεσταίων καὶ τῶν σφετέρων πρέσβεων τά τε ἄλλα ἐπαγωγὰ καὶ οὐκ ἀληθῆ, καὶ περὶ τῶν χρημάτων, ὡς εἴη ἑτοῖμα ἔν τε τοῖς ἱεροῖς πολλὰ καὶ ἐν τοῖς κοινοῖς, ἐψηφίσαντο ναῦς ἑξήκοντα πέμπειν ἐς Σικελίαν καὶ στρατηγοὺς αὐτοκράτορας Ἀλκιβιάδην τε τὸν Κλεινίου καὶ Νικίαν τὸν Νικηράτου καὶ Λάμαχον τὸν Ξενοφάνους, βοηθοὺς μὲν Ἐγεσταίοις πρὸς Σελινουντίους, ξυγκατοικίσαι δὲ καὶ Λεοντίνους, ἤν τι περιγίγνηται αὐτοῖς τοῦ πολέμου, καὶ τἆλλα τὰ ἐν τῇ Σικελίᾳ πρᾶξαι ὅπῃ ἂν γιγνώσκωσιν ἄριστα Ἀθηναίοις. μετὰ δὲ

9. Ἐπαγωγὰ] ψευδῆ μὲν, πιθανὰ δέ. 15. Ἤν τι περιγίγηται] περιουσία γένηται. 17. Μετὰ δὲ τοῦτο] ἦγουν μετὰ τὸ ψήφισμα.

1. συνέγραψε K.
6. ὡς om. d.i.
ἐς] ἐπ' h. om. A.B.F.K.L.N. O.
ναυσὶ h.
μισθοῦ d.i. μισθὸς I.
9. ἐπαγωγὰ οὐκ g.
10. ὡς om. B.
11. Ἐν τῷ κοινῷ] Omnes MSS. ἐν τοῖς κοινοῖς. Eadem varietas et alibi occurrit. Nec tamen facile a recepta scriptura discesserim. Thucydides cap. 6. Εἰ ὑπάρχει (χρήματα) ἐν τῷ κοινῷ καὶ ἐν τοῖς ἱεροῖς. I. 81. Οὔτε ἐν κοινῷ ἔχομεν (χρήματα) οὔτε ἑτοίμως ἐκ τῶν ἰδίων φέρομεν. ubi Scholiastes supplet ταμείῳ. Aristophanes Equitib. 771. Χρήματα πλεῖστ' ἀπέδειξα ἐν τῷ κοινῷ: feci, ut quamplurimum pecuniæ esset in ærario. *Interpres* ibi non recte vertit. Dux. τοῖς κοινοῖς A.B.E.F.H.I.K.L. N.O.P.Q.c.d.f.g.h.i.k. vulgo τῷ κοινῷ.
12. ναυτοκράτορας B.h.
15. ξυγκατοικῆσαι A.f.g.h.
ἤν τι περ γένηται d.
16. ἄλλα G.
τὰ om. Q.
τῇ om. Q.d.i.
17. ὅποι d.i.
γιγνώσκουσιν E.
ἄριστα om. g.

τοῦτο ἡμέρᾳ πέμπτῃ ἐκκλησία αὖθις ἐγίγνετο, καθ' ὅτι χρὴ τὴν παρασκευὴν ταῖς ναυσὶ τάχιστα γίγνεσθαι, καὶ τοῖς στρατηγοῖς, εἴ του προσδέοιντο, ψηφισθῆναι ἐς τὸν ἔκπλουν. καὶ ὁ Νικίας ἀκούσιος μὲν ἠρημένος ἄρχειν, νομίζων δὲ τὴν πόλιν οὐκ ὀρθῶς βεβουλεῦσθαι, ἀλλὰ προ- 5
φάσει βραχείᾳ καὶ εὐπρεπεῖ τῆς Σικελίας ἁπάσης, μεγάλου ἔργου, ἐφίεσθαι, παρελθὼν ἀποτρέψαι ἐβούλετο, καὶ παρήνει τοῖς Ἀθηναίοις τοιάδε.

5. Οὐκ ὀρθῶς] οὐκ ἀσφαλῶς. 6. Μεγάλου ἔργου ἐφίεσθαι] Ὅμηρος· Ἦ

1. ἐγένετο d.i.

3. πεν A.E.

4. ἀκούσιος A.B.E.F.H.K.L. N.O.d.e.f.g.h.i.k. vulgo ἀκούσας.

Ἀκούσας μὲν ἠρημένος ἄρχειν] Ἀκούσας non potest locum habere, nisi dicamus, Niciam concioni populi ante quintum diem habitæ, in qua ipse cum Alcibiade et Lamacho Dux hujus belli delectus erat, non interfuisse, idque deinde ei renunciatum esse. Sed hoc parum probabile est. Longe melior est, mea sententia, altera scriptura, ἀκούσιος, quæ et sex MSStorum auctoritate nititur, et ex ipso Thucydide confirmatur. Nam ita ipse Nicias infra cap. 12. Εἴτε τις ἄρχειν ἄσμενος αἱρεθεὶς παραινεῖ ὑμῖν ἐκπλεῖν· quibus verbis indicat, se ἀκούσιον, Alcibiadem autem ἄσμενον, Ducem creatum esse. Et Hermocrates in Oratione ad Syracusanos cap. 34. Ἄλλως τε καὶ τοῦ ἐμπειροτάτου τῶν στρατηγῶν, ὡς ἐγὼ ἀκούω, ἄκοντος ἡγουμένου. Nec non Aristides Orat. Sicula poster. t. II. p. 34. de Nicia: εἷς δὲ ὁ λειπόμενος, ὃν ἄκοντα ἐνθένδε ἐξηλάσαμεν. Vallam quoque legisse ἀκούσιος, ostendit ejus interpretatio horum verborum: Nicias, qui *invitus* fuerat delectus. Dux.

6. ἀπρεπεῖ e.

8. τάδε I.b.d.e.i.k.

Τοιάδε] Sic reposui e MSS. atque ita etiam frequentius, quod quidem veritatis studioso magis convenit. In Orationibus fere passim τοιάδε, in Fœderibus τάδε. Sed et in Orat. I. 85. ἅδε· at sequitur, τοιαῦτα λέξας. et postea τοσαῦτα in oratione brevi, ubi nihil fere Auctori permittitur. At in colloquio cum Meliensibus, ubi res nuda, missis Rhetorum coloribus, agebatur, ἔλεγον, inquit, τοιάδε, et postea, τοσαῦτα εἶπον. Hic ergo legendum τοιάδε, quia sequitur τοιαῦτα. Vel de Epistola usus τοιάδε VII. 10. sed in orationibus nusquam adhibet τάδε et ταῦτα, sed τοιαῦτα et τοσαῦτα semper. In Fœderibus contra, ut ad V. 46. observavimus. In brevioribus orat. τάδε fere, in longioribus etiam quandoque τοιάδε Herodotus, atque ita apud Hippocrat. de Victus Rat. III. 38. pro τοιαῦτα ex Feurei Codice reponendum, et paulo infra, οὐκ ἔτι δὴ τ. Wass. In eo, quod e Thucyd. II. 29. adnotatur, est error festinantis calami.

9—14. rei et difficultatem et periculum demonstrans.

" Ἡ MEN ἐκκλησία περὶ παρασκευῆς τῆς ἡμετέρας
" ἥδε ξυνελέγη, καθ' ὅτι χρὴ ἐς Σικελίαν ἐκπλεῖν· ἐμοὶ
" μέντοι δοκεῖ καὶ περὶ αὐτοῦ τούτου ἔτι χρῆναι σκέψα-
" σθαι, εἰ ἄμεινόν ἐστιν ἐκπέμπειν τὰς ναῦς, καὶ μὴ
" οὕτω βραχείᾳ βουλῇ περὶ μεγάλων πραγμάτων, ἀν-
" δράσιν ἀλλοφύλοις πειθομένους, πόλεμον οὐ προσήκοντα
" ἄρασθαι. καί τοι ἔγωγε καὶ τιμῶμαι ἐκ τοῦ τοιούτου,
" καὶ ἧσσον ἑτέρων περὶ τῷ ἐμαυτοῦ σώματι ὀρρωδῶ,
" νομίζων ὁμοίως ἀγαθὸν πολίτην εἶναι, ὃς ἂν καὶ τοῦ
" σώματός τι καὶ τῆς οὐσίας προνοῆται· μάλιστα γὰρ
" ἂν ὁ τοιοῦτος καὶ τὰ τῆς πόλεως δι' ἑαυτὸν βούλοιτο
" ὀρθοῦσθαι· ὅμως δὲ οὔτε ἐν τῷ πρότερον χρόνῳ διὰ τὸ
" προτιμᾶσθαι εἶπον παρὰ γνώμην, οὔτε νῦν, ἀλλὰ ἢ ἂν

μάλα τοι μεγάλων δώρων ἐπεμαίετο θυμός. (Il. X. 401.) 1. Ἡ μὲν ἐκκλησία περὶ παρασκευῆς] ἀντὶ τοῦ, ὡς χρὴ ἡμῖν τοῖς στρατηγοῖς τὴν παρασκευὴν ἀθροισθῆναι. 2. Καθότι] διότι. 6. Ἀλλοφύλοις] τοῖς Ἐγεσταίοις. 9. Νομίζων ὁμοίως ἀγαθὸν πολίτην εἶναι] ἀγαθὸν πολίτην ἡγοῦμαι καὶ τὸν ἀφειδοῦντα τοῦ σώματος, καὶ τὸν προνοούμενον ἐν καιρῷ, ὁμοίως ἑκατέρου προσήκοντος τοῖς ἀγαθοῖς πολίταις. 11. Καὶ τὰ τῆς πόλεως] διὰ τὸ προνοεῖν τοῦ τε σώματος καὶ τῆς κτήσεως, ἐθέλοι ἂν καὶ τὴν πόλιν εὐτυχεῖν ὁ τοιοῦτος. πάνυ δὲ πιθανῶς ἀποτρέπει τοὺς Ἀθηναίους, ἐμφαίνων ὅτι οὐχὶ τὸ ἑαυτοῦ σκοπεῖ. Δι' ἑαυτὸν βούλοιτο ὀρθοῦσθαι] διὰ τὴν οἰκείαν ζωὴν ἵστασθαι. 13. Παρὰ γνώμην] παρὰ τὴν προαίρεσιν.

Τοιάδε fere ubique in his dicit Thucydides; τάδε solo hoc loco, ni fallor, habent Editiones omnes, ceteris semper τοιάδε. Scripti nonnulli quidem I. 139. IV. 91. et VII. 60. pro τοιάδε habent τάδε· sed illorum non est habenda ratio. Ad illa, quæ paullo post dicuntur, καθότι χρὴ ἐς Σικελίαν ἐκπλεῖν, videtur respexisse Phrynichus pag. 80. e Thucydide laudans, καθὸ δεῖ εἰς Σικελίαν πλεῖν. Duk.

1. ἡμέρας b.
2. ἐσπλεῖν d.i.
3. σκέψαι E.
7. αἱρεσθαι I.P.d.i.k.
τω] τι H. τοιγε h.

8. ἧσσον E.
ἑαυτοῦ d.i.
10. προνοεῖται K.Q.d.g. πρόηται Stobæus.
11. ἂν om. d.
12. δι ὀρθουσθαι A.

Πρότερον] Ita haud paulo elegantius MSS. Itaque restitui pro προτέρῳ, quod ante legebatur. Noster IV. 38. Τῶν πρότερον ἀρχόντων. Sic πρίν. Wass. Aristophanes Equitib. 1352. Αἰσχύνομαί τοι ταῖς πρότερον ἁμαρτίαις. Hoc quoque non placuit sciolis quibusdam, qui e πρότερον fecerunt προτέραις· quemadmodum est apud Suidam in αἰσχύνομαι. Duk.

" γιγνώσκω βέλτιστα, ἐρῶ. καὶ πρὸς μὲν τοὺς τρόπους
" τοὺς ὑμετέρους ἀσθενὴς ἂν μου ὁ λόγος εἴη, εἰ τά τε
" ὑπάρχοντα σώζειν παραινοίην καὶ μὴ τοῖς ἑτοίμοις
" περὶ τῶν ἀφανῶν καὶ μελλόντων κινδυνεύειν· ὡς δὲ
" οὔτε ἐν καιρῷ σπεύδετε, οὔτε ῥᾴδιά ἐστι κατασχεῖν ἐφ' 5
10. " ἃ ὥρμησθε, ταῦτα διδάξω. * φημὶ γὰρ ὑμᾶς, πολε-
" μίους πολλοὺς ἐνθάδε ὑπολιπόντας, καὶ ἑτέρους ἐπι-
" θυμεῖν, ἐκεῖσε πλεύσαντας, δεῦρο ἐπαγαγέσθαι. καὶ
" οἴεσθε ἴσως τὰς γενομένας ὑμῖν σπονδὰς ἔχειν τι βέ-
" βαιον, αἳ ἡσυχαζόντων μὲν ὑμῶν ὀνόματι σπονδαὶ 10
" ἔσονται (οὕτω γὰρ ἐνθένδε τε ἄνδρες ἔπραξαν αὐτὰς

2. Ἀσθενὴς ἂν μου ὁ λόγος εἴη] ταῦτα δῆλα μέν, οὐ πιθανὰ δέ. ὡς γὰρ τῶν Ἀθηναίων ἀμελούντων τῶν ὑπαρχόντων, διὰ τὸ ἀεὶ περιττοτέρων ὀρέγεσθαι, καὶ διὰ τοῦτο μὴ ἀναπεισομένων τῷ λόγῳ, φησὶν ἠττηθήσεσθαι τῇ γνώμῃ. 3. Σώζειν παραινοίην] ἡμᾶς δηλονότι. 5. Κατασχεῖν] κτήσασθαι. 6. Διδάξω] γράφεται δηλώσω. 8. Καὶ οἴεσθε ἴσως τὰς γενομένας] καὶ ἴσως μὲν οἴεσθε τὰς σπονδὰς εἶναι βεβαίους, καὶ δι' αὐτὰς μηδένα ἐνταῦθα ὑπολειφθήσεσθαι πολέμιον. οὐκ ἔστι δέ. αἵτινες σπονδαὶ, μενόντων μὲν ὑμῶν κατὰ χώραν, ἔσονται μέχρι ὀνόματος, τουτέστιν οὐ βέβαιοι, ἐπειδὴ καὶ οἱ ἡμέτεροι ἄνδρες εἰργάσαντο μὴ βεβαίους αὐτὰς εἶναι. οὐ τοῦτο δὲ λέγει ὅτι, συνθέμενοι περὶ τῶν σπονδῶν, οὕτως ἐσπείσαντο, ὥστε μὴ βεβαίους αὐτὰς τυγχάνειν· (ἐπεὶ δᾶξειεν ἂν καὶ αὐτὸν διαβάλλειν· αὐτὸς γὰρ ἦν ὁ πράξας τὰς σπονδάς·) ἀλλ' ἀποτείνεται πρὸς Ἀλκιβιάδην τε καὶ Κλεόβουλον καὶ Ξεναγόραν. οὗτοι γὰρ ἠναντιοῦντο ταῖς σπονδαῖς, καὶ οὕτως ἔπραττον ὥστε μὴ μένειν αὐτάς. τὸ δὲ " ἐκ τῶν ἐναντίων σφαλέντων" ἀντὶ τοῦ μεγάλως πταισάντων καὶ μεγάλῃ δυνάμει σφαλέντων ἡμῶν, ταχέως οἱ ἐναντίοι ἐπιχειρή-

1. τὰ βέλτιστα K.
2. ἡμετέρους B.
6. δηλώσω γρ. h.
ἡμᾶς B.E.F.H.L.N.O.P.Q.c. d.f.g.h.i.k.
8. δεῦρο] δεύτερον A.B.E.F.H. I.L.N.O.P.Q.c.d.g.i.k.
10. αἳ] ἢ A. om. h.
μὲν om. d.k.
11. αὐτὰ A.B.E.F.H.K.N.P. Q.f.g.

Ἔπραξαν αὐτὰς] Hoc non ita intelligendum est, quasi dicat, eos, qui primi hoc fœdus fecerunt, illud de industria ita fecisse, ut firmum esse non posset: nam Plistoanax Rex Lacedæmoniorum, et Nicias ipse, qui præcipui illius auctores fuerant, id omnino, quum faciebant, ratum esse cupiebant, ut docet Thucydides IV. 16. sed deinde alios variis artibus effecisse, ne firmum esset. Sic recte Scholiastes. Et hoc convenit significationi vocis πράσσειν, qua infinitis locis utitur Thucydides de his, qui quocumque dolo, ar-

" καὶ ἐκ τῶν ἐναντίων), σφαλέντων δέ που ἀξιόχρεῳ δυ-
" νάμει, ταχεῖαν τὴν ἐπιχείρησιν ἡμῖν οἱ ἐχθροὶ ποιήσον-
" ται, οἷς πρῶτον μὲν διὰ ξυμφορῶν ἡ ξύμβασις, καὶ
" ἐκ τοῦ αἰσχίονος ἢ ἡμῖν, κατ' ἀνάγκην ἐγένετο, ἔπειτα
" ἐν αὐτῇ ταύτῃ πολλὰ τὰ ἀμφισβητούμενα ἔχομεν. εἰ-
" σὶ δ' οἳ οὐδὲ ταύτην πω τὴν ὁμολογίαν ἐδέξαντο, καὶ
" οὐχ οἱ ἀσθενέστατοι· ἀλλ' οἱ μὲν ἄντικρυς πολεμοῦσιν,
" οἱ δὲ καὶ διὰ τὸ Λακεδαιμονίους ἔτι ἡσυχάζειν δε-
" χημέροις σπονδαῖς καὶ αὐτοὶ κατέχονται. τάχα δ'
" ἂν ἴσως, εἰ δίχα ἡμῶν τὴν δύναμιν λάβοιεν, ὅπερ νῦν
" σπεύδομεν, καὶ πάνυ ἂν ξυνεπιθεῖντο μετὰ Σικελιωτῶν,

σουσι. 3. Διὰ ξυμφορῶν] διὰ συμφορῶν ἡ σύμβασις ἐγένετο τοῖς Λακεδαιμονίοις πρὸς τοὺς Ἀθηναίους, διὰ τὰ ἐν Σφακτηρίᾳ. Καὶ ἐκ τοῦ αἰσχίονος] τὸ " ἐκ τοῦ αἰσχίονος ἡμῖν κατ' ἀνάγκην ἐγένετο" ὑπερβιβάσαι χρή· καὶ κατ' ἀνάγκην ἐγένετο ἐκ τοῦ αἰσχίονος ἤπερ ἡμῖν. ἐξ ἀνάγκης γὰρ συνέβησαν οἱ Λακεδαιμόνιοι, βουλόμενοι τοὺς ἄνδρας κομίσασθαι, καὶ αἰσχρῶς· αὐτοὶ γὰρ ἐδεήθησαν διὰ τὸ πταῖσαι. τὴν δὲ ὁμολογίαν τῶν οὐκ ἐδέξαντο Κορίνθιοι, οἳ καὶ ἄντικρυς πολεμοῦσι· δεχημέρους δὲ σπονδὰς οἱ Θηβαῖοι δεξάμενοι ἡσυχάζουσι. 6. Τὴν ὁμολογίαν ἐδέξαντο] τῶν σπονδῶν δηλονότι. 9. Τάχα δ' ἂν ἴσως] εἰ διηρμένην εἰς δύο μέρη (φησί) λάβοιεν ἡμῶν τὴν δύναμιν, τῷ μὲν ἐνταῦθα μέρει Πελοποννήσιοι, τῷ δὲ πλέοντι Σικελιῶται ἐπιθήσονται.

te ac fraude aliquid moliuntur ac machinantur. Etsi alioqui etiam ii, qui id agunt ac student, ut firma fiat pax et societas, recte possunt dici πράσσειν τὰς σπονδάς. Thucydides IV. 43. Ὅτι οἱ Λακεδαιμόνιοι διὰ Νικίου καὶ Λάχητος ἔπραξαν τὰς σπονδάς. Et III. 75. Ξύμβασίν τε ἔπρασσε, καὶ πείθει ξυγχωρῆσαι ἀλλήλοις. Quod autem ad diversitatem scripturæ adtinet, si putabimus, retinendum esse αὐτὰς, supplendum erit εἶναι· sin hoc minus placet, cum optimis et plurimis libris, me non invito, præferatur αὐτά. Οὕτω ἔπραξαν αὐτὰ, ita illa tractarunt, i. e. et e nostris et ex Lacedæmoniis [redacted]dam ea moliti sunt, et artibus quibusdam effecerunt, ut nomine tenus fœdus, re ipsa minime firmum esset. Duk.

1. δέ recepi ex G.K.d.f.
ποι Q.
5. πολλῷ τε ἀμφισβ. K.
ἔχομεν om. O.
6. πω om. d.
7. οἱ οὐκ K.
8. δὲ διὰ L.O.P.
9. αὐτοὶ κατέχονται A. B. E, F. H. K. L. N. O. P. c.d.e.f.g.h.i.k. vulgo αὐτοὶ ἔτι κατέχονται.
ἂν δ' A.E.g.h. ἂν δ' ἂν d.i.
11. ξυνεπιθεῖντο L.O.P.c.i.d. ξυνεπιθοῖντο F.K. ξυνεπείθοντο A.B.h. ξυνεπείθοιντο E.

" οὓς πρὸ πολλῶν ἂν ἐτιμήσαντο ξυμμάχους γενέσθαι
" ἐν τῷ πρὶν χρόνῳ. ὥστε χρὴ σκοπεῖν τινὰ αὐτὰ, καὶ
" μὴ μετεώρῳ τε πόλει ἀξιοῦν κινδυνεύειν, καὶ ἀρχῆς
" ἄλλης ὀρέγεσθαι, πρὶν ἣν ἔχομεν βεβαιωσώμεθα, εἰ
" Χαλκιδῆς γε οἱ ἐπὶ Θράκης ἔτη τοσαῦτα ἀφεστῶ- 5
" τες ἀφ' ἡμῶν ἔτι ἀχείρωτοί εἰσι, καὶ ἄλλοι τινὲς
" κατὰ τὰς ἠπείρους ἐνδοιαστῶς ἀκροῶνται. ἡμεῖς δὲ
" Ἐγεσταίοις δὴ οὖσι ξυμμάχοις, ὡς ἀδικουμένοις, ὀξέως
" βοηθοῦμεν· ὑφ' ὧν δ' αὐτῶν πάλαι ἀφεστώτων ἀδι-
11. " κούμεθα, ἔτι μέλλομεν ἀμύνεσθαι. * καίτοι τοὺς 10
" μὲν κατεργασάμενοι κἂν κατάσχοιμεν· τῶν δ' εἰ καὶ
" κρατήσαιμεν, διὰ πολλοῦ γε καὶ πολλῶν ὄντων χαλε-
" πῶς ἂν ἄρχειν δυναίμεθα. ἀνόητον δ' ἐπὶ τοιούτους
" ἰέναι, ὧν κρατήσας τε μὴ κατασχήσει τις, καὶ μὴ κα-

1. Οὓς πρὸ πολλῶν] οὓς οἱ Πελοποννήσιοι ἐτιμήσαντο ἂν ἀντὶ πολλῶν χρημάτων συμμάχους ἔχειν, τούτους ἡμῖν σκεῖσθαι, πλεύσαντες ἐπὶ Σικελίαν, πολεμίους ποιῆσαι. 3. Ἀξιοῦν κινδυνεύειν] καὶ μὴ ἀξιοῦν κινδυνεύειν, τῆς πόλεως ἡμῶν οὐκ ἐν τῷ ἀσφαλεῖ ὁρμούσης. μετενήνεκται δὲ τὸ ὄνομα ἀπὸ τῶν πλοίων τῶν μήπω ὡρμισμένων. 7. Ἐνδοιαστῶς] οὐ βεβαίως ὑπακούουσιν. Ἡμεῖς δὲ Ἐγεσταίοις] ἡμεῖς δὲ Ἐγεσταίοις δῆθεν ἀδικουμένοις· ἢ ὡς δῆθεν ξυμμάχοις οὖσιν. 11. Κατεργασάμενοι] ταπεινώσαντες. Τῶν δ' εἰ καὶ κρατήσαιμεν] τῶν Σικελιωτῶν. 12. Διὰ πολλοῦ] διαστήματος. 14. Καὶ μὴ κατορθώσας] πρῶτον μὲν γὰρ μὴ ἐπιχειρήσαντες Ἀθηναῖοι Σικελιώταις, οὐκ εἶχον

1. ἂν πρὸ πολλῶν d.
ξυμμάχους γενέσθαι A. B. E. F. H.K.L.N.O.Q.c.d.e.f.g.h. vulgo ξυμμάχους σφίσι γενέσθαι.
3. μετεώρως d. μετεωροτέρω e.
4. βεβαιωσόμεθα A. B. H. I. L. M. O. d. f. g.
εἰ χαλκ. γε] οἱ χαλκ. γὰρ B.K. L.P. οἱ χαλκ. γε d. εἰ χαλκ. τέ γε f.
5. ἀφεστῶτες ἀφ' ἡμῶν A.B.E. F.N.c.g. vulgo ἀφεστῶτες ἡμῶν.
6. ὅσι K.
Καὶ ἄλλοι—ἀκροῶνται] Thomas Magister in ἐνδοιάζω. Wass.
7. ἐνδοιάστως g.
ἀκροῶνται] ἡμῶν ἀκροῶνται K.
8. δὴ οὖσι] δηοῦσι E. οὖσι d.
ξύμμαχοι A.B.E.
9. δὴ] δῆθεν Q.f.
αὐτῶν] Immo αὐτοί.
13. τοιούτους P.k.
14. εἶναι L.P.k.
κρατήσαντας I.K.h.
γε h.
κατασχήσῃ A.K. κατισχήσῃ M. κατισχύσει L.O. σχήσῃ h.

" τορθώσας μὴ ἐν τῷ ὁμοίῳ καὶ πρὶν ἐπιχειρῆσαι ἔσται.
" Σικελιῶται δ' ἄν μοι δοκοῦσιν, ὡς γε νῦν ἔχουσι, καὶ
" ἔτι ἂν ἧσσον δεινοὶ ἡμῖν γενέσθαι, εἰ ἄρξειαν αὐτῶν
" Συρακόσιοι· ὅπερ οἱ Ἐγεσταῖοι μάλιστα ἡμᾶς ἐκφο-
" βοῦσι. νῦν μὲν γὰρ κἂν ἔλθοιεν ἴσως Λακεδαιμονίων
" ἕκαστοι χάριτι, ἐκείνως δ' οὐκ εἰκὸς ἀρχὴν ἐπὶ ἀρχὴν
" στρατεῦσαι· ᾧ γὰρ ἂν τρόπῳ τὴν ἡμετέραν μετὰ Πε-
" λοποννησίων ἀφέλωνται, εἰκὸς ὑπὸ τῶν αὐτῶν καὶ τὴν
" σφετέραν διὰ τοῦ αὐτοῦ καθαιρεθῆναι. ἡμᾶς δ' ἂν οἱ
" ἐκεῖ Ἕλληνες μάλιστα μὲν ἐκπεπληγμένοι εἶεν, εἰ μὴ
" ἀφικοίμεθα, ἔπειτα δὲ καὶ εἰ δείξαντες τὴν δύναμιν
" δι' ὀλίγου ἀπέλθοιμεν· εἰ δὲ σφαλείημέν τι, τάχιστ'
" ἂν ὑπεριδόντες μετὰ τῶν ἐνθάδε ἐπιθεῖντο. τὰ γὰρ διὰ
" πλείστου πάντες ἴσμεν θαυμαζόμενα, καὶ τὰ πεῖραν
" ἥκιστα τῆς δόξης δόντα. ὅπερ νῦν ὑμεῖς, ὦ Ἀθηναῖοι,

αὐτοὺς πολεμίους· ἐπιχειρήσαντες δὲ καὶ μὴ ἑλόντες, οὐκ ἐν τῷ ὁμοίῳ ἐγίγνοντο, ἀλλὰ πολεμίους αὐτοὺς ἔσχον. 2. Καὶ ἔτι ἂν ἧσσον δεινοὶ] οὔτε νῦν εἰσὶ δεινοὶ, καὶ ἔτι ἧττον ἔσονται δεινοὶ, ἂν ὑπὸ Συρακουσίοις πάντες γένωνται, ἢ ὡς διάκεινται ὑπὸ τοῦ πολέμου. 6. Ἕκαστοι] τῶν Σικελιωτῶν δηλονότι. Ἐκείνως δ' οὐκ εἰκὸς] ἤγουν, εἰ ἀρχθεῖεν ὑπὸ Συρακουσίων, οὐκ εἰκὸς ἐπὶ τὴν τῶν Ἀθηναίων ἀρχὴν στρατεῦσαι τοὺς Συρακουσίους, Σικελιωτῶν ἄρξαντας. 8. Ὑπὸ τῶν αὐτῶν] Πελοποννησίων δηλονότι. 9. Διὰ τοῦ αὐτοῦ] τρόπου. 12. Δι' ὀλίγου ἀπέλθοιμεν] ταχέως ἀπέλθοιμεν. Τάχιστ' ἂν ὑπεριδόντες] τάχιστ' ἂν ἐπίθοιντο μετὰ τῶν ἐνθάδε, ὑπεριδόντες, τουτέστι καταφρονήσαντες ἡμῶν. 14. Καὶ τὰ πεῖραν ἥκιστα] ὅσα, ἔνδοξα ὄντα, ἐς πεῖραν οὐκ ἔρχεται. τουτέστιν ὅσα ἀκούεται μᾶλλον ἤπερ ὁρᾶται. Ὅπερ νῦν ὑμεῖς] τὸ αὐτὸ (φησίν) ἔστεται τοῖς Συρακουσίοις πρὸς ἡμᾶς, ὅπερ νῦν ὑμῖν ἐγένετο πρὸς Λακεδαιμονίους. φοβούμενοι γὰρ αὐτοὺς αἰεὶ δήποτε,

2. δοκοῦσιν M.
3. δεινοὶ ἂν ἡμῖν K.
εἰ καὶ ἄρξειαν d.
4. οἱ συρ. K.
ὅπερ d.
5. κἂν] ἂν K.
6. ἐκεῖνοι H. ἐκείνων d.
7. τόπῳ E.
8. ἀπὸ d.
τῶν σφετέρων g.
9. οἱ] εἰ d.
11. δὲ εἰ K.
13. ἐπιθεῖντο I.L.N.O.P.d.e.h. vulgo ἐπίθοιντο.
14. τὰ] τὴν h.
15. δέοντα b. ἐνδέοντα f.
δ'] ὁ λακεδαιμόνιοι K.

" ἐς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους πεπόνθατε·
" διὰ τὸ παρὰ γνώμην αὐτῶν, πρὸς ἃ ἐφοβεῖσθε τὸ πρῶ-
" τον, περιγεγενῆσθαι, καταφρονήσαντες ἤδη καὶ Σικε-
" λίας ἐφίεσθε. χρὴ δὲ μὴ πρὸς τὰς τύχας τῶν ἐναν-
" τίων ἐπαίρεσθαι, ἀλλὰ τὰς διανοίας κρατήσαντας
" θαῤῥεῖν· μηδὲ Λακεδαιμονίους ἄλλο τι ἡγήσασθαι ἢ
" διὰ τὸ αἰσχρὸν σκοπεῖν, ὅτῳ τρόπῳ ἔτι καὶ νῦν, ἢν δύ-
" νωνται, σφήλαντες ἡμᾶς τὸ σφέτερον ἀπρεπὲς εὖ θή-
" σονται, ὅσῳ καὶ περὶ πλείστου καὶ διὰ πλείστου δό-
" ξαν ἀρετῆς μελετῶσιν. ὥστε οὐ περὶ τῶν ἐν Σικελίᾳ
" Ἐγεσταίων ἡμῖν, ἀνδρῶν βαρβάρων, ὁ ἀγὼν, εἰ σω-
" φρονοῦμεν, ἀλλ' ὅπως πόλιν δι' ὀλιγαρχίας ἐπιβου-
12. " λεύουσαν ὀξέως φυλαξόμεθα. * καὶ μεμνῆσθαι χρὴ
" ἡμᾶς ὅτι νεωστὶ ἀπὸ νόσου μεγάλης καὶ πολέμου
" βραχύ τι λελωφήκαμεν, ὥστε καὶ χρήμασι καὶ τοῖς
" σώμασιν ἠὐξῆσθαι· καὶ ταῦτα ὑπὲρ ἡμῶν δίκαιον ἐν-
" θάδε εἶναι ἀναλοῦν, καὶ μὴ ὑπὲρ ἀνδρῶν φυγάδων τῶν-
" δε, ἐπικουρίας δεομένων, οἷς τό τε ψεύσασθαι καλῶς

ἐκεῖθεν παρὰ τὴν οἴησιν τὸ πρῶτον αὐτῶν ἐκράτησατε, καταφρονήσαντες ἤδη καὶ Σικελίας ἐφίεσθε. ἐμφαίνει δὲ ὅτι καὶ Συρακούσιοι, καταφρονήσαντές ἡμῶν, τῶν ἐνθάδε ὀρέξονται. 2. Παρὰ γνώμην] παρ' ἐλπίδα. 5. Τὰς διανοίας] δηλονότι τῶν πολεμίων. 6. Μηδὲ Λακεδαιμονίους] μὴ νομίζετε Λακεδαιμονίους (φησὶ) ἄλλο τι σκοπεῖν, ἢ, διὰ τὸ αἰσχρῶς ἐοικεῖσθαι, σπεύδειν, ὅτῳ τρόπῳ δύναιντο ἔτι νῦν, καθελόντες ἡμᾶς, ἀναμαχέσασθαι τὴν πρόσθεν ἀδοξίαν, ὅτῳ ὑπὲρ πάντα τὰ ἄλλα τὴν ἀπ' ἀρετῆς δόξαν θηρῶνται καὶ ἐν πλείστῳ χρόνῳ μελετῶσιν αὐτήν. 12. Ἐπιβουλεύουσαν] ἡμῖν δηλονότι. 16. Ἐνθάδε εἶναι ἀναλοῦν] ἐνθάδε εἶναι ἀναλίσκειν τά τε χρήματα καὶ τὰ σώματα. 18. Οἷς τό τε ψεύσασθαι καλῶς] τοῖς Ἐγεσταίοις, τὸ

3. καὶ καταφρονήσαντες L.O.P. d.k. καὶ φρονήσαντες K.
4. ἐφίεσθαι A.B.E.F.H.K.c.g. h.k.
7. ἢν δύνωνται om. L.
9. ὅσῳ καὶ B.E.F.H.I.K.L.O. Q.c.d.e.f.g.h.i.k.
11. ἢν σωφρονῶμεν e.
12. πόλιν] πολλὴν K.
ἐπιβουλεύσαντες h.
13. φυλαξόμεθα E.d.
14. ὑμᾶς d.
15. καὶ τοῖς σώμασιν om. L.O. P.k.
16. ταῦτα] τὰ K.
17. εἶναι om. K.M.b.d.e.f.
τῶνδε] τῶν K. τῶν τε d.

" χρήσιμον, καὶ τῷ τοῦ πέλας κινδύνῳ, αὐτῶν λόγους
" μόνον παρασχομένους, ἢ κατορθώσαντας χάριν μὴ
" ἀξίαν εἰδέναι, ἢ πταίσαντάς που τοὺς φίλους ξυνα-
" πολέσθαι. εἴ τε τις ἄρχειν ἄσμενος αἱρεθεὶς παραινεῖ
" ὑμῖν ἐκπλεῖν, τὸ ἑαυτοῦ μόνον σκοπῶν, ἄλλως τε καὶ
" νεώτερος ἔτι ὢν ἐς τὸ ἄρχειν, ὅπως θαυμασθῇ μὲν ἀπὸ
" τῆς ἱπποτροφίας, διὰ δὲ πολυτέλειαν καὶ ὠφεληθῇ τι
" ἐκ τῆς ἀρχῆς, μηδὲ τούτῳ ἐμπαράσχητε τῷ τῆς πό-
" λεως κινδύνῳ ἰδίᾳ ἐλλαμπρύνεσθαι, νομίσατε δὲ τοὺς
" τοιούτους τὰ μὲν δημόσια ἀδικεῖν, τὰ δὲ ἴδια ἀναλοῦν,
" καὶ τὸ πρᾶγμα μέγα εἶναι καὶ μὴ οἷον νεωτέρῳ βου-
" λεύσασθαί τε καὶ ὀξέως μεταχειρίσαι. * οὓς ἐγὼ ὁρῶν 13.
" νῦν ἐνθάδε τῷ αὐτῷ ἀνδρὶ παρακελευστοὺς καθημένους
" φοβοῦμαι, καὶ τοῖς πρεσβυτέροις ἀντιπαρακελεύο-
" μαι μὴ καταισχυνθῆναι, εἰ τῷ τις παρακάθηται
" τῶνδε, ὅπως μὴ δόξει, ἂν μὴ ψηφίζηται πολεμεῖν,

καλῶς πρόσκειται διὰ τὸ πεφωρᾶσθαι ψευδόμενον· ἤτοι πιθανῶς. 4. Εἴ τε τις ἄρχειν ἄσμενος] ταῦτα διὰ τὸν στρατηγὸν Ἀλκιβιάδην. 6. Ἐς τὸ ἄρχειν] τὸ ἐς τὸ ἀντὶ τοῦ ἢ ἢ ὥστε. Ἀπὸ τῆς ἱπποτροφίας] ἤγουν ἀπὸ τῶν οἰκείων ἵππων. 9. Ἐλλαμπρύνεσθαι] ἀλαζονεύεσθαι. 11. Βουλεύσασθαί τε] λείπει τὸ περὶ αὐτοῦ τοῦ πράγματος. 13. Παρακελευ-

1. αὐτῶν A. B. F. I. g.h. vulgo αὐτούς.
μόνον λόγους K. λόγῳ μόνον e.
3. Aut τοῖς φίλοις aut ξυναπολέσαι legit Reiskius.
4. εἴ δέ τις K.
ἄρχειν om. P. post ἄσμενος ponit g.
παραινῇ K.
5. ἐκπλεῖν ὑμῖν τοῦτο μόνον Schol. Aristophan. Pac. 449.
6. ἔτι ὢν A.B.E. ἔτι, omisso ὤν, F. ὤν, omisso ἔτι, K.b.e.h. ὢν ἔτι ceteri.
7. διά τε d.
8. τοῦτο e.
ἐμπαράσχοιτε e. ἐνπαράσχητε pr. ἐν παράσχοιτε recens d.
9. ἰδίᾳ] διὰ τὸ Schol. Aristophan.
ἐκλαμπρύνεσθαι d. ἐλλαμπρύνασθαι Schol. Aristophan.
10. τὰ b.c.f.g.h.i. vulgo διά.
12. ἐγὼ ὁρῶν A.B.E.F.H.K.L. O.P.c.e.g.h.i.k. ἐγὼ ὁρῶ d. vulgo ὁρῶν ἐγώ.
13. αὐτῷ om. Q.
παρασκευαστοὺς L.O.
16. δόξει e. vulgo δόξῃ.
ἂν] κἂν Q. ἢν margo d.
μὴ om. d.
ὑπψηφίζηται K.

" μαλακὸς εἶναι, μηδ' ὅπερ ἂν αὐτοὶ πάθοιεν, δυσέρω-
" τας εἶναι τῶν ἀπόντων, γνόντας ὅτι ἐπιθυμίᾳ μὲν
" ἐλάχιστα κατορθοῦνται, προνοίᾳ δὲ πλεῖστα, ἀλλ'
" ὑπὲρ τῆς πατρίδος, ὡς μέγιστον δὴ τῶν πρὶν κίνδυ-
" νον ἀναῤῥιπτούσης, ἀντιχειροτονεῖν, καὶ ψηφίζεσθαι
" τοὺς μὲν Σικελιώτας οἵσπερ νῦν ὅροις χρωμένους πρὸς
" ἡμᾶς, οὐ μεμπτοῖς, τῷ τε Ἰονίῳ κόλπῳ παρὰ γῆν
" ἣν τις πλέῃ, καὶ τῷ Σικελικῷ διὰ πελάγους, τὰ αὐ-
" τῶν νεμομένους καθ' αὑτοὺς καὶ ξυμφέρεσθαι· τοῖς δ'
" Ἐγεσταίοις ἰδίᾳ εἰπεῖν, ἐπειδὴ ἄνευ Ἀθηναίων καὶ
" ξυνῆψαν πρὸς Σελινουντίους τὸ πρῶτον πόλεμον, μετὰ
" σφῶν αὐτῶν καὶ καταλύεσθαι· καὶ τὸ λοιπὸν ξυμ-
" μάχους μὴ ποιεῖσθαι, ὥσπερ εἰώθαμεν, οἷς κακῶς μὲν
" πράξασιν ἀμυνοῦμεν, ὠφελίας δ' αὐτοὶ δεηθέντες οὐ
14. " τευξόμεθα. * καὶ σὺ, ὦ πρύτανι, ταῦτα εἴπερ ἡγεῖ
" σοι προσήκειν κήδεσθαί τε τῆς πόλεως, καὶ βούλει
" γενέσθαι πολίτης ἀγαθὸς, ἐπιψήφιζε, καὶ γνώμας

στοὺς] παρακεκλημένους. 6. Οἵσπερ νῦν ὅροις χρωμένους] Ὅμηρος· ἐπεὶ μάλα πολλὰ μεταξὺ Οὔρεά τε σκιόεντα (Il. 1, 156). 16. Κήδεσθαί τε τῆς πόλεως] τὸ ἑξῆς, ταῦτα ἐπιψήφιζε. 17. Ἐπιψήφιζε] δευτέ-

1. ὅπερ E.
δυσέρωτα d. δυσέρωτες e.
2. ἐπιθυμίαι K.
μὲν om. P.
3. πρόνοιαι K.
τὰ πλεῖστα Q.f.
4. πατρίδες] τροφάδος I.
τῶν] τὸν K.L.M.N.O.g.
6. ὅροις om. pr. d.
χρωμένους E.
7. ἡμᾶς B.N.Q.g.h. vulgo ὑμᾶς.
ἰωνίῳ d.
9. ἑαυτοὺς K.
καὶ] δὲ καὶ d.
11. τὸ d. et Levesquius: vulgo τόν.
13. καλῶς L.O.e.
15. ἡγεῖ E.K. vulgo ἡγῇ.
17. Ἐπιψήφιζε] Ἐπιψηφίζειν saepe esse ἐπικυροῦν, quemadmodum id exponit Harpocration, dudum docuit Budæus in Commentar. Ling. Gr. pag. 167. Sed non liquet, hoc loco eam esse hujus vocis significationem: neque enim post hanc orationem Niciæ quidquam a concione decretum erat, quod ἐπικυροῦν posset Πρύτανις. Itaque puto, ἐπιψηφίζειν hic esse, populum ad suffragium ferendum vocare, et sententias rogare; quod etiam, in suffragium mittere, dicunt Latini. Nam

" προτίθει αὖθις Ἀθηναίοις, νομίσας, εἰ ὀρρωδεῖς τὸ ἀνα-
" ψηφίσαι, τὸ μὲν λύειν τοὺς νόμους μὴ μετὰ τοσῶνδ'
" ἂν μαρτύρων αἰτίαν σχεῖν, τῆς δὲ πόλεως [κακῶς]
" βουλευσαμένης ἰατρὸς ἂν γενέσθαι, καὶ τὸ καλῶς ἄρ-
" ξαι τοῦτ' εἶναι, ὃς ἂν τὴν πατρίδα ὠφελήσῃ ὡς πλεῖ-
" στα ἢ ἐχὼν εἶναι μηδὲν βλάψῃ."

Ὁ μὲν Νικίας τοιαῦτα εἶπε· τῶν δὲ Ἀθηναίων πα- 15. Deinde plu-
ριόντες οἱ μὲν πλεῖστοι στρατεύειν παρῄνουν καὶ τὰ ἐψη- rimis quidem expe-
φισμένα μὴ λύειν, οἱ δέ τινες καὶ ἀντέλεγον. ἐνῆγε δὲ ditionem suadentibus, nonnullis vero etiam dis-
προθυμότατα τὴν στρατείαν Ἀλκιβιάδης ὁ Κλεινίου, βου-
λόμενος τῷ τε Νικίᾳ ἐναντιοῦσθαι, ὢν καὶ ἐς τἆλλα διά-

ρας ψήφους τίθει. 4. Ἰατρὸς ἂν γενέσθαι] ἡ διάνοια, μὴ εὐλαβούμενα εἶναι τὰ ἐψηφισμένα. λύσας γὰρ αὐτὰ μετὰ τοσούτων μαρτύρων αἰτίαν τε οὐχ ἕξεις,

et ita sumi τὸ ἐπιψηφίζειν, e Platone in Gorgia, et Thucydide I. 27. Τοιαῦτα λέξας, ἐπεψήφιζεν αὐτὸς, Ἔφορος ὤν, ἐς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων, docet ibidem Budæus. Eademque est significatio τοῦ ἐπιψηφίζειν in his, quæ e Demosthenis Androtiana pag. 385. adfert Valesius ad Harpocrationem: Οἱ προεδρεύοντες τῆς βουλῆς καὶ ὁ ταῦτ' ἐπιψηφίζων ἐπιστάτης ἠρώτων καὶ διαχειροτονίαν ἐδίδοσαν. Non est quidem ἐπιψηφίζειν proprie δευτέρας ψήφους τιθέναι, ut hic Scholiastes: sed quia hanc ἐπιψήφισιν necessario consequebantur δεύτεραι ψῆφοι, interpretatio illius ferri potest. Itaque etiam Spanhemius l. d. non dubitavit hoc ita vertere, *pone denuo calculos. Valla* sententiam recte expressit *de integro consulito* Athenienses de his, et ad suffragia revocato. Dux.

populum iterum in suffragia mittere de re, de qua jam psephisma scriptum esset. Est tamen illustre exemplum in contrarium in decreto de Mitylenæis interficiendis apud Thucydidem III. 36. seqq. ubi, psephismate jam facto, et Mitylenas ad Pachetem misso, οἱ ἐν τέλει dicuntur αὖθις γνώμας προθεῖναι. Dux.

1. τῇ ἀναψηφίσαι τοῦ d.

2. Λύειν τοὺς νόμους] Ex hoc loco Petitus ad leg. Att. pag. 212. colligit, non licuisse Prytanibus,

μετὰ] μὲ E. F. H. K. c.g.h.
τε A.B.
3. ἂν om. d.
ἔχειν K.
κακῶς om. A.B.E.F.H.I.L.N. O.P.b.c.e.f.g.h.k.
4. τὸ desinit I.
5. ὃς] ὡς A.H.g. ὃς—βλάψῃ om. pr. d.
ἂν τὴν] αὐτὴν rec. d.
ὠφελήσει E.K.
6. μὴ g.
βλάψαι K.
7. παριόντων K.
9. τινες καὶ om. P.
10. τὴν στρατείαν προθυμότατα i.
11. τἆλλα K. ceteri τὰ ἄλλα.

suadentibus, Alcibiades, qui ex illa gloriam et opes tum patriæ tum sibi quærebat, maxime institit,

φορᾶς τὰ πολιτικὰ, καὶ ὅτι αὐτοῦ διαβόλως ἐμνήσθη, καὶ μάλιστα στρατηγῆσαί τε ἐπιθυμῶν, καὶ ἐλπίζων Σικελίαν τε δι' αὐτοῦ καὶ Καρχηδόνα λήψεσθαι, καὶ τὰ ἴδια ἅμα εὐτυχήσας χρήμασί τε καὶ δόξῃ ὠφελήσειν. ὧν γὰρ ἐν ἀξιώματι ὑπὸ τῶν ἀστῶν, ταῖς ἐπιθυμίαις μείζοσιν ἢ κατὰ τὴν ὑπάρχουσαν οὐσίαν ἐχρῆτο ἔς τε τὰς ἱπποτροφίας καὶ τὰς ἄλλας δαπάνας· ὅπερ καὶ καθεῖλεν ὕστερον τὴν τῶν Ἀθηναίων πόλιν οὐχ ἥκιστα. φοβηθέντες γὰρ αὐτοῦ οἱ πολλοὶ τὸ μέγεθος τῆς τε κατὰ τὸ ἑαυτοῦ σῶμα παρανομίας ἐς τὴν δίαιταν, καὶ τῆς διανοίας ὧν καθ' ἓν ἕκαστον, ἐν ὅτῳ γίγνοιτο, ἔπρασσεν, ὡς τυραννίδος ἐπιθυμοῦντι πολέμιοι καθέστασαν, καὶ δημοσίᾳ κράτιστα διαθέντι τὰ τοῦ πολέμου, ἰδίᾳ ἕκαστοι τοῖς ἐπιτηδεύμασιν αὐτοῦ ἀχθεσθέντες, καὶ ἄλλοις ἐπιτρέψαντες, οὐ διὰ μακροῦ ἔσφηλαν τὴν πόλιν. τότε δ' οὖν παρελθὼν τοῖς Ἀθηναίοις παρήνει τοιάδε.

16—18. præ ceteris dignum se

"ΚΑΙ προσήκει μοι μᾶλλον ἑτέρων, ὦ Ἀθηναῖοι, ἄρχειν (ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου Νι-

καὶ τῆς πόλεως ἰατρὸς γενέσθαι κακῶς βουλευσαμένης. 1. Διαβόλως] ἤγουν φθονερῶς διαβολῇ καὶ κατηγορίᾳ. 3. Καὶ Καρχηδόνα λήψεσθαι] τοὺς Ἀθηναίους. 10. Ἐς τὴν δίαιταν, καὶ τῆς διανοίας] τὸ παρανόμως διαιτᾶσθαι, ἢ

1. πολεμικὰ K.
Διαβόλως ἐμνήσθη] Pro κακῶς ἐμνήσθη. Thomas in Eclog. Attic. Huds.
5. ἀστῶν] αὐτῶν B.h.
6. ἔς] ὥς i.
7. καὶ om. d.i.
9. αὐτοῦ om. e.
11. Ὡς τυραννίδος ἐπιθυμοῦντι] Vide Scholiasten Aristophanis ad Ran. v. 1472. Dukr.
13. διαθέντι h.
τὰ om. d.
14. αὐτοῦ] αὐτῷ P.
ἀχθέντες d.i.
ἀλλήλοις margo d.
15. δ' om. d.
17. Καὶ προσήκει μοι] Hæc laudat Aristides Canteri in Alcib. p. 651. De Ludis et certantium pompa vide Sophoclem Elect. 686. De ipsius Alcibiadis Equis, tentorio Persico, et cætero apparatu adeas Andocidem Orat. IV. p. 304. De moribus vero Xenoph. Mem. I. p. 715. et Platonem p. 429. 430. Ed. Francof. Wass.
μοι om. M.
18. νικίας μου e.

" κίας καθήψατο), καὶ ἄξιος ἅμιλλαν νομίζω εἶναι. ὢν γὰρ περὶ ἐπιβούλους εἰμὶ, τοῖς μὲν προγόνοις μου καὶ ἐμοὶ δόξαν φέρει ταῦτα, τῇ δὲ πατρίδι καὶ ὠφελίαν. σὶ γὰρ Ἕλληνες καὶ ὑπὲρ δύναμιν μείζω ἡμῶν τὴν πόλιν ἐνόμισαν τῷ ἐμῷ διαπρεπεῖ τῆς Ὀλυμπιάζε θεωρίας, πρότερον ἐλπίζοντες αὐτὴν καταπεπολεμῆσθαι, διότι ἅρματα μὲν ἑπτὰ καθῆκα, ὅσα οὐδεὶς πω ἰδιώτης πρότερον, ἐνίκησα δὲ καὶ δεύτερος καὶ τέταρτος ἐγενό-

esse gloriatus, cui hoc imperium mandaretur, neque timendam esse Siculorum nimis jactatam potentiam, docens, sed ad ipsorum Atheniensium secu-

τὸ παρανόμως τῷ ἑαυτοῦ σώματι χρῆσθαι κατὰ τὰς διατριβάς. 1. Ὢν γὰρ περὶ] παρ' ὅσον ἡ οἰκία αὐτῶν ἰατρόφιλος ἐλέγετο. 2. Ἐπιβούλους εἰμὶ] γράφεται, περιβούλους εἰμι. 4. Καὶ ὑπὲρ δύναμιν μείζω] ἑαυτῆς. 5. Τῷ ἐμῷ διαπρεπεῖ τῆς Ὀλυμπιάζε θεωρίας] ἤτοι ἐν τῷ διαπρέψαι ἐμὲ τῇ Ὀλυμπιακῇ θεωρίᾳ. 8. Ἐνίκησα δὲ καὶ δεύτερος] ἐνίκησα δὲ τά τε πρῶτα καὶ

2. περιβούλους H.

Ἐπιβούλους] Ἐπιβούλους inter ea, quæ in malam partem accipiuntur, ponit Pollux VI. 159. Et Eustathius in Odyss. τ'. p. 1856. Ἐπιβούλους, ὁ μοχθηρὰν ἔχων φήμην, καθ' οὗ δηλαδὴ βουλὴ γίνονται, ὃν ἐπίβουτον Ἀνακρέων φησί. Idem tradit Thomas Mag. in διαβούλους. Et sic ἐπιβούλους accipi potest in Epigrammate, in Philænidem, quod ex Antholog. III. 10. 3. adnotavit Barnesius ad Anacr. LXXVII. cujus auctorem esse Æschrionem, ex Athenæo VIII. 3. observavit Brodæus. De διαβούλους et περιβούλους non idem scribunt Ammonius et Thomas Magister. Sed certum est, ea in utramque partem dici. Quod autem ad varietatem scripturæ hujus loci adtinet, suspicor, περιβούλους a correctoribus ortum, qui putaverint, sententiam horum verborum postulare vocem, quæ ad laudem Alcibiadis pertineret, quod mihi secus videtur; nam hæc ita recte accipi possunt. Etenim ea, propter quæ in *sermones hominum incurro*, propter quæ *male audio*, vel, ob quæ Nicias et alii *me infamant*. Idem sentio de iis, quæ in fine hujus cap. dicit, διὰ ταῦτα τὰ ἴδια ἐπιβουόμενος. In quo Camerarium in Thesauro Stephani sequor. Dukr.

3. δόξαν om. K.

καὶ om. g.

6. καταπεπολεμεῖσθαι H. K. c. καταπολεμεῖσθαι d. i. k.

8. Ἐνίκησα δὲ] Recte Scholiastes τὰ πρῶτα. Nam primam, secundam, et quartam palmam retulisse Alcibiadem ex hoc loco Thucydidis scribunt Plutarchus Alcib. pag. 357. et Athenæus I. 3. At Euripidea, quod iidem adnotarunt, eum primo, secundo, et tertio curru victorem fuisse tradiderat. Euripidem sequutus est Isocrates in Orat. de Bigis pag. 353. Ed. Steph. Hæc P. Faber Agonist. III. 21. Victorias Olympicas Alcibiadis memorat etiam Demosthenes in Midiana pag. 360. ubi etiam alia, quæ ad Alcibiadis ingenium

ritatem Syracusanos debellandos et sociis Siculis opem ferendam esse.

" μην, καὶ τἆλλα ἀξίως τῆς νίκης παρεσκευασάμην.
" νόμῳ μὲν γὰρ τιμὴ τὰ τοιαῦτα, ἐκ δὲ τοῦ δρωμένου
" καὶ δύναμις ἅμα ὑπονοεῖται. καὶ ὅσα αὖ ἐν τῇ πόλει
" χορηγίαις ἢ ἄλλῳ τῳ λαμπρύνομαι, τοῖς μὲν ἀστοῖς
" φθονεῖται φύσει, πρὸς δὲ τοὺς ξένους καὶ αὐτὴ ἰσχὺς
" φαίνεται. καὶ οὐκ ἄχρηστος ἥδ' ἡ ἄνοια, ὃς ἂν τοῖς
" ἰδίοις τέλεσι μὴ ἑαυτὸν μόνον ἀλλὰ καὶ τὴν πόλιν
" ὠφελῇ. οὐδέ γε ἄδικον, ἐφ' ἑαυτῷ μέγα φρονοῦντα
" μὴ ἴσον εἶναι, ἐπεὶ καὶ ὁ κακῶς πράσσων πρὸς οὐδένα
" τῆς ξυμφορᾶς ἰσομοιρεῖ· ἀλλ' ὥσπερ δυστυχοῦντες οὐ
" προσαγορευόμεθα, ἐν τῷ ὁμοίῳ τις ἀνεχέσθω καὶ ὑπὸ
" τῶν εὐπραγούντων ὑπερφρονούμενος, ἢ τὰ ἴσα νέμων τὰ
" ὅμοια ἀνταξιούτω. οἶδα δὲ τοὺς τοιούτους, καὶ ὅσοι ἔν

τὰ δεύτερα καὶ τὰ τέταρτα. 2. Νόμῳ μὲν γὰρ τιμὴ τὰ τοιαῦτα] ἤγουν νόμιμος τιμή εἰσι τὰ τοιαῦτα. 4. Χορηγίαις ἢ ἄλλῳ τῳ] ἐκουσίοις ἑορτασίμοις ἀναλώμασι. 6. Καὶ οὐκ ἄχρηστος ἥδ' ἡ ἄνοια] εἰρωνεύεται ὁ Ἀλκιβιάδης, λέγων ὅτι, εἰ καὶ ἀνόητος φαίνομαί τισιν, ἀλλ' οὖν τῇ πόλει οὐκ ἄχρηστός μου ἐστὶν ἡ ἄνοια, ἀλλὰ καὶ ὠφέλιμος. Τοῖς ἰδίοις τέλεσι] δαπάναις. 9. Πρὸς οὐδένα] εὐπραγοῦντα. 12. Ἢ τὰ ἴσα νέμων] ὥσπερ τῶν δυστυχούντων καταφρονεῖ τις, οὕτω καὶ αὐτὸς ἀνεχέσθω ὑπὸ τῶν εὐτυχούντων ἐν μέρει καταφρονούμενος· ἢ εἰ βούλεται μὴ ὑπερορᾶσθαι κακοπραγῶν, μηδ' αὐτὸς τῶν ἀτυχούντων καταφρονήσῃ. 13. Οἶδα δὲ τοὺς τοιούτους] ἤτοι τοὺς τοιούτους φησὶν ἐν λαμπρότητι. Καὶ ὅσοι ἔν τινος λαμπρότητι προέσχον]

et res pertinent, leguntur. Quod ipse hic paullo post dicit: καὶ τἆλλα ἄξια τῆς νίκης παρεσκευασάμην, eo pertinet, quod Athenæus l. d. de eo prodit: Ὀλύμπια νικήσας—θύσας Ὀλυμπίῳ Διὶ τὴν πανήγυριν ἅπασαν εἱστίασε. Vid. P. Fabrum. Duk.

2. μὲν om. d.
τιμήματα τοιαῦτα i.
δρωμένου ἅμα ἡ δύναμις e.
4. Τοῖς μὲν ἀστοῖς φθονεῖται] In Cass. adscriptum erat: Σοφοκλῆς. πρὸς γὰρ τὸν ἔχοντα ὁ φθόνος ἕρπει. Duk.
μὲν om. d.i.
ἀστοῖς] αὐτοῖς A.B.E.F.H.Q. g.h.
5. αὕτη A.B. αὕτη ἡ F.K.g. αυτη E.
6. ἥδ' ἡ ἄνοια H.N. et γρ. e. vulgo ἡ διάνοια.
ἂν τοῖς] ἄν τις d.
τέλεσι τοῖς ἰδίοις e.
7. τὴν om. d.
8. ὠφελεῖ H.K.
ἑαυτὸν g.
9. μὴ] καὶ O.
12. καταφρονούμενος K.
ἢ] εἶτα ἢ d.

" τινος λαμπρότητι προέσχον, ἐν μὲν τῷ κατ' αὐτοὺς βίῳ
" λυπηροὺς ὄντας, τοῖς ὁμοίοις μὲν μάλιστα, ἔπειτα δὲ
" καὶ τοῖς ἄλλοις ξυνόντας, τῶν δὲ ἔπειτα ἀνθρώπων
" προσποίησίν τε ξυγγενείας τισὶ καὶ μὴ οὖσαν καταλι-
" πόντας, καὶ ἧς ἂν ὦσι πατρίδος, ταύτῃ αὔχησιν, ὡς
" οὐ περὶ ἀλλοτρίων οὐδ' ἁμαρτόντων, ἀλλ' ὡς περὶ
" σφετέρων τε καὶ καλὰ πραξάντων. ὧν ἐγὼ ὀρεγόμενος,
" καὶ διὰ ταῦτα τὰ ἴδια ἐπιβοώμενος, τὰ δημόσια σκο-
" πεῖτε εἴ του χεῖρον μεταχειρίζω. Πελοποννήσου γὰρ
" τὰ δυνατώτατα ξυστήσας ἄνευ μεγάλου ὑμῖν κινδύνου
" καὶ δαπάνης, Λακεδαιμονίους ἐς μίαν ἡμέραν κατέ-
" στησα ἐν Μαντινείᾳ περὶ τῶν ἁπάντων ἀγωνίσασθαι·
" ἐξ οὗ καὶ περιγενόμενοι τῇ μάχῃ οὐδέπω καὶ νῦν βε-
" βαίως θαρσοῦσι. * καὶ ταῦτα ἡ ἐμὴ νεότης καὶ ἄνοια 17.
" παρὰ φύσιν δοκοῦσα εἶναι ἐς τὴν Πελοποννησίων δύ-
" ναμιν λόγοις τε πρέπουσιν ὡμίλησε, καὶ ὀργῇ πίστιν
" παρασχομένη ἔπεισε καὶ νῦν μὴ πεφοβῆσθαι αὐτήν.

καὶ ὅσοι ἔν τινος πράγματος λαμπρῷ κατορθώματι κρείττους ἐγένοντο. 1. Ἐν μὲν τῷ κατ' αὐτοὺς βίῳ] ἦγουν καθ' ὃν χρόνον ζῶσι. 2. Λυπηροὺς ὄντας] λυπηροὺς τοὺς ἐπιφθόνους ἤκουσα· ἐπειδὴ καὶ ὁ φθόνος λύπη κατὰ τὸ γένος ἐστί. 3. Καὶ τοῖς ἄλλοις ξυνόντας] ἀπὸ κοινοῦ τὸ λυπηροὺς ἀκουστέον. 4. Προσποίησίν τε ξυγγενείας τισὶν] οἱ ἔπειτα ἄνθρωποι τοὺς τοιούτους προγόνους αὐτῶν καὶ συγγενεῖς αὐχοῦσι κἂν μὴ ὦσι πρὸς γένους. 8. Ἐπιβοώμενος] ἀντὶ τοῦ καταλαλούμενος ἢ περιβόητος ὤν. ἐπιφημιζόμενος κατὰ τὰ ἴδια. 10. Ξυστήσας] μεθ' ὑμῶν στήσας καὶ φίλα ὑμῖν ποιήσας. 11. Ἐς μίαν ἡμέραν κατέστησα] ἀντὶ τοῦ ἐν μιᾷ ἡμέρᾳ ἀνάγκασα. 13. Ἐξ οὗ καὶ περιγενόμενοι] οἱ Λακεδαιμόνιοι. 14. Καὶ ταῦτα ἡ ἐμὴ νεότης] καὶ ταῦτα ἐγένετο δι' ἐμὲ τὸν νέον, καὶ παρὰ φύσιν ἀνήκοτον λογιζόμενον, λόγοις τε χρησάμενον πρέπουσι πρὸς Ἀργείους καὶ Μαντινέας, καὶ ἀπειλήσαντα μετ' ὀργῆς αὐτοῖς, εἰ μὴ θέλοιεν προσχωρεῖν ἡμῖν. 17. Μὴ πεφοβῆσθαι αὐτήν] τὴν νεότη-

2. μάλιστα μὲν K.
3. δὲ om. d.i.
ἀνδρῶν K.
4. τε om. K.
6. ἁμαρτανόντων d.
9. χείρω d.e.i.k.
16. καὶ] καί γε d.e.i.k.
ὀργῆς d.i.k.
17. παρασχομένη E.
πεφοβεῖσθαι H. K. φοβεῖσθαι d. Præstabat πεφόβησθε, puncto post ἔπεισε posito.
ταύτην γρ. h.

" ἀλλ' ἔως ἐγώ τε ἔτι ἀκμάζω μετ' αὐτῆς καὶ ὁ Νικίας
" εὐτυχὴς δοκεῖ εἶναι, ἀποχρήσασθε τῇ ἑκατέρου ἡμῶν
" ὠφελίᾳ. καὶ τὸν ἐς τὴν Σικελίαν πλοῦν μὴ μεταγιγ-
" νώσκετε ὡς ἐπὶ μεγάλην δύναμιν ἐσόμενον. ὄχλοις τε
" γὰρ ξυμμίκτοις πολυανθρώποις αἱ πόλεις, καὶ ῥᾳδίας 5
" ἔχουσι τῶν πολιτειῶν τὰς μεταβολὰς καὶ ἐπιδοχάς.
" καὶ οὐδεὶς διὰ αὐτὸ, ὡς περὶ οἰκείας πατρίδος, οὔτε τὰ
" περὶ τὸ σῶμα ὅπλοις ἐξήρτυται οὔτε τὰ ἐν τῇ χώρᾳ
" νομίμοις κατασκευαῖς· ὅ τι δὲ ἕκαστος, ἢ ἐκ τοῦ λέγων
" πείθειν εἴσεται ἢ στασιάζων ἀπὸ τοῦ κοινοῦ λαβὼν ἄλ- 10
" λην γῆν, μὴ κατορθώσας, οἰκήσειν, ταῦτα ἑτοιμά-
" ζεται. καὶ οὐκ εἰκὸς τὸν τοιοῦτον ὅμιλον οὔτε λόγου
" μιᾷ γνώμῃ ἀκροᾶσθαι, οὔτε ἐς τὰ ἔργα κοινῶς τρέ-

τα ἢ τὴν ἄνοιαν, ὃ καὶ μᾶλλον. δῆλον δὲ τῷ ἐπιφερομένῳ. τὸ γὰρ " ἀκμάζω " μετ' αὐτῆς," τοιοῦτος νέος εἰμὶ (φησί) μετὰ τῆς λεγομένης ἀνοίας. 3. Μὴ μεταγιγνώσκητε] μὴ διὰ τοῦτο μεταγνῶτε, ὅτι δοκεῖτε ἐπὶ μεγάλην δύναμιν στρατεύειν. 6. Καὶ ἐπιδοχὰς] τὸ ἐγγράφειν ῥᾳδίως ταῖς πολιτείαις ξένους τε καὶ φυγάδας. 7. Δι' αὐτό] διὰ τὰς μεταβολὰς καὶ ἐπιδοχὰς τῆς πολιτείας. 9. Νομίμοις κατασκευαῖς] οὐ ταῖς νομιζομέναις, ἀλλὰ ταῖς ἱκαναῖς. οὕτω καὶ νόμιμον ῥήτορα τὸν ἱκανὸν καὶ νόμιμον ἀθλητὴν φαμέν. Ὅ τι δὲ ἕκαστος] ὁ νοῦς· τῶν δημαγωγῶν ἕκαστος οὐ τοῦ κοινῇ συμφέροντος στοχάζεται, ἀλλὰ οἰκείου λήμματος, εἴτε ἐκ τοῦ λόγῳ πείθειν περιγένοιτο αὐτῷ τὸ λαβεῖν, εἴτε ἐκ τοῦ στασιάζειν. οὐ χαλεπὸν γὰρ νομίζεται τῷ μὴ κατορθώσαντι ἐκπεσεῖν τῆς πατρίδος καὶ ἄλλην γῆν οἰκῆσαι. ἐμφαίνεται γὰρ καὶ ἐντεῦθεν, ὅτι οὐδεὶς ὡς πατρίδος τῆς ἰδίας πόλεως πεφρόντικεν. 12. Οὔτε λόγου μιᾷ γνώμῃ ἀκροᾶσθαι] οὔτε ὁμονοοῦντας ἑνὸς ἀκούειν λόγου, οὔτε ὁμοφρο-

1. ἔτι om. d.g.i.
2. δοκῇ M.O. om. K.
ἀποχρήσεσθε A.E.K.M k.
3. Ὠφελείᾳ] Cass. ὠφελίᾳ. Et sic alibi idem liber. Auctor Etymol. M. in θυσία inter alia multa, quæ sine discrimine in εια et ια exeunt, etiam ὠφέλεια et ὠφελία refert. Sed fortassis rarius est apud Scriptores prosæ, quam Poëtas. Duk.
τὴν om. N.d.
μεταγιγνώσκετε vel μεταγινώσκετε A.B.E.F.H.K.Q.f.g.i. vulgo μεταγνώσκητε.
5. γὰρ om. g.
συμμίκτοις E.
πολεῖς τῆς σικελίας καὶ E.
6. πολιτῶν E.
καταβολὰς d.
7. ὥσπερ οἰκείας B.E.F.H.d.f.g. ὥσπερ οἰκίας A.
τὰ] τοῖς d.
8. ἐξήρτηται G.Q.
τὰ] ταῖς d.
9. λέγειν Q.
10. ἀπὸ] ἐκ h.
τοῦ κοινοῦ] κοινοῦ τι d. κοινοῦ i.

" πεσθαι· ταχὺ δ' ἂν ὡς ἕκαστοι, εἴ τι καθ' ἡδονὴν λέ-
" γοιτο, προσχωρεῖεν, ἄλλως τε καὶ εἰ στασιάζουσιν,
" ὥσπερ πυνθανόμεθα. καὶ μὴν οὐδ' ὁπλῖται οὔτ' ἐκείνοις
" ὅσοι περ κομπῶνται, οὔτε οἱ ἄλλοι Ἕλληνες διεφάνη-
" σαν τοσοῦτοι ὄντες ὅσοι ἕκαστοι σφᾶς αὐτοὺς ἠρίθμουν,
" ἀλλὰ μέγιστον δὴ αὐτοὺς ἐψευσμένη ἡ Ἑλλὰς μόλις
" ἐν τ�ῶδε τῷ πολέμῳ ἱκανῶς ὡπλίσθη. τά τε οὖν ἐκεῖ,
" ἐξ ὧν ἐγὼ ἀκοῇ αἰσθάνομαι, τοιαῦτα, καὶ ἔτι εὐπορώ-
" τερα ἔσται· βαρβάρους τε γὰρ πολλοὺς ἕξομεν, οἳ Συ-
" ρακοσίων μίσει ξυνεπιθήσονται αὐτοῖς· καὶ τὰ ἐνθάδε
" οὐκ ἐπικωλύσει, ἢν ὑμεῖς ὀρθῶς βουλεύησθε. οἱ γὰρ
" πατέρες ἡμῶν τοὺς αὐτοὺς τούτους, οὕσπερ νῦν φασὶ
" πολεμίους ὑπολείποντας ἂν ἡμᾶς πλεῖν, καὶ προσέτι
" τὸν Μῆδον ἐχθροὺς ἔχοντες, τὴν ἀρχὴν ἐκτήσαντο, οὐκ
" ἄλλῳ τινὶ ἢ τῇ περιουσίᾳ τοῦ ναυτικοῦ ἰσχύοντες. καὶ
" νῦν οὔτε ἀνέλπιστοί πω μᾶλλον Πελοποννήσιοι ἐς ἡμᾶς
" ἐγένοντο, εἴ τε καὶ πάνυ ἔρρωνται· τὸ μὲν ἐς τὴν γῆν
" ἡμῶν ἐσβάλλειν, κἂν μὴ ἐκπλεύσωμεν, ἱκανοί εἰσι, τῷ

νεῦντας κοινῇ ἐπὶ τὰ ἔργα παραγίγνεσθαι. 5. Ὅσοι ἕκαστοι σφᾶς] ὅσοι ἕκαστοι λέγουσι τὸν ἴδιον ἀριθμόν. 8. Εὐπορώτερα] εὐκαταμαχητότερα. 12. Τοὺς αὐτοὺς τούτους] τοὺς Λακεδαιμονίους. 12. Οὕσπερ νῦν φασὶ πολεμίους] φασὶν οἱ περὶ τὸν Νικίαν. πολεμίους δὲ τοὺς Πελοποννησίους. ταῦτα δὲ πρὸς τὸν Νικίαν, λέγοντα " φημὶ γὰρ ἡμᾶς πολεμίους πολλοὺς ἐνθάδε ὑπολι-
"πόντας." 14. Τὴν ἀρχὴν] τῶν Ἑλλήνων δηλονότι. 16. Οὔτε ἀνέλπιστοί πω] οὐδὲν μᾶλλον ἀπεγνώκασι Πελοποννήσιοι τοῦ δύνασθαι καταλῦσαι

2. στάσιν g. στασιάζοιεν f.
4. ὅσοι περ κομπεῦνται A.B.E.F. H.P.Q.d.f.g.h.i. cum Thoma M. v. κομπάζω. vulgo ὅσοι περικομπεῦνται.
διεφθάρησαν d.i.
5. ὅσους g. et margo d.
ἑαυτοὺς omisso σφᾶς, K.
6. ἡ om. A.B.E.F.H.
μόλις] πᾶλις Q.
8. ἀπορώτερα K.Q.
10. συνεπιθήσωνται E.F.d.k.
ἐνθένδε K.L.N.O.P.Q.d.k.
11. ἔτι κωλύσει H.
13. ὑπολελοιπότας A.B.E.h. vulgo ὑπολιπόντας.
14. ἐκτίσαντο Q.
15. ἄλλο H. ἄλλη e.
18. ἐμβάλλειν g.i.
ἂν i.
πλεύσωμεν P.

" δὲ ναυτικῷ οὐκ ἂν δύναιντο βλάπτειν· ὑπόλοιπον γὰρ
18. " ἡμῖν ἐστὶν ἀντίπαλον ναυτικόν. * ὥστε τί ἂν λέγοντες
" εἰκὸς ἢ αὐτοὶ ἀποκνοῖμεν, ἢ πρὸς τοὺς ἐκεῖ ξυμμάχους
" σκηπτόμενοι μὴ βοηθοῖμεν; οἷς χρεὼν, ἐπειδή γε καὶ
" ξυνωμόσαμεν, ἐπαμύνειν, καὶ μὴ ἀντιτιθέναι ὅτι οὐδὲ 5
" ἐκεῖνοι ἡμῖν. οὐ γὰρ ἵνα δοῦρο ἀντιβοηθῶσι προσεθέμεθα
" αὐτοὺς, ἀλλ' ἵνα τοῖς ἐκεῖ ἐχθροῖς ἡμῶν λυπηροὶ ὄντες
" δοῦρο κωλύωσιν αὐτοὺς ἐπιέναι. τήν τε ἀρχὴν οὕτως
" ἐκτησάμεθα καὶ ἡμεῖς καὶ ὅσοι δὴ ἄλλοι ἦρξαν, παρα-
" γιγνόμενοι προθύμως τοῖς ἀεὶ βαρβάροις ἢ Ἕλλησιν 10
" ἐπικαλουμένοις, ἐπεὶ εἴ γε ἡσυχάζοιεν πάντες ἢ φιλο-
" κρινοῖεν οἷς χρεὼν βοηθεῖν, βραχὺ ἄν τι προσκτώμενοι
" αὐτῇ περὶ αὐτῆς ἂν ταύτης μᾶλλον κινδυνεύοιμεν. τὸν γὰρ
" προὔχοντα οὐ μόνον ἐπιόντα τις ἀμύνεται, ἀλλὰ καὶ μὴ
" ὅπως ἔπεισι προκαταλαμβάνει. καὶ οὐκ ἔστιν ἡμῖν τα- 15
" μιεύεσθαι ἐς ὅσον βουλόμεθα ἄρχειν, ἀλλ' ἀνάγκη, ἐπει-
" δήπερ ἐν τῷδε καθέσταμεν, τοῖς μὲν ἐπιβουλεύειν, τοὺς
" δὲ μὴ ἀνιέναι, διὰ τὸ ἀρχθῆναι ἂν ὑφ' ἑτέρων αὐτοῖς κίν-

ἡμᾶς. 4. Σκηπτόμενοι] προφασιζόμενοι, 6. Προσεθέμεθα αὐτούς] ξυμμάχους ἐποιησάμεθα αὐτούς. 8. Κωλύωσιν αὐτοὺς] οἱ Ἐγεσταῖοι. 11. Ἢ φιλοκρινοῖεν] ἐξετάζοιεν. 13. Αὐτῇ] ἤτοι τῇ ἀρχῇ. Τὸν γὰρ προὔχοντα] ταῦτα λέγει, ὅτι οὐ μόνον ἡμᾶς ἐπιόντας ἀμύνονται οἱ πολέμιοι, ἀλλὰ καὶ ὅπως μὴ ἐπιστρατεύσωμεν αὐτοῖς, προνοοῦνται, καὶ προεπιχειροῦσιν. 17. Ἐν τῷδε] ἤγουν ἐν τῷ ἄρχειν. 18. Αὐτοῖς κίνδυνον εἶναι] διὰ τὸ κινδυ-

2. ὑμῖν M.
5. ἀντιτιθῆναι pr. ἀντιτεθῆναι correctus d.
8. κωλύουσιν E.K.Q.d.i.k.
10. ἀεὶ βαρβάροις A.B.F.L.M. O.Q.k. vulgo ἀεὶ ἢ βαρβάροις.
11. ἐπειδὴ L.
φυλακρινοῖεν A.B.E.F.H.o.h. φιλακρίνοιεν d.
12. οἷς] ἐν οἷς d.i.
13. αὐτῇ] αὐτοὶ Q.
14. προέχοντα P.
τις] τέως g.
15. ὅπως μὴ correctus d. προκαταλαμβάνει E.
16. ἐς om. K.
17. τοῖς f.
18. αὐτοῖς] ἡμῖν αὐτοῖς O.

" δυνον εἶναι, εἰ μὴ αὐτοὶ ἄλλων ἄρχοιμεν. καὶ οὐκ ἐκ
" τοῦ αὐτοῦ ἐπισκεπτέον ὑμῖν τοῖς ἄλλοις τὸ ἥσυχον, εἰ
" μὴ καὶ τὰ ἐπιτηδεύματα ἐς τὸ ὁμοῖον μεταλήψεσθε.
" λογισάμενοι οὖν τάδε μᾶλλον αὐξήσειν, ἐπ' ἐκεῖνα ἦν
" ἴωμεν, ποιώμεθα τὸν πλοῦν, ἵνα Πελοποννησίων τε στο-
" ρέσωμεν τὸ φρόνημα, εἰ δόξομεν ὑπεριδόντες τὴν ἐν τῷ
" παρόντι ἡσυχίαν καὶ ἐπὶ Σικελίαν πλεῦσαι· καὶ ἅμα
" ἢ τῆς Ἑλλάδος, τῶν ἐκεῖ προσγενομένων, πάσης τῷ
" εἰκότι ἄρξομεν, ἢ κακώσομέν γε Συρακοσίους, ἐν ᾧ καὶ
" αὐτοὶ καὶ οἱ ξύμμαχοι ὠφεληθησόμεθα. τὸ δὲ ἀσφαλὲς,
" καὶ μένειν, ἢν τι προσχωρῇ, καὶ ἀπελθεῖν, αἱ νῆες
" παρέξουσι· ναυκράτορες γὰρ ἐσόμεθα καὶ ξυμπάντων
" Σικελιωτῶν. καὶ μὴ ὑμᾶς ἡ Νικίου τῶν λόγων ἀπρα-

νεύειν ἂν ἀρχθῆναι ἡμᾶς ὑφ' ἑτέρων. 2. Ἐπισκεπτέον ἡμῖν] καὶ οὐχ ὁμοίως ὥσπερ τοῖς ἄλλοις ἡσυχίαν ἡμῖν ἐπιτηδευτέαν. (τὸ γὰρ ἐπισκεπτέον ἀντὶ τοῦ ἐπιτηδευτέον τέθεικεν) εἰ μὴ καὶ κατὰ τὰ ἐπιτηδεύματα τοῖς ἄλλοις (φησὶν) ἐξομοιωθήσεσθε. 4. Τάδε] τὰ ἐνταῦθα πράγματα. 5. Στορέσωμεν τὸ φρόνημα] τῶν παρὰ Θουκυδίδῃ τροπικῶν ὀνομάτων τὸ σκληρότατον τοῦτό ἐστιν· ἀλλὰ κατὰ Ἀλκιβιάδην φησίν. 9. Ἐν ᾧ] τῷ κακῶσαι Συρακουσίους. 10. Τὸ δὲ ἀσφαλὲς] ἀσφάλειαν δὲ, καὶ μετὰ ἀσφαλείας. 12. Αὐτοκράτορες γὰρ ἐσόμεθα] οὐκ ἐπὶ τοῦ αὐτεξουσίου τέθεικε τὸ αὐτοκράτορες. ἐπεὶ πῶς συνάψει τις αὐτῷ τὸ, " καὶ ξυμπάντων Σικελιωτῶν;" ἀνθισταμένων ἐκ περιουσίας κρατήσομεν. ἔνιοι δὲ αὐτοκράτορες ἀντὶ τοῦ μόνοι φασί.

1. ἄλλων] ἂν K.

2. ὑμῖν A.E.F.L.N.O.P.d.h. i.k. τε ἡμῖν καὶ Q.

Ἡμῖν τοῖς ἄλλοις] Τμῖν plerique MSS. Hoc convenit cum sequenti verbo sec. pers. μεταλήψεσθε. Copulam καὶ, quam ante τοῖς ἄλλοις additam volebant *Porti*, non necessariam puto. Nam, ἡμῖν οὐκ ἐκ τοῦ αὐτοῦ τοῖς ἄλλοις, sic dici potest, ut alia, in quibus αὐτὸς dativum adjunctum habet. Aristoph. Equit. 507. τοὺς αὐτοὺς ὑμῖν μισεῖ. Et sic sæpe apud omnes Scriptores Græcos, quod etiam Latini imitati sunt. Duk.

3. μὴ om. H.

5. στερέσωμεν F. στερέσωμεν c. στερήσωμεν g.

6. ὑπεριδόντες τὴν A.B.E.F.H. K.L.N.O.Q.c.d.e.f.g.h.i.k. cum Thoma M. v. ὑπερορῶ. vulgo ὑπεριδόντες καὶ οὐκ ἀγαπήσαντες τήν.

9. ἄρξομεν] ἀρξάμενον E.
ἢ] εἰ g.

10. δὲ καὶ ἀσφαλές P.

11. προχωρῇ e.
ἐπελθεῖν e.

12. παρέξουσι· ναυκράτορες Valckenar. ad Herodot. 5, 36. libri omnes παρέξουσιν αὐτοκράτορες.

" γμοσύνη καὶ διάστασις τοῖς νέοις ἐς τοὺς πρεσβυτέρους
" ἀποστρέψῃ, τῷ δὲ εἰωθότι κόσμῳ, ὥσπερ καὶ οἱ πα-
" τέρες ἡμῶν ἅμα νέοι γεραιτέροις βουλεύοντες ἐς τάδε
" ἦραν αὐτά, καὶ νῦν τῷ αὐτῷ τρόπῳ πειρᾶσθε προαγα-
" γεῖν τὴν πόλιν, καὶ νομίσατε νεότητα μὲν καὶ γῆρας
" ἄνευ ἀλλήλων μηδὲν δύνασθαι, ὁμοῦ δὲ τό τε φαῦλον
" καὶ τὸ μέσον καὶ τὸ πάνυ ἀκριβὲς ἂν ξυγκραθὲν μά-
" λιστ' ἂν ἰσχύειν, καὶ τὴν πόλιν, ἂν μὲν ἡσυχάζῃ, τρί-
" ψεσθαί τε αὐτὴν περὶ αὐτήν, ὥσπερ καὶ ἄλλο τι, καὶ
" πάντων τὴν ἐπιστήμην ἐγγηράσεσθαι, ἀγωνιζομένην δὲ
" ἀεὶ προσλήψεσθαί τε τὴν ἐμπειρίαν, καὶ τὸ ἀμύνεσθαι
" οὐ λόγῳ ἀλλ' ἔργῳ μᾶλλον ξύνηθες ἕξειν. παράπαν
" τε γιγνώσκω πόλιν μὴ ἀπράγμονα τάχιστ' ἂν μοι δο-
" κεῖν ἀπραγμοσύνης μεταβολῇ διαφθαρῆναι, καὶ τῶν
" ἀνθρώπων ἀσφαλέστατα τούτους οἰκεῖν, οἳ ἂν τοῖς
" παροῦσιν ἤθεσι καὶ νόμοις, ἢν καὶ χείρω ᾖ, ἥκιστα
" διαφόρως πολιτεύωσιν."

19. Qua oratione et Segestanorum precibus cum Athenienses majore etiam pugnandi ardore impleri intellexisset Ni-

19. Τοιαῦτα μὲν ὁ Ἀλκιβιάδης εἶπεν. οἱ δ' Ἀθηναῖοι ἀκούσαντες ἐκείνου τε καὶ τῶν Ἐγεσταίων καὶ Λεοντίνων

1. Διάστασις] ἤτοι ἀντίστασις. 7. Μάλιστ' ἂν ἰσχύειν] ἀπὸ κοινοῦ τὸ νομίσατε. 8. Τρίψεσθαι] δαπανήσεσθαι ὑφ' ἑαυτῆς καὶ φθαρήσεσθαι, ὥσπερ φθείρεσθαι πέφυκε καὶ τῶν σωμάτων τὰ πολλὰ ὑπὸ τῆς ἀργίας. 9. Ὥσπερ καὶ ἄλλο τι] ἀργὸν κείμενον δηλονότι. 10. Πάντων τὴν ἐπιστήμην] ἤτοι πάντων τῶν πολιτῶν τὴν ἐπιστήμην ἐκλυθήσεσθαι, ἢ πάντων τῶν ἐπιτηδευμάτων. 11. Καὶ τὸ ἀμύνεσθαι] καὶ τὸ δύνασθαι ἀμύνασθαι τοὺς πολεμίους, οὐ λόγων κομπεύσει, ἀλλ' ἔργων ἕξει καὶ μελέτῃ. 16. Ἥκιστα διαφόρως πολιτεύωσι] ἥκιστα μεταθῶσι τὴν πολιτείαν, φησίν. 19. Ἐκείνου] τοῦ Ἀλκιβιάδου.

2. ἐπιστρέψῃ L.O.P.i.k. ἐπιτρέψῃ d.
3. βουλεύσαντες e.
4. προσαγαγεῖν e.
5. μὲν νεότητα g.
6. μηδὲν] μὴ P.
7. συγκραθὲν E.
9. τε om. d.i.
περὶ αὐτὴν g. περὶ αὐτὴν A.B.F. H.K.L.N.O.P.Q. om. d.i.k. vulgo περὶ ἑαυτήν.
τι] τε h.
10. ἐγηραιεσεσθαι E.
13. ξυγγιγνώσκω M.
δοκῆ Q.
18. μὲν] Præstat fortasse δέ.

φυγάδων, οἳ παρελθόντες ἐδέοντό τε καὶ τῶν ὁρκίων ὑπομιμνήσκοντες ἱκέτευον βοηθῆσαι σφίσι, πολλῷ μᾶλλον ἢ πρότερον ὥρμηντο στρατεύειν. καὶ ὁ Νικίας γνοὺς ὅτι ἀπὸ μὲν τῶν αὐτῶν λόγων οὐκ ἂν ἔτι ἀποτρέψειε, παρασκευῆς δὲ πλήθει, εἰ πολλὴν ἐπιτάξειε, τάχ' ἂν μεταστήσειεν αὐτούς, παρελθὼν αὐτοῖς αὖθις ἔλεγε τοιάδε.

cias, sperans, fore, ut apparatus magnitudine verbis amplificanda ab incepto detinerentur, iterum verba fecit,

" Ἐπειδὴ πάντως ὁρῶ ὑμᾶς, ὦ Ἀθηναῖοι, ὡρμημένους στρατεύειν, ξυνενέγκοι μὲν ταῦτα, ὡς βουλόμεθα, ἐπὶ δὲ τῷ παρόντι ἃ γιγνώσκω, σημανῶ. ἐπὶ γὰρ πόλεις, ὡς ἐγὼ ἀκοῇ αἰσθάνομαι, μέλλομεν ἰέναι

20—23. et opibus Syracusiorum et Selinuntiorum permagnis demonstra-

4. Ἀπὸ μὲν τῶν αὐτῶν λόγων] ἀντὶ τοῦ τοῖς αὐτοῖς χρώμενος λόγοις. 9. Ἐπὶ γὰρ πόλεις] καθ' ὑπερβατόν. ἐπὶ γὰρ πόλεις, ὡς ἐγὼ ἀκοῇ αἰσθάνομαι, μέλλομεν ἰέναι μεγάλας, τό τε πλῆθος, ὡς ἐν μιᾷ νήσῳ, πολλὰς τὰς Ἑλληνίδας. 10. Ὡς ἐγὼ ἀκοῇ αἰσθάνομαι] ἀκριβῆ κατάληψιν ἔχω ἀπὸ φήμης.

6. *Vallam* legisse αὖθις, ostendit illius interpretatio; *rursus procedens*. Nec ulla causa est, cur id, omnibus libris scriptis consentientibus, recipi non debeat. Αὐτοῖς an retinendum sit, dubitari potest. Nam nec Cod. Cam. id agnoscit, et Thucydides multis aliis locis, quibus παρελθὼν adhibet, αὐτοῖς omittit, II. 67. 72. 79. 85. 119. 139. et alibi sæpe; ubi autem eo, vel alio dativo utitur, dativos plerumque ad verbum aliquod sequens, rarissime ad παρελθὼν, refert. VI. cap. 15. Τότε δ' οὖν παρελθὼν, τοῖς Ἀθηναίοις παρῄνει τοιάδε. Παρελθὼν, αὐτοὶς, ὡς σαφῶς οἰόμενος εἰδέναι τὰ περὶ αὐτῶν, ἔλεγε, καὶ παρῄνει τοιάδε. Παρελθὼν δ' αὐτοῖς Ἀθηναγόρας—ἔλεγε τοιάδε. Nam, ibi Ἀθηναίοις et αὐτοῖς cum ἔλεγε jungenda esse, adparet ex I. 85. Παρελθὼν δὲ Σθενελαΐδας—ἔλεξε τοῖς Λακεδαιμονίοις ὧδε. Itaque et in hac scriptura, παρελθὼν αὐτοῖς αὖθις ἔλεγε τοιάδε, αὐτοῖς referendum foret ad sequens verbum ἔλεγε; αὖθις autem ad præcedens παρελθών· quod aliquanto durius est. Posset aliquis suspicari, Thucydidem itidem hic, ut III. 36. scripsisse, παρελθὼν αὖθις ἔλεγε τοιάδε· et, quum deinde pro αὖθις in quibusdam exemplaribus perperam αὐτοῖς scriptum, et vera lectio αὖθις in margine adnotata fuisset, deinde utramque in τὸ κείμενον venisse. Sed, quia infra, cap. 72. dicit, παρελθὼν αὐτοῖς Ἑρμοκράτης ἐθάρσυνε, ubi αὐτοῖς omnino referri debet ad παρελθὼν, ratio illa, ob quam id huic loco non convenire videri poterat, infirma est, et numero MSStorum aliquid dari potest. Duk.

αὐτοῖς αὖθις B.E.F.H.K.L.N. O.P.c.d.e.f.g.h.i.k. αὖθις A. vulgo αὐτοῖς.

τάδε d.

7. πάντας H.K. πάντων Q. πάντως αὖθις ὁρῶ L.O.Q.d.i.k.

ὦ ἀθηναῖοι om. c.

8. ξυνενέγκοιμεν g.

βουλευόμεθα A.B.E.h.

tis, non exsequandum solum illis Atheniensium exercitum, sed etiam ampliorem rebusque necessariis omnibus maxime instructum emittendum esse edocuit.

" μεγάλας καὶ οὔθ' ὑπηκόους ἀλλήλων οὔτε δεομένας
" μεταβολῆς, ἢ ἂν ἐκ βιαίου τις δουλείας ἄσμενος ἐς
" ῥᾴω μετάστασιν χωροίη, οὐδ' ἂν τὴν ἀρχὴν τὴν ἡμετέ-
" ραν εἰκότως ἀντ' ἐλευθερίας προσδεξαμένας, τό τε πλῆ-
" θος, ὡς ἐν μιᾷ νήσῳ, πολλὰς τὰς Ἑλληνίδας. πλὴν
" γὰρ Νάξου καὶ Κατάνης, ἃς ἐλπίζω ἡμῖν κατὰ τὸ
" Λεοντίνων ξυγγενὲς προσέσεσθαι, ἄλλαι εἰσὶν ἑπτὰ,
" καὶ παρεσκευασμέναι τοῖς πᾶσιν ὁμοιοτρόπως μά-
" λιστα τῇ ἡμετέρᾳ δυνάμει, καὶ οὐχ ἥκιστα, ἐπὶ ἃς
" μᾶλλον πλέομεν, Σελινοῦς καὶ Συράκουσαι. πολλοὶ
" μὲν γὰρ ὁπλῖται ἔνεισι, καὶ τοξόται καὶ ἀκοντισταὶ,
" πολλαὶ δὲ τριήρεις καὶ ὄχλος ὁ πληρώσων αὐτάς.
" χρήματά τ' ἔχουσι, τὰ μὲν ἴδια, τὰ δὲ καὶ ἐν τοῖς ἱε-
" ροῖς ἐστὶ Σελινουντίοις· Συρακοσίοις δὲ καὶ ἀπὸ βαρ-
" βάρων τινῶν ἀπαρχὴ ἐσφέρεται. ᾧ δὲ μάλιστα ἡμῶν

1. Μεγάλας] ἤγουν ἰσχυράς. Ὑπηκόους ἀλλήλων] ἤγουν δεδουλωμένας ἀλλήλαις. Οὔτε δεομένας μεταβολῆς] αἱ ἐν Σικελίᾳ πόλεις οὐ δέονται μεταβολῆς, ὅστερ αἱ πρὸς βίαν δουλεύουσαι. 8. Τοῖς πᾶσιν] πράγμασι δηλονότι. 9. Ἐπὶ ἃς μᾶλλον πλέομεν] Συράκουσαι, Σελινοῦς, Γέλα, Ἀκράγας, Μεσσήνη, Ἱμέρα, Καμάρινα. ταύτας φησὶ τὰς ἑπτὰ πόλεις ἀντιμάχους εἶναι τοῖς Ἀθηναίοις. 13. Ἐν τοῖς ἱεροῖς] ἤγουν τὰ κοινά. ἔθος γὰρ τοῖς παλαιοῖς τὰ κοινὰ χρήματα ἐν τοῖς ἱεροῖς ταμιεύειν. 14. Καὶ ἀπὸ βαρβάρων τινῶν ἀπαρχὴ] ἤγουν ἔχουσι φόρον καὶ ἄρχοντες βαρβάρων τινῶν. 15. ᾧ] ἤγουν ἐν ᾧ.

1. οὔτε] οὔτω k. malim οὐδέ.
4. προσδεξαμένας A.B.h. προσευξαμένας K. vulgo προσδεξομένας. τε] γε f.
6. τὸ om. K.
8. παρασκευασμέναι H.Q.d.k.
11. μὲν om. L.O.P.d.k.
13. τ' om. B.K.d. καὶ om. K.
14. ἐστι om. L.
15. ἀπαρχῆς φέρεται A.B.E.F.Q. ἀπ' ἀρχῆς φέρεται K.L.N.O.P.c.e.f.g.h.k. ἀπαρχῇ φέρεται H. ἀπαρχὴ φέρεται i. ἀπαρχὴ φαίνεται d.

Ἀπαρχὴ εἰσφέρεται] Quam significationem hic habere possit ἀπαρχὴ, non intelligo. Maxime probabilis mihi videtur scriptura librorum, qui habent ἀπ' ἀρχῆς φέρεται, nempe χρήματα, quod ἀπὸ κοινοῦ repeti debet. Designat enim tributum, quod Syracusanis barbaræ civitates in Sicilia, eorum imperio subjectæ, pendebant: quemadmodum II. 13. Φόρον ἀπὸ τῶν ξυμμάχων τῇ πόλει ('Αθηναίων) προσιόναι, et VIII. 18. Ἐκ τῶν πόλεων Ἀθηναίοις χρήματα φοιτᾷν dicit. Φέρεται pro εἰσφέρε-

" προέχουσιν, ἵππους τε πολλοὺς κέκτηνται καὶ σίτῳ
" οἰκείῳ καὶ οὐκ ἐπακτῷ χρῶνται. * πρὸς οὖν τοιαύτην 21.
" δύναμιν οὐ ναυτικῆς καὶ φαύλου στρατιᾶς μόνον δεῖ,
" ἀλλὰ καὶ πεζὸν πολὺν ξυμπλεῖν, εἴπερ βουλόμεθα
" ἄξιόν [τι] τῆς διανοίας δρᾶν καὶ μὴ ὑπὸ ἱππέων πολ-
" λῶν εἴργεσθαι τῆς γῆς, ἄλλως τε καὶ εἰ ξυστῶσιν αἱ
" πόλεις φοβηθεῖσαι, καὶ μὴ ἀντιπαράσχωσιν ἡμῖν φί-
" λοι τινὲς γενόμενοι, ἄλλοι ἢ Ἐγεσταῖοι, ᾧ ἀμυνού-
" μεθα ἱππικόν. αἰσχρὸν δὲ βιασθέντας ἀπελθεῖν, ἢ
" ὕστερον ἐπιμεταπέμπεσθαι, τὸ πρῶτον ἀσκέπτως βου-
" λευσαμένους· αὐτόθεν δὲ παρασκευῇ ἀξιόχρεῳ ἐπιέναι,
" γνόντας ὅτι πολύ τε ἀπὸ τῆς ἡμετέρας αὐτῶν μέλλο-
" μεν πλεῖν, καὶ οὐκ ἐν τῷ ὁμοίῳ στρατευσόμενοι, καὶ

2. Οἰκείῳ] ἤγουν ἐκ τῆς οἰκείας γῆς. Ἐπακτῷ] ξένῳ. Πρὸς οὖν τοιαύτην δύναμιν] τῶν Σικελῶν. 3. Φαύλου] σμικρᾶς. φαῦλον τὸ ἁπλοῦν καὶ μανοειδές. 4. Πεζὸν πολὺν] χρήσιμον εἰς τὴν ἤπειρον στρατὸν δηλονότι. 5. Τῆς διανοίας] τοῦ ἡμετέρου σκοποῦ. Ἀπὸ ἱππέων πολλῶν] τῶν Σικελῶν δηλονότι. 6. Εἴργεσθαι τῆς γῆς] τῆς Σικελικῆς. Ξυστῶσιν αἱ πόλεις] συνέλθωσιν αἱ πόλεις εἰς κοινὴν βοήθειαν. 7. Φοβηθεῖσαι] ἡμᾶς δηλονότι. Καὶ μὴ ἀντιπαράσχωσιν] ἐὰν μὴ παράσχωσί τινες ἡμῖν ἱππικὸν φίλοι γενόμενοι, ἔξωθεν Ἐγεσταίων. 9. Αἰσχρὸν δὲ βιασθέντας ἀπελθεῖν] ἐκκρουσθέντας δηλονότι ἡμᾶς τῆς Σικελίας ἀπελθεῖν. 11. Αὐτόθεν δὲ] ἤγουν ἐκ τοῦ ἡμετέρου τόπου. Ἀξιόχρεῳ] ἀσφαλεῖ. 12. Ἀπὸ τῆς ἡμετέρας αὐτῶν] ἤγουν ἡμῶν αὐτῶν.

ται magis probo, quia φέρειν et φόρος fere de sociis aliisque tributariis, εἰσφέρειν et εἰσφορὰ autem de civibus dicuntur; de quo etiam supra actum est. Εἰς autem e præcedente syllaba ης facile oriri potuit, quod quum utrumque eodem sono pronunciaretur, deinde etiam in scribendo alterum cum altero commutatum, et ex ἀπ' ἀρχῆς φέρεται, ἀπαρχὴ εἰσφέρεται factum est. Quare sæpe peccasse librarios, neminem, nisi qui in scriptis Græcorum plane hospes est, fugere potest. Duk.

4. ξυνπλεῖν H.
5. ἀξίως K.
τι om. A.B.E.F.H.L.N.O.P. d.e.f.g.h.i.k.
6. εἰ] ἤν L.O.P.
7. βοηθεῖσαι g.
11. ἀχριόχρεωι E.
ἀπιέναι d.i. ἐπιβαίνειν Q.
12. πολλοί d.i.
τε] τι g.
ἄπο O.
13. στρατευσάμενοι A.B.E.F.H. K.g.
Καὶ οὐκ ἐν τοῖς] Si hic ἀπὸ κοινοῦ repeti possit ὅτι, fortassis non opus erit emendatione Por-

" οὐκ ἐν τοῖς τῇδε ὑπηκόοις ξύμμαχοι ἤλθετε ἐπί τινα,
" ὅθεν ῥᾴδιαι αἱ κομιδαὶ ἐκ τῆς φιλίας ὧν προσέδει,
" ἀλλ' ἐς ἀλλοτρίαν πᾶσαν ἀπαρτήσαντες, ἐξ ἧς μηνῶν
" οὐδὲ τεσσάρων τῶν χειμερινῶν ἄγγελον ῥᾴδιον ἐλθεῖν.
22. " * ὁπλίτας τε οὖν πολλούς μοι δοκεῖ χρῆναι ἡμᾶς
" ἄγειν, καὶ ἡμῶν αὐτῶν καὶ τῶν ξυμμάχων, τῶν τε
" ὑπηκόων καὶ ἤν τινα ἐκ Πελοποννήσου δυνώμεθα ἢ
" πεῖσαι ἢ μισθῷ προσαγαγέσθαι, καὶ τοξότας πολλοὺς
" καὶ σφενδονήτας, ὅπως πρὸς τὸ ἐκείνων ἱππικὸν ἀντέ-
" χωσι, ναυσί τε καὶ πολὺ περιεῖναι, ἵνα καὶ τὰ ἐπιτή-
" δεια ῥᾷον ἐσκομιζώμεθα, τὸν δὲ καὶ αὐτόθεν σῖτον ἐν
" ἁλκάσι, πυροὺς καὶ πεφρυγμένας κριθάς, ἄγειν, καὶ
" σιτοποιοὺς ἐκ τῶν μυλώνων πρὸς μέρος ἠναγκασμένους

2. Αἱ κομιδαὶ] αἱ τορίσεις. οὐχ ὁμοίως μέλλετε στρατεύεσθαι ἐπὶ Σικελίαν, ἥπερ ἐνταῦθα τοῖς ὑπηκόοις συμμαχοῦντες στρατεύεσθε ἐπί τινας οὐ πολὺ ἀπέχοντας, ὥστε ῥᾳδίαν εἶναι τὴν τῶν ἀναγκαίων παρακομιδὴν ἐκ τῆς οἰκείας γῆς. 3. Ἀπαρτήσαντες] ἀντὶ τοῦ ἀπαρτηθέντες καὶ πολὺ τῆς οἰκείας χωρισθέντες. 9. Ἀντέχωσιν] ἀντιμάχωνται.

torum legentium ὁμοίῳ καὶ ὅτε στρατευσόμενοι ἐν τοῖς. Nam καὶ οὐκ ἐν τῷ ὁμοίῳ στρατευσόμενοι potest exponi, et *non pari conditione* bellum gesturi. Sic VI. 11. Ὧν κρατήσας τε μὴ κατασχήσει τις, καὶ μὴ κατορθώσας μὴ ἐν τῷ ὁμοίῳ, καὶ πρὶν ἐπιχειρῆσαι, ἔσται. Quibus autem rebus melior futura sit conditio Siculorum, ante ostendit. Probabilem tamen emendationem faciunt ea, quæ paullo post dicit Thucydides, ἤλθετε et προσέδει, quæ tempus præteritum indicant. Sed non necessarium arbitror, τὸ στρατευόμενοι sede sua moveri. Duk.

1. ἥξετε d.
3. ἀπαρτήσαντες E.F.H.K.L. O.P.c.d.e.k. ἀπαρτίσαντες f.
4. οὐδὲ μηνῶν L.O.P. ῥᾴδιον ἄγγελον Q.
5. τε om. g.
πολλοὺς om. i.
9. σφενδονίτας E. σφενδονίτας d.
10. ναυσί τε] Malim ναυσὶ δέ.
11. καὶ om. d.
αὐτόθι d.e.
12. πεφρυγμένας f. Ceterum glossema vocis genuinæ locum occupasse, nec πεφρυγμένους κριθὰς sed κάχρυς legendum arbitratur Pierson. ad Mœr. p. 213.
13. μυλώνων om. A.B. inter versus ponit b.
Σιτοποιοὺς] Sic III. 78. γυναῖκες σιτοποιοί. Infra cap. 44. Et Theophrastus Charact. cap. V. Τὴν σιτοποιὸν πειρᾶν λαθεῖν. Alia exempla ex Atticis Scriptoribus prostant in Lexicis. Thom. Magister tamen ἀρτοπόπος κάλλιον

" ἐμμίσθους, ἵνα, ἤν που ὑπὸ ἀπλοίας ἀπολαμβανώ-
" μεθα, ἔχῃ ἡ στρατιὰ τὰ ἐπιτήδεια (πολλὴ γὰρ οὖσα
" οὐ πάσης ἔσται πόλεως ὑποδέξασθαι), τά τε ἄλλα
" ὅσον δυνατὸν ἑτοιμάσασθαι, καὶ μὴ ἐπὶ ἑτέροις γίγνε-
" σθαι, μάλιστα δὲ χρήματα αὐτόθεν ὡς πλεῖστα ἔχειν.
" τὰ δὲ παρ' Ἐγεσταίων, ἃ λέγεται ἐκεῖ ἕτοιμα, νομί-
" σατε καὶ λόγῳ ἂν μάλιστα ἕτοιμα εἶναι. * ἦν γὰρ 23.
" αὐτοὶ ἔλθωμεν ἐνθένδε μὴ ἀντίπαλον μόνον παρασκευ-
" ασάμενοι, πλήν γε πρὸς τὸ μάχιμον αὐτῶν τὸ ὁπλιτι-
" κὸν, ἀλλὰ καὶ ὑπερβάλλοντες τοῖς πᾶσι, μόλις οὕτως
" οἷοί τε ἐσόμεθα τῶν μὲν κρατεῖν, τὰ δὲ καὶ διασῶσαι.
" πόλιν τε νομίσαι χρὴ ἐν ἀλλοφύλοις καὶ πολεμίοις
" οἰκιοῦντας ἰέναι, οὓς πρέπει τῇ πρώτῃ ἡμέρᾳ, ἢ ἂν
" κατάσχωσιν, εὐθὺς κρατεῖν τῆς γῆς, ἢ εἰδέναι ὅτι, ἢν

1. Ἀπολαμβανώμεθα] κρατηθῶμεν. 2. Τὰ ἐπιτήδεια] ἤγουν βρώσιμα καὶ πόσιμα. Πολλὴ γὰρ οὖσα] ἀντίπτωσις, ἀντὶ τοῦ πολλῆς γὰρ οὔσης. 4. Μὴ ἐπὶ ἑτέροις γίνεσθαι] ἀντὶ τοῦ μὴ ἐν ἄλλοις ἔχειν τὰς ἐλπίδας. 5. Αὐτόθεν] ἤγουν ἐκ τοῦ ἡμετέρου τόπου. 7. Λόγῳ ἄν] λόγῳ (φησὶν) ἕτοιμα εἶναι, ταῖς δ' ἀληθείαις οὔ. 8. Ἐνθένδε] ἤγουν ἀπὸ τῶν Ἀθηνῶν. 9. Πλήν γε πρὸς τὸ μάχιμον] πρὸς μὲν τὸ μάχιμον αὐτῶν καὶ τὸ ὁπλιτικὸν οὐδ' ὅλως δυνάμεθα ἀντιτάξασθαι· πρὸς δὲ τὰ ἄλλα μὴ μόνον ἐξ ἴσου ἐκείνοις, ἀλλὰ καὶ μειζόνως παρασκευασόμεθα. ἄλλως γὰρ οὐ δυησόμεθα τὰ μὲν οἰκεῖα διασῶσαι, τῶν δὲ ἐκεῖ πραγμάτων κρατῆσαι. 11. Τῶν μὲν] ἤγουν τῶν πολεμίων. 13. Οὓς] ἤγουν τοὺς καθ' ἡμᾶς πλέοντας.

esse pronunciat. Sed Grammaticorum dictata non sunt oracula. Quid sit πρὸς μέρος, non satis adsequor. Valla vertit, *quorum pars*, molere cogatur. Acacius, pistoribus *aliis* coactis, *aliis* mercede conductis. Hæc mihi non magis satisfaciunt, quam interpretatio Porti, quod nusquam πρὸς μέρος ea significatione, qua illi hoc accipi putarunt, usurpatum invenio. Alibi, *pro rata parte*, *pro portione*, verti, video. An ergo hic quoque πρὸς μέρος erit, pro numero ac multitudine hominum, quos navibus imponemus? Videbunt alii. Dux.

1. ὑπολαμβανώμεθα e. ἀποκλειόμεθα i. et γρ. d.
2. ἔχει H.M.
5. πλεῖστον L.
6. λέγετε e.f.
ἕτυμα h.
8. ἔλθωμεν οὖν ἐνθένδε K.
9. πλὴν] πλαῖν γρ. h.
10. ὑπερβαλλόντες d.i.
12. χρὴ om. i.
13. οἰκιοῦντας L.O. vulgo οἰκειοῦντας.
14. κατασχήσωσιν e.

" σφάλλωνται, πάντα πολέμια ἔξουσιν. ὅπερ ἐγὼ φο-
" βούμενος, καὶ εἰδὼς πολλὰ μὲν ἡμᾶς δέον βουλεύσα-
" σθαι, ἔτι δὲ πλείω εὐτυχῆσαι (χαλεπὸν δὲ ἀνθρώπους
" ὄντας), ὅτι ἐλάχιστα τῇ τύχῃ παραδοὺς ἐμαυτὸν βού-
" λομαι ἐκπλεῖν, παρασκευῇ δὲ ἀπὸ τῶν εἰκότων ἀσφα-
" λὴς ἐκπλεῦσαι. ταῦτα γὰρ τῇ τε ξυμπάσῃ πόλει βε-
" βαιότατα ἡγοῦμαι, καὶ ἡμῖν τοῖς στρατευσομένοις σωτή-
" ρια. εἰ δέ τῳ ἄλλως δοκεῖ, παρίημι αὐτῷ τὴν ἀρχήν."

24. Sed ne haec quidem oratio populi ardorem extinxit; et cum bene monuisse videretur, etiam magis de eventu rei, quam certe periculo vacare opinabantur, bonas spes conceperunt.

Ὁ μὲν Νικίας τοσαῦτα εἶπε, νομίζων τοὺς Ἀθηναίους τῷ πλήθει τῶν πραγμάτων ἢ ἀποτρέψειν, ἢ εἰ ἀναγκάζοιτο στρατεύεσθαι, μάλιστα οὕτως ἀσφαλῶς ἐκπλεῦσαι. οἱ δὲ τὸ μὲν ἐπιθυμοῦν τοῦ πλοῦ οὐκ ἐξῃρέθησαν ὑπὸ τοῦ ὀχλώδους τῆς παρασκευῆς, πολὺ δὲ μᾶλλον ὥρμηντο, καὶ τοὐναντίον περιέστη αὐτῷ· εὖ τε γὰρ παραινέσαι ἔδοξε, καὶ ἀσφάλεια νῦν δὴ καὶ πολλὴ ἔσεσθαι. καὶ ἔρως ἐνέπεσε τοῖς πᾶσιν ὁμοίως ἐκπλεῦσαι· τοῖς μὲν γὰρ πρεσβυτέροις ὡς ἢ καταστρεψομένοις ἐφ' ἃ ἔπλεον, ἢ

4. Ὅτι ἐλάχιστα τῇ τύχῃ παραδοὺς] τύχην τὴν ἐλπίδα λέγει. βαίλλομαι γὰρ (φησὶν) οὐκ ἐλπίσιν, ἀλλὰ παρασκευῇ, θαῤῥεῖν. 10. Εἰ ἀναγκάζοιτο στρατεύεσθαι] ὑπὸ τῶν Ἀθηναίων δηλονότι ὁ Νικίας. 12. Τὸ μὲν ἐπιθυμοῦν] ἦγουν τὴν ἐπιθυμίαν. Ἐξῃρέθησαν] ἐξέβαλον. Τὸ τοῦ ὀχλώδους τῆς παρασκευῆς] ὀχλώδες μὲν ἤτοι τὸ περισκελὲς καὶ ὀχληρὸν, ἢ τὸ πολύ. λέγει δὲ ὅτι τῆς τοῦ πλεῖν ἐπιθυμίας οὐκ ἔπαυσεν αὐτοὺς τὸ ὀχληρὸν τῆς παρασκευῆς. 14. Αὐτῷ] τῷ Νικίᾳ.

1. σφάλλωνται A.B.E.F.H.K. g.h.
2. εἰδὼς ὡς πολλὰ L.O.Q.
δέον βουλεύσασθαι A.B.F.H.g. ceteri δέον εὖ βουλεύσασθαι.
4. ὄντας om. g.
ἐλάχιστον d.i.
5. παρασκευὴ A.
ἀπὸ] ἐκ h.
ἀσφαλεῖς P.
6. τε om. d.
7. στρατευομένοις E.L.O.P.d.i.k.
8. δοκῇ K.
9. καὶ ὁ μὲν i.
10. ἀποστρέψειν g.
εἰ om. A.E.F.H.c.k.
12. μὲν om. g.
ἐπιθυμοῦν—ἐξῃρέθησαν] βουλόμενον οὐκ ἀφῃρέθησαν Dionys. Hal. p. 134.
14. γὰρ om. B.f.
15. δὲ A.B.E.F.H.c.g.
17. καταστρεψαμένοις g.

οὐδὲν ἂν σφαλεῖσαν μεγάλην δύναμιν, τοῖς δ' ἐν τῇ ἡλικίᾳ τῆς τε ἀπούσης πόθῳ ὄψεως καὶ θεωρίας, καὶ εὐέλπιδες ὄντες σωθήσεσθαι· ὁ δὲ πολὺς ὅμιλος καὶ στρατιώτης ἔν τε τῷ παρόντι ἀργύριον οἴσειν, καὶ προσκτήσασθαι δύναμιν ὅθεν ἀίδιον μισθοφορὰν ὑπάρξειν. ὥστε διὰ τὴν ἄγαν τῶν πλειόνων ἐπιθυμίαν, εἴ τῳ ἄρα καὶ μὴ ἤρεσκε, δεδιὼς μὴ ἀντιχειροτονῶν κακόνους δόξειεν εἶναι τῇ πόλει, ἡσυχίαν ἦγε. * καὶ τέλος παρελθών τις τῶν Ἀθηναίων καὶ παρακαλέσας τὸν Νικίαν, οὐκ ἔφη χρῆναι προφασίζεσθαι οὐδὲ διαμέλλειν, ἀλλ' ἐναντίον ἁπάντων ἤδη λέγειν ἤν τινα αὐτῷ παρασκευὴν Ἀθηναῖοι ψηφίσωνται. ὁ δὲ ἄκων μὲν εἶπεν ὅτι καὶ μετὰ τῶν ξυναρχόντων καθ' ἡσυχίαν μᾶλλον βουλεύσοιτο, ὅσα μέντοι ἤδη δοκεῖν αὐτῷ τριήρεσι μὲν οὐκ ἔλασσον ἢ ἑκατὸν πλευστέα εἶναι, αὐτῶν δ' Ἀθηναίων ἔσεσθαι ὁπλιταγωγοὺς ὅσοι ἂν δοκῶσι, καὶ ἄλλας ἐκ τῶν ξυμμάχων μεταπεμπτέας εἶναι· ὁπλίταις δὲ τοῖς ξύμπασιν Ἀθηναίων καὶ τῶν ξυμμάχων πεντακισχιλίων μὲν οὐκ ἐλάσσοσιν, ἢν δέ τι δύνωνται, καὶ πλείοσι· τὴν δὲ ἄλλην παρασκευὴν ὡς κατὰ λόγον, καὶ τοξοτῶν τῶν αὐτόθεν καὶ ἐκ Κρήτης, καὶ σφενδονη-

25. Tandem a quodam compellatus Nicias, ut aperte enuntiaret, quantum exercitum educere vellet, rem ad deliberationem cum ceteris prætoribus distulit, illud unum in præsentia declaravit, navibus longis centum ad minimum opus esse, militum gravis armaturæ quinque millibus, vel pluribus etiam, si copia esset; præterea sagittariorum et funditorum catervis.

1. Τοῖς δ' ἐν τῇ Ἡλικίᾳ] ἀπὸ κοινοῦ τὸ ἔρως ἐνέσκηψεν ἐκπλεῦσαι. 2. Πόθῳ ὄψεως καὶ θεωρίας] τὸ θεωρίας ἀντὶ τοῦ ἱστορίας κεῖται, ἵνα ᾖ, πεθοῦντες τὴν ἀλλοδαπὴν καὶ ἰδεῖν καὶ ἱστορῆσαι. 3. Καὶ στρατιώτης] ἦγουν τὸ στρατιωτικὸν πλῆθος. 4. Ἀργύριον οἴσειν] ἀντὶ τοῦ ἀποίσεσθαι καὶ λήψεσθαι. 9. Καὶ παρακαλέσας] ἀντὶ τοῦ ἐπικαλεσάμενος αὐτῷ. 12. Ἄκων μὲν] περιττὸς ὁ μέν σύνδεσμος. κεῖται δὲ ὁ μέν ἀντὶ τοῦ δέ.

1. σφαλεῖσι h.
τοῖς] τοὺς A.F.c.
2. ἀπούσης] πρεπούσης e.
4. προσκτήσεσθαι L.O.
5. ὅθεν] ὅθεν καὶ f. ὅθεν ἐς i.
μισθοφορίαν Q.
9. παρακελεύσας d.i.
10. ἐναντίων H.
11. ψηφίσωνται A.E.F.H.Q.c.g.
13. δοκεῖ K.
14. ἢ om. E.
17. δὲ καὶ τοῖς K.g.
20. τῶν om. K.P.i.
ἄποθεν h.
καὶ ἐκ] ἐκ i.

τῶν, καὶ ἤν τι ἄλλο πρέπον δοκῇ εἶναι, ἑτοιμασάμενοι
26. ἄξειν. *ἀκούσαντες δ' οἱ Ἀθηναῖοι ἐψηφίσαντο εὐθὺς
Continuo plebis scito prætoribus potestas datur de exercitus magnitudine et de tota expeditione libere constituendi, quicquid ipsis optimum videtur. αὐτοκράτορας εἶναι καὶ περὶ στρατιᾶς πλήθους καὶ περὶ τοῦ παντὸς πλοῦ τοὺς στρατηγοὺς πράσσειν ἢ ἂν αὐτοῖς δοκῇ ἄριστα εἶναι Ἀθηναίοις. καὶ μετὰ ταῦτα ἡ παρασκευὴ ἐγίγνετο, καὶ ἐς τε τοὺς ξυμμάχους ἔπεμπον καὶ αὐτόθεν καταλόγους ἐποιοῦντο. ἄρτι δ' ἀνειλήφει ἡ πόλις ἑαυτὴν ἀπὸ τῆς νόσου καὶ τοῦ ξυνεχοῦς πολέμου ἔς τε ἡλικίας πλῆθος ἐπηγεγενημένης καὶ ἐς χρημάτων ἄθροισιν, διὰ τὴν ἐκεχειρίαν, ὥστε ῥᾷον πάντα ἐπορίζετο. καὶ οἱ μὲν ἐν παρασκευῇ ἦσαν.

27. Ἐν δὲ τούτῳ, ὅσοι Ἑρμαῖ ἦσαν λίθινοι ἐν τῇ πόλει τῇ
Dum illi in delectu habendo et nautico apparatu conficiendo adhuc occupati erant, Athenis una eademque nocte Mercurii simulacra lapidea vultu mutilantur. Quæ res cum ma- Ἀθηναίων (εἰσὶ δὲ κατὰ τὸ ἐπιχώριον, ἡ τετράγωνος ἐργασία, πολλοὶ καὶ ἐν ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς), μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα. καὶ τοὺς

7. Ἄρτι] ἤγουν τότε ἤδη. 8. Ἀπὸ τῆς νόσου] ἤγουν τῆς λοιμώδους. 10. Διὰ τὴν ἐκεχειρίαν] ἤτοι τὴν ἄνεσιν τοῦ πολέμου. 12. Ἐν δὲ τούτῳ] τῷ καιρῷ δηλονότι. Ὅσοι Ἑρμαῖ ἦσαν] ἐπεί φασι τὸν Ἑρμῆν λόγου καὶ ἀληθείας ἔφορον εἶναι, διὰ τοῦτο καὶ τὰς εἰκόνας αὐτοῦ τετραγώνους καὶ κυβοειδεῖς κατεσκεύαζον, αἰνιττόμενοι ὅτι τὸ τοιοῦτον σχῆμα, ἐφ' ὁ μέρη πέσῃ, πανταχόσε βάσιμον καὶ ὀρθιόν ἐστιν. οὕτω καὶ ὁ λόγος καὶ ἡ ἀλήθεια ὁμοία ἐστὶ πανταχόθεν αὐτὴ αὑτῷ, τὸ ψεῦδος δὲ πολύχουν καὶ πολυσχιδὲς καὶ ἑαυτῷ μάλιστα ἀσύμφωνον. 13. Κατὰ τὸ ἐπιχώριον] δηλονότι ἔθος. 15. Περιεκόπησαν τὰ πρόσωπα] Ἰστέον ὅτι Παυσανίας,

1. ἄλλο H.g.
δοκεῖ H.k.
2. ἄρξειν g.
3. αὐτοκράτορες d.h.i.
περὶ παντὸς d.i.
4. πλοῦ] πλοίου E.
τοὺς] τοῦ τοὺς A.B.K.N. τοῦτους F. τούτους H.d.e.f.g.h.i.k.
12. ὅσαι g.
ἑρμαῖοι P. ἑρμῇ c.
τῇ] τῶν L.O.P.d.f.i.k.
13. Ἡ τετράγωνος ἐργασία] Themistius Orat. XXVI. pag. 316. Πρὸ μὲν Δαιδάλου τετράγωνος ἦν οὐ μόνον ἡ τῶν Ἑρμῶν ἐργασία, ἀλλὰ καὶ τῶν λοίπων ἀνδριάντων. Vid. ibi Petavium, et Menagium ad hæc Diogenis Laërt. V. 82. Ἰδοὺ τετράγωνος Ἑρμῆς, ἔχων σύριγα, κιθάραν, αἰδοῖον, πώγωνα. Ἐργασία, et ἐργάσασθαι θεὸν apud Pollucem I. 11. et 15. sunt inter vocabula propria de his, qui statuas Deorum faciunt. Cur in προθύροις ædium positi fuerint, exponit Heraldus II. Adversar. I. Dux.
14. πολλὴ L.O.P.f.g.
ἐν τοῖς ἰδίοις Q.
15. Περιεκόπησαν τὰ πρόσ.] Adde ex historia καὶ τὰ αἰδοῖα, ad quod al-

δράσαντας ἤδει οὐδείς, ἀλλὰ μεγάλοις μηύτροις δήμου σίᾳ οὗτοί τε ἐζητοῦντο, καὶ πρόσετι ἐψηφίσαντο, καὶ εἴ τις ἄλλο τι οἶδεν ἀσέβημα γεγενημένον, μηνύειν ἀδεῶς τὸν βουλόμενον καὶ ἀστῶν καὶ ξένων καὶ δούλων. καὶ τὸ πρᾶγμα μείζονας ἐλάμβανον· τοῦ τε γὰρ ἔκπλου οἰωνὸς ἐδόκει εἶναι, καὶ ἐπὶ ξυνωμοσίᾳ ἅμα νεωτέρων πραγμάτων καὶ δήμου καταλύσεως γεγενῆσθαι. * μηνύεται οὖν ἀπὸ μετοίκων τέ τινων καὶ ἀκολούθων περὶ μὲν τῶν

gnopere animos moveret, maximis præmiis propositis auctores illius facti aliorumque piaculorum investigati sunt.

28. Itaque de Mercurii

ἐν τῇ διατεταγμένῃ αὐτῷ τῶν Ἀττικῶν ὀνομάτων συναγωγῇ, τοὺς τραχήλους καὶ τὰ αἰδοῖα τοὺς Ἑρμᾶς περικοπῆναι φησὶ, καὶ τοὺς τοῦτο δράσαντας Ἑρμοκοπίδας καλεῖσθαι.. 1. Μεγάλοις μηύτροις] μεγάλοις δώροις ἐπὶ μηύσει. 2. Οὗτοι] οἱ ποιήσαντες. Καὶ προσέτι] ἐπὶ τῷ ζητεῖν. 3. Ἀσέβημα] ἄγνων ἔβρεν εἰς τοὺς θεούς. 5. Μείζονας ἐλάμβανον] ἀντὶ τοῦ ὑπόθεσιν ἐξήταζον, ἐμεγάλυνον. 8. Καὶ ἀκολούθων] ἄγνων δούλων.

ludit Aristoph. in Lysistr. 1095. Εἰ σωφρονεῖτε, θυμάτια λήψεσθ', ὅπως Τῶν ἑρμοκοπιδῶν μή τις ὑμᾶς ὄψεται. Erant enim Mercurii illa simulacra subturpia, ὀρθὸν αἰδοῖον ἔχοντα ἐπὶ τοῦ βάθρου. Vide Ciceronem de natura Deorum, l. 3. vide et Herodotum, l. 2. Sect. 51. Palmerius in Exercitation. p. 53. Hvds. Diodorus Siculus lib. XIII. p. 332. nihil aliud, quam, τοὺς Ἑρμᾶς περικοπῆναι, dicit. Plutarch. in Alcib. itidem, ut Thucydides, τὰ πρόσωπα περικοπῆναι. De αἰδοίοις, ex Historicis, quod sciam, non constat. Sed e Pausania Grammatico apud Scholiasten, et ex Aristoph. Lysistr. intelligitur. Dvk.

1. Μεγάλοις—ἐζητοῦντο] Thom. Magister in μήνυτρα. Wass. Add. Pollucem VI. 187. Dvk.

δημοσίᾳ K.

2. τε om. P.

ἐζητοῦντο A.B.

πρὸς ἔτι A.

3. εἶδεν L.O.P.

6. εἶναι] αὐτῷ B.

8. γοῦν N.Q. μὲν οὖν i.

Ἀπὸ μετοίκων τέ τινων καὶ ἀκολούθων περὶ μὲν τῶν Ἑρμῶν οὐδὲν] Plutarchus in Alcib. scribit, ante profectionem Alcibiadis etiam de mutilatis Hermis indicium delatum fuisse. Andocides, loco a Wasse indicato, primum ab Alcibiadis et Phereclei servis de mysteriorum imitatione, deinde a Teucro inquilino de Hermis truncatis, et sacris pollutis, ac denique a Dioclide de Hermis indicium factum. Horum igitur indicia, secundum Thucydidem, posteriora fuerunt discessu Alcibiadis in Siciliam. Servos illos ἀκολούθους vocat Thucydides, i. e. pedissequos, qui, dominos sectati, testes et fortassis adjutores eorum petulantiæ ac lasciviæ fuerant. Nam ἀκόλουθοι proprie dicuntur servi, qui dominos sectantur. Vid. Casaub. et Duport. ad Theophrasti Charact. c. XI. Duport. ibid. ad cap. IX. et Periz. ad Ælian. XIV. V. H. 14. Gloss. ἀκόλου-

quidem simulacris nihil defertur, sed mysteriorum delusorum insimulatur Alcibiades, qui, cum eo nomine ab inimicis vehementer vexatus esset,

Ἑρμῶν οὐδὲν, ἄλλων δὲ ἀγαλμάτων περικοπαί τινες πρότερον ὑπὸ νεωτέρων μετὰ παιδιᾶς καὶ οἴνου γεγενημέναι, καὶ τὰ μυστήρια ἅμα ὡς ποιεῖται ἐν οἰκίαις ἐφ' ὕβρει· ὧν καὶ τὸν Ἀλκιβιάδην ἐπῃτιῶντο. καὶ αὐτὰ ὑπολαμβάνοντες οἱ μάλιστα τῷ Ἀλκιβιάδῃ ἀχθόμενοι, ἐμποδὼν ὄντι σφίσι μὴ αὐτοῖς τοῦ δήμου βεβαίως προεστάναι, καὶ νομίσαντες, εἰ αὐτὸν ἐξελάσειαν, πρῶτοι ἂν εἶναι, ἐμεγάλυνον, καὶ ἐβόων ὡς ἐπὶ δήμου καταλύσει τά τε μυστικὰ καὶ ἡ τῶν Ἑρμῶν περικοπὴ γένοιτο, καὶ οὐδὲν εἴη αὐτῶν ὅ τι οὐ μετ' ἐκείνου ἐπράχθη, ἐπιλέγοντες τεκμήρια τὴν ἄλλην αὐτοῦ ἐς τὰ ἐπιτηδεύματα οὐ δημοτικὴν παρανομίαν.

29. frustra a populo petiit, ut antequam proficisceretur, de ea re quæstio institueretur.

* ὁ δ' ἔν τε τῷ παρόντι πρὸς τὰ μηνύματα ἀπελογεῖτο, καὶ ἑτοῖμος ἦν πρὶν ἐκπλεῖν κρίνεσθαι, εἴ τι τούτων εἰργασμένος ἦν (ἤδη γὰρ καὶ τὰ τῆς παρασκευῆς ἐπεπόριστο), καὶ εἰ μὲν τούτων τι εἴργαστο, δίκην δοῦναι, εἰ δ' ἀπολυθείη, ἄρχειν. καὶ ἐπεμαρτύρετο

2. Πρότερον ὑπὸ] ἤτοι τῶν ποιουμένων, ἢ τῶν πεποιημένων νέων. 5. Ὑπολαμβάνοντες] ἤγουν λαμβάνοντες ἐν τῷ νῷ, καὶ προσδεχόμενοι αὐτὰ, ὥστε πιστεύειν. 8. Ἐμεγάλυνον] ἤγουν εἰς μέγεθος ἦρον τὸ ἔγκλημα. 10. Ἐπιλέγοντες τεκμήρια] ἤγουν ἐπιβοῶντες ἐκείνῳ. 11. Οὐ δημοτικὴν] ἤγουν τὴν ἔξω τοῦ ἔθους τῆς δημοκρατίας. 14. Τῆς παρασκευῆς] τῆς πολεμικῆς ἐπλίσεως. 15. Ἐπεπόριστο] ἐτετέλεστο ἐκ τοῦ πορισμοῦ. 16. Εἰ δ' ἀπολυθείη] τῶν ἐγκλημάτων δηλονότι. Καὶ ἐπεμαρτύρετο] καὶ διεμαρτύρετο.

θος, secutor, pedissequus. Duk.

1. ἑρμαίων P.
ἐγκλημάτων d.i.
3. ποιεῖται E.F.H.Q.c.f.g.h.k. ποιοῦντα i. vulgo ποιῆται.
οἰκίας A.E.h.k.
4. Ἐπῃτιῶντο] Accusatorum nomina prodit apud Plutarchum p. 201. Phrynichus: παράσχῃς διαβολὴν Ἑτέρῳ Διοκλείδᾳ· dein, Τεύκρῳ γὰρ οὐχὶ βούλομαι Μήνυτρα δοῦναι, τῷ παλαμναίῳ ξένῳ. ubi legend. προσήκειν. Adde huc sis Andocidem I. p. 175. Ursini imag. II. 13. Apud Euripidem Ion. 186. Phœbum, non Mercurium tantum, fuisse platearum dominum probare satagit Barnesius. Wass.
6. ὄντα P.
μὴ αὐτοῖς A.B.E.F.H.K.L.O. P.b.c.d.e.f.g.h.k. vulgo αὐτοῦς μή.
7. ἐξελάσειεν H. ἐξελάσειεν A. F.E.c.
9. τε om. L.O.
10. ἐπιλέγοντές τε τεκμήρια P.i.k.
11. ἐς om. B.
12. τῷ τε K.
14. γὰρ τὰ τῆς L.O.i.k. γὰρ τῆς P.
16. ἐπεμάρτυρε E.

μὴ ἀπόντος πέρι αὐτοῦ διαβολὰς ἀποδέχεσθαι, ἀλλ' ἤδη ἀποκτείνειν, εἰ ἀδικεῖ, καὶ ὅτι σωφρονέστερον εἴη μὴ μετὰ τοιαύτης αἰτίας, πρὶν διαγνῶσι, πέμπειν αὐτὸν ἐπὶ τοσούτῳ στρατεύματι. οἱ δ' ἐχθροὶ δεδιότες τό τε στράτευμα, μὴ εὔνουν ἔχῃ, ἢν ἤδη ἀγωνιζηται, ὅ τε δῆμος μὴ μαλακίζηται, θεραπεύων ὅτι δι' ἐκεῖνον οἵ τ' Ἀργεῖοι ξυνεστράτευον καὶ τῶν Μαντινέων τινὲς, ἀπέτρεπον καὶ ἀπέσπευδον, ἄλλους ῥήτορας ἐνιέντες, οἳ ἔλεγον νῦν μὲν πλεῖν αὐτὸν καὶ μὴ κατασχεῖν τὴν ἀγωγὴν, ἐλθόντα δὲ κρίνεσθαι ἐν ἡμέραις ῥηταῖς, βουλόμενοι ἐκ μείζονος διαβολῆς, ἣν ἔμελλον ῥᾷον αὐτοῦ ἀπόντος πορισεῖν, μετάπεμπτον κομισθέντα αὐτὸν ἀγωνίσασθαι. καὶ ἔδοξε πλεῖν τὸν Ἀλκιβιάδην.

Μετὰ δὲ ταῦτα, θέρους μεσοῦντος ἤδη, ἡ ἀναγωγὴ ἐγίγνετο ἐς τὴν Σικελίαν. τῶν μὲν οὖν ξυμμάχων τοῖς πλείστοις καὶ ταῖς σιταγωγοῖς ὁλκάσι, καὶ τοῖς πλοίοις, καὶ ὅση ἄλλη παρασκευὴ ξυνείπετο, πρότερον εἴρητο

30. Præmissis sociorum plurimis Corcyram, dicta die Athenien-

1. Ἀποδέχεσθαι] ἤγουν δέχεσθαι ὡς βεβαίας. 4. Δεδιότες] φοβούμενοι τὸ στράτευμα ὡς οὐκ εὔνουν αὐτοῖς. γράφεται δὲ ἔν τισι, μὴ εὔνουν ἔχῃ· καὶ ἀκουστέον μὴ ἄρα εὔνουν ᾖ τὸ στράτευμα τῷ Ἀλκιβιάδῃ. 7. Ἀπέσπευδον] ἤγουν ἀπερρίπτουν μετὰ σπουδῆς. 10. Ἐκ μείζονος διαβολῆς] βουλόμενοι μεγάλως αὐτὸν διαβαλεῖν, ἔμελλον αἰξήσειν τὴν διαβολὴν, ἀπόντος αὐτοῦ. ἐμηχανῶντο δὴ μετακεμφθέντα αὐτὸν εἰς ἀπολογίαν καταστῆσαι. 14. Μεσοῦντος ἤδη] τὸ μεσοῦντος τρίτης ἐστὶ συζυγίας. Εὐριπίδης ἐν Μηδείᾳ· Ζηλῶ σ'· ἐν ἀρχῇ πῆμα, κοὐδέπω μεσοῖ (60). 16. Τοῖς πλοίοις]

2. μὴ om. c.

3. διαγνῶναι Q.

5. Μὴ εὔνουν ἔχῃ] Scholiastes legit, ὡς οὐκ εὔνουν αὐτοῖς. Wass. Vel, μὴ οὐκ εὔνουν ἔχωσι. Sed nusquam vestigium ullum variantis scripturæ inveni. Plutarchus Alcib. Αἰσθόμενοι δὲ (οἱ περὶ τὸν Ἀλκιβιάδην) τοὺς τε ναύτας, ὅσοι πλεῖν ἔμελλον εἰς Σικελίαν, εὔνους ὄντας αὐτοῖς. Duk.

ἔχει e.

Ὅ τε δῆμος μὴ μαλακίζηται] Plutarchus: Ὥστε τοὺς ἐχθροὺς φοβεῖσθαι, μὴ περὶ τὴν κρίσιν ὁ δῆμος ἀμβλύτερος αὐτῷ γένηται διὰ τὴν χρείαν. Eadem, qua hic, significatione verbo μαλακίζεσθαι utitur Thucydides III. 40. ubi vid. Schol. Duk.

8. ἐνιέντες Q.

9. ἀγωγὴν A.B.F.H.K.N.b.c. g.h. vulgo ἀναγωγήν.

14. ἡ om. E.

ses in Pirœum descendunt, civibus et hospitibus quam plurimis prosequentibus,

ἐς Κέρκυραν ξυλλέγεσθαι, ὡς ἐκεῖθεν ἀθρόοις ἐπὶ ἄκραν Ἰαπυγίαν τὸν Ἰόνιον διαβαλοῦσιν· αὐτοὶ δ' Ἀθηναῖοι, καὶ εἴ τινες τῶν ξυμμάχων παρῆσαν, ἐς τὸν Πειραιᾶ καταβάντες ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπλήρουν τὰς ναῦς ὡς ἀναξόμενοι. ξυγκατέβη δὲ καὶ ὁ ἄλλος ὅμιλος ἅπας, ὡς εἰπεῖν, ὁ ἐν τῇ πόλει, καὶ ἀστῶν καὶ ξένων, οἱ μὲν ἐπιχώριοι τοὺς σφετέρους αὐτῶν ἕκαστοι προπέμποντες, οἱ μὲν ἑταίρους, οἱ δὲ ξυγγενεῖς, οἱ δὲ υἱεῖς, καὶ μετ' ἐλπίδος τε ἅμα ἰόντες καὶ ὀλοφυρμῶν, τὰ μὲν ὡς κτήσοιντο, τοὺς δ' εἴ ποτε ὄψοιντο, ἐνθυμούμενοι ὅσον πλοῦν ἐκ τῆς σφετέρας ἀπεστέλλοντο.

31. partim fiducia plenis, partim mœstitia, partim admiratione tantæ expeditionis tamque magnifice instructæ classis, quanta et

* καὶ ἐν τῷ παρόντι καιρῷ, ὡς ἤδη ἔμελλον μετὰ κινδύνων ἀλλήλους ἀπολιπεῖν, μᾶλλον αὐτοὺς ἐσῄει τὰ δεινὰ ἢ ὅτε ἐψηφίζοντο πλεῖν· ὅμως δὲ τῇ παρούσῃ ῥώμῃ, διὰ τὸ πλῆθος ἑκάστων ὧν ἐώρων, τῇ ὄψει ἀνεθάρσουν. οἱ δὲ ξένοι καὶ ὁ ἄλλος ὄχλος κατὰ θέαν ἦκεν, ὡς ἐπὶ ἀξιόχρεων καὶ ἄπιστον διάνοιαν. παρασκευὴ γὰρ αὕτη πρώτη ἐκπλεύσασα μιᾶς

τοῖς μικροῖς, ἃ δὴ καὶ λεπτὰ ἄλλοθι εἶπεν. 1. Ἐκεῖθεν] ἤγουν ἐκ τῆς Κερκύρας. 2. Διαβαλοῦσι] διαπλεύσουσι, διαπεραιωσομένους. 5. Ἀναξόμενοι] ἤγουν μέλλοντες ἀναπλεύσειν. Ὅμιλος ἅπας] ὁ μὴ ἐκστρατεύσιμος. 9. Τὰ μὲν] τὰ κατὰ τὴν Σικελίαν. 12. Μετὰ κινδύνων] οἵ τε ἀπόντες δηλονότι τοὺς μένοντας, καὶ οἱ μένοντες ἐκείνους. 16. Ἀξιόχρεων] ἤγουν μεγάλην.

1. ἐπὶ ἄκραν B.E.F.H.K.L.N. O.P.Q.c.d.e.g.h.i.k. vulgo ἐπὶ τὴν ἄκραν.

Ἐπὶ τὴν ἄκραν Ἰαπυγίαν] Thucydides infra cap. 33. rursus sine articulo, ἐς Τάραντα καὶ ἄκραν Ἰαπυγίαν. cap. 44. πρός τε ἄκραν Ἰαπυγίαν. VII. 33. ἐπ' ἄκραν Ἰαπυγίαν. Dionysius Halic. quoque I. 11: ὑπὲρ ἄκρας Ἰαπυγίας, et ibid. cap. 51. πρὸς ἄκραν Ἰαπυγίαν. Scylax p. 26. μέχρι ἄκρας Ἰαπυγίας. Agathemerus cap. III. ἀπὸ ἄκρας Ἰαπυγίας. Et Arrianus de Expedit. Alex. VII. 1. ἐς Σικελίαν τε καὶ ἄκραν Ἰαπυγίαν. Itaque et hic sequendi sunt libri scripti. Duk.

2. Ἰαπυτίαν k. εὐπυγίαν d.i. διαβάλλουσιν L.O.P.d.

3. οἵ L.N.O.P.d.k.

4. ἔσω E.

5. καὶ ἄλλος g.

8. υἱεῖς μετ' Q.

12. κινδύνου d. ἀπολείπειν g.

13. ὅτε] ὅτι Q.

16. ἀξιόχρεω K.f.

πόλεως δυνάμει Ἑλληνικῇ πολυτελεστάτη δὴ καὶ εὐπρεπεστάτη τῶν εἰς ἐκεῖνον τὸν χρόνον ἐγένετο. ἀριθμῷ δὲ νεῶν καὶ ὁπλιτῶν καὶ ἡ ἐς Ἐπίδαυρον μετὰ Περικλέους, καὶ ἡ αὐτὴ ἐς Ποτίδαιαν μετὰ Ἄγνωνος, οὐκ ἐλάσσων ἦν· τετράκις γὰρ χίλιοι ὁπλῖται αὐτῶν Ἀθηναίων καὶ τριακόσιοι ἱππῆς καὶ τριήρεις ἑκατόν, καὶ Λεσβίων καὶ Χίων πεντήκοντα, καὶ ξύμμαχοι ἔτι πολλοὶ ξυνέπλευσαν. ἀλλὰ ἐπί τε βραχεῖ πλῷ ὡρμήθησαν καὶ παρασκευῇ φαύλῃ. οὗτος δὲ ὁ στόλος, ὡς χρόνιός τε ἐσόμενος καὶ κατ' ἀμφότερα, οὐ ἂν δέῃ, καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐξηρτυθείς, τὸ μὲν ναυτικὸν μεγάλαις δαπάναις τῶν τε τριηράρχων καὶ τῆς πόλεως ἐκπονηθέν, τοῦ μὲν δημοσίου δραχμὴν τῆς ἡμέρας τῷ ναύτῃ ἑκάστῳ διδόντος καὶ ναῦς παρασχόντος κενὰς, ἑξήκοντα μὲν ταχείας, τεσσαράκοντα δὲ ὁπλιταγωγούς, καὶ ὑπηρεσίας ταύταις τὰς κρατίστας τῶν τριηράρ-

qualis numquam antea ab una civitate graeca profecta fuisset.

5. Τετράκις γὰρ χίλιοι] οἱ μετὰ Περικλέους, ἢ οἱ μετὰ Ἄγνωνος. 10. Ἐξηρτυθεὶς] παρασκευασθεὶς, ἑτοιμασθείς. 12. Ἐκπονηθὲν] ἦγουν ἀπαρτι-

1. δὲ καὶ νεῶν f.
4. ἀγῶνος g.
5. χίλιοι] χιλίων c.
7. ἔτι om. f.
10. καὶ πεζῷ ἅμα καὶ ναυσὶν Q. f. ἐξαρτηθεὶς f.
τῷ μὲν ναυτικῷ k.
11. τριηραρχῶν E. et hic et infra.

Τριηράρχων] De trierarchis et trierarchiis apud Athenienses multa habent Petitus ad leges Attic. pag. 270. et Schefferus II. de Milit. Nav. 4. quaedam etiam Casaubonus ad Theophr. Charact. cap. XXII. Duk. Vid. Boeckh. (Staatshaushaltung der Athener 2. p. 79. et 119).

15. Ὑπηρεσίας] Has etiam memorat I. 143. Κυβερνήτας ἔχομεν πολίτας, καὶ τὴν ἄλλην ὑπηρεσίαν πλείους καὶ ἀμείνους, ἢ πᾶσα ἡ ἄλλη Ἑλλάς. Budaeus apud Stephanum scribit: In Thucydide ὑπηρεσίας esse naves administras earum, quae armatos portant, aut etiam servitia earum, sed Arrianum videri accipere pro remigibus. Naves ὑπηρετικὰς dicunt etiam Appianus et Xenophon ad Schefferum II. de Milit. Nav. 2. pag. 79. Diodorus Sicul. XIV. pag. 429. XX. 759. et 775. et Dio L. p. 438. Sed in his locis Thucydidis potius homines videntur designari, quam naves. Pro remigibus est in Arriano VI. 1. Αἱ δ' ὑπηρεσίαι αὐτῷ ἐς τὰς ναῦς ξυνεπληρώθησαν ἐκ τῶν ξυνεπομένων τῇ στρατιᾷ Φοινίκων, καὶ Κυπρίων, καὶ Καρῶν, καὶ Αἰγυπτίων. Et ita hic accepit Acacius. Sed

χων, ἐπιφοράς τε πρὸς τῷ ἐκ δημοσίου μισθῷ διδόντων τοῖς θρανίταις τῶν ναυτῶν καὶ ταῖς ὑπηρεσίαις, καὶ τἆλλα σημείοις καὶ κατασκευαῖς πολυτελέσι χρησαμένων, καὶ ἐς τὰ μακρότατα προθυμηθέντος ἑνὸς ἑκάστου, ὅπως αὐτῷ τινὶ εὐπρεπείᾳ τε ἡ ναῦς μάλιστα προέξει καὶ τῷ ταχυναυτεῖν, τὸ δὲ πεζὸν καταλόγοις τε χρηστοῖς ἐκκριθὲν καὶ ὅπλων καὶ τῶν περὶ τὸ σῶμα σκευῶν μεγάλῃ σπουδῇ πρὸς ἀλλήλους ἀμιλληθέν. ξυνέβη δὲ πρός τε σφᾶς αὐτοὺς ἅμα ἔριν γενέσθαι, ᾧ τις ἕκαστος προστάχθη, καὶ ἐς τοὺς ἄλλους Ἕλληνας ἐπίδειξιν μᾶλλον εἰκασθῆναι τῆς δυνάμεως καὶ ἐξουσίας ἢ ἐπὶ πολεμίους παρασκευήν. εἰ γάρ τις ἐλογίσατο τήν τε τῆς πόλεως ἀνάλωσιν δημοσίαν καὶ τῶν στρατευομένων τὴν ἰδίαν, τῆς μὲν

σθὲν, μετὰ πορισμοῦ συσταθέν. 1. Ἐπιφοράς τε πρὸς τῷ] ἔξωθεν τοῦ δημοσίου μισθοῦ ἐκ τῶν ἰδίων ἐπιδόσεις παρεῖχον. τοῦτο γάρ ἐστιν αἱ ἐπιφοραί. οἱ δὲ θρανῖται μετὰ μακροτέρων κωπῶν ἐρέττοντες πλείονα κόπον ἔχουσι τῶν ἄλλων. διὰ τοῦτο τούτοις μόνοις ἐπιδόσεις ἐποιοῦντο οἱ τριηράρχαι, οὐχὶ δὲ πᾶσι τοῖς ἐρέταις. 3. Σημείοις] ἤτοι κυρίως σημείοις λέγει, καθάπερ καὶ τὰ στρατεύματα· ἢ (ὡς ἔνιοι) σημεῖα τὰς ἔξωθεν καταγραφὰς τῶν τριηρῶν. 4. Ἐς τὰ μακρότατα] ἤτοι ἐπὶ πλεῖστον. 6. Καταλόγοις] καταλόγοις ἀκριβέσι δοκιμασθὲν καὶ προκριθέν. Χρηστοῖς] ἀληθέσι, βεβασανισμένοις. 7. Τῶν περὶ τὸ σῶμα σκευῶν] οἱ μὲν ὁπλῖται ὅπλα εἶχον, οἱ δὲ ἐρέται καὶ τέκτονες καὶ λιθουργοὶ τὰ ἐπιτήδεια ὄργανα. 10. Εἰκασθῆναι] εἰκασμὸν δοῦναι. 11. Καὶ ἐξουσίας] τὴν περιουσίαν ἐξουσίαν φησίν.

non recte Idem verba καὶ ὑπηρεσίας ταύτας τὰς κρατίστας a sequentibus avulsa cum superioribus jungit, quasi Respublica non solum naves, sed etiam remigium dederit. Nam hoc non patitur copula, τε, in his, ἐπιφοράς τε. Duk.

1. Ἐπιφοράς] Explicat Pollux III. 94. Ἐπιφορήματα pro τραγήματα Herodotus, unde Noster. Wass.

2. Τοῖς θρανίταις] Vide ad IV. 32. Duk.

ναυτικῶν L.

3. Σημείοις] Sententiam Interpretum, qui hoc apud Scholiasten de picturis navium exponebat confirmat Lucianus. Nam hic quoque in Navig. pag. 494. inter reliquum κόσμον navium recenset γραφάς. Sed potest etiam cogitari de παρασήμοις, et tutelis navium. Duk.

χρησομένων G.

4. αὐτὸ E.

5. μάλιστα ἡ ναῦς P.

9. αὐτοὺς καὶ ἅμα L.O.P.k.

ὅστις e. ὅτις f.

13. δημοσίαν ἢ καὶ h.

πόλεως, ὅσα τε ἤδη προσετετελέκει καὶ ἃ ἔχοντας τοὺς στρατηγοὺς ἀπέστελλε, τῶν δὲ ἰδιωτῶν, ἅ τε περὶ τὸ σῶμά τις καὶ τριήραρχος ἐς τὴν ναῦν ἀναλώκει, καὶ ὅσα ἔτι ἔμελλεν ἀναλώσειν, χωρὶς δ' ἃ εἰκὸς ἦν καὶ ἄνευ τοῦ ἐκ δημοσίου μισθοῦ πάντα τινὰ παρασκευάσασθαι ἐφόδιον ὡς ἐπὶ χρόνιον στρατείαν, καὶ ὅσα ἐπὶ μεταβολῇ τις ἢ στρατιώτης ἢ ἔμπορος ἔχων ἔπλει, πολλὰ ἂν τάλαντα εὑρεθῆ ἐκ τῆς πόλεως τὰ πάντα ἐξαγόμενα. καὶ ὁ στόλος οὐχ ἧσσον τόλμης τε θάμβει καὶ ὄψεως λαμπρότητι περιβόητος ἐγένετο, ἢ στρατιᾶς, πρὸς οὓς ἐπῆσαν, ὑπερβολῇ, καὶ ὅτι μέγιστος ἤδη διάπλους ἀπὸ τῆς οἰκείας καὶ ἐπὶ μεγίστῃ ἐλπίδι τῶν μελλόντων πρὸς τὰ ὑπάρχοντα ἐπεχειρήθη.

1. Προσετετελέκει] προσανήλωσε. 9. Τόλμης τε θάμβει] ἔκπληξίν τε παρασχὼν διὰ τὴν τόλμαν πλέον ἢ περ τῷ κατὰ πλῆθος ὑπερέχειν τῶν ἐναντίων. 11. Μέγιστος ἤδη διάπλους] οὐ χρόνου, ἀλλὰ τόπου. 12. Ἐπὶ μεγίστῃ ἐλπίδι] μείζονα ἐλπίσαντες δηλονότι τῆς ὑπαρχούσης δυνάμεως.

1. Προσετετελέκει] Ita quidem omnes libri: sed tamen nonnihil suspectum est. Nam προστελεῖν nihil aliud esse potest, quam *ad* et *præter alia aliquid impendere*, aut *præstare*. Ignorant hoc verbum Lexica, sed habet Xenophon VII. Ἀναβάσ. p. 416. Εἰ δὲ δὴ ὁ συμπαρέχων ὑμῖν ταύτην τὴν ἀσφάλειαν, μὴ πάνυ πολὺν μισθὸν προστέλει. Sed id huic loco non optime convenit. Stephanus, Acacius, et eos sequutus Portus vertunt: quæ *ante erogaverat*. Hoc autem est προτελεῖν; quo verbo hac significatione uti Xenophontem VII. Ἀναβ. 421. Ἀναμνήσθητι δὲ καὶ σὺ, τί προτελέσας ἡμῶν συμμάχους ἡμᾶς ἔλαβες, ostendit Budæus in Commentar. Ling. Gr. pag. 627. Et rursus Xenophon in lib. de Agesilao, p. 654. Ὥστ' οὐδὲν προτελέσαντες οἱ φίλοι αὐτοῦ. Duk.

2. ἐπέστελλε d.

3. Ἀναλώκει] Corrector Cod. Gr. ἀνηλώκει. Potuerat continere manum a corrigendo. Nam alterum est Atticum. Thom. Magister in ἀνάλωσα, Stephanus Append. ad Scripta de Dial. p. 147. et Kuhnius ad Polluc. VIII. 130. Neque tamen ἀνήλωκα ita κοινὸν est, ut eo non utantur Attici, quod dictat Thomas. Duk.

4. ἃ] om. pr. e. αὖ recens e. ἂν f.

5. ἐκ] om. N.g. ἐκ τοῦ A.B.E. F.H.h.

7. ἔμπορος ἔχων] ἐμπροσέχων E.

8. εὑρεθῇ c.g.

11. ὅτι ὁ μέγιστος P.

ἤδη] Usitatius δή.

12. οἰκίας K.

32. Navibus completis, votisque per libationem conceptis ab universis classiariis, e portu solvebant, Corcyram properantes.— Interim Syracusanis de adventu classis Atheniensium rumores afferebantur, quibus alii fidem habebant, alii contradicebant. Hermocrates vero oratione

Ἐπειδὴ δὲ αἱ νῆες πλήρεις ἦσαν καὶ ἐσέκειτο πάντα ἤδη, ὅσα ἔχοντες ἔμελλον ἀνάξεσθαι, τῇ μὲν σάλπιγγι σιωπὴ ὑπεσημάνθη, εὐχὰς δὲ τὰς νομιζομένας πρὸ τῆς ἀναγωγῆς οὐ κατὰ ναῦν ἑκάστην, ξύμπαντες δὲ ὑπὸ κήρυκος ἐποιοῦντο, κρατῆράς τε κεράσαντες παρ' ἅπαν τὸ στράτευμα, καὶ ἐκπώμασι χρυσοῖς τε καὶ ἀργυροῖς οἵ τε ἐπιβάται καὶ οἱ ἄρχοντες σπένδοντες. ξυνεπεύχοντο δὲ καὶ ὁ ἄλλος ὅμιλος ὁ ἐκ τῆς γῆς, τῶν τε πολιτῶν καὶ εἴ τις ἄλλος εὔνους παρῆν σφίσι. παιωνίσαντες δὲ καὶ τελεώσαντες τὰς σπονδὰς ἀνήγοντο, καὶ ἐπὶ κέρως τὸ πρῶτον ἐκπλεύσαντες ἁμιλλαν ἤδη μέχρι Αἰγίνης ἐποιοῦντο. καὶ οἱ μὲν ἐς τὴν Κέρκυραν, ἔνθα περ καὶ τὸ ἄλλο στράτευμα τῶν ξυμμάχων ξυνελέγετο, ἠπείγοντο ἀφικέσθαι.

Ἐς δὲ τὰς Συρακούσας ἠγγέλλετο μὲν πολλαχόθεν

1. Ἐσέκειτο] ἐνεβλήθησαν. 2. Τῇ μὲν σάλπιγγι] διὰ τῆς σάλπιγγος. 5. Παρ' ἅπαν τὸ στράτευμα] ἦγουν διὰ παντὸς τοῦ στρατεύματος.

1. ἐπεὶ N.
ἐπέκειτο K.Q.e.f.g.
2. ὅσα ἤδη L.O.P.k. ὅσα ἔχωντες ἤδη i.
3. σιωπῆι E.c.
ἐπεσημάνθη O.
5. καὶ κρατῆράς τε i.
Κρατῆράς τε κεράσαντες — καὶ σπένδοντες] Inlustrarunt hunc morem veterum Muretus XIV. Var. Lect. 2. et Cerda ad Virgil. III. Æneid. 776. Add. Arrian. de Exped. Alex. VI. 3. Καὶ ἐπιβὰς τῆς νεὼς, ἀπὸ τῆς πρώρας ἐκ χρυσῆς φιάλης ἔσκεδεν ἐπὶ τὸν ποταμὸν, τόν τ' Ἀκεσίνην ξυνεπικαλούμενος τῷ Ὑδάσπῃ. Et, Ἐπεὶ δὲ Ἡρακλεῖ τε τῷ προπάτορι σπείσας, καὶ Ἄμμωνι, καὶ τοῖς ἄλλοις θεοῖς, ὅσοις αὐτῷ νόμος, σημῆναι ἐς ἀναγωγὴν κελεύει τῇ σάλπιγγι. Dukr.
παράπαν A.E.K.Q.
8. καὶ ἄλλος K.
9. παιανίσαντες L.O.c.
10. τελέσαντες E.g.
ἐπικαίρως A.B.g.h.
Ἐπὶ κέρως] In Cod. *aliis* ἐπικαίρως. Permutantur hæc etiam infra cap. 50. Vid. Scholiasten ad II. 90. qui exponit μίαν κατακολουθοῦσαν τῇ ἑτέρᾳ. Xenophon hoc videtur dicere ἐπὶ μιᾶς I. Græc. pag. 446. Παρὰ δὲ Διομέδοντα οἱ Σάμιοι δέκα ναυσὶν ἐπὶ μιᾶς τεταγμένοι. ἐχόμενοι δὲ τῶν ταξιάρχων δέκα καὶ αὐταὶ ἐπὶ μιᾶς. Polybius I. 26. 27. ἐπὶ μίαν. Dukr. V. Valkenar. ad Herod. l. VI. p. 443.
15. πολλαχόθεν καὶ τὰ L.O.P.
παντα χόθεν τὰ N.h.

τὰ περὶ τοῦ ἐπίπλου, οὐ μέντοι ἐπιστεύετο ἐπὶ πολὺν χρόνον οὐδέν. ἀλλὰ καὶ γενομένης ἐκκλησίας ἐλέχθησαν τοιοίδε λόγοι ἀπό τε ἄλλων, τῶν μὲν πιστευόντων τὰ περὶ τῆς στρατείας τῆς τῶν Ἀθηναίων, τῶν δὲ τὰ ἐναντία λεγόντων, καὶ Ἑρμοκράτης ὁ Ἕρμωνος παρελθὼν αὐτοῖς, ὡς σαφῶς οἰόμενος εἰδέναι τὰ περὶ αὐτῶν, ἔλεγε καὶ παρῄνει τοιάδε.

" Ἄπιστα μὲν ἴσως, ὥσπερ καὶ ἄλλοι τινὲς, δοξῶ " ὑμῖν περὶ τοῦ ἐπίπλου τῆς ἀληθείας λέγειν, καὶ γι- " γνώσκω ὅτι οἱ τὰ μὴ πιστὰ δοκοῦντα εἶναι ἢ λέγοντες " ἢ ἀπαγγέλλοντες οὐ μόνον οὐ πείθουσιν, ἀλλὰ καὶ " ἄφρονες δοκοῦσιν εἶναι· ὅμως δὲ οὐ καταφοβηθεὶς ἐπι- " σχήσω, κινδυνευούσης τῆς πόλεως, πείθων γε ἐμαυτὸν " σαφέστερόν τι ἑτέρου εἰδὼς λέγειν. Ἀθηναῖοι γὰρ ἐφ' " ἡμᾶς, ὃ πάνυ θαυμάζετε, πολλῇ στρατιᾷ ὥρμηνται " καὶ ναυτικῇ καὶ πεζικῇ, πρόφασιν μὲν Ἐγεσταίων " ξυμμαχία καὶ Λεοντίνων κατοικίσει, τὸ δὲ ἀληθὲς Σι-

33, 34. non solum credibilem et certam rem esse demonstravit, sed etiam minime timendam, si quidem, navibus omnibus celeriter collectis, obviam ire Atheniensibus usque Tarentum auderent.

9. Περὶ τοῦ ἐπίπλου τῆς ἀληθείας λέγειν] ἤτοι περὶ τοῦ ἀληθῶς αὐτοὺς ἐπιπλεῖν. 10. Ἢ λέγοντες ἢ ἀπαγγέλλοντες] ἤγουν, ἢ ἀφ' ἑαυτῶν λέγοντες καὶ λογοποιοῦντες, ἢ ἀπαγγέλλοντες, ἐξ ἑτέρων ἀκούσαντες πλευσάντων. 12. Ὅμως δὲ οὐ καταφοβηθεὶς] ἤγουν, ὅμως οὐ καθέξω ἐμαυτὸν ἤδη κινδύνου ἐπερχομένου τῇ πόλει, καταφοβηθεὶς τὸ δόξαι ἄπιστα φθέγγεσθαι καὶ ἐκ τούτου ἄφρων ὑπειλῆφθαι. Οὐ καταφοβηθεὶς] οὐ φοβηθήσομαι διὰ τὸ ἄφρων νομισθήσεσθαι, καὶ διὰ τοῦτο σιωπήσω. Ἐπισχήσω] ἐμαυτὸν δηλονότι. 14. Σαφέστερόν τι ἑτέρου εἰδὼς] ἀκριβέστερον τῶν ἄλλων ἐπιστά-

1. ἐπιστεύοντο K.
4. τῆς] om. L. τῆς ἀπὸ K. τε καὶ e.
ἀθηνῶν A.B.E.F.H.c.g.
τἀναντία Q.
6. σαφῶς] αὐτὸς g.
7. τάδε d.
10. μὴ τὰ f.
13. γε om. i.
15. ὑμᾶς A.B.E.F.H.K.M.N. b.c.e.g.h.
θαυμάζεται P.
16. Καὶ ναυτικῇ καὶ πεζικῇ] Thomas Magister scribit, cum Demosthene et aliis omnibus dicendum esse πεζῇ στρατιᾷ, non πεζικῇ, etsi hoc sit apud Thucydidem; nam esse ποιητικώτερον. Sed vide, quæ adnotavit Stephanus in Thes. Legit autem hic Thomas ἐν στρατιᾷ ὥρμηνται. Dux.
πεζῇ g.
17. κατοικήσει A.E.H.N.f.g.h.i.

Ita enim fore, ut inopinatos ac dispersos invaderent, certe defessos; ipsis autem Tarentum se recipere licere.

" κελίας ἐπιθυμίᾳ, μάλιστα δὲ τῆς ἡμετέρας πόλεως,
" ἡγούμενοι, εἰ ταύτην σχοῖεν, ῥᾳδίως καὶ τἆλλα ἕξειν.
" ὡς οὖν ἐν τάχει παρεσομένων, ὁρᾶτε ἀπὸ τῶν ὑπαρ-
" χόντων ὅτῳ τρόπῳ κάλλιστα ἀμυνεῖσθε αὐτούς, καὶ
" μήτε καταφρονήσαντες ἄφρακτοι ληφθήσεσθε, μήτε ἀ-
" πιστήσαντες τοῦ ξύμπαντος ἀμελήσετε. εἰ δέ τῳ καὶ
" πιστὰ, τὴν τόλμαν αὐτῶν καὶ δύναμιν μὴ ἐκπλαγῇ.
" οὔτε γὰρ βλάπτειν ἡμᾶς πλείω οἷοί τε ἔσονται ἢ πά-
" σχειν, οὔθ' ὅτι μεγάλῳ στόλῳ ἐπέρχονται, ἀνωφελεῖς,
" ἀλλὰ πρός τε τοὺς ἄλλους Σικελιώτας πολὺ ἄμεινον
" (μᾶλλον γὰρ ἐθελήσουσιν ἐκπλαγέντες ἡμῖν ξυμμα-
" χεῖν), καὶ ἢν ἄρα ἢ κατεργασώμεθα αὐτοὺς ἢ ἀπράκ-
" τους ὧν ἐφίενται ἀπώσωμεν (οὐ γὰρ δὴ, μὴ τύχωσί γε
" ὧν προσδέχονται, φοβοῦμαι), κάλλιστον δὴ ἔργων ἡμῖν
" ξυμβήσεται, καὶ οὐκ ἀνέλπιστον ἔμοιγε. ὀλίγοι γὰρ
" δὴ στόλοι μεγάλοι, ἢ Ἑλλήνων ἢ βαρβάρων, πολὺ ἀπὸ
" τῆς ἑαυτῶν ἀπάραντες κατώρθωσαν. οὔτε γὰρ πλείους
" τῶν ἐνοικούντων καὶ ἀστυγειτόνων ἔρχονται (πάντα γὰρ

μενος, ἀληθέστερον. 3. Ἀπὸ τῶν ὑπαρχόντων] δυνατῶν. 4. Κάλλιστα] ἥγουν ἀνδρικώτατα καὶ φρονιμώτατα. 5. Ἄφρακτοι] ἤγουν ἄοπλοι. 7. Πιστὰ] τὰ τῆς ἐφόδου τῶν Ἀθηναίων. 12. Κατεργασώμεθα] ταπεινώσωμεν, νικήσωμεν. 13. Οὐ γὰρ δὴ, μὴ τύχωσί γε, ὧν προσδέχονται, φοβοῦμαι] οὐ γὰρ φοβοῦμαι, (φησί,) μὴ ἐπιτύχωσι τοῦ ἐλεῖν ἡμᾶς. 15. Ὀλίγοι γὰρ δὴ στόλοι] ἀντὶ τοῦ οὐδ' ὀλίγοι. 17. Κατώρθωσαν] ἤγουν ἠρίστευσαν. 18. Τῶν ἐνοικούντων] ἤτοι τῶν ἐνοικούντων ταῖς Συρακούσαις, (ἵνα ἀστυγείτονας τοὺς ἄλλους ἀκούσωμεν Σικελιώτας·) ἢ τοὺς μὲν ἐνοικοῦντας δεκτέον τοὺς Σικελιώτας, ἀστυγείτονας δὲ Καρχηδονίους τε καὶ Ἰταλιώτας. Πάντα γὰρ δὴ ὑπὸ δέους] ὁ γὰρ φόβος ὁμοφρονεῖν ἀναγκάζει καὶ τοὺς στασιάζοντας.

1. μάλιστα K.
4. καὶ μὴ καταφρ. L.
5. ἐπιστήσαντες Q.
12. ἢ] εἰ g.
13. ἀπώσομεν G.K. μὴ δὴ c.g.
14. προσδέχονται K.
ἔργων F.L.O.Q.c.f.g.k.
16. δὴ] ἤδη K.
μεγάλοι om. A.B.h.
18. γὰρ ὑπὸ A.B.E.F.H.K.L. N.O.P.c.d.e.g.h.i.k. vulgo γὰρ δὴ ὑπό.

" ὑπὸ θεοὺς ξυνίσταται), ἤν τε δι' ἀπορίαν τῶν ἐπιτηδεί-
" ων ἐν ἀλλοτρίᾳ γῇ σφαλῶσι, τοῖς ἐπιβουλευθεῖσιν ὄνο-
" μα, κἂν περὶ σφίσιν αὐτοῖς τὰ πλείω πταίωσιν, ὅμως
" καταλείπουσιν. ὅπερ καὶ Ἀθηναῖοι αὐτοὶ οὗτοι, τοῦ
5 " Μήδου παρὰ λόγον πολλὰ σφαλέντος, ἐπὶ τῷ ὀνόματι
" ὡς ἐπ' Ἀθήνας ἥξει ηὐξήθησαν, καὶ ἡμῖν οὐκ ἀνέλπι-
" στον τὸ τοιοῦτο ξυμβῆναι. * θαρσοῦντες οὖν τά τε αὐ- 34.
" τοῦ παρασκευαζώμεθα, καὶ ἐς τοὺς Σικελοὺς πέμ-
" ποντες τοὺς μὲν μᾶλλον βεβαιωσώμεθα, τοῖς δὲ φι-
10 " λίαν καὶ ξυμμαχίαν πειρώμεθα ποιεῖσθαι, ἔς τε τὴν
" ἄλλην Σικελίαν πέμπωμεν πρέσβεις, δηλοῦντες ὡς
" κοινὸς ὁ κίνδυνος, καὶ ἐς τὴν Ἰταλίαν, ὅπως ἢ ξυμμα-
" χίαν ποιώμεθα ἡμῖν ἢ μὴ δέχωνται Ἀθηναίους. δοκεῖ
" δέ μοι καὶ ἐς Καρχηδόνα ἄμεινον εἶναι πέμψαι. οὐ
15 " γὰρ ἀνέλπιστον αὐτοῖς, ἀλλ' ἀεὶ διὰ φόβου εἰσὶ μή

1. Ἤν τε δι' ἀπορίαν] ἂν ἄρα (φησί) δι' ἀπορίαν τῶν ἐπιτηδείων περὶ αὐτοὺς σφαλῶσι, δόξαν ἡμῖν προσθήσουσιν ὡς ὑφ' ἡμῶν νενικημένοι. Τῶν ἐπιτηδείων] τῶν τροφίμων. 4. Ὅπερ καὶ Ἀθηναῖοι] τρία πραγματεύεται διὰ τούτων· ἓν μέν, ἐν ἐλπίσι ποιῆσαι τοὺς Συρακουσίους τῆς νίκης, ὡς σφαλησομένων τῶν Ἀθηναίων περὶ αὐτοὺς, ὅπερ τρίτον ἐσφάλησαν οἱ Μῆδοι στρατεύσαντες ἐπὶ τὴν Ἑλλάδα· ἕτερον δὲ, τὸ μόνους Συρακουσίους, ἂν κατορθώσωσι, δοκεῖν νενικηκέναι τοὺς Ἀθηναίους, ἐπειδὴ ἐπὶ Συρακουσίους ἐκεῖνοι πρηγουμένως στρατεύονται (καὶ γὰρ τὸν Μῆδον ὑπὸ πάντων νενικημένον τῶν Ἑλλήνων ὑπὸ μόνων τῶν Ἀθηναίων ἡττῆσθαι νενομίσθαι διὰ τοῦτο, ὅτι ἐπ' Ἀθήνας λόγος ἦν στρατεύειν αὐτόν). τρίτον δὲ, ἀπαλλάξαι τοῦ φόβου τοὺς Συρακουσίους. ἐπεὶ γὰρ καταπεπλήγασιν ἀκοῇ τοὺς Ἀθηναίους νενικηκότας τὸν Μῆδον, παραδείκνυσιν αὐτοῖς ὅτι ὁ Μῆδος αὐτὸς περὶ ἑαυτὸν πταίσας τὰ πλείω τὴν δόξαν τῆς νίκης ἐκείνοις προσέθηκεν. 5. Παρὰ λόγον] παρὰ δόξαν. 7. Τά τε αὐτοῦ] ἤγουν τὰ ἐν τῷδε τῷ τόπῳ. 9. Βεβαιωσώμεθα] βεβαίους φίλους ποιήσωμεν. 10. Καὶ ξυμμαχίαν πειρώμεθα ποιεῖσθαι] ἐχθροῖς οὖσι δηλονότι. Ἔς τε τὴν ἄλλην Σικελίαν] οὐχὶ πᾶσαν, ἀλλὰ τὴν ὑπὸ τῶν Ἑλλήνων οἰκουμένην. προεῖπε γὰρ περὶ τῶν βαρβάρων. 14. Οὐ γὰρ ἀνέλπιστον αὐτοῖς] ἄφοβον· τὸ κακὸν δηλονότι. προσδοκῶσι γάρ. 15. Διὰ φόβου εἰσὶ] φοβοῦν-

1. ξυνίστανται K.Q.
3. πταίωσιν A.B.F.H.c.g.h.i.
4. καὶ οἱ ἀθηναῖοι Q.
6. εἴη H.e.d.f.i. ἥκει K.
7. τοιοῦτον K.L.N.O.d.e.g.i.k. cum Thoma M. v. βούλομαι.
12. καὶ] ἢ e.
ξυμμαχίαν ποιώμεθα A.B.E.F. H.K.L.M.N.O.P.b.c.e.f.g.i.k. et pr. h. ξυμμαχῶσιν correctus h.

" ποτε Ἀθηναῖοι αὐτοῖς ἐπὶ τὴν πόλιν ἔλθωσιν, ὥστε
" τάχ' ἂν ἴσως νομίσαντες, εἰ τάδε προήσονται, κἂν
" σφεῖς ἐν πόνῳ εἶναι, ἐθελήσειαν ἡμῖν ἤτοι κρύφα γε ἢ
" φανερῶς, ἢ ἐξ ἑνός γέ του τρόπου, ἀμῦναι. δυνατοὶ δέ
" εἰσι μάλιστα τῶν νῦν, βουληθέντες· χρυσὸν γὰρ καὶ
" ἄργυρον πλεῖστον κέκτηνται, ὅθεν ὅ τε πόλεμος καὶ
" τἆλλα εὐπορεῖ. πέμπωμεν δὲ καὶ ἐς τὴν Λακεδαί-
" μονα καὶ ἐς Κόρινθον, δεόμενοι δεῦρο κατὰ τάχος βοη-
" θεῖν καὶ τὸν ἐκεῖ πόλεμον κινεῖν. ὃ δὲ μάλιστα ἐγώ
" τε νομίζω ἐπίκαιρον, ὑμεῖς τε διὰ τὸ ξύνηθες ἥσυχον
" ἥκιστ' ἂν ὀξέως πείθοισθε, ὅμως εἰρήσεται. Σικελιῶται
" γὰρ εἰ θέλοιμεν ξύμπαντες, εἰ δὲ μή, ὅτι πλεῖστοι μεθ'
" ἡμῶν, καθελκύσαντες ἅπαν τὸ ὑπάρχον ναυτικὸν με-
" τὰ δυοῖν μηνοῖν τροφῆς, ἀπαντῆσαι Ἀθηναίοις ἐς Τά-
" ραντα καὶ ἄκραν Ἰαπυγίαν, καὶ δῆλον ποιῆσαι αὐτοῖς
" ὅτι οὐ περὶ τῇ Σικελίᾳ πρότερον ἔσται ὁ ἀγὼν ἢ τοῦ

ται Καρχηδόνιοι μὴ αὐτοῖς ἐπέλθωσιν Ἀθηναῖοι. 2. Τάδε] τὰ καθ' ἡμᾶς. 3. Ἐν πόνῳ] ἐν ταλαιπωρίᾳ. Κρύφα] κρύφα μὲν χρήματα ἡμῖν λάθρα τῶν Ἀθηναίων πέμψαντες. 6. Ὅθεν ὅ τε πόλεμος] καὶ ἐν πολέμῳ δύναμιν ἔχει μεγίστην καὶ ἐν πᾶσι τοῖς ἄλλοις πράγμασι τὰ χρήματα. Καὶ τἆλλα] τὰ κατὰ τοὺς ἀνθρώπους. 10. Διὰ τὸ ξύνηθες ἥσυχον] διὰ τὸ σύνηθες ὑμῖν

ξυμμαχίδα ποιώμεθα Coraes: vulgo ξυμμαχίαν ποιῶνται.
2. τάχε d.
προσήσονται h. προείσονται d. ποιήσονται g.
κἂν K.h. vulgo καὶ ἄν.
3. κρύφα ἢ L.O.
4. του] που K.
5. Χρυσὸν γὰρ καὶ ἄργυρον πλεῖστον κέκτηνται] Aristides περὶ πολιτικοῦ λόγου cap. 1. in fine hoc inter exempla σεμνότητος λόγου ponit. Σεμνότητος δὲ τοῖς ἐν γένει μᾶλλον ἂν ὀνόμασι χρῆσθαι· ἐν γένει δὲ λέγω, χρυσὸς, ἄργυρος. Et paullo post: Λέγει δὲ ὁ Ἑρμοκράτης περὶ τῶν Καρχηδονίων, χρυσὸν γὰρ καὶ ἄργυρον πλεῖστον ἔχουσιν· ἀντὶ τοῦ πλουσιώτατοι γάρ εἰσιν. ἢ ἑτέρως μεταβαλών, πλούσιοι γάρ εἰσιν. Ἔχουσιν e memoria scripsit, quod in Thucydide est κέκτηνται. Dux.
7. πέμπομεν Q.f.k.
8. ἐς τὴν κόρινθον d.i.
δεῦρο om. K.
9. ἐγὼ νομίζω g.
10. ὑμεῖς δὲ L.f.
12. θέλομεν g.
13. μεθελκύσαντες g.
προὐπάρχον i.
14. τάραντων g.
15. ἄκραν] ἄλλην d.i.
16. πρῶτον e.
τὸ i.

" ἐκείνους περαιωθῆναι τὸν Ἰόνιον, μάλιστ' ἂν αὐτοὺς ἐκ-
" πλήξαιμεν, καὶ ἐς λογισμὸν καταστήσαιμεν ὅτι ὁρμώ-
" μεθα μὲν ἐκ φιλίας χώρας φύλακες (ὑποδέχεται γὰρ
" ἡμᾶς Τάρας), τὸ δὲ πέλαγος αὐτοῖς πολὺ περαιοῦσθαι
" μετὰ πάσης τῆς παρασκευῆς, χαλεπὸν δὲ διὰ πλοῦ
" μῆκος ἐν τάξει μεῖναι, καὶ ἡμῖν ἂν εὐεπίθετος εἴη, βρα-
" δεῖά τε καὶ κατὰ λόγον προσπίπτουσα. εἰ δ' αὖ τῷ
" ταχυναυτοῦντι ἀθρωοτέρῳ κουφίσαντες προσβάλοιεν, εἰ
" μὲν κώπαις χρήσαιντο, ἐπιθείμεθ' ἂν κεκμηκόσιν, εἰ
" δὲ μὴ δοκοίη, ἔστι καὶ ὑποχωρῆσαι ἡμῖν ἐς Τάραντα.
" οἱ δὲ μετ' ὀλίγων ἐφοδίων ὡς ἐπὶ ναυμαχίᾳ περαιω-
" θέντες ἀπορεῖεν ἂν κατὰ χωρία ἔρημα, καὶ ἢ μένοιτες
" πολιορκοῖντο ἄν, ἢ πειρώμενοι παραπλεῖν τήν τε ἄλλην
" παρασκευὴν ἀπολίποιεν ἂν, καὶ τὰ τῶν πόλεων οὐκ
" ἂν βέβαια ἔχοντες, εἰ ὑποδέξοιντο, ἀθυμοῖεν. ὥστε ἕ-

εἶναι τὸ ἡσυχάζειν. 2. Καὶ ἐς λογισμὸν καταστήσαιμεν] καὶ ποιήσαιμεν αὐτοὺς ἐν φρονήσει καὶ διαλογισμῷ γενέσθαι. 3. Χώρας φύλακες] λείπει τῆς Σικελίας. 6. Εὐεπίθετος εἴη] εὐεπιχείρητος ἡμῖν ἔσται ἡ δύναμις αὐτῶν, βραδέως τε πλέουσα διὰ τὸν ἐν τῷ πελάγει κάματον, καὶ οὐκ ἀθρόα. 8. Ἀθρωτέρῳ κουφίσαντες] ἤτοι κοῦφοι ὄντες, ἢ καταλιπόντες ἐπίσω τὴν παρασκευήν. 9. Εἰ δὲ μὴ δοκοίη] προσβαλεῖν δηλονότι. 11. Περαιωθέντες] εἰς τὸν Τάραντα δηλονότι. 12. Ἀπορεῖεν ἄν] εἰς ἀπορίαν καταστήσωσι τῶν ἐπιτηδείων. 13. Παραπλεῖν] τὸν Τάραντα δηλονότι. 14. Καὶ τὰ τῶν πόλεων] καὶ, οὐκ εἰδότες βεβαίως, εἰ αἱ πόλεις ὑποδέξωνται αὐτοὺς, ἀθυ-

2. ὁρμώμεθα E.
3. γὰρ] δὲ d.
4. ὑμᾶς A.B.h.
περαιοῦται K.
6. μεῖναι] εἶναι K.L.O.P.e.f.k.
εὐεπιθέτους A.B.
Εὐεπίθετος] Εὔκολος εἰς ἐπίθεσιν, ἤτοι εὐεπιχείρητος, exponit Thom. Magister. Dux.
βραχεῖά A.B.E.F.Q.c.g.h.
7. κατ' ὀλίγων margo N.
προπίπτουσα k.
8. ταχυνοῦντι P.k. ταχυναυτοῦντί E.
προσβάλλοιεν L.O.d.k.
9. χρήσοιντο e.
ἐπιθείμεθ' L.O.P.d. ἐπιθοίμεθ' E. vulgo ἐπιθοίμεθ'.
11. ναυμαχίαν L.O.k.
14. ἀπολίποιεν A.B.E.F.H.Q.g.h. vulgo ἀπολείποιεν.
πόλεων] πολεμίων Q.
15. εἰ μὴ ὑποδέξοιντο L.O.P.Q. ἀθυμοῖεν ἄν Q.

" γωγε τούτῳ τῷ λογισμῷ ἡγοῦμαι ἀποκλειομένους αὐ-
" τοὺς οὐδ' ἂν ἀπᾶραι ἀπὸ Κερκύρας, ἀλλ' ἢ διαβου-
" λευσαμένους καὶ κατασκοπαῖς χρωμένους, ὁπόσοι τ'
" ἐσμὲν καὶ ἐν ᾧ χωρίῳ, ἐξωσθῆναι ἂν τῇ ὥρᾳ ἐς χειμῶ-
" να, ἢ καταπλαγέντας τῷ ἀδοκήτῳ καταλῦσαι ἂν τὸν
" πλοῦν, ἄλλως τε καὶ τοῦ ἐμπειροτάτου τῶν στρατη-
" γῶν, ὡς ἐγὼ ἀκούω, ἄκοντος ἡγουμένου καὶ ἀσμένου
" ἂν πρόφασιν λαβόντος, εἴ τι ἀξιόχρεων ἀφ' ἡμῶν ὀφ-
" θείη. ἀγγελλοίμεθα δ' ἂν, εὖ οἶδ' ὅτι, ἐπὶ τὸ πλεῖον·
" τῶν δ' ἀνθρώπων πρὸς τὰ λεγόμενα καὶ αἱ γνῶμαι
" ἵστανται, καὶ τοὺς προεπιχειροῦντας, ἢ τοῖς γε ἐπι-
" χειροῦσι προδηλοῦντας ὅτι ἀμυνοῦνται, μᾶλλον πεφό-
" βηνται, ἰσοκινδύνους ἡγούμενοι. ὅπερ ἂν νῦν Ἀθηναῖοι
" πάθοιεν. ἐπέρχονται γὰρ ἡμῖν ὡς οὐκ ἀμυνουμένοις,
" δικαίως κατεγνωκότες, ὅτι αὐτοὺς οὐ μετὰ Λακεδαι-
" μονίων ἐφθείρομεν· εἰ δ' ἴδοιεν παρὰ γνώμην τολμήσαν-
" τας, τῷ ἀδοκήτῳ μᾶλλον ἂν καταπλαγεῖεν ἢ τῇ ἀπὸ
" τοῦ ἀληθοῦς δυνάμει. πείθεσθε οὖν, μάλιστα μὲν ταῦτα
" τολμήσαντες, εἰ δὲ μή, ὅτι τάχιστα τἆλλα ἐς τὸν πό-

μοῖεν ἄν. 4. Ἐξωσθῆναι ἂν] ἐκπεσεῖσθαι τὸν καιρὸν τοῦ πλοῦ εἰς χειμῶ-
νας. 6. Τοῦ ἐμπειροτάτου τῶν στρατηγῶν] τὸν Νικίαν λέγει. 8. Ἀξιό-
χρεων] ἀξιόμαχον, βέβαιον, πιστὸν εἰς ἀξιομαχίαν. 13. Ἰσοκινδύνους ἡγού-
μενοι] ἤτοι ἐν ὁμοίῳ κινδύνῳ καταστήσαντας αὐτούς, ἢ Ἰσοπαλεῖς. 15. Δι-
καίως] τὸ δικαίως δύναται μὲν καὶ πρὸς τὸ ἐπέρχονται λαμβάνεσθαι, δικαίως
ἐπέρχονται· δύναται δὲ καὶ πρὸς τὸ κατεγνωκότες. 17. Μᾶλλον ἂν] μᾶλ-
λον ἂν καταπλαγεῖεν τῷ ἀπροσδοκήτους ἡμᾶς αὐτοῖς ἀντιτάξασθαι, ἅπερ τῇ
δυνάμει ἡμῶν. 18. Ταῦτα] τὸ ἀντεξορμῆσαι ἐπὶ τοὺς Ἀθηναίους.

2. οὐκ L.
βουλευσαμένους L.
3. χρησαμένους e.
8. ἀφ'] παρ' d.i.
9. ἀγγελλοίμεθα A.B.E.F.H.c. vulgo ἀγγελοίμεθα.
πλεῖστον L.
10. λεγόμενα αἱ f.
12. προσδηλοῦντας f.
ἀμύνονται A.B.F.H.c.g.h.
13. ὅσπερ B.h.
νῦν οἱ ἀθηναῖοι K.
14. ἀμυνομένους ἔργων k.
16. τολμήσαντες k.

" λεμον ἑτοιμάζειν, καὶ παραστῆναι παντὶ τὸ μὲν κατα-
" φρονεῖν τοὺς ἐπιόντας ἐν τῶν ἔργων τῇ ἀλκῇ δείκνυσθαι,
" τὸ δ' ἤδη τὰς μετὰ φόβου παρασκευὰς ἀσφαλεστά-
" τας νομίσαντας ὡς ἐπὶ κινδύνου πράσσειν χρησιμώτατον
" ἂν ξυμβῆναι. οἱ δὲ ἄνδρες καὶ ἐπέρχονται καὶ ἐν πλῷ,
" εὖ οἶδ' ὅτι, ἤδη εἰσὶ, καὶ ὅσον οὔπω πάρεισιν."

Καὶ ὁ μὲν Ἑρμοκράτης τοσαῦτα εἶπε. τῶν δὲ Συρακο- 35.
σίων ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν, οἱ μὲν ὡς Huic orationi pauci fidem habebant, aliis rem fictam, aliis, etiam si vera esset,
οὐδενὶ ἂν τρόπῳ ἔλθοιεν οἱ Ἀθηναῖοι, οὐδ' ἀληθῆ ἐστὶν ἃ λέ-

1. Καὶ παραστῆναι παντὶ] δόξαν εἶναι παντὶ ἀνθρώπῳ. Τὸ μὲν καταφρονεῖν τοὺς ἐπιόντας] δεῖ τοὺς καταφρονοῦντας τῶν ἐπιόντων ἐν αὐτῷ τῷ πολέμῳ καὶ τῇ κατ' αὐτὸν ἀνδρείᾳ φαίνεσθαι καταφρονοῦντας τῶν ἐναντίων. ἔργων γὰρ κἀνταῦθα καὶ πολλαχοῦ τὸν πόλεμον λέγει. 3. Τὸ δ' ἤδη] τὸ δὲ, ὡς φο-

1. Καὶ παραστῆναι παντὶ] Quidam MSS. παραστήτω. Ita infra cap. 68. παραστήτω δὲ τοῖς καὶ τόδε. Sed παραστῆναι potest pendere a πείθεσθε. πείθεσθε ἑτοιμάζειν, καὶ παραστῆναι, *auscultate* mihi in eo, *ut paretis, et* quisque sibi *persuadeat*, vel, *in animum inducat*. Cui hoc non placet, is cum *Porto* supplere potest δεῖ. Παραστῆναι hac significatione sæpe dicit Thucydides. Vid. IV. 61. et 95. VI. 78. Duk.

παραστήτω L.O.P.Q. περιστῆναι h.

2. ἐν] ἐκ B.Q.e.f. cum Thoma M. v. καταφρονῶ.

τῇ ἀλκῇ τῶν ἔργων L.O.P.k.

3. δ' ἤδη] δὴ E.

4. ἐπὶ κινδύνου A.B.H.g.h.

χρησιμώτατον A.B.E.F.H.K.L.N.O.P.c.f.g.h.i.k. vulgo χρησιμώτατα.

6. ἤδη om. g.

7. Τῶν δὲ—ἦσαν] Dionys. Halic. tom. II. pag. 135. qui structuram nostro ἐξηλλαγμένην exprobrat. At ipse alicubi censor, adnotante Sylburgio, extra communem loquendi formulam latius evagatur hunc in modum: ἐώρα τὸ στρατόπεδον ΑΓΑΝΑΚΤΟΥΝΤΑΣ, pro τοὺς στρατιώτας. Wass.

9. οἱ om. E.h.

οὐδ'] οἱ δ' A.B.K.L.O.P.d.e.f.h.i.k. et, correctus fortasse, E.

Οὐδ' ἀληθῆ ἐστιν] Neque scriptura MSStorum et Edd. in quibus est, οἱ δ' ἀληθῆ, neque prior conjectura Porti, οἱ δὲ, ὡς ἀληθῆ, recipi potest. Nam de his, qui fidem Hermocrati habebant, deinde agit Thucydides, his verbis: ὀλίγον δ' ἦν πιστεῦον τῷ Ἑρμοκράτει. Recte habebit locus, si ita distinguatur, ut volebat Portus, οὐδ' ἀληθῆ ἐστιν ἃ λέγει. In illo, quod sequitur, τοῖς δὲ, major difficultas est. Est enim plane durum, nominativis, οἱ μὲν, et ἄλλοι δὲ, interponi dativum τοῖς δέ. Sed, quia primo nominativo οἱ μὲν non adponitur verbum, sed supplendum relinquitur, hic quoque orationem

set, non periculosam sibi existimantibus. Et prodiit vir summæ apud populum auctoritatis, Athenagoras, qui

γει, τοῖς δὲ, εἰ καὶ ἔλθοιεν, τί ἂν δρώσειαν αὐτοὺς ὅ τι οὐκ ἂν μεῖζον ἀντιπάθοιεν; ἄλλοι δὲ καὶ πάνυ καταφρονοῦντες ἐς γέλωτα ἔτρεπον τὸ πρᾶγμα. ὀλίγον δ' ἦν τὸ πιστεῦον τῷ Ἑρμοκράτει καὶ φοβούμενον τὸ μέλλον. παρελθὼν δ' αὐτοῖς Ἀθηναγόρας, ὃς δήμου τε προστάτης ἦν καὶ ἐν τῷ παρόντι πιθανώτατος τοῖς πολλοῖς, ἔλεγε τοιάδε.

36—40. turbulenta oratione suspicionem movebat in nuntii istius auctores, quos, suis rebus metuentes, populo terrorem injicere, cum nihil timen-

"ΤΟΥΤΣ. μὲν Ἀθηναίους ὅστις μὴ βούλεται οὕτω "κακῶς φρονῆσαι, καὶ ὑποχειρίους ἡμῖν γενέσθαι ἐνθάδε "ἐλθόντας, ἢ δειλός ἐστιν ἢ τῇ πόλει οὐκ εὔνους· τοὺς δ' "ἀγγέλλοντας τὰ τοιαῦτα καὶ περιφόβους ὑμᾶς ποιοῦν- "τας τῆς μὲν τόλμης οὐ θαυμάζω, τῆς δὲ ἀξυνεσίας, εἰ "μὴ οἴονται ἔνδηλοι εἶναι. οἱ γὰρ δεδιότες ἰδίᾳ τι βού- "λονται τὴν πόλιν ἐς ἔκπληξιν καθιστάναι, ὅπως τῷ "κοινῷ φόβῳ τὸ σφέτερον ἐπηλυγάζωνται. καὶ νῦν αὖ-

βουμένους κίνδυνον, ἀσφαλέστατα παρασκευάζεσθαι χρησιμώτατον. 1. Ὅ, τι οὐκ ἂν μεῖζον ἀντιπάθοιεν] μεῖζονα ἀντιπαθεῖν τοὺς Ἀθηναίους ἢ δρᾶσαι. 6. Πιθανώτατος τοῖς πολλοῖς] δυνάμενος πεῖθειν τοὺς πολλούς. 8. Κακῶς φρονῆσαι] μωροὺς εἶναι. 11. Τῆς δὲ ἀξυνεσίας] ἕνεκα θαυμάζω δηλωτι. 13. Ἐς ἔκπληξιν καθιστάναι] ἤγουν, εἰς φόβον ἐμβαλεῖν. 14. Ἐπηλυγάζωνται] τὸ ἐπιλυγάζωνται ἐπικρίπτανται. ὅπως (φησί) κοινῇ φοβήσαντες ἅπαντας.

potius apto aliquo ad sententiam verbo explendam, quam scripturam receptam mutandam, arbitror. Duk.

1. καὶ] τὸ g.
6. πολλοῖς] ἄλλοις F.
8. καλῶς e.
10. ἡμᾶς N.
14. ἐπιλυγάζονται e.

Ἐπηλυγάζωνται] Ita Suidas, Aristoteles, Laërtius, Synesius; et Mœris ἐπηλυγαζόμενος. Glossæ vero, ἐπιλυγάζεσθαι, obnubilare: ab ἠλιγή. vid. Hesychium in voce, et apud Atticistam lege, ἠλιγὴ γὰρ ἡ σκιά. Erotian. locum Thucydidis laudans, male τὸν σφέτερον legit, sed corrigit se in τὰ ἐπιμήνια, et, pro ἐμπεδάζονται, inquit, Hippocrates utitur. Confer eundem in λελυγισμένα. Lycophr. v. 351. εἰς ἀνάρσιον στέγην Εἰρκτῆς ἁλιβδήσασα ΛΤΓΑΙΑΣ δέμας, tenebricosi. Wass. Ἐπηλυγασάμενος etiam e Platone adfert Eustathius in Iliad. κ'. p. 809. ac λύγην a veteribus σκιάν, et, adsumto η, ἠλύγην dici, tradit. Auctor Etymolog. M. in ἐπηλυγάζονται, λύγην καλοῦσιν οἱ Ἀττικοὶ τὴν σκιάν, ἢ τὴν σκοτίαν. Eustathius et Scholiastes parvus Homeri in Iliad. η'. v. 433. πρὸς τὴν λύγην, ὅ ἐστι σκοτίαν. Scholiastes Apollon. Rhod. II. 1123. καὶ τὸν ἑαυτὸν λυκάβαντα, οἱονεὶ

" ται αἱ ἀγγελίαι τοῦτο δύνανται· οὐκ ἀπὸ ταὐτομάτου, dum esset, et principatum in republica affectare, dicebat: Quibus, ne democratia, bonum omnibus salutare, everteretur, resistendum esse docebat.
" ἐκ δὲ ἀνδρῶν, οἵπερ ἀεὶ τάδε κινοῦσι, ξύγκεινται. ὑμεῖς
" δὲ ἢν εὖ βουλεύησθε, οὐκ ἐξ ὧν οὗτοι ἀγγέλλουσι σκο-
" ποῦντες λογιεῖσθε τὰ εἰκότα, ἀλλ' ἐξ ὧν ἂν ἄνθρωποι
" δεινοὶ καὶ πολλῶν ἔμπειροι, ὥσπερ ἐγὼ Ἀθηναίους
" ἀξιῶ, δράσειαν. οὐ γὰρ αὐτοὺς εἰκὸς Πελοποννησίους τε
" ὑπολιπόντας, καὶ τὸν ἐκεῖ πόλεμον μήπω βεβαίως
" καταλελυμένους, ἐπ' ἄλλον πόλεμον οὐκ ἐλάσσω εἰκόν-
" τας ἐλθεῖν, ἐπεὶ ἔγωγε ἀγαπᾶν οἶμαι αὐτοὺς ὅτι αὐχ
" ἡμεῖς ἐπ' ἐκείνους ἐρχόμεθα, πόλεις τοσαῦται καὶ οὕτω
" μεγάλαι. * εἰ δὲ δή, ὥσπερ λέγονται, ἔλθοιεν, ἱκα- 37.
" νοτέραν ἡγοῦμαι Σικελίαν Πελοποννήσου διαπολεμῆ-
" σαι, ὅσῳ κατὰ πάντα ἄμεινον ἐξήρτυται, τὴν δὲ ἡμετέ-
" ραν πόλιν αὐτὴν τῆς νῦν στρατιᾶς, ὡς φασιν, ἐπιούσης,
" καὶ εἰ δὶς τοσαύτη ἔλθοι, πολὺ κρείσσω εἶναι. οἷς γ'
" ἐπίσταμαι, οὔθ' ἵππους ἀκολουθήσοντας, οὐδ' αὐτόθεν
" πορισθησομένους, εἰ μὴ ὀλίγους τινὰς παρ' Ἐγεσταίων,

τὸν ἴδιον φόβον ἀποκρύψωνται. 1. Ἀπὸ ταὐτομάτου] ἐξ ἀλόγου συμπτώματος. 2. Ξύγκεινται] ἀπὸ κοινοῦ τὸ ἀγγελίαι. 4. Ἀλλ' ἐξ ὧν ἂν ἄνθρωποι] ἀλλ' ἐξ ὧν ἂν δράσειαν ἄνθρωποι δεινοί. 5. Δεινοὶ] ἀντὶ τοῦ συνετοὶ, φρόνιμοι. 6. Ἀξιῶ] ἀξιοῦς ἡγοῦμαι εἶναι. 8. Καταλελυμένους] ἀντὶ τοῦ καταλελυκότας. 12. Διαπολεμῆσαι] διενεγκεῖν τὸν πόλεμον. δηλονότι περαγενέσθαι διὰ πολέμου. 13. Ἄμεινον] τῆς Πελοποννήσου δηλονότι. 16, Αὐτόθεν] ἐκ τῆς Σικελίας.

λυγάβαντα, ἐκεὶ μετὰ λύγης βαίνει. Et Tzetzes ad Lycophr. l. d. λύγη γὰρ ἡ νύξ. Unde λυγαῖος, *obscurus*, apud Poëtas. Apollon. Rhod. l. d. et I. 218. Euripid. Iphigen. in Taur. v. 110. ubi vid. Barnes. et ad ejusdem Cyclop. v. 676. Aristotelem non solum ἐπηλυγάζεσθαι, sed etiam ἐπηλυγίζεσθαι, dicere, ostendit Budæus in Commentar. Ling. Gr. pag. 346. et ex eo Stephanus. Scholiastes Cass. habet ἐπιλυγάζονται. Duk.

1. ἐπαγγελίαι h.
ἀπὸ] ἐκ h.
2. τάδε] τὰ ἐνθάδε K.
σύγκεινται A.B.E.F.e.h. σύγκεινται c.d.f.g.k.
3. εἰ εὖ βουλέσθε Q.
4. ἂν om. H.
6. τε om. g.
13. ἐξήρτηται P.Q.
15. ἔλθῃ P.
17. παρ' om. h.

" οὔθ' ὁπλίτας ἰσοπλήθεις τοῖς ἡμετέροις, ἐπὶ νεῶν γε
" ἐλθόντας. μέγα γὰρ τὸ καὶ αὐταῖς ταῖς ναυσὶ κού-
" φαις τοσοῦτον πλοῦν δεῦρο κομισθῆναι, τήν τε ἄλλην
" παρασκευὴν ὅσην δεῖ ἐπὶ πόλιν τοσήνδε πορισθῆναι, οὐκ
" ὀλίγην οὖσαν. ὥστε, παρὰ τοσοῦτον γιγνώσκω, μόλις
" ἄν μοι δοκοῦσιν, εἰ πόλιν ἑτέραν τοσαύτην, ὅσαι Συρά-
" κουσαί εἰσιν, ἔλθοιεν ἔχοντες, καὶ ὅμορον οἰκήσαντες τὸν
" πόλεμον ποιοῖντο, οὐκ ἂν παντάπασι διαφθαρῆναι,
" ἤ πού γε δὴ ἐν πάσῃ πολεμίᾳ Σικελίᾳ. ζυστήσεται
" γὰρ στρατοπέδῳ τε ἐκ νεῶν ἱδρυθέντι, καὶ ἐκ σκηνιδίων
" καὶ ἀναγκαίας παρασκευῆς οὐκ ἐπὶ πολὺ ὑπὸ τῶν
" ἡμετέρων ἱππέων ἐξιόντες. τὸ δὲ ξύμπαν οὐδ' ἂν κρα-
" τῆσαι αὐτοὺς τῆς γῆς ἡγοῦμαι· τοσούτῳ τὴν ἡμετέραν
38. " παρασκευὴν κρείσσω νομίζω. * Ἀλλὰ ταῦτα, ὥσπερ
" ἐγὼ λέγω, οἵ τε Ἀθηναῖοι γιγνώσκοντες, τὰ σφέτερα
" αὐτῶν, εὖ οἶδ' ὅτι, σώζουσι, καὶ ἐνθένδε ἄνδρες οὔτε ὄν-
" τα οὔτε ἂν γενόμενα λογοποιοῦσιν. οὓς ἐγὼ οὐ νῦν

5. Ὥστε, παρὰ τοσοῦτον γιγνώσκω] τὸ μὲν " παρὰ τοσοῦτον γιγνώσκω" τοσοῦτον διαφέρομαι τοῖς τὰ ἕτερα διαγγέλλουσι· τὸ δὲ ὥστε ὑπερβιβάσας χρὴ, ἵνα μὴ σολοικοφανὲς ᾖ τὸ σχῆμα, καὶ οὕτω συντάξαι· παρὰ τοσοῦτον γιγνώσκω, ὥστε μόγις ἄν μοι δοκοῦσιν οὐκ ἂν παντάπασι διαφθαρῆναι οἱ Ἀθηναῖοι. 9. Ἤπού γε δὴ ἐν πάσῃ πολεμίᾳ Σικελίᾳ γε] μήτοι γε ἐν Σικελίᾳ πάσῃ, πολεμίᾳ καθεστώσῃ. 10. Στρατοπέδῳ τε] λείπει χρώμενοι. 11. Καὶ ἀναγκαίας παρασκευῆς] οὐ τῆς ἐκ περιουσίας, ἀλλὰ τῆς οὐδὲ αὐτάρκους. Οὐκ ἐπὶ πολὺ] εἰργόμενοι τῆς γῆς ὑπὸ τῶν ἡμετέρων ἱππέων. 12. Οὐδ' ἂν κρατῆσαι αὐτοὺς τῆς γῆς ἡγοῦμαι] οὐδ' ἂν ἀναβῆναι αὐτοὺς εἰς τὴν γῆν νομίζω δυνήσεσθαι. 16. Ἐνθένδε] ἀπὸ τῆς πόλεως. 17. Οὔτε ἂν γενόμενα] οὐχ οἷά τε γενέσθαι. Λογοποιοῦσι] ψευδέσι λόγοις συν-

1. οὔθ'] Libri οὐδ'.
ἰσοπλήθεις A. vulgo ἰσοπληθεῖς.
4. ὅσαν B.
δεῖ ἐπὶ] διέπει A.B.e. δὴ ἐπὶ f.
6. μοι om. d.
τοσαύτην ἑτέραν g.
7. ὅμορον P.
9. δὴ om. i.
ζυστήσονται d.
10. ἱδρυνθέντι E.
σκηνίδων K.
12. ἐξιόντων L.O.P.
οὐκ d.
14. ὅπερ c.
16. ὦ ἄνδρες g.

" πρῶτον, ἀλλ' ἀεὶ ἐπίσταμαι, ἤτοι λόγοις γε τοιοῖσδε,
" καὶ ἔτι τούτων κακουργοτέροις, ἢ ἔργοις βουλομένους
" καταπλήξαντας τὸ ὑμέτερον πλῆθος αὐτοὺς τῆς πόλεως
" ἄρχειν. καὶ δέδοικα μέντοι μήποτε πολλὰ πειρῶντες
5 " καὶ κατορθώσωσιν, ἡμεῖς δὲ κακοὶ, πρὶν ἐν τῷ παθεῖν
" ὦμεν, προφυλάξασθαί τε καὶ αἰσθόμενοι ἐπεξελθεῖν.
" τοιγάρτοι δι' αὐτὰ ἡ πόλις ἡμῶν ὀλιγάκις μὲν ἡσυχά-
" ζει, στάσεις δὲ πολλὰς καὶ ἀγῶνας οὐ πρὸς τοὺς πο-
" λεμίους πλείονας ἢ πρὸς αὑτὴν ἀναιρεῖται, τυραννίδας
10 " δὲ ἔστιν ὅτε καὶ δυναστείας ἀδίκους. ὧν ἐγὼ πειράσο-
" μαι, ἤν γε ὑμεῖς ἐθέλητε ἕπεσθαι, μήποτε ἐφ' ἡμῶν τι
" περιιδεῖν γενέσθαι, ὑμᾶς μὲν τοὺς πολλοὺς πείθων, τοὺς
" δὲ τὰ τοιαῦτα μηχανωμένους κολάζων, μὴ μόνον αὐτο-
" φώρους (χαλεπὸν γὰρ ἐπιτυγχάνειν) ἀλλὰ καὶ ὧν
15 " βούλονται μὲν δύνανται δ' οὔ (τὸν γὰρ ἐχθρὸν οὐχ ὧν
" δρᾷ μόνον ἀλλὰ καὶ τῆς διανοίας προαμύνεσθαι χρὴ,
" εἴπερ καὶ μὴ προφυλαξάμενός τις προπείσεται), τοὺς
" δ' αὖ ὀλίγους τὰ μὲν ἐλέγχων, τὰ δὲ φυλάσσων, τὰ

τιθέασι. 2. Κακουργοτέροις] πονηροτέροις. 5. Ἡμεῖς δὲ κακοὶ] ἡμεῖς δὲ διὰ κακίαν ἀδύνατοι ἐσμεν καὶ προαισθέσθαι τοὺς πονηροὺς καὶ αἰσθανόμενοι ἐπεξελθεῖν αὐτοῖς. 10. Ἔστιν ὅτε καὶ δυναστείας ἀδίκους] ἀπὸ κοινοῦ τὸ ἀναιρεῖται. 13. Τὰ τοιαῦτα μηχανωμένους] ἤγουν τοὺς κακούργους. Μὴ μόνον αὐτοφώρους] ἐπ' αὐτοφώρῳ λαμβάνων, χαλεπὸν γὰρ ἐπ' αὐτοφώρῳ ἔχειν αὐτούς. 14. Καὶ ὧν βούλονται μὲν] ἀπὸ κοινοῦ τὸ κολάζων. Ὧν] ἕνεκα δηλονότι. 17. Εἴπερ καὶ μὴ προφυλαξάμενός τις προπείσεται] εἴπερ καὶ πάσχει τις κακῶς, πρὶν αἴσθηται ἄν. 18. Ἐλέγχων] ἤγουν φανε-

1. ἤτοι] εἴτι Q.
γε om. Q.d. σε c.
4. μήποτε] μήτε i.
5. post ὦμεν interpunxi cum E.
6. φυλάξασθαί g.
αἰσθανόμενοι L.O.P.k.
9. αὐτὴν i.
11. γε] τε K.
ἕσεσθαι H.
ἀφ' g.
13. μόνως L.P.
αὐτοφόρους A.
16. προσαμύνεσθαι M.
17. προπήσεται : προσπείσεται g. Dukeri, προσπεσεῖται g. Gailii.

" δὲ καὶ διδάσκων· μάλιστα γὰρ δοκῶ ἄν μοι οὕτως
" ἀποτρέπειν τῆς κακουργίας. καὶ δῆτα, ὁ πολλάκις
" ἐσκεψάμην, τί καὶ βούλεσθε, ὦ νεώτεροι; πότερον
" ἄρχειν ἤδη; ἀλλ' οὐκ ἔνεστιν. ὁ δὲ νόμος ἐκ τοῦ μὴ
" δύνασθαι ὑμᾶς μᾶλλον ἢ δυναμένους ἐτέθη ἀτιμάζειν.
" ἀλλὰ δὴ μὴ μετὰ πολλῶν ἰσονομεῖσθαι; καὶ πῶς δί-
39. " καιον τοὺς αὐτοὺς μὴ τῶν αὐτῶν ἀξιοῦσθαι; * φήσει
" τις δημοκρατίαν οὔτε ξυνετὸν οὔτ' ἴσον εἶναι, τοὺς δ'
" ἔχοντας τὰ χρήματα καὶ ἄρχειν ἄριστα βελτίστους.
" ἐγὼ δέ φημι πρῶτα μὲν δῆμον ξύμπαν ὀνομάσθαι,
" ὀλιγαρχίαν δὲ μέρος, ἔπειτα φύλακας μὲν ἀρίστους
" εἶναι χρημάτων τοὺς πλουσίους, βουλεῦσαι δ' ἂν βέλ-
" τιστα τοὺς ξυνετούς, κρῖναι δ' ἂν ἀκούσαντας ἄριστα
" τοὺς πολλούς, καὶ ταῦτα ὁμοίως καὶ κατὰ μέρη καὶ
" ξύμπαντα ἐν δημοκρατίᾳ ἰσομοιρεῖν. ὀλιγαρχία δὲ
" τῶν μὲν κινδύνων τοῖς πολλοῖς μεταδίδωσι, τῶν δ'
" ὠφελίμων οὐ πλεονεκτεῖ μόνον, ἀλλὰ καὶ ξύμπαν
" ἀφελομένη ἔχει· ἃ ὑμῶν οἵ τε δυνάμενοι καὶ οἱ νέοι

ρῶς δεικνύων. 3. Ἐσκεψάμην] ἤγουν κατ' ἐμαυτὸν ἐπὶ συνοίας ἔσχον. Τί καὶ βούλεσθε, ὦ νεώτεροι] πρὸς τὸν Ἑρμοκράτην ἀπευθύνει τὸν λόγον. 4. Ὁ δὲ νόμος, ἐκ τοῦ μὴ δύνασθαι] ὁ δὲ νόμος κωλύων ἐτέθη διὰ τὸ μὴ δυνασθαι ὑμᾶς ἄρχειν, μᾶλλον ἤπερ ὡς δυναμένους ἀτιμάζων. λέγει δὲ περὶ τῶν νέων, ὅτι εἴργονται τῆς ἀρχῆς διὰ νόμον οὐκ ἀτιμαζόμενοι, ἀλλὰ κωλυόμενοι διὰ τὴν ἡλικίαν. τουτέστι, τὴν ἀριστοκρατίαν. 6. Ἰσονομεῖσθαι] ἀπὸ κοινοῦ τὸ πολλάκις ἐσκεψάμην, τί καὶ βούλεσθε. 8. Ἴσον] δίκαιον. 11. Μέρος] λείπει τῆς πόλεως. 15. Ἰσομοιρεῖν] ἰσοτιμίας ἀξιοῦνται ἐν δημοκρατίᾳ οἵ τε πλούσιοι καὶ οἱ συνετοί. 17. Ξύμπαν ἀφελομένη ἔχει] τῆς ὠφελείας δηλαότι. Ἃ ὑμῶν οἵ τε δυνάμενοι καὶ οἱ νέοι] ἅπερ ὑμῶν οἵ τε ὀλιγαρ-

2. καὶ om. Q.
4. εὔνομον P.
δὴ om. L.
μὴ om. g.
7. φήσῃ g.
10. Ἐγὼ δὲ—ἀφελομένη ἔχει] Stobæus p. 246. ex concione Alcibiadis, male ibi legit, καὶ κατὰ μέρη, et, τῶν δὲ ὠφελίμων. Wass.
ξύμπαν om. P.
11. ἔπειτα δὲ φύλακας d.i.
12. βεβουλεῦσθαι e.
14. κατὰ] τὰ M. κατὰ τὰ E. F.H.c.f.g.
17. καὶ om. Q.

" προθυμοῦνται, ἀδύνατα ἐν μεγάλῃ πόλει κατασχεῖν.
" ἀλλ' ἔτι καὶ νῦν, ὦ πάντων ἀζυνετώτατοι, εἰ μὴ μαν-
" θάνετε κακὰ συνεύδοντες, ἢ ἀμαθέστατοί ἐστε ὧν ἐγὼ
" οἶδα Ἑλλήνων, ἢ ἀδικώτατοι, εἰ εἰδότες τολμᾶτε.
" * ἀλλ' ἤτοι μαθόντες γε ἢ μεταγνόντες τὸ τῆς πόλεως 40.
" ξύμπασι κοινὸν αὔξετε, ἡγησάμενοι τοῦτο μὲν ἂν καὶ
" ἴσον καὶ πλέον οἱ ἀγαθοὶ ὑμῶν ἥπερ τὸ τῆς πόλεως
" πλῆθος μετασχεῖν, εἰ δ' ἄλλα βουλήσεσθε, καὶ τοῦ
" παντὸς κινδυνεύσας στερηθῆναι· καὶ τῶν τοιῶνδε ἀγ-
" γελιῶν, ὡς πρὸς αἰσθομένους καὶ μὴ ἐπιτρέψοντας,
" ἀπαλλάγητε. ἡ γὰρ πόλις ἥδε, καὶ εἰ ἔρχονται Ἀθη-
" ναῖοι, ἀμυνεῖται αὐτοὺς ἀξίως αὐτῆς, καὶ στρατηγοί
" εἰσιν ἡμῖν, οἳ σκέψονται αὐτά. καὶ εἴ [μή] τι αὐτῶν
" ἀληθές ἐστιν, ὥσπερ οὐκ οἴομαι, οὐ πρὸς τὰς ὑμετέρας
" ἀγγελίας καταπλαγεῖσα καὶ ἑλομένη ὑμᾶς ἄρχοντας
" αὐθαίρετον δουλείαν ἐπιβαλεῖται, αὐτὴ δ' ἐφ' αὐτῆς

χικοὶ καὶ οἱ νέοι προθυμοῦνται πάντα ἔχειν, ἀδυνάτου ὄντος ἐν μεγάλῃ πόλει πάντα τούτους ἔχειν. 7. Καὶ πλέον οἱ ἀγαθοὶ ὑμῶν] οἱ ἀγαθοὶ ὑμῶν ἡγείσθωσαν τοῦτο καὶ ἴσον εἶναι, καὶ πλέον τοῦ ἴσου, τὸ τῶν αὐτῶν μετάσχεῖν, ἂν καὶ πᾶσα ἡ πόλις. Τὸ τῆς πόλεως] τὸ πᾶσι κοινῶς ὠφέλιμον τῆς πόλεως, τοῦτο αὔξετε. 8. Εἰ δ' ἄλλα βουλήσεσθε] εἰ δὲ μειζόνων ἐφίεσθε, πάντων στερηθήσεσθε. 10. Ὡς προαισθομένους] ἀντὶ τοῦ ὡς προαισθησομένων καὶ μὴ ἐπιτρεψόντων ἡμῖν. 13. Εἰ μή τι αὐτῶν] τοῦτο ἀνταποδίδοται πρὸς ἐκεῖνο, ἡ γὰρ πόλις ἥδε, καὶ εἰ ἔρχονται Ἀθηναῖοι, ἀμυνεῖται. καὶ εἰ μή τι αὐτῶν ἀληθές ἐστιν, οὐ διὰ τὰς ὑμετέρας ἀγγελίας αὐθαίρετον δουλείαν

3. κακὰ συνεύδοντες] κατασκεύδοντες O.
5. γε om. L.O.
6. ἂν καὶ ἴσον B.E.F.H.K.L. N.O.Q.c.d.e.g.h.k. vulgo ἐν ἴσον.
9. κινδυνεύσετε L.O.P.
10. πρὸς αἰσθομένους c.g. προσαισθομένους B.E. προαισθομένους H.h. πρὸς αἰσθανομένους F.K. vulgo προαισθανομένους.
ἐπιστρέψοντας A.E. ἐπιτρέποντας d.e.i.k.
11. ἡ] εἰ A.
ἥιδε A.
12. ἀξίους e.k.
13. μή] μέν Q. om. pr. E. post τι ponit recens E. ego δή malim, quod est c. 37. ineunte.
16. ἐπιβαλεῖτε M. ἐπικαλεῖται K.
ἀφ' L.O.P.Q.
αὐτῆς A.B.E.F.K.c.d.h.i. ceteri ἑαυτῆς.
Ἐφ' ἑαυτῆς σκοπεῦσα] Ἀφ' ἑαυτῆς non contemnendum vide-

" σκοποῦσα, τούς τε λόγους ἀφ' ὑμῶν ὡς ἔργα δυνα-
" μένους κρινεῖ, καὶ τὴν ὑπάρχουσαν ἐλευθερίαν οὐχὶ ἐκ
" τοῦ ἀκούειν ἀφαιρεθήσεται, ἐκ δὲ τοῦ ἔρχῳ φυλασσο-
" μένη μὴ ἐπιτρέπειν πειράσεται σώζειν."

41. Hanc sententiarum contentionem tandem unus e prætoribus diremit, in Hermocratis rationem propensior; et professus rerum necessariarum procurationem, utpote minime civitati noxiam, etiamsi

Τοιαῦτα μὲν Ἀθηναγόρας εἶπε. τῶν δὲ στρατηγῶν εἷς ἀναστὰς ἄλλον μὲν οὐδένα ἔτι εἴασε παρελθεῖν, αὐτὸς δὲ πρὸς τὰ παρόντα ἔλεξε τοιάδε. " Διαβολὰς μὲν οὐ
" σῶφρον οὔτε λέγειν τινὰς ἐς ἀλλήλους οὔτε τοὺς ἀκού-
" οντας ἀποδέχεσθαι, πρὸς δὲ τὰ ἐσαγγελλόμενα μᾶλ-
" λον ὁρᾶν, ὅπως εἴς τε ἕκαστος καὶ ἡ ξύμπασα πόλις
" καλῶς τοὺς ἐπιόντας παρασκευασόμεθα ἀμύνεσθαι.
" καὶ ἢν ἄρα μηδὲν δέησῃ, οὐδεμία βλάβη τοῦ τε τὸ
" κοινὸν κοσμηθῆναι καὶ ἵπποις καὶ ὅπλοις καὶ τοῖς ἄλ-
" λοις, οἷς ὁ πολέμος ἀγάλλεται. τὴν δ' ἐπιμέλειαν

ἐλεῖται· τοῦτο γάρ ἐστι τὸ αἱθαίρετον δουλείαν ἐπιβαλεῖται. 1. Ταύς τε λόγους ἀφ' ὑμῶν] ἀπὸ κοινοῦ τὸ, οὐκ οἶμαι. οὐκ οἶμαι γάρ, (φησίν,) ὅτι τοὺς λόγους ὑμῶν ἴσα ἔργοις δύνασθαι ἡ πόλις κρινεῖ. 2. Ὑπάρχουσαν ἐλευθερίαν] οὐχὶ διὰ τὸ ἀκούειν καταπλαγεῖσα ἀπορήσεται. 3. Ἐκ δὲ τοῦ, ἔργῳ φυλασσομένη] τὴν ἐλευθερίαν πειράσεται σώζειν ἐκ τοῦ δι' ἔργων μὴ ἐπιτρέπειν τοῖς ἀφαιρουμένοις αὐτήν. 12. Μηδὲν δέησῃ] μάχης δηλονότι. 14. Οἷς ὁ πολέμος ἀγάλλεται] οἷς χαίρει πόλεμος, ἂν χρῄζει.

tur, i. e. *per sese, non indigens vestris consiliis, neque ea exspectans.* Sic et alibi, ἀφ' ἑαυτοῦ, et ἀφ' ἑαυτῶν facere, dicit, eos, qui suopte consilio, non exspectato aliorum consilio, vel jussu, faciunt. IV. 68. Ξυνέπεσε γὰρ καὶ τὸν τῶν Ἀθηναίων κήρυκα ἀφ' ἑαυτοῦ γνώμης κηρύξαι. Et V. 60. Ἀφ' ἑαυτῶν, καὶ οὐ τοῦ πλήθους κελεύσαντος, εἶπον. Etiam eo facit quod est III. 38. Τὰ μὲν μέλλοντα ἔργα ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες, ὡς δυνατὰ γίγνεσθαι· τὰ δὲ πεπραγμένα ἤδη—ἀπὸ τῶν λόγων καλῶς ἐπιτιμησάντων. Duk.

1. ὡς om. g.
3. ἔργου c.
5. τοιαῦτα μὲν ἀθ. A.B.E.F.H. L.O.P.c.d.f.g.h.i.k. τοιαῦτα μὲν ὁ ἀθ. N. τοιαῦτα δὲ ἀθ. e.
εἷς] τις K.
7. Διαβολὰς — ἀποδέχεσθαι] Stobæus pag. 238. pro ἐς legit πρὸς ἀλλήλους. Wass.
8. ἐς om. K.
9. ὑποδέχεσθαι Q.
ἐσαγγελλόμενα L.O.P.
11. παρασκευασόμεθα A.B.E.K. h.i. παρασκευασώμεθα F.H.L.M. O. b.c.f.g.k. vulgo παρασκευαζώμεθα.
12. τοῦ τε] τοῦτο P.d.i.
13. καὶ ὅπλοις καὶ ἵπποις e.
ἄλλης ἧς H.
Τοῖς ἄλλοις — ἀγάλλεται]

" καὶ ἐξέτασιν αὐτῶν ἡμεῖς ἔξομεν, καὶ τῶν πρὸς τὰς non utilem, con-
" πόλεις διαπομπῶν ἅμα, ἔς τε κατασκοπὴν καὶ ἤν τι cionem di-
" ἄλλο φαίνηται ἐπιτήδειον. τὰ δὲ καὶ ἐπιμεμελήμεθα misit.
" ἤδη, καὶ ὅ τι ἂν αἰσθώμεθα, ἐς ὑμᾶς οἴσομεν." Καὶ
οἱ μὲν Συρακόσιοι, τοσαῦτα εἰπόντος τοῦ στρατηγοῦ, διε-
λύθησαν ἐκ τοῦ ξυλλόγου.

Οἱ δ' Ἀθηναῖοι ἤδη ἐν τῇ Κερκύρᾳ αὐτοί τε καὶ οἱ 42. Interim A-
ξύμμαχοι ἅπαντες ἦσαν· καὶ πρῶτον μὲν ἐπεξέτασιν τοῦ thenienses,
στρατεύματος καὶ ξύνταξιν, ὥσπερ ἔμελλον ὁρμιεῖσθαί classe Cor-
τε καὶ στρατοπεδεύεσθαι, οἱ στρατηγοὶ ἐποιήσαντο, καὶ cyræ recen-
τρία μέρη νείμαντες ἓν ἑκάστῳ ἐκλήρωσαν, ἵνα μήτε ἅμα sita et tri-
πλέοντες ἀπορῶσιν ὕδατος καὶ λιμένων καὶ τῶν ἐπιτη- fariam di-
visa, navi-
busque tri-
bus ad ex-
plorationem
præmissa,

3. Ἐπιτήδειον] ἁρμόδιον. 4. Ἐς ὑμᾶς οἴσομεν] ἤγουν μηνύσομεν ὑμῖν δη-

Citat Thom. Magister in ἀγάλλω. Wass. Thomas dicit, melius esse ἀγάλλεσθαι, quam λαμπρύνεσθαι. Sane ἀγάλλεσθαι sæpe est *gaudere, se efferre* et *jactare* aliqua re. Thucydides III. 62. Καὶ τούτῳ μάλιστα αὐτοί τε ἀγάλλονται. IV. 95. Ἣν (πόλιν) ἕκαστος πατρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν ἀγάλλεται. Aristophanes Pace V. 1206. ex Archilocho, Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται. Aristænetus I. Ep. 15. Οἷς ὑπερφυῶς ἀγάλλεσθαι τὸ θῆλυ πέφυκε γένος. Herodotus I. 143. Τῷ τε ὀνόματι ἠγάλλοντο. Neque tamen λαμπρύνεσθαι hac significatione improbandum est, ut minus Atticum, si Scholiasten Aristophanis sequimur, qui ad Equit. v. 553. Μειρακίων θ' ἅμιλλα λαμπρυνομένων ἐν ἅρμασιν, λαμπρυνομένων exponit καυχωμένων, καὶ νικώντων ἐν τοῖς ἅρμασι· quæ et Suidas in λαμπρυνομένων ex eo descripsit. Sed nihil obstat, quo minus λαμπρύνεσθαι ibi de magnifico et splendido adparatu in curribus instruendis accipiatur, ut apud Thucydidem VI. 16. Καὶ ὅσα αὖ ἐν τῇ πόλει χορηγίαις, καὶ ἄλλῳ τῳ λαμπρύνομαι. Paullo post ἄξομεν in Dan. pro ἔξομεν ab errore scribæ est. Thucydides IV. 89. Τούτων μὲν οὖν ἐγὼ ἕξω τὴν πρόνοιαν κατὰ τὸ δυνατόν. Herodianus I. 9. Τῆς ἐκείνου σωτηρίας προμήθειαν εἶχον. Duk.

1. ἄξομεν P.
2. κατασκοπεῖν A.
3. φαίνεται E.
ἐπιμεληθῆναι i.
4. ἐσοίσομεν h.
6. συλλόγου K.
7. οἱ δ' ἀθηναῖοι] ἀθηναῖοι δὲ N.
8. ἐπ' ἐξέτασιν E.G.H.K.g.h.
10. τε om. L.
ἐποήσαν g.
11. ἓν Reiskius: legebatur ἐν.

ἅμα πλέοντες Valckenar. ad Herodot. VII. p. 533. Libri omnes ἀναπλέοντες.

δείων ἐν ταῖς καταγωγαῖς, πρός τε τἆλλα εὐκοσμότεροι καὶ ῥᾴους ἄρχειν ὧσι, κατὰ τέλη στρατηγῷ προστεταγμένοι· ἔπειτα δὲ προὔπεμψαν καὶ ἐς τὴν Ἰταλίαν καὶ Σικελίαν τρεῖς ναῦς, εἰσομένας αἵτινες σφᾶς τῶν πόλεων δέξονται. καὶ εἴρητο αὐταῖς προαπαντᾶν, ὅπως ἐπιστάμενοι καταπλέωσι. * μετὰ δὲ ταῦτα τοσῇδε ἤδη τῇ παρασκευῇ Ἀθηναῖοι ἅπαντες ἐκ τῆς Κερκύρας ἐς τὴν Σικελίαν ἐπεραιοῦντο, τριήρεσι μὲν ταῖς πάσαις τέσσαρσι καὶ τριάκοντα καὶ ἑκατόν, καὶ δυοῖν Ῥοδίοιν πεντηκοντόροιν (τούτων Ἀττικαὶ μὲν ἦσαν ἑκατόν, ὧν αἱ μὲν ἑξήκοντα ταχεῖαι, αἱ δ' ἄλλαι στρατιώτιδες· τὸ δὲ ἄλλο ναυτικὸν Χίων καὶ τῶν ἄλλων ξυμμάχων), ὁπλίταις δὲ τοῖς ξύμπασιν ἑκατὸν καὶ πεντακισχιλίοις (καὶ τούτων Ἀθηναίων μὲν αὐτῶν ἦσαν πεντακόσιοι μὲν καὶ χίλιοι ἐκ καταλόγου, ἑπτακόσιοι δὲ θῆτες, ἐπιβάται τῶν νεῶν,

43. in Siciliam trajiciunt cum triremibus centum et triginta, quarum centum Atticæ, reliquæ sociorum; cum quinque millibus et centum gravis armaturæ; quadringentis octoginta sagittatoribus.

λωτότι. 1. Καταγωγαῖς] λιμέσι. 2. Στρατηγῷ προστεταγμένοι] κατὰ τάξεις ὑπὸ στρατηγοῖς τεταγμένοι. 4. Εἰσομένας] γνωριούσας. 5. Καὶ εἴρητο αὐταῖς] ὥριστο ταῖς ναυσί. 8. Τριήρεσι μὲν ταῖς πάσαις] τριήρεις ταχεῖαι, τριήρεις στρατιώτιδες, πεντηκόντοροι, ἱππαγωγοί, πλοῖα, ὁλκάδες. 11. Τὸ δὲ ἄλλο ναυτικὸν] ἦγον αἱ ἄλλαι νῆες αἱ ἔχουσαι τοὺς ναύτας. 12. Ὁπλίταις δὲ τοῖς ξύμπασι] στρατιώτας τοὺς πεζομαχήσοντας ἄγουσαι.

2. στρατηγῶν K.
5. δέξωνται Q.
6. ἤδη] ἤδε e.
τῇ om. K.e.
7. οἱ ἀθηναῖοι h.
8. τέτταρσι A.E.F.H.K.L.O. c.f.g.h.i.k.
9. ῥοδίαιν πεντηκοντέροιν c.
12. ὁπλῖται B.h.
δὲ om. K.
14. αὐτῶν om. i.
μὲν om. Q.d.
15. ἑπτακόσιοι h.
Ἐπιβάται τῶν νεῶν] Ἐπιβάτης non eamdem significationem ubique habet. Quos Homerus ἐμπόρους, Græci post Homerum ἐπιβάτας dixerunt, quos *vectores* vocant, et a *nautis* distinguunt Latini. Sed Atticis ἐπιβάται sunt, qui e navibus pugnant; ἐπίκωποι, qui remigant. Eustathius in Odyss. έ. pag. 1447. Ὁ παρ' Ὁμήρῳ ἔμπορος, παρὰ τοῖς μεθ' Ὅμηρον ἐπιβάτης. Ἀττικοὶ δὲ τοὺς ἐν ταῖς τριήρεσι κωπηλάτας ἐπικώπους λέγοντες, ἐπιβάτας καλοῦσι τοὺς μαχητάς. Thomas Magister: Ἐπίκωποι, οἱ ἔχοντες τὰς κώπας, καὶ τὰ πηδάλια. ἐπιβάται δὲ κυρίως, οἱ ἐπ' ἀλλοτρίοις τὸν πλοῦν ποιούμενοι, διδόντες ναῦλον. Ἀττικῶς δὲ, οἱ ἔνοπλοί τε ὄντες καὶ παρεσκευασμένοι εἰς

ξύμμαχοι δὲ οἱ ἄλλοι ξυνεστράτευον, οἱ μὲν τῶν ὑπηκόων, οἱ δ' Ἀργείων, πεντακόσιοι, καὶ Μαντινέων καὶ μισθοφόρων πεντήκοντα καὶ διακόσιοι), τοξόταις δὲ τοῖς πᾶσιν ὀγδοήκοντα καὶ τετρακοσίοις (καὶ τούτων Κρῆτες οἱ ὀγδοήκοντα ἦσαν), καὶ σφενδονήταις Ῥοδίων ἑπτακοσίοις, καὶ Μεγαρεῦσι ψιλοῖς, φυγάσιν, εἴκοσι καὶ ἑκατόν, καὶ ἱππαγωγῷ μιᾷ, τριάκοντα ἀγούσῃ ἱππέας.

riis, septingentis funditoribus, et triginta equitibus.

μάχην. Et de his accipienda sunt, quæ habent Harpocration, et ex eo Suidas, et Etymol. M. Auctor: Οὕτως ἐκάλουν τοὺς ἐν ταῖς τριήρεσι στρατευομένους καὶ μὴ κωπηλατοῦντας, ἀλλὰ μόνον πρὸς τὸ μάχεσθαι ἐπιτηδείους. Schefferus II. de Milit. Nav. 3. pag. 103. e Thucydide VIII. 1. et Auctore de Bell. Afric. cap. 20. disputat, ἐπιβάτας non semper justos milites significare, et sic dictos videri, qui, quum necessitas requireret, vice militum pugnabant. Sed hæc non evertunt sententiam Grammaticorum de usu et significatione hujus vocis apud Atticos. Eam confirmat hic locus Thucydidis, ubi ἐπιβάται ex ὁπλίταις Atheniensium esse dicuntur; et alter ejusdem, VIII. 29. Εἶχον δὲ ἐπιβάτας τῶν ὁπλιτῶν ἐκ καταλόγου ἀναγκαστούς. Eoque etiam referri potest, quod Aristoteles, ad Rempublicam Atheniensium, ut puto, respiciens, VII. Politicor. 6. scribit: Τὸ μὲν γὰρ ἐπιβατικὸν, ἐλεύθερον, καὶ τῶν πεζευόντων ἐστί. Nec dubito, quin fallatur Scholiastes Thucydidis III. 95. ἐπιβάτας exponens ἐρέτας. Duk.

3. τοξόται A.B.E.

4. τριακοσίοις K.

7. καὶ ante ἱππ. om. P.

Ἱππαγωγῷ] Scribit Schefferus de Milit. Nav. IV. 1. pag. 258. naves ἱππαγωγοὺς etiam στρατιώτιδας et ὁπλιταγωγοὺς vocari. Vix credo. Quemadmodum non iidem sunt ὁπλῖται et ἱππεῖς, ita etiam aliæ ὁπλιταγωγοὶ, aliæ ἱππαγωγοί. Hoc apertum est e Thucydide II. 56. de expeditione Periclis in Peloponnesum anno secundo Belli Peloponnes. Ἦγε δ' ἐπὶ τῶν νεῶν ὁπλίτας Ἀθηναίων τετρακισχιλίους, καὶ ἱππέας τετρακοσίους, ἐν ναυσὶν ἱππαγωγοῖς, πρῶτον τότε ἐκ τῶν παλαιῶν νεῶν ποιηθείσαις. Et IV. 42. Ἀθηναῖοι ἐς τὴν Κορινθίαν ἐστράτευσαν ναυσὶν ὀγδοήκοντα, καὶ δισχιλίοις ὁπλίταις ἑαυτῶν, καὶ ἐν ἱππαγωγοῖς ναυσὶ, διακοσίοις ἱππεῦσι. Nam ibi distinguuntur naves, quæ ὁπλίτας vehunt, i. e. ὁπλιταγωγοὶ, ab iis, quæ equos et equites. Idem ostendit hic locus, in quo præter naves XL. στρατιώτιδας, una ἱππαγωγὸς memoratur: illæ autem στρατιώτιδες sunt eædem, quas cap. 31. XL. ὁπλιταγωγοὺς dixerat Thucydides. Et sic etiam Diodorus Sicul. lib. XX. pag. 775. alias facit naves στρατιωτικὰς, alias ἱππηγούς. Et Polyb. I. 26. seqq. ἱππηγοὺς, quæ aliis navibus adligatæ remulco trahebantur, ab iis, in quibus milites et ἐπιβάται erant, distinguit. Neque ullus est apud

44. Τοσαύτη ἡ πρώτη παρασκευὴ πρὸς τὸν πόλεμον διέπλει. τούτοις δὲ τὰ ἐπιτήδεια ἄγουσαι ὁλκάδες μὲν τριάκοντα σιταγωγοὶ, καὶ τοὺς σιτοποιοὺς ἔχουσαι καὶ λιθολόγους καὶ τέκτονας καὶ ὅσα ἐς τειχισμὸν ἐργαλεῖα, πλοῖα δὲ ἑκατὸν, ἃ ἐξ ἀνάγκης μετὰ τῶν ὁλκάδων ξυνέπλει· πολλὰ δὲ καὶ ἄλλα πλοῖα καὶ ὁλκάδες ἑκούσιοι ξυνηκολούθουν τῇ στρατιᾷ ἐμπορίας ἕνεκα· ἃ τότε

Præterea commeatum præbebant triginta naves onerariæ; et centum alia navigia necessario aderant onerariis, præter mul-

Thucydidem locus, in quo ἱππαγωγοὶ, στρατιώτιδες, et ὁπλιταγωγοὶ pro iisdem dicantur. Nam in eo, quem pro hac sententia adfert Schefferus ex VIII. 30. Τριάκοντα ναῦς ἔχοντες, καὶ τῶν ἐς Μίλητον ἐλθόντων χιλίων ὁπλιτῶν μέρος ἀναγόντες ἐν ναυσὶν ὁπλιταγωγοῖς, nihil præsidii est; quum ibi nulla equorum et equitum, sed tantum ὁπλιτῶν, mentio sit. Nec juvant eum hæc Suidæ, e quibus id confici putat: Ἱππαγωγὸς, ναῦς ἡ τοὺς ἵππους καὶ τοὺς ἄνδρας ἄγουσα· ἄνδρες enim ibi sunt ἱππεῖς, ut hic in Thucydide, ἱππαγωγῷ μιᾷ τριάκοντα ἀγούσῃ ἱππέας. Solus Scholiastes Thucydidis ad I. 116. στρατιώτιδας ναῦς et ἱππαγωγοὺς easdem esse, dicit. Sed ἀσύστατα sunt, quæ ille scribit. Στρατιώτιδες, inquit, sunt στρατιώτας ἄγουσαι τοὺς μέλλοντας πεζομαχεῖν· bene. Addit, ἃς καὶ ἱππαγωγοὺς καλεῖ. At ἱππαγωγοὶ tantum equos et equites vehunt, qui pedibus non pugnant. Nec verum est, quod dicit, Thucydidem ναῦς στρατιώτιδας vocare ἱππαγωγούς. Itaque illius nulla habenda est ratio. Sed fortassis illa, ἃς καὶ ἱππαγωγοὺς καλεῖ, a sciolo quodam adsuta sunt. Duk.

1. τοσαύτη δὲ ἡ i.

3. Λιθολόγους] Thom. Magister in λατόμος. Vide Jungermann. ad Pollucem VII. 118. Duk.

4. ὅσα δὲ ἐπὶ L.O.P.k.

5. ἃ om. N.

Ἃ ἐξ ἀνάγκης] Articulus ἃ impeditam reddit orationem. Hoc vidit Æm. Portus, ob eamque causam, ξυνέπλει tantum ad πλοῖα referendum, et in his, τούτοις δὲ, ἠκολούθουν supplendum relinqui, putavit. Mihi magis probatur scriptura Cod. Clar. qui ἃ ignorat. Ita sine ullo supplemento oratio recte procedet, et omnia pendebunt ab uno verbo ξυνέπλει. Verba ἐξ ἀνάγκης Acacius in interpretatione præteriit: Valla vertit *necessario:* Portus, *vi necessitatis coacta.* Non liquet, quæ illa necessitas fuerit. An hoc vult Thucydides, hæc privatorum navigia fuisse, et auctoritate publica classem sequi coacta, quod *comprehendere naves* dicunt Latini? Ita sane videtur; nam, si publica fuissent, nulla causa esset, cur id magis de his solis diceret, quam de omnibus aliis. Ita quoque fortassis intelligendum est, quod supra cap. 22. dicit, σιτοποιοὺς ἐκ τῶν μυλώνων ἠναγκασμένους ἐμμίσθους. Duk.

πάντα ἐκ τῆς Κερκύρας ξυνδιέβαλλε τὸν Ἰόνιον κόλπον. καὶ προσβαλοῦσα ἡ πᾶσα παρασκευὴ πρὸς τε ἄκραν Ἰαπυγίαν καὶ πρὸς Τάραντα καὶ ὡς ἕκαστοι εὐπόρησαν, παρεκομίζοντο τὴν Ἰταλίαν, τῶν μὲν πόλεων οὐ δεχομένων αὐτοὺς ἀγορᾷ οὐδὲ ἄστει, ὕδατι δὲ καὶ ὁρμῷ, Τάραντος δὲ καὶ Λοκρῶν οὐδὲ τούτοις, ἕως ἀφίκοντο ἐς Ῥήγιον τῆς Ἰταλίας ἀκρωτήριον. καὶ ἐνταῦθα ἤδη ἠθροίζοντο, καὶ ἔξω τῆς πόλεως, ὡς αὐτοὺς εἴσω οὐκ ἐδέχοντο, στρατόπεδόν τε κατεσκευάσαντο ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ, οὗ αὐτοῖς καὶ ἀγορὰν παρεῖχον, καὶ τὰς ναῦς ἀνελκύσαντες ἡσύχασαν· καὶ πρός τε τοὺς Ῥηγίνους λόγους ἐποιήσαντο, ἀξιοῦντες Χαλκιδέας ὄντας Χαλκιδεῦσιν οὖσι Λεοντίνοις βοηθεῖν. οἱ δὲ οὐδὲ μεθ' ἑτέρων ἔφασαν, ἔσεσθαι, ἀλλ' ὅ τι ἂν καὶ τοῖς ἄλλοις Ἰταλιώταις ξυνδοκῇ, τοῦτο ποιήσειν. οἱ δὲ πρὸς τὰ ἐν τῇ Σικελίᾳ πράγματα ἐσκόπουν, ὅτῳ τρόπῳ ἄριστα προσοίσονται· καὶ τὰς πρόπλους ναῦς ἐκ τῆς Ἐγέστης ἅμα προσέμενον, βουλό-

ta illa, quæ ultro classem comitabantur negotiandi causa.—A nulla Italiæ urbe recepti, præterquam quod nonnullæ ad littus appellere non vetarent, ad Rhegium castra posuerunt, reditum navium præmissarum expectantes.

1. Ξυνδιέβαλε] συνδιεπεραιώθη. 3. Ὡς ἕκαστοι εὐπόρησαν] ἀντὶ τοῦ ὡς ἕκαστοι ἔτυχον εὐπλοΐσαι. 4. Παρεκομίζοντο] ἤγουν παραπλέοντες ἐκομίζοντο. 7. Καὶ ἐνταῦθα] ἤγουν ἐν τῷ Ῥηγίῳ. 10. Παρεῖχον] οἱ Ῥηγῖνοι δηλονότι. Ἀνελκύσαντες] ἤγουν ἐκ τῆς θαλάσσης εἰς τὴν ξηράν. 13. Οὐδὲ μεθ' ἑτέρων] οὔτε μετὰ τῶν Ἀθηναίων οὔτε μετὰ τῶν Συρακουσίων.

1. ξύμπαντα e.
ξυνδιέβαλλε A.B.E.F.H.O. h. vulgo ξυνδιέβαλε.
Ἰόνιον κόλπον] Ita MSS. absolute Ἰόνιον· neque aliter invenisse videtur in suis Diodorus, qui hoc in loco Ἰόνιον πόρον. vid. ad VI. 34. ita etiam Polybius II. p. 142. Wass.
2. προσβάλλουσα Q.
ἡ παρασκευὴ πᾶσα L.O.P. πᾶσα om. k.
3. τάραντα ὡς i.
4. Τῶν μὲν πόλεων οὐ δεχομένων αὐτοὺς ἀγορᾷ, οὐδὲ ἄστει, ὕδατι δὲ καὶ ὁρμῷ] Hæc pulchre explicat Casaubonus ad Polybium I. 18. pag. 183. Duk.
6. ῥίγειον e.
7. ἤδη] non habet Thomas M. v. ἐνταῦθα.
12. καλχιδέας—καλχιδεῦσιν K.
13. δὲ om. Q.
16. προσοίσοιντο Q.
17. πρόσπλους A.h.
ἐν τῇ d.i.

μενοι εἰδέναι περὶ τῶν χρημάτων, εἰ ἔστιν ἃ ἔλεγον ἐν ταῖς Ἀθήναις οἱ ἄγγελοι.

45. Interim Syracusani, de adventu Atheniensium non amplius dubitantes, quocumque possunt modo ad defensionem se parant.

Τοῖς δὲ Συρακοσίοις ἐν τούτῳ πολλαχόθεν τε ἤδη καὶ ἀπὸ τῶν κατασκόπων σαφῆ ἠγγέλλετο ὅτι ἐν Ῥηγίῳ αἱ νῆες εἰσὶ, καὶ ὡς ἐπὶ τούτοις παρεσκευάζοντο πάσῃ τῇ γνώμῃ, καὶ οὐκέτι ἠπίστουν. καὶ ἔς τε τοὺς Σικελοὺς περιέπεμπον, ἔνθα μὲν φύλακας, πρὸς δὲ τοὺς πρέσβεις· καὶ ἐς τὰ περιπόλια τὰ ἐν τῇ χώρᾳ φρουρὰς ἐσεκόμιζον· τά τε ἐν τῇ πόλει, ὅπλων ἐξετάσει καὶ ἵππων, ἐσκόπουν εἰ ἐντελῆ ἐστί· καὶ τἆλλα, ὡς ἐπὶ ταχεῖ πολέμῳ καὶ ὅσον οὐ παρόντι, καθίσταντο.

46. Reversis au-

Αἱ δ' ἐκ τῆς Ἐγέστης τρεῖς νῆες αἱ πρόπλοι παρα-

5. Καὶ ὡς ἐπὶ τούτοις παρεσκευάζοντο] καὶ πᾶσιν ἐδόκει παρασκευάζεσθαι, οὐδενὸς ἀντιλέγοντος. Ἐπὶ τούτοις] μετὰ ταῦτα. 7. Ἔνθα μὲν] εἰς τινας. Φύλακας] τοὺς διαφυλάξοντας τὰς φιλίας πόλεις. 8. Καὶ ἐς τὰ περίπλοια] γράφεται περιπόλια. τὰ ἐν τῇ χώρᾳ φρούρια, ἃ περιπλέοντες, εἰσῆγον εἰς αὐτὰ φρουρούς. 10. Ὡς ἐπὶ ταχεῖ πολέμῳ] ὡς ἐν συντόμῳ ἐσομένῳ.

2. ἄγγελοι] αἰγεσταῖοι h.
4. ἀπὸ] ἐκ h.
αἱ om. B.
5. Καὶ ὡς ἐπὶ τούτοις παρεσκευάζοντο] Scholiastæ explicatio longe quæsita est. Puto, hoc ita dici, ut παρασκευάζεσθαι, ἑτοιμάζεσθαι, διατάσσεσθαι ὡς ἐπὶ μάχῃ, ναυμαχίᾳ, et alia hujusmodi, quæ centies in Thucydide leguntur. Duk.
παρασκευάζοιντο γρ. h.
8. περιπόλια K.O. et margo H.N. et γρ. A. et correctus h. vulgo περίπλοια. Conf. Toup. in Suid. 4. p. 255.
Περίπλοια] Quid sint περίπλοια, non scio. Περιπόλια plerique MSS. et vetustiores Edd. habent, atque etiam III. 99. et VII. 48. dicit Thucydides. Pollux IX. 16. præterea alium locum e Thucydide adfert, ἐν περιπολίοις τισὶν ἐλήφθη, idque exponit ἐν προαστείοις. Sed fortassis, memoria lapsus, Thucydidi tribuit, quod alterius erat. Vide ibi Jungermannum. Scholiastes quidem περίπλοια videtur probasse: nam ad hanc vocem pertinet interpretatio illius, non ad περιπόλια. Sed Scholiastes Cass. nihil aliud habet, quam, περιπόλια τὰ ἐν τῇ χώρᾳ φρούρια τῶν περιπόλων· quod plerosque magis probaturos, credo. In Thucydide quoque III. 99. Περιπόλιον non pro nomine proprio alicujus loci, sed pro communi, accipiendum, arbitror. Duk.
φρουροὺς Q.e.f.
ἐκόμιζον i.
12. αἱ δ' ἐκ] ἐκ δὲ L.
πρόπολοι K.

γίγνονται τοῖς Ἀθηναίοις ἐς τὸ Ῥήγιον, ἀγγέλλουσαι ὅτι τἆλλα μὲν οὐκ ἔστι χρήματα, ἃ ὑπέσχοντο, τριάκοντα δὲ τάλαντα μόνα φαίνεται. καὶ οἱ στρατηγοὶ εὐθὺς ἐν ἀθυμίᾳ ἦσαν, ὅτι αὐτοῖς τοῦτό τε πρῶτον ἀντεκπρούκει, καὶ οἱ Ῥηγῖνοι οὐκ ἐθελήσαντες ξυστρατεύειν, οὓς πρῶτον ἤρξαντο πείθειν καὶ εἰκὸς ἦν μάλιστα, Λεοντίνων τε ξυγγενεῖς ὄντας καὶ σφίσιν ἀεὶ ἐπιτηδείους. καὶ τῷ μὲν Νικίᾳ προσδεχομένῳ ἦν τὰ παρὰ τῶν Ἐγεσταίων, τοῖν δὲ ἑτέροιν καὶ ἀλογώτερα. οἱ δὲ Ἐγεσταῖοι τοιόνδε τι ἐξετεχνήσαντο τότε, ὅτε οἱ πρῶτοι πρέσβεις τῶν Ἀθηναίων ἦλθον αὐτοῖς ἐς τὴν κατασκοπὴν τῶν χρημάτων. ἔς τε τὸ ἐν Ἐρυκι ἱερὸν τῆς Ἀφροδίτης ἀγαγόντες αὐτοὺς ἐπέδειξαν τὰ ἀναθήματα, φιάλας τε καὶ οἰνοχόας καὶ θυμιατήρια καὶ ἄλλην κατασκευὴν οὐκ ὀλίγην, ἃ ὄντα ἀργυρᾶ πολλῷ πλείω τὴν ὄψιν ἀπ' ὀλίγης δυνάμεως χρημάτων παρείχετο· καὶ ἰδίᾳ ξενίσεις ποιούμενοι τῶν

tem navibus exploratoriis, cum neque Segestæ eam esse pecuniam, quæ jactabatur, comperissent, nec Rhegini ad societatem adduci potuissent; deliberatio fit ducum Atheniensium.

4. Ἀντεκεκρούκει] παρὰ γνώμην ἀπηντήκει, ἀποβεβήκει. 6. Καὶ εἰκὸς ἦν] συστρατεύειν δηλονότι τοῖς Ἀθηναίοις. 9. Τῶν δὲ ἑτέροιν] Ἀλκιβιάδῃ καὶ Λαμάχῳ. 10. Ἐξετεχνήσαντο] μετεχειρίσαντο. 13. Ἐπέδειξαν] ὑπ' ὄψιν ἔθηκαν. 15. Ἀπ' ὀλίγης δυνάμεως] ὀλίγα τῇ δυνάμει ὄντα, μεγάλην φαντασίαν παρεῖχε. 16. Ξενίσεις] φιλοφρονήσεις. Τῶν τριηριτῶν]

3. *μόνα τάλαντα* Q.g. *τἆλλα τὰ μόνον* i.

5. *ῥήγιοι* K.

6. *ἤρξαντο πρῶτον* K.

8. *παρὰ* A.E.F.H.K.L.N.O.P. Q.g.k. ceteri *περί*.

9. *τῶν δὲ ἑτέρων* i.

10. *ἐξετεχνάσαντο* L.O.k.

τότε] *τε* K.L.

πρῶτοι om. f.

11. Κατασκοπὴν] Thom. Magister, hunc locum laudans, *κατασκοπὴ οὐ μόνον ἐπὶ πολεμίων, ἀλλὰ καὶ ἐπὶ ἁπλῶς θεωρίας.* Paullo ante suspectum est *τότε*, tamquam factum e præcedente *το* et sequente *ὅτε*. Dukr.

14. *καὶ τὴν ἄλλην* O.

Κατασκευὴν] De hac significatione vocis *κατασκευὴ* vide, quæ Jungermannus et Hemsterhusius adnotarunt ad Pollucem X. 11. Thucydides II. 97. *Ὅσα ὑφαντά τε καὶ λεῖα, καὶ ἡ ἄλλη κατασκευή.* Dukr.

16. Ξενίσεις] Hoc *τραχὺ*, inquit Pollux VI. 7. Wass. Thomas Magister in *ξενίζω* inter Attica vocabula numerat ex hoc loco. Dukr.

τριηριτῶν, τά τε ἐξ αὐτῆς Ἐγέστης ἐκπώματα καὶ χρυσᾶ καὶ ἀργυρᾶ ξυλλέξαντες, καὶ τὰ ἐκ τῶν ἐγγὺς πόλεων καὶ Φοινικικῶν καὶ Ἑλληνίδων αἰτησάμενοι, ἐσέφερον ἐς τὰς ἑστιάσεις ὡς οἰκεῖα ἕκαστοι. καὶ πάντων ὡς ἐπὶ τὸ πολὺ τοῖς αὐτοῖς χρωμένων, καὶ πανταχοῦ πολλῶν φαινομένων, μεγάλην τὴν ἔκπληξιν τοῖς ἐκ τῶν τριήρων Ἀθηναίοις παρεῖχε, καὶ ἀφικόμενοι ἐς τὰς Ἀθήνας διεθρόησαν ὡς χρήματα πολλὰ ἴδοιεν. καὶ οἱ μὲν αὐτοί τε ἀπατηθέντες, καὶ τοὺς ἄλλους τότε πείσαντες, ἐπειδὴ διῆλθεν ὁ λόγος ὅτι οὐκ εἴη ἐν τῇ Ἐγέστῃ τὰ χρήματα, πολλὴν τὴν αἰτίαν εἶχον ὑπὸ τῶν στρατιωτῶν. οἱ δὲ στρατηγοὶ πρὸς τὰ παρόντα ἐβουλεύοντο, * καὶ Νικίου μὲν ἦν γνώμη πλεῖν ἐπὶ Σελινοῦντα πάσῃ τῇ στρατιᾷ, ἐφ' ὅπερ μάλιστα ἐπέμφθησαν, καὶ ἣν μὲν παρέχωσι χρήματα παντὶ τῷ στρατεύματι Ἐγεσταῖοι, πρὸς ταῦτα βουλεύεσθαι, εἰ δὲ μή, ταῖς ἐξηκοντα ναυσὶν, ὅσασπερ ἠτήσαντο, ἀξιοῦν διδόναι αὐτοὺς τροφὴν, καὶ παραμείναν-

47. Et Niciæ quidem videbatur, cum omnibus copiis adversus Selinuntem proficisci, aut, si omni exercitui alendo impares essent Segestani, cum sexaginta triremibus, quas ipsi postulassent; conciliata autem illa urbe aut vi, aut compositio-

τῶν ἐν ταῖς τριήρεσιν ἀφικομένων. 3. Αἰτησάμενοι] χρησάμενοι. τὸ δὲ αἰτήσαντες ἀντὶ τοῦ λαβόντες ἄνευ τοῦ μέλλειν ἀποδώσειν. 8. Διεθρόησαν] εἰπόντες διετάραξαν. 17. Παραμείναντας] τοὺς Ἀθηναίους.

1. τριηρητῶν i. τριηραρχῶν Q.
ἐκπώματα χρυσᾶ P. recte, opinor.
2. ξυνλέξαντες K.
3. φοινικῶν c.g.k. φοινίκων B.
5. ἐπὶ πολὺ B.F.K.h.
6. ἐκ om. Q.
7. ἐς om. Q.i.
8. Διεθρόησαν—ἴδοιεν] Suidas, ἀντὶ τοῦ, διελάλησαν, διεθορύβησαν. ἔτη θροεῖ, Sophocles Ajace. Euripides: τίνα θροεῖς αὐδάν; Homerus Il. 8. Οὐ γάρ πάντων ἦεν ὁμὸς ΘΡΟΌΟΣ. Josephus Antiq. XIX. §. 16. Τάδε εἰκάζετο βουλήσει τῇ ἀλογίστῳ τῶν ΘΡΟΕΓΝ προθεμένων. Confer Apollonium Rhod. III. 748. I. 697. Pindar. Παλίφατον ὕμνων ΘΡΟ'ΟΝ δονεῖ Ἡσυχᾷ. Dionys. Halic. VI. Antiq. 57. ΘΡΟΥ͂Σ πολὺς ἐνέπεσε τῇ βουλῇ. Noster sæpe θροῦς. Wass.
10. ἦλθεν L.O.P.h.
τὰ om. O.
11. πολλοὶ P.
13. ἦν ἡ γνώμη h.i. ἦν γνώμη μὴ B.
τῇ om. i.
15. τὰ χρήματα L.O.P.
16. ὅσαπερ K.
17. αὐταῖς i.
παραμείναντες Q.f.

τας Σελινουντίους ἢ βίᾳ ἢ ξυμβάσει διαλλάξαι αὐτοῖς, καὶ οὕτω παραπλεύσαντας τὰς ἄλλας πόλεις, καὶ ἐπιδείξαντας μὲν τὴν δύναμιν τῆς Ἀθηναίων πόλεως, δηλώσαντας δὲ τὴν ἐς τοὺς φίλους καὶ ξυμμάχους προθυμίαν, ἀποπλεῖν οἴκαδε, ἢν μή τι δι' ὀλίγου καὶ ἀπὸ τοῦ ἀδοκήτου ἢ Λεοντίνους οἷοί τε ὦσιν ὠφελῆσαι ἢ τῶν ἄλλων τινὰ πόλεων προσαγαγέσθαι, καὶ τῇ πόλει δαπανῶντας τὰ οἰκεῖα μὴ κινδυνεύειν. *Ἀλκιβιάδης δὲ οὐκ ἔφη χρῆναι, τοσαύτῃ δυνάμει ἐκπλεύσαντας, αἰσχρῶς καὶ ἀπράκτως ἀπελθεῖν, ἀλλ' ἔς τε τὰς πόλεις ἐπικηρυκεύεσθαι, πλὴν Σελινοῦντος καὶ Συρακουσῶν, τὰς ἄλλας, καὶ πειρᾶσθαι καὶ τοὺς Σικελοὺς τοὺς μὲν ἀφιστάναι ἀπὸ τῶν Συρακοσίων, τοὺς δὲ φίλους ποιεῖσθαι, ἵνα σῖτον καὶ στρατιὰν ἔχωσι, πρῶτον δὲ πείθειν Μεσσηνίους (ἐν πόρῳ γὰρ μάλιστα καὶ προσβολῇ εἶναι αὐτοὺς τῆς Σικε-

ne, Segestanis, domum abire, nisi quid commodi Leontinis afferre, aliosve ad societatem in transitu possent adigere.

48. Contra Alcibiades non decere dicebat, cum tanto exercitu infecta re abscedere; sed urbes Siciliæ omnes, præter Selinuntem et Syracusas per legationes Atheniensibus conciliare jubebat, initio facto a Messeniis; et tum

1. Αὐτοῖς] τοῖς Ἐγεσταίοις. 5. Δι' ὀλίγου] διαταχέως καὶ ἄνευ τοῦ προσδοκῆσαι. 7. Καὶ τῇ πόλει δαπανῶντας] ἀντὶ τοῦ καὶ μὴ δαπανῶντας τὰ οἰκεῖα κινδυνεύειν ἐν τῇ πόλει, ἤγουν κίνδυνον προξενεῖν τῇ πόλει. 14. Καὶ στρατιὰν ἔχωσιν] ἀπὸ τούτων τῶν πόλεων. Ἐν πόρῳ] περαιώσει.

1. ξυμβιβάσει L.
διαλέξαι P.k.
αὐτοὺς A.B.E.F.c.f.g.h.
3. τῆς] τῶν L.O.
5. ἀπὸ] ἐκ g.h.

7. Τῇ πόλει δαπανῶντας] Scholiastes, et omnes Interpretes, hæc ita ordinant: καὶ, δαπανῶντας τὰ οἰκεῖα, μὴ κινδυνεύειν τῇ πόλει· ut supra cap. 10. τῇ πόλει κινδυνεύειν. Stephanus adnotat, τὰ οἰκεῖα etiam de ipsius civitatis facultatibus posse accipi. Nempe putavit, dativum πόλει hic significare damnum; qui usus dativorum obvius est; ut δαπανᾶν τῇ πόλει hic idem sit, quod Thucydides IV. 3. dixit, δαπανᾶν τὴν πόλιν· et κινδυνεύειν τὰ οἰκεῖα poni per ellipsin, pro κατὰ τὰ οἰκεῖα. Ita sententia erit: *ne, civitatem sumtibus exhauriendo, de nostris rebus, de Republica et imperio nostro, periclitemur.* Duk.

12. πειρᾶσθαι προσάγεσθαι] correctus h.

15. Καὶ προσβολῇ] Ita IV. 1. de Messana: Ὁρῶντες προσβολὴν ἔχον τὸ χωρίον τῆς Σικελίας. VII. 4. Αἳ εἴρητο, περί τε Λοκροὺς, καὶ Ῥήγιον, καὶ τὴν προσβολὴν τῆς Σικελίας ναυλοχεῖν αὐτάς. Lucianus Toxar. pag. 71. Ἐν προσβολῇ δέ ἐστι τοῖς ἀπὸ Σκυθίας προσπλέουσιν. Vide Scholiasten Thucyd. ad IV. 53. Mox non temere adsperner scripturam Cod. Reg. ἐφόρμισιν. Ὁρμίσασθαι et ἐφορμίσασθαι ἐς λιμένα

dem agredi Syracusas et Selinuntem, nisi postulatis obtemperarent.

λίας, καὶ λιμένα καὶ ἐφόρμησιν τῇ στρατιᾷ ἱκανωτάτην ἔσεσθαι)· προσαγαγομένους δὲ τὰς πόλεις, εἰδότας μεθ' ὧν τις πολεμήσει, οὕτως ἤδη Συρακούσαις καὶ Σελινοῦντι ἐπιχειρεῖν, ἢν μὴ οἱ μὲν Ἐγεσταίοις ξυμβαίνωσιν, οἱ δὲ Λεοντίνους ἐῶσι κατοικίζειν.

49. Lamachi denique sententia utique contraria erat. Suadebat enim, ut confestim impetum facerent in Syracusas, priusquam satis parati essent. Ita enim bellum profigari posse docebat, cum omnes Siculi victori essent concessuri.

* Λάμαχος δὲ ἄντικρυς ἔφη χρῆναι πλεῖν ἐπὶ Συρακούσας, καὶ πρὸς τῇ πόλει ὡς τάχιστα τὴν μάχην ποιεῖσθαι, ἕως ἔτι ἀπαράσκευοί τέ εἰσι καὶ μάλιστα ἐκπεπληγμένοι. τὸ γὰρ πρῶτον πᾶν στράτευμα δεινότατον εἶναι· ἢν δὲ χρονίσῃ πρὶν ἐς ὄψιν ἐλθεῖν, τῇ γνώμῃ ἀναθαρσοῦντας ἀνθρώπους καὶ τῇ ὄψει καταφρονεῖν μᾶλλον. αἰφνίδιον δὲ ἦν προσπέσωσιν, ἕως ἔτι περιδεεῖς προσδέχονται, μάλιστ' ἂν σφᾶς περιγενέσθαι καὶ κατὰ πάντα ἂν αὐτοὺς ἐκφοβῆσαι, τῇ τε ὄψει (πλεῖστοι γὰρ ἂν νῦν φανῆναι) καὶ τῇ προσδοκίᾳ ὧν πείσονται, μάλιστα δ' ἂν τῷ αὐτίκα κινδύνῳ τῆς μάχης. εἰκὸς δὲ εἶναι καὶ ἐν τοῖς ἀγροῖς πολλοὺς ἀπολειφθῆναι

2. Προσαγαγομένους] χειρωσαμένους. Εἰδότας, μεθ' ὧν τις] εἰδότας, τίνας ἔχουσι συμμάχους. 8. Τὸ γὰρ πρῶτον πᾶν στράτευμα] τὴν πρώτην προσβολὴν τοῦ στρατεύματος. 12. Σφᾶς] τοὺς Ἀθηναίους. 13. Αὐτοὺς ἐκφοβῆσαι] τοὺς Συρακουσίους δηλονότι τοὺς Ἀθηναίους. 15. Τῷ αὐτίκα κινδύνῳ τῆς μάχης] ἀπὸ κοινοῦ, τὸ ἐκφοβῆσαι αὐτοὺς τῷ προσδοκῆσαι αὐτίκα

dicit Thucydides III. 76. et IV. 8. Et ἐφόρμους e III. 6. Suidas exponit ἐφορμίσεις, et προσβολὴν Scholiastes Thucyd. ad IV. 1. et 53. προσόρμισιν. Thomas Magister quidem, non minus recte ἐφόρμησις, quam ἔφορμος, dici, affirmat. Sed ἐφόρμησις apud Thucydidem III. 33. aliud notat, nempe occasionem hostem adgrediendi et cum eo pugnandi. Quia tamen, ἐφορμεῖν alibi eadem significatione, qua ἐφορμίζειν, dici, video, nihil hic tento. Dukr.

1. ἐφόρμισιν d.e.g.k.
2. προσαγομένους N.P.g.
εἰδότας L.O.i.k.
3. τολμήσει L.O.P.Q.
4. συμβαίνωσιν E.
6. ἔφη om. L.O.P. ante ἄντικρυς ponit g.
συρακούσαις P.g.i.
8. πᾶν om. i.
10. ἀναθαρσοῦντος E.
11. αἰφνίδιον A.B.E.F.K.L.N. O.P.c.d.e.f.g.h. ceteri αἰφνίδιως.
προσπαίσωσι d.i.
13. τε] δὲ L.O.P.k.
14. νῦν om. P.
πήσονται i.k.
16. ἐν om. Q.
ἀπολειφθῆναι A.B.P.h.i. vulgo ἀπολιφθῆναι.

ἔξω, διὰ τὸ ἀπιστεῖν σφᾶς μὴ ἥξειν· καὶ ἐσκομιζομένων αὐτῶν τὴν στρατιὰν οὐκ ἀπορήσειν χρημάτων, ἣν πρὸς τῇ πόλει κρατοῦσα καθέζηται. τούς τε ἄλλους Σικελιώτας οὕτως ἤδη μᾶλλον καὶ ἐκείνοις οὐ ξυμμαχήσειν καὶ σφίσι προσιέναι, καὶ οὐ διαμελλήσειν περισκοποῦντας ὁπότεροι κρατήσουσι. ναύσταθμον δὲ ἐπαναχωρήσαντας καὶ ἐφορμηθέντας Μέγαρα ἔφη χρῆναι ποιεῖσθαι, ἃ ἦν ἔρημα, ἀπέχοντα Συρακουσῶν οὔτε πλοῦν πολὺν οὔτε ὁδόν.

Λάμαχος μὲν ταῦτα εἰπὼν ὅμως προσέθετο καὶ αὐτὸς τῇ Ἀλκιβιάδου γνώμῃ. μετὰ δὲ τοῦτο Ἀλκιβιάδης τῇ αὐτοῦ ναῒ διαπλεύσας ἐς Μεσσήνην, καὶ λόγους ποιησάμενος περὶ ξυμμαχίας πρὸς αὐτούς, ὡς οὐκ ἔπειθεν, ἀλλ' ἀπεκρίναντο πόλει μὲν ἂν οὐ δέξασθαι, ἀγορὰν δ' ἔξω παρέξειν, ἀπέπλει ἐς τὸ Ῥήγιον. καὶ εὐθὺς ξυμπληρώσαντες ἑξήκοντα ναῦς ἐκ πασῶν οἱ στρατηγοὶ, καὶ τὰ ἐπιτήδεια λαβόντες, παρέπλεον ἐς Νάξον, τὴν ἄλλην στρατιὰν ἐν Ῥηγίῳ καταλιπόντες καὶ ἕνα σφῶν αὐτῶν. Ναξίων δὲ δεξαμένων τῇ πόλει παρέπλεον ἐς Κατάνην. καὶ ὡς αὐτοὺς οἱ Καταναῖοι οὐκ ἐδέχοντο (ἐνῆσαν γὰρ αὐτόθι ἄνδρες τὰ Συρακοσίων βουλόμενοι), ἐκομίσθησαν

50. Sed postea Lamachus in Alcibiadis sententiam concessit. Et cum Messenii negarent societatem, cum sexaginta navibus Rhegio profecti duces, Naxum, ubi recepti sunt, inde Catanam, accesserunt. Quam urbem, ab initio abnuen-

ἐν κινδύνῳ διαμαχήσεσθαι. 1. Μὴ ἥξειν] ἡ μὴ ἀπόφασις περιττή. Καὶ ἐσκομιζομένων] καὶ τὰ ἐκ τῶν ἀγρῶν εἰς τὴν πόλιν μεταφερώντων τῶν Συρακουσίων, οὐκ ἀπορήσειν τοὺς Ἀθηναίους χρημάτων, ἂν, κρατοῦντες τῶν Συρακουσίων, προσκαθέζωνται τῇ πόλει. 4. Οὐ ξυμμαχήσειν] τοῖς Συρακουσίοις δηλονότι. 5. Καὶ οὐ διαμελλήσειν] καὶ οὐ διστάσειν, καραδοκοῦντας πότεροι κρατήσουσιν. 8. Οὔτε πλοῦν πολὺν οὔτε ὁδόν] οὔτε κατὰ γῆν οὔτε διὰ θαλάσσης πολὺ ἀπέχωτα. 16. Ἐς Νάξον] τὴν Σικελικήν. 20. Βουλό-

2. τῇ στρατιᾷ ἀπορήσειν Q.
5. προϊέναι A.B.E.
6. δὲ om. e.h.
7. ἐφορμεῖν τὰ μέγαρα γρ. h.
9. μὲν] δὲ μὲν K.
τοσαῦτα N.
καὶ om. B.E.F.H.K.L.N.O. P.c.d.e.g.h.i.k.
10. ταῦτα L.O.Q. ταῦτα οὕτω P.
τῇ αὐτῇ d.h.i.
11. μεσσήνην λόγους i.
13. δέξασθαι A.B.E.F.H.K.d. e.f.g.h.i.k. vulgo δέξεσθαι.

tem Atheniensium societatem, postea

ἐπὶ τὸν Τηρίαν ποταμὸν, καὶ αὐλισάμενοι τῇ ὑστεραίᾳ ἐπὶ Συρακούσας ἔπλεον ἐπὶ κέρως, ἔχοντες τὰς ἄλλας ναῦς. δέκα δὲ τῶν νεῶν προὔπεμψαν ἐς τὸν μέγαν λιμένα πλεῦσαί τε, καὶ κατασκέψασθαι εἴ τι ναυτικὸν ἔστι καθειλκυσμένον, καὶ κηρῦξαι ἀπὸ τῶν νεῶν προσπλεύσαντας ὅτι Ἀθηναῖοι ἥκουσι Λεοντίνους ἐς τὴν ἑαυτῶν κατοικιοῦντες κατὰ ξυμμαχίαν καὶ ξυγγένειαν· τοὺς οὖν ὄντας ἐν Συρακούσαις Λεοντίνων ὡς παρὰ φίλους καὶ εὐεργέτας Ἀθηναίους ἀδεῶς ἀπιέναι. ἐπεὶ δ' ἐκηρύχθη, καὶ κατεσκέψαντο τήν τε πόλιν καὶ τοὺς λιμένας καὶ τὰ περὶ τὴν χώραν, ἐξ ἧς αὐτοῖς ὁρμωμένοις πολεμητέα ἦν,

51. clandestino impetu in suas partes traxerunt, eoque omnes copias, Rhegio abductas, transvexerunt.

ἀπέπλευσαν πάλιν ἐς Κατάνην. * καὶ ἐκκλησίας γενομένης τὴν μὲν στρατιὰν οὐκ ἐδέχοντο οἱ Καταναῖοι, τοὺς δὲ στρατηγοὺς ἐσελθόντας ἐκέλευον, εἴ τι βούλονται, εἰπεῖν. καὶ λέγοντος τοῦ Ἀλκιβιάδου, καὶ τῶν ἐν τῇ πόλει πρὸς τὴν ἐκκλησίαν τεταμμένων, οἱ στρατιῶται πυλίδα τινὰ ἐνῳκοδομημένην κακῶς ἔλαθον διελόντες, καὶ ἐσελ-

μενοι] φρονοῦντες. 2. Ἐπικαίρως] συντόμως, τεταγμένως. Τὰς ἄλλας ναῦς] οὐ μόνον τὰς ἑξήκοντα, ἀλλὰ καὶ τὰς ἄλλας παραλαβόντες. 3. Ἐς τὸν μέγαν λιμένα] τῶν Συρακουσῶν δηλονότι. 5. Καθειλκυσμένον] ἕτοιμον εἰς τὴν θάλασσαν. 11. Πολεμητέα ἦν] πολεμεῖν δυνατὸν ἔσοιτο. 12. Καὶ ἐκκλησίας γενομένης] τῶν Καταναίων δηλονότι. 15. Καὶ τῶν ἐν τῇ πόλει] τῶν Καταναίων. 17. Κακῶς] ἀτέχνως, σαθρῶς.

1. τήριαν B.h. τυρίαν e.
2. ἐπικαίρως A.B.F.G.e.g.h.
6. ὅτι ἀθηναῖοι A.B.E.F.H.K. L.N.O.P.Q.c.d.e.f.g.h.i.k. vulgo ὅτι οἱ ἀθηναῖοι.
κατοικοῦντες B.K.O.g h.i.
9. ἀθηναίους P. ceteri ἀθηναίων.
10. κατεσκάψαντο B.g.
11. χώραν] πόλιν O.
ὡρμημένοις g.
πολεμωτέα e.
13. οἱ om. f.
14. ἐξελθόντας K.
εἴ τι B.E.F.H.K.L.N.O.P.Q. d.e.g.h.i.k. ceteri ὅ τι.
βούλοιντο e.
16. τετραμμένων καὶ οἱ H.
17. ἐνῳκοδομημένην E.F.c.g.k.
Κακῶς] Polyænus I. 40. 4. p. 86. sed explicandi gratia, σαθρῶς. vid. Schol. Diodorus tantum διελόντες πυλίδα, 332. d. Adde etiam Frontinum III. 2. ubi Petrensis commune *commodum*. WASS.
διελθόντες B.h.

θόντες ἠγόραζον ἐς τὴν πόλιν. τῶν δὲ Καταναίων οἱ μὲν τὰ τῶν Συρακοσίων φρουροῦντες, ὡς εἶδον τὸ στράτευμα ἔνδον, εὐθὺς περιδεεῖς γενόμενοι ὑπεξῆλθον, οὐ πολλοὶ τινές· οἱ δὲ ἄλλοι ἐψηφίσαντό τε ξυμμαχίαν τοῖς Ἀθηναίοις, καὶ τὸ ἄλλο στράτευμα ἐκέλευον ἐκ Ῥηγίου κομίζειν. μετὰ δὲ τοῦτο διαπλεύσαντες οἱ Ἀθηναῖοι ἐς τὸ Ῥήγιον, πάσῃ ἤδη τῇ στρατιᾷ ἄραντες ἐς τὴν Κατάνην, ἐπειδὴ ἀφίκοντο, κατεσκευάζοντο τὸ στρατόπεδον.

52. Inde et Syracusas et Camarinam vecti, frustra tentarunt hanc caduceatoribus, illas vi illata.

Ἐσηγγέλλετο δὲ αὐτοῖς ἔκ τε Καμαρίνης ὡς, εἰ ἔλθοιεν, προσχωροῖεν ἂν, καὶ ὅτι Συρακόσιοι πληροῦσι ναυτικόν. ἀπάσῃ οὖν τῇ στρατιᾷ παρέπλευσαν, πρῶτον μὲν ἐπὶ Συρακούσας· καὶ ὡς οὐδὲν εὗρον ναυτικὸν πληρούμενον, παρεκομίζοντο αὖθις ἐπὶ Καμαρίνης, καὶ σχόντες ἐς τὸν αἰγιαλὸν ἐπεκηρυκεύοντο. οἱ δ' οὐκ ἐδέχοντο, λέγοντες σφίσι τὰ ὅρκια εἶναι μιᾷ νηὶ καταπλεόντων Ἀθηναίων

1. Ἠγόραζον] ἀντὶ τοῦ ἐν ἀγορᾷ διέτριβον. 10. Πληροῦσι ναυτικόν] ναῦς ναυτῶν πληροῦσιν. 13. Ἐς τὸν αἰγιαλὸν] τῶν Καμαριναίων. 15. Τὰ ὅρκια

1. Ἠγόραζον] Omnes Interpretes vertunt, *mercabantur*. Scholiastes, et Grammatici veteres, Hesychius, Suidas h. v. Eustathius in Homer. Iliad. β'. p. 192. Ammonius in ὠνήσασθαι, Scholiastes Aristoph. ad Equit. v. 1370. et Acharnens. v. 720. ἀγοράζειν exponunt, ἐν ἀγορᾷ διατρίβειν. Et ita hic interpretantur Salmasius de Usur. pag. 339. et Jac. Gronovius ad Lucian. Toxar. p. 71. ubi plura videri possunt. Nec causa est aliam interpretationem quærendi; etsi alioqui non negari potest, ἀγοράσαι etiam dici pro ὠνήσασθαι, i. e. πρίασθαί τι τῶν πωλουμένων, quod ex Aristophanis Plut. v. 985. Ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον ostendit Suidas. Sic ἠγορασμένος, *emtus*, in illo Menandri apud Zenobium II. Proverb. 12. et Diogenian. I. 100. Θρᾷξ εὐγενὴς εἶ, πρὸς ἅλας ἠγορασμένος. Nam in foro potissimum proponebantur multæ res venales. Unde Aristophanes Acharn. l. d. quum dixisset: Ἐνταῦθ' ἀγοράζειν τοῖσι Πελοποννησίοις Ἔξεστι, statim addit: Ἐφ' ᾗτε πωλεῖν πρὸς ἐμέ. Duk.

2. τὰ] τὸ K.

4. τε om. d.

τοῖς om. i.

5. ἐκ ῥηγίου ἐκέλευον Q.

6. διαπλεύσαντες B. h. ceteri πλεύσαντες.

7. τῇ om. A.B.Q.h.

9. ἐσηγγέλλετο e.

12. καὶ om. g.

13. παρεσκευάζοντο Q.

15. σφίσι καὶ τὰ O.P. σφίσι κατὰ τὰ L.

δέχεσθαι, ἢν μὴ αὐτοὶ πλείους μεταπέμπωσιν. ἄπρακτοι δὲ γενόμενοι ἀπέπλεον· καὶ ἀποβάντες κατά τι τῆς Συρακοσίας, καὶ ἀπαγὴν ποιησάμενοι, καὶ τῶν Συρακοσίων ἱππέων βοηθησάντων καὶ τῶν ψιλῶν τινὰς ἐσκεδασμένους διαφθειράντων, ἀπεκομίσθησαν ἐς Κατάνην. * καὶ καταλαμβάνουσι τὴν Σαλαμινίαν ναῦν ἐκ τῶν Ἀθηνῶν ἥκουσαν ἐπί τε Ἀλκιβιάδην, ὡς κελεύσοντας ἀποπλεῖν ἐς ἀπολογίαν ὧν ἡ πόλις ἐνεκάλει, καὶ ἐπ' ἄλλους τινὰς τῶν στρατιωτῶν τῶν μετ' αὐτοῦ μεμηνυμένων περὶ τῶν μυστηρίων ὡς ἀσεβούντων, τῶν δὲ καὶ περὶ τῶν Ἑρμῶν. οἱ γὰρ Ἀθηναῖοι, ἐπειδὴ ἡ στρατιὰ ἀπέπλευσεν, οὐδὲν ἧσσον ζήτησιν ἐποιοῦντο τῶν περὶ τὰ μυστήρια καὶ τῶν περὶ τοὺς Ἑρμᾶς δραθέντων, καὶ οὐ δοκιμάζοντες τοὺς μηνυτὰς, ἀλλὰ πάντας ὑπόπτως ἀποδεχόμενοι, διὰ πονηρῶν ἀνθρώπων πίστιν πάνυ χρηστοὺς τῶν πολιτῶν ξυλλαμβάνοντες κατέδουν, χρησιμώτερον ἡγούμενοι εἶναι βα-

53. Interim navis Salaminia ad Alcibiadem Athenas arcessendum advenerat. Acriter enim quaerentibus Atheniensibus tum de mysteriis pollutis, tum de violatis Mercurii simulacris, omnia suspecta videbantur. Quare sontes insontes in vincula conjecerunt, in memoriam revocantes Pisistrati-

εἶναι] τοῖς Καμαριναίοις. 1. Ἄπρακτοι δὲ γενόμενοι] οἱ Ἀθηναῖοι. 4. Τῶν ψιλῶν] τῶν Ἀθηναίων. 13. Καὶ οὐ δοκιμάζοντες τοὺς μηνυτὰς] οὐ διακρίνοντες (φησί) τοὺς μηνυτὰς, πότερον ψεύδονται ἢ ἀληθεύουσιν, ἀλλ' ἁπλῶς πᾶσι πιστεύοντες, διὰ τὸ προσέχειν τοῖς πονηροῖς μηνυταῖς, ἐνίους τῶν πολιτῶν χρηστοὺς ὄντας κατέδουν. 14. Διὰ πονηρῶν ἀνθρώπων πίστιν] πιστεύοντες πονηροῖς ἀνθρώποις μηνυταῖς. 16. Ἡγούμενοι εἶναι] κρεῖσσον ἡγούμενοι βασανίσαι μᾶλλον τῶν χρηστῶν τινὰ καὶ ἐξευρεῖν τὴν ἀλήθειαν, ἢ, διὰ τὸ μὴ πιστεύειν τοῖς πονηροῖς μηνυταῖς, τοὺς ἐν αἰτίᾳ γενομένους ἀπολῦσαι ἀνεξετά-

2. τι] om. P. τε L.O.

6. Τὴν Σαλαμινίαν ναῦν] De navi Salaminia vid. Schol. Aristoph. ad Aves v. 147. et 1204. aut Suidam in voce. Wass. Ναῦν, nisi, uno excepto Cod. C. omnes alii libri scripti haberent, tuto omitti posset: ut supra III. 33. et 79. apud Aristophan. loc. dict. Plutarch. Alcibiad. p. 368. et alios. Infra cap. 61. utroque modo Thucydides. Dux.

ναῦν om. O.

7. κελεύσαντας A.B.F.H.g.h. κελεύοντας i.

8. ἐπεκάλει K.

10. ὡς om. f. περὶ ἑρμῶν h.

12. ἧττον E. τῶν—καὶ] om. Q. τῶν om. d.

13. τὰς L.O.d.k.

14. πάντα E.F.H.K.L.O.c.d. f.g.h.i.k. ὑποδεχόμενοι P.g.

σανίσαι τὸ πρᾶγμα καὶ εὑρεῖν, ἢ διὰ μηνυτοῦ πονηρίαν τινὰ καὶ χρηστὸν δοκοῦντα εἶναι αἰτιαθέντα ἀνέλεγκτον διαφυγεῖν. ἐπιστάμενος γὰρ ὁ δῆμος ἀκοῇ τὴν Πεισιστράτου καὶ τῶν παίδων τυραννίδα χαλεπὴν τελευτῶσαν γενομένην, καὶ προσέτι οὐδ' ὑφ' ἑαυτῶν καὶ Ἁρμοδίου καταλυθεῖσαν ἀλλ' ὑπὸ Λακεδαιμονίων, ἐφοβεῖτο ἀεὶ καὶ πάντα ὑπόπτως ἐλάμβανε.

darum dominationem, Lacedæmoniorum demum auxilio sublatam; cujus rei verisimilem, quam quæ vulgo tum ferebatur, rationem

Τὸ γὰρ Ἀριστογείτονος καὶ Ἁρμοδίου τόλμημα δι' ἐρωτικὴν ξυντυχίαν ἐπεχειρήθη, ἣν ἐγὼ ἐπὶ πλέον διηγησάμενος ἀποφανῶ οὔτε τοὺς ἄλλους οὔτε αὐτοὺς Ἀθηναίους περὶ τῶν σφετέρων τυράννων, οὐδὲ περὶ τοῦ γενομένου, ἀκριβὲς οὐδὲν λέγοντας. Πεισιστράτου γὰρ γηραιοῦ τελευτήσαντος ἐν τῇ τυραννίδι, οὐχ Ἵππαρχος, ὥσπερ οἱ 54—59. exponit.

στους. 3. Ἐπιστάμενος γὰρ ὁ δῆμος ἀκοῇ] γνῶσιν ἔχοντες ἐξ ἀκοῆς. 4. Τελευτῶσαν] γενομένην ἐν τοῖς τελευταίοις χρόνοις. 5. Οὐδ' ὑφ' ἑαυτῶν] οὔτε ὑπὸ Ἀθηναίων κοινῇ, οὔτε ὑπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος. 8. Δι' ἐρωτικὴν ξυντυχίαν] ἔρωτος σύμβασιν. 9. Ἐπεχειρήθη] ἐτολμήθη. Ἐπι-

1. εὑρεῖν διὰ E.
2. αἰτιασθέντα d.
6. καταλυθεῖσαν om. K.
ὑπὸ λακεδαιμονίων A.B.E.F.H. K.c.f.g.h.
10. ἀποφανῶ i.
αὐτοὺς] τοὺς L.O.P.

13. Οὐχ Ἵππαρχος &c.] De Hippia et Hipparcho, uter horum natu major, magnum sane inter maximos Auctores est dissidium. Hippiam quidem Thucydides dicit, ac, constare id sibi liquido, affirmat; atque ex Thucydide (ut videtur) Scholiastes Comici in Vespis, Polyænus, l. V. et Libanius in Declam. xxix. Contra Plato Hipparchum statuit in Dialogo ejus nominis, et hunc sequutus Ælianus Var. Hist. l. VIII. c. 2. Platonis sententiæ ut accedam, (inquit Meursius,) facit Heraclides Ponticus, qui in fragmentis operis de Rebuspubl. in catalogo tyrannorum post Pisistratum parentem primo loco Hipparchum ponit, secundo Thessalum, tertioque demum Hippiam; cui consentit Clidemus, antiquissimus rerum Atticarum scriptor, citatus ab Athenæo, lib. xiii. Huds. Disertissime omnium, quorum auctoritas in hac re valere debet, contra, quam Thucydides, scribit Plato: (ὁ Ἵππαρχος) τῶν Πεισιστράτου παίδων ἦν πρεσβύτατος καὶ σοφώτατος. E Clidemi verbis apud Athenæum XIII. ult. Ἐξέδωκε δὲ (Pisistratus) Ἱππάρχῳ τῷ υἱεῖ Φύην, τῷ μετὰ αὐτὸν τυραννεύσαντι, et ex Heraclidæ libello de Rebuspubl. hoc non pro certis-

πολλοὶ οἴονται, ἀλλ' Ἱππίας, πρεσβύτατος ὢν, ἔσχε τὴν ἀρχήν. γενομένου δὲ Ἁρμοδίου ὥρᾳ ἡλικίας λαμπροῦ, Ἀριστογείτων, ἀνὴρ τῶν ἀστῶν, μέσος πολίτης, ἐραστὴς

πλέον διηγησάμενος] μακροτέρᾳ διηγήσει χρησάμενος. 2. Ὥρᾳ ἡλικίας λαμπροῦ] ἐπιφανεστάτου ἐν τῇ ἀκμῇ. 3. Μέσος πολίτης] οὔτε ἐπιφανὴς

simo confici potest. Nam neque semper, qui patri in imperio succedit, est natu maximus fratrum: neque Scriptores in enumerandis pluribus fratribus ubique ordinem ætatis et nascendi sequuntur; quod exemplis, si opus esset, ostendi posset. Clidemus autem ille, si, quod putant Meursius in Pisistrato cap. 11. et Vossius lib. III. de Historic. Græc. idem est, qui in Pausania X. 15. antiquissimus rerum Atticarum scriptor Clitodemus; tamen Thucydide non vetustior fuit, ut constat ex eodem loco Pausaniæ. E recentioribus alii Thucydidem, quem auctorem nominat Scholiastes Aristoph. Vesp. v. 500. et Lysistr. 619. alii Platonem, sequuti sunt. Probabile est, quod putat Perizonius ad Ælianum, diversitatem hanc sententiarum et confusionem ex eo ortam, quod Pisistrati filii communiter summam potestatem Athenis obtinuerunt. Nam, consortes tyrannidis fuisse, non solum ex iis, quæ paullo post disputat Meursius, verum etiam ex aliis Scriptoribus, liquet. Heraclides l. d. etiam Thessalum tyrannidem tenuisse, dicit: Ἵππαρχος, ὁ υἱὸς Πεισιστράτου, παιδιόδης ἦν, καὶ ἐρωτικὸς, καὶ φιλόμουσος. Θεσσαλὸς δὲ νεώτερος, καὶ θρασύς. Τοῦτον ΤΥΡΑΝΝΟΥΝΤΑ μὴ δυνηθέντες ἀνελεῖν, Ἵππαρχον ἀπέκτειναν τὸν ἀδελφὸν αὐτοῦ. Ἱππίας δὲ πικρότερον ἐ-

τυράννει. Item Diodorus Sicul. in Excerpt. Peiresc. p. 250. Ὅτι Θετταλὸς, ὁ Πεισιστράτου υἱὸς, σοφὸς ὑπάρχων, ἀπείπατο τὴν τυραννίδα, καὶ τὴν ἰσότητα ζηλώσας, μεγάλης ἀποδοχῆς ἠξιοῦτο παρὰ τοῖς πολίταις. οἱ δὲ ἄλλοι, Ἵππαρχος καὶ Ἱππίας, βίαιοι καὶ χαλεποὶ καθεστῶτες ἐτυράννουν τῆς πόλεως. Et ita possunt accipi verba Clidemi de Hipparcho, τῷ μετὰ αὐτὸν τυραννεύσαντι· nam etiam is τυραννεύει, qui non solus, sed una cum aliis, tyrannidem tenet. Duk. Hipparchum dialogum non esse Platonis satis jam constat. Meursium refellit Evers Diss. de procœmio Thucydidis.

3. Μέσος πολίτης] Lucianus de Parasit. p. 262. Τί δέ; οὐχὶ καὶ Ἀριστογείτων, δημοτικὸς ὢν καὶ πένης, ὅστερ Θουκυδίδης φησὶ, παράσιτος ἦν Ἁρμοδίου; Videtur verba Thucydidis ad argumentum, in quo versabatur, adcommodasse. Nam Aristoteles IV. Polit. 11. et 12. μέσους πολίτας medios inter πλουσίους et πένητας ponit, et, eos esse, dicit, qui neque nimis divites, neque nimis pauperes sunt. Et Plutarchus Solon. princ. Ἀνδρὸς οὐσίᾳ μὲν, ὡς φασὶ, καὶ δυνάμει μέσου τῶν πολιτῶν. Fortassis ex hoc genere civium sunt, quos Latini *patres familias* dicunt. Livius I. 45. II. 36. Suetonius Aug. cap. 59. Calig. 26. et Domit. 10. et e Livio Valerius M. VII. 3. 1. Duk.

ὧν εἶχεν αὐτόν. πειραθεὶς δὲ ὁ Ἀρμόδιος ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου, καὶ οὐ πεισθεὶς, καταγορεύει τῷ Ἀριστογείτονι. ὁ δὲ ἐρωτικῶς περιαλγήσας, καὶ φοβηθεὶς τὴν Ἱππάρχου δύναμιν μὴ βίᾳ προσαγάγηται αὐτὸν, ἐπιβουλεύει εὐθὺς, ὡς ἀπὸ τῆς ὑπαρχούσης ἀξιώσεως, κατάλυσιν τῇ τυραννίδι. καὶ ἐν τούτῳ ὁ Ἱππαρχος, ὡς αὖθις πειράσας οὐδὲν μᾶλλον ἔπειθε τὸν Ἀρμόδιον, βίαιον μὲν οὐδὲν ἐβούλετο δρᾶν, ἐν τόπῳ δέ τινι ἀφανεῖ, ὡς οὐ διὰ τοῦτο δὴ, παρεσκευάζετο προπηλακιῶν αὐτόν. οὐδὲ γὰρ τὴν ἄλλην ἀρχὴν ἐπαχθὴς ἦν ἐς τοὺς πολλοὺς, ἀλλ' ἀνεπιφθόνως κατεστήσατο· καὶ ἐπετήδευσαν ἐπὶ πλεῖστον δὴ τύραννοι οὗτοι ἀρετὴν καὶ ξύνεσιν, καὶ Ἀθηναίους εἰκοστὴν μόνον πρασσόμενοι τῶν γιγνομένων τήν τε πόλιν

δηλωτι ὥστε ἄδοξος. 1. Πειραθεὶς] ἐρωτικὴν πεῖραν δεξάμενος. 2. Τοῦ Πεισιστράτου] υἱοῦ δηλονότι. Καὶ οὐ πεισθεὶς] αὐτῷ ἐρῶντι δηλονότι. Καταγορεύει τῷ Ἀριστογείτονι] μηνύει τῷ ἐραστῇ αὐτοῦ. 3. Ὁ δὲ, ἐρωτικῶς περιαλγήσας] περιπαθὴς γεγονὼς ἐπὶ τῷ ἔρωτι. 4. Αὐτὸν] τὸν Ἀρμόδιον. 5. Ὡς ἀπὸ τῆς ὑπαρχούσης ἀξιώσεως] ὡς κατὰ τὴν ὑπάρχουσαν αὐτῷ δύναμιν. ἦν γὰρ μέσος πολίτης. 8. Ἐν τόπῳ δέ τινι ἀφανεῖ] ἐμηχανᾶτο κρύφα προπηλακίσαι τὸν Ἀρμόδιον, ὡς δι' ἄλλην αἰτίαν τινὰ καὶ οὐ διὰ τὸ μὴ τυχεῖν αὐτοῦ. 11. Ἀνεπιφθόνως] οὐ μεμπτῶς. Κατεστήσατο] εὐτάκτησεν. Ἐπὶ πλεῖστον] χρόνον δηλονότι. 12. Ἀρετὴν] δικαιοσύνην. 13. Εἰκοστὴν] μοῖραν. Πρασσόμενοι] ἀπαιτοῦντες.

1. Εἶχεν αὐτόν.] Ita hac voce usus apud Laërtium II. 75. Aristippus. Nec abeunt Latini. Terentius: "quis Chrysidem *habuit?*" Wass.

πειρασθεὶς g.

Πειραθεὶς—Ἀριστογείτονι] Suidas in πειρᾶν. Pindarus Pyth. II. 60. Διὸς ἄκοιτιν ΕΠΕΙΡΑΤΟ. Vide Aristoph. Plut. v. 1068. Confer Aristot. Rhetor. p. 112. Max. Tyrium VIII. p. 83. Eustathium in Iliad. ϐ'. p. 445. qui hic πειρασθεὶς legit. Sed Noster alibi hac voce utitur. Cæterum aliam Hipparchi cædis causam memorat Plato p. 513. Wass. Πειραθεὶς habet etiam Thom. Magister in πειρῶ. Sed, quod hic πειρᾶσθαι exponit συνεύειν, et πείρασιν cap. seq. σύνευσιν, vel ipsius, vel alterius, qui locum corrupit, error est. Duk.

4. προσάγηται Q.k.

6. τῆς τυραννίδος Q.

8. ἐβουλεύετο E.

ἐν τόπῳ] τρόπῳ Levesquius.

9. δὴ om. f.

10. ἐς] πρὸς d.

11. ἐπιφθόνως Q.

13. τε] δὲ L.

Εἰκοστὴν] Vide Spanhemi-

αὐτῶν καλῶς διεκόσμησαν καὶ τοὺς πολέμους διέφερον καὶ ἐς τὰ ἱερὰ ἔθυον. τὰ δὲ ἄλλα αὐτὴ ἡ πόλις τοῖς πρὶν κειμένοις νόμοις ἐχρῆτο, πλὴν καθ' ὅσον αἰεί τινα ἐπεμέλοντο σφῶν αὐτῶν ἐν ταῖς ἀρχαῖς εἶναι. καὶ ἄλλοι τε αὐτῶν ἦρξαν τὴν ἐνιαυσίαν Ἀθηναίοις ἀρχὴν καὶ Πει- 5
σίστρατος ὁ Ἱππίου τοῦ τυραννεύσαντος υἱὸς, τοῦ πάππου ἔχων τοὔνομα, ὃς τῶν δώδεκα θεῶν βωμὸν τὸν ἐν τῇ ἀγορᾷ ἄρχων ἀνέθηκε, καὶ τὸν τοῦ Ἀπόλλωνος ἐν Πυθίου. καὶ τῷ μὲν ἐν τῇ ἀγορᾷ προσοικοδομήσας ὕστερον ὁ δῆ-
μος Ἀθηναίων μεῖζον μῆκος τοῦ βωμοῦ, ἠφάνισε τοὐπί- 10

2. Τοῖς πρὶν κειμένοις νόμοις ἐχρῆτο] πολιτευομένοις. 4. Ἐπεμέλοντο] προενοοῦντο οἱ περὶ Πεισίστρατον, ὅστε αἰεί τινα ἐξ αὐτῶν ἄρχειν. 9. Προσοι-

um de Usu et Præstant. Numism. Dissert. XIII. pag. 551. Pisistratus exigebat δεκάτην τῶν ἐν τῇ χώρᾳ γενομένων. Meurs. in Pisistr. cap. 6. 7. et 9. Duk.

1. Καὶ τοὺς πολέμους διέφερον] Hoc Scholiastes Cass. exponit διήνυον. Et sic omnes Interpretes acceperunt, ut, I. 11. Εἰ ἄνευ λῃστείας καὶ γεωργίας ξυνεχῶς τὸν πόλεμον διέφερον, i. e. ὑπέμενον, ἐξήνυον· qua significatione etiam Dionysium Halicarn. sæpe dicere διαφέρειν τὸν πόλεμον, ostendit Stephanus ad Dionys. pag. 741. Hujus loci sententiæ tamen non male videtur convenire, ut διαφέρειν sit *præstare, excellere, eminere*, et τοὺς πολέμους διέφερον, idem, quod alibi Thucydides et alii dicunt, ἀγαθοὶ, vel ἄριστοι ἦσαν τὰ πολέμια. Lucianus Dial. mortuor. pag. 286. Πάντων σχεδὸν τῶν πρὸ ἐμοῦ φημὶ διανοηκεῖν τὰ πολέμια. Plato apud Stephanum διαφέρειν ἐν τῷ πολέμῳ. Et Thucydides II. 29. Διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. Pausanias I. 23. de Pisistrato et Hippia: Περιέσδρου φιλάνθρωποι μᾶλλον καὶ σοφώτεροι τά τε πολεμικὰ ἦσαν. Duk.

2. αὖτη A.F.H.g.

5. ἐνιαυσίαν A.B.E.F.H.g.h.

7. ὃς] Delendum censeo.

θεῶν] ἑθνῶν k.

τὸν] τῶν L.

8. ἄρχων om. K.

Ἀπόλλωνος ἐν Πυθίου] Πύθιον templum Apollinis apud Athenienses memorat Thucydides II. 15. De eo plura legi possunt in Meursii Pisistr. cap. 9. 17. et Athen. Attic. II. 12. Portus quidem pro Πυθίου conjicit Πυθίῳ, sed addit etiam retineri posse Πυθίου, nempe τεμένει, ut infra in Epigrammate; vel, ἱερῷ. Hoc præferendum est conjecturæ. Philostratus I. de Vitis Sophistar. 9. apud Meursium, ἐν τῷ τοῦ Πυθίου ἱερῷ. Duk.

ἐκ πυθίου K.

9. τῷ] τὸν P.h.

ἐν om. g.

γραμμα· τοῦ δ' ἐν Πυθίου ἔτι καὶ νῦν δῆλόν ἐστιν, ἀμυδροῖς γράμμασι, λέγον τάδε·

μνῆμα τόδ' ἧς ἀρχῆς Πεισίστρατος Ἱππίου υἱὸς
θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τεμένει.

Ὅτι δὲ πρεσβύτατος ὢν Ἱππίας ἦρξεν, εἰδὼς μὲν καὶ 55.
ἀκοῇ ἀκριβέστερον ἄλλων ἰσχυρίζομαι, γνοίη δ' ἄν τις καὶ αὐτῷ τούτῳ· παῖδες γὰρ αὐτῷ μόνῳ φαίνονται τῶν γνησίων ἀδελφῶν γενόμενοι, ὡς ὅ τε βωμὸς σημαίνει καὶ ἡ στήλη περὶ τῆς τῶν τυράννων ἀδικίας, ἡ ἐν τῇ Ἀθηναίων ἀκροπόλει σταθεῖσα, ἐν ᾗ Θεσσαλοῦ μὲν οὐδ' Ἱππάρχου οὐδεὶς παῖς γέγραπται, Ἱππίου δὲ πέντε, οἱ αὐτῷ ἐκ Μυρρίνης τῆς Καλλίου τοῦ Ὑπερεχίδου θυγατρὸς ἐγένοντο· εἰκὸς γὰρ ἦν τὸν πρεσβύτατον πρῶτον γῆμαι· καὶ ἐν τῇ πρώτῃ στήλῃ πρῶτος γέγραπται μετὰ τὸν πατέρα, οὐδὲ τοῦτο ἀπεικότως, διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ τυραννεῦσαι. οὐ μὴν οὐδ' ἂν κατασχεῖν μοι δοκεῖ ποτὲ Ἱππίας τὸ παραχρῆμα ῥᾳδίως τὴν τυραννίδα, εἰ Ἵππαρχος μὲν ἐν τῇ ἀρχῇ ὢν ἀπέθανεν, αὐτὸς δὲ αὐθημερὸν καθίστατο· ἀλλὰ καὶ διὰ τὸ πρότερον ξύνηθες τοῖς μὲν πο-

κοδομήσας] ἐκαυξήσας. 5. Πρεσβύτατος] πρῶτος τῶν ἄλλων υἱῶν τοῦ Πεισιστράτου. 7. Αὐτῷ ταύτῳ] τῷ ῥηθησομένῳ. Αὐτῷ] τῷ Ἱππίᾳ. 15. Διὰ τὸ πρεσβεύειν] διὰ τὸ τῶν ἐξ αὐτοῦ πρεσβύτατον εἶναι. 18. Καθίστατο] λείπει, τὰ τῆς ἀρχῆς πράγματα. 19. Ἀλλὰ καὶ διὰ τὸ πρότερον]

1. ἐκ K.

7. μόνῳ A.B.E.F.H.L.O.Q.c. d.e.f.g.h.k.

Τῶν γνησίων ἀδελφῶν] Quatuor Pisistratidas fuisse, dicit Scholiastes Aristoph. ad Vesp. v. 500. et Lysistr. 619. Ex his unus erat nothus, Hegesistratus. Meursius in Pisistr. c. 10. Duk.

8. γιγνόμενοι d.

10. ἱππάρχου καὶ οὐδεὶς L.O.

11. αὐτοὶ E.

Ἐκ Μυρρίνης] Vide Meursii Pisistratum cap. 16. Duk.

12. μορίνης g.

ὑπερεχίδου A.B.E.F.H.c.f.g.h.k. ὑπερεχίου Q. vulgo ὑπεροχίδου.

14. πρώτῃ] αὐτῇ γρ. h.

15. Ἀπεικότως] Thom. Magister, et ἀπεικότως supra legit. Wass. Ἀπεικότως est I. 73. et VIII. 68. Πρεσβεύειν Idem ex hoc loco adfert, et exponit in πρεσβεύονται. Duk.

16. δοκῇ E.F.H.Q.c.f.g.

19. ἀλλὰ διὰ e.

λίταις φοβερὸν, ἐς δὲ τοὺς ἐπικούρους ἀκριβὲς, πολλῷ τῷ περιόντι τοῦ ἀσφαλοῦς κατεκράτησε, καὶ οὐχ ὡς ἀδελφὸς νεώτερος ὢν ἠπόρησεν, ἐν ᾧ οὐ πρότερον ξυνεχῶς ὠμιλήκει τῇ ἀρχῇ. Ἱππάρχῳ δὲ ξυνέβη τοῦ πάθους τῇ δυστυχίᾳ ὀνομασθέντα καὶ τὴν δόξαν τῆς τυραννίδος ἐς τὰ ἔπειτα προσλαβεῖν.

56. Τὸν δ' οὖν Ἁρμόδιον ἀπαρνηθέντα τὴν πεῖρασιν, ὥσπερ διενοεῖτο, προὐπηλάκισεν· ἀδελφὴν γὰρ αὐτοῦ κόρην ἐπαγγείλαντες ἥκειν κανοῦν οἴσουσαν ἐν πομπῇ τινὶ, ἀπήλασαν λέγοντες οὐδὲ ἐπαγγεῖλαι τὴν ἀρχὴν διὰ τὸ μὴ ἀξίαν εἶναι. χαλεπῶς δὲ ἐνεγκόντος τοῦ Ἁρμοδίου, πολλῷ δὴ μᾶλλον δι' ἐκεῖνον καὶ ὁ Ἀριστογείτων παρωξύνετο. καὶ αὐτοῖς τὰ μὲν ἄλλα πρὸς τοὺς ξυνεπιθησο-

ἀλλὰ διὰ τὸ ἐκ μακροῦ χρόνου τοῖς μὲν πολίταις σύνηθες ἐμπεποιηκέναι τοῦ φοβεῖσθαι αὐτὸν, τοῖς δορυφόροις δὲ τοῦ φυλάττειν ἐπιμελῶς, ἐκ πολλοῦ τοῦ περιόντος ἀσφαλῶς ἐκράτει. 1. Ἐπικούρους] φύλακας. 2. Καὶ οὐχ ὡς ἀδελφὸς] οὐχ, ὡς νεώτερος ὤν, ἐν ἀπορίᾳ ἐγένετο τοῦ πῶς δεῖ καταστήσασθαι τὴν ἀρχήν. 3. Ἐν ᾧ οὐ πρότερον] διὰ τὸ μὴ πρότερον ἄρχειν μεμελετηκέναι. 4. Τῇ δυστυχίᾳ ὀνομασθέντα] διὰ τὴν συμπεσοῦσαν αὐτῷ δυστυχίαν ὀνομασθέντα, ὀνομαστὸν γενόμενον, ὑπολειφθῆναι ὅτι ἐτυράννησεν. 7. Ἀπαρνηθέντα] ἀρνησάμενον ὁμιλῆσαι τῷ πειρῶντι. 9. Ἐπαγγείλαντες] ἀντὶ τοῦ προστάξαντες. Ἐν πομπῇ τινὶ] ἐν πανηγύρει. 12. Παρώξυνετο] ἐθυμοῦτο.

1. τῷ πολλῷ K.
3. νέος K.
ὑπόρησεν H.
4. ὠμίλησε g.
5. δυσταχίαι E.
ὀνομασθέντι P.Q.d.f.e.i.k.
ἐς] πρὸς d.
7. οὖν] αὖ L.O.P.Q.
πειρασίαν E.
9. ἀπαγγειλαντες B.h. ἐπαγγείλαντος f.k.
Κανοῦν οἴσουσαν] Vide Meursii Panathenæa cap. 23. HUDS. Non solum Panathenæis, sed etiam aliis quibusdam diebus festis, virgines canistra gestabant apud Athenienses: τοῖς τε Παναθηναίοις καὶ ταῖς ἄλλαις πομπαῖς, dicit Philochorus apud Harpocrationem in κανηφόροι. Et apertum est ex hoc loco Thucydidis, in quo πομπὴ, qua soror Harmodii prohibita est canistrum ferre, a Panathenæis distinguitur. Vid. Perizonium ad Æl. Var. Hist. 11, 8. ubi et alia ad hanc historiam inlustrandam pertinentia adnotata sunt. DUK.
12. καὶ ἀριστογείτων δι' ἐκεῖνον Q. καὶ ὁ ἀρ. δι' ἐκεῖνον A.B.E.F. H.L.N.O.P. f.g.h.i.k. ceteri om. articulum.

μένους τῷ ἔργῳ ἐπέπρακτο, περιέμενον δὲ Παναθήναια τὰ μεγάλα, ἐν ᾗ μόνον ἡμέρᾳ οὐχ ὕποπτον ἐγίγνετο ἐν ὅπλοις τῶν πολιτῶν τοὺς τὴν πομπὴν πέμψαντας ἀθρόους γενέσθαι· καὶ ἔδει ἄρξαι μὲν αὐτοὺς, ξυνεπαμύνειν δὲ εὐθὺς τὰ πρὸς τοὺς δορυφόρους ἐκείνους. ἦσαν δὲ οὐ πολλοὶ οἱ ξυνομωμοκότες, ἀσφαλείας οὕνεκα· ἤλπιζον γὰρ καὶ τοὺς μὴ προειδότας, εἰ καὶ ὁποσοιοῦν τολμήσειαν, ἐκ τοῦ παραχρῆμα, ἔχοντάς γε ὅπλα, ἐθελήσειν

5. Τὰ πρὸς τοὺς δορυφόρους] ἦγουν εἰς τά. 7. Καὶ τοὺς μὴ προειδότας] τὴν

1. τῶν ἔργων K.

2. ἐγένετο G.

Ἐν ὅπλοις] Etiam apud alias gentes morem fuisse, ut solennibus quibusdam sacris pompæ ab armatis ducerentur, ostendit e Dionysio Halic. VII. 72. et Polybio IV. 35. Luisinus II. Parerg. I. Duk.

3. πέμψαντας F.L.O.Q.h.

Πέμψαντας] Huc respexit, opinor, Suidas in πέμπειν, ubi, quum docuisset, *Menandrum* πέμπειν dixisse pro πομπεύειν, addit: Καὶ πέμψαντες, τὸ πομπεύσαντες, παρὰ Θουκυδίδῃ. Est satis obvium genus loquendi. Lucianus Dial. Zephyri et Noti pag. 259. Τίνα ταύτην λέγεις, ὦ Ζέφυρε, τὴν πομπήν; ἢ τίνες οἱ πέμποντες ἦσαν; Pausanias Attic. cap. II. Οἰκοδόμημα ἐς παρασκευήν ἐστι τῶν πομπῶν, ἃς πέμπουσι. Demosthenes I. Philipp. pag. 34. Aristophanes Acharn. v. 247. Pollux VIII. 94. Eustathius in Iliad. ι'. p. 762. Ἰστέον, ὅτι πέμπειν, παρὰ τοῖς μεθ' Ὅμηρον, καὶ τὸ στέλλεσθαι θριαμβικῶς. ὅθεν καὶ πομπὴ ὁ θρίαμβος, ὃν προέλευσιν ἡ κοινὴ γλῶσσα καλεῖ. Προελεύσεις sunt pompæ, quas Latini recentioribus temporibus *processus* dixerunt, de quibus est l. 41. et l. 42. *D. de Donation. int. vir. et uxor.* προόδους vocat Justinianus Nov. CV. Duk.

5. δὲ πολλοὶ ξυνομωμοκότες L.O. P.k. articulum om. et Q.

6. ξυνομοκότες H. ξυνωμοκότες K. ἕνεκα H.K.

Οὕνεκα] Gr. ἕνεκα, quomodo semper Thucydides, inquit T. Magister, pro οὗ ἕνεκα· sed hæc ejus interpretatio huic loco disconvenit. Apud Homerum, sed in capite sententiæ, valet *quoniam*. Aristoph. Plut. v. 991. ἀλλὰ φιλίας οὕνεκα. et sic Batr. 1461. Lysias, τῆς ἀδελφῆς οὕνεκα. Et pro *quia* Sophocles Ajace. Noster vix alibi. Wass. Itaque non in universum verum est, quod scribit Ammonius: Οὕνεκα μὲν σημαίνει τὸ ὅτι, Ἕνεκα δὲ χάριν. Duk.

7. εἰ om. B.h.

καὶ om. d.i.

ὁποσοιοῦν A.B.O.b.c f.g. ὁπόσοι οὖν F.H.K.h. ὁπόσοι οὐ E. ὁπόσοι ἂν L. ὁποσοῦν P. ὁπωσοῦν d.i.k. vulgo ὁπωστιοῦν.

7. γε δὴ ὅπλα h.

57. σφᾶς αὐτοὺς ξυνελευθεροῦν. * καὶ ὡς ἐπῆλθεν ἡ ἑορτή, Ἱππίας μὲν ἔξω ἐν τῷ Κεραμεικῷ καλουμένῳ μετὰ τῶν δορυφόρων διεκόσμει, ὡς ἕκαστα ἐχρῆν τῆς πομπῆς προϊέναι· ὁ δὲ Ἁρμόδιος καὶ ὁ Ἀριστογείτων, ἔχοντες ἤδη τὰ ἐγχειρίδια, ἐς τὸ ἔργον προήεσαν. καὶ ὡς εἶδόν τινα τῶν ξυνωμοτῶν σφίσι διαλεγόμενον οἰκείως τῷ Ἱππίᾳ (ἦν δὲ πᾶσιν εὐπρόσοδος ὁ Ἱππίας), ἔδεισαν, καὶ ἐνόμισαν μεμηνῦσθαί τε καὶ ὅσον οὐκ ἤδη ξυλληφθήσεσθαι. τὸν λυπήσαντα οὖν σφᾶς, καὶ δι' ὅπερ πάντα ἐκινδύνευον, ἐβούλοντο πρότερον, εἰ δύναιντο, προτιμωρήσεσθαι, καὶ ὥσπερ εἶχον, ὥρμησαν εἴσω τῶν πυλῶν, καὶ περιέτυχον τῷ Ἱππάρχῳ παρὰ τὸ Λεωκόριον καλούμενον, καὶ εὐθὺς ἀπερισκέπτως προσπεσόντες καὶ ὡς ἂν μάλιστα δι' ὀργῆς, ὁ μὲν ἐρωτικῆς, ὁ δὲ ὑβρισμένος, ἔτυπτον, καὶ ἀποκτείνουσιν αὐτόν. καὶ ὁ μὲν τοὺς δορυφόρους τὸ αὐτίκα

ἐπιβουλὴν δηλονότι. 2. Ἔξω ἐν τῷ Κεραμεικῷ] ἔξω τῆς πόλεως. 6. Οἰκείως] φιλικῶς. 8. Τὸν λυπήσαντα οὖν] τὸν Ἵππαρχον.

4. καὶ ἀριστογείτων B.h.
5. ὡς om. d.i.
6. σφίσι om. d.
οἰκείως om. Q.
9. οὖν λυπήσαντα h.
ὅπερ A.B.E.F.H.K.N.Q.c.d.e. f.g.h. vulgo οὕνεκα.
10. προτιμωρήσασθαι A.B.E.F. H.L.O.e.f.g.h.k. πρότερον τιμωρήσασθαι K. ceteri προτιμωρήσασθαι.

Προτιμωρήσασθαι] In Gr. πρότερον τιμωρ. est apertum vitium librarii: nam sufficiebat, semel poni πρότερον. Πρότερον προτιμωρήσασθαι eodem pleonasmo dicit, quo I. 3. Πρὶ γὰρ τῶν Τρωϊκῶν οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ Ἑλλάς. Et V. 84. Πρὶν ἀδικεῖν τι τῆς γῆς λόγους πρῶτον ποιησομένους ἔπεμψαν πρέσβεις. Sophocles Ajac. v. 108. Πρὶν ἂν—μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάσῃ. Sic Virg. IV. Æn. 24. *prius ante quam.* Duk.

12. περὶ h. κατὰ Q.
Λεωκόριον] Leocorium (ut dicit Ælianus Var. Hist. lib. 12. c. 28.) Athenis erat templum filiarum Leo, (sc.) Praxitheæ, Theopeæ, Eubulæ. Has pro salute civitatis Minervæ occisas esse fama est, quum Leos pater eas tradidisset propter oraculum Delphicum, quod monebat, aliter non posse servari urbem, nisi illæ mactarentur. Vide Suidam, Ciceronem l. 3. de Nat. Deor. Meursii Panath. p. 30. et Ceramicum Gem. c. 17. Hudd.
καὶ sumpsi à g.
15. Τοὺς δορυφόρους] Quos Λυκόποδες appellatos esse, docet Suidas, quia pellibus lupinis crura

διαφεύγει ὁ Ἀριστογείτων, ξυνθαμόντος τοῦ ὄχλου, καὶ ὕστερον ληφθεὶς οὐ ῥᾳδίως διετέθη· Ἁρμόδιος δὲ αὐτοῦ παραχρῆμα ἀπόλλυται. * ἀγγελθέντος δὲ Ἱππίᾳ ἐς 58.
τὸν Κεραμεικὸν, οὐκ ἐπὶ τὸ γενόμενον ἀλλ' ἐπὶ τοὺς πομπέας τοὺς ὁπλίτας, πρότερον ἢ αἰσθέσθαι αὐτοὺς ἄπωθεν ὄντας, εὐθὺς ἐχώρησε, καὶ ἀδήλως τῇ ὄψει πλασάμενος πρὸς τὴν ξυμφορὰν ἐκέλευσεν αὐτοὺς, δείξας τι χωρίον, ἀπελθεῖν ἐς αὐτὸ ἄνευ τῶν ὅπλων. καὶ οἱ μὲν ἀνεχώρησαν, οἰόμενοί τι ἐρεῖν αὐτόν· ὁ δὲ τοῖς ἐπικούροις φράσας τὰ ὅπλα ὑπολαβεῖν, ἐξελέγετο εὐθὺς οὓς ἐπητιᾶτο καὶ εἴ τις εὑρεθῇ ἐγχειρίδιον ἔχων· μετὰ γὰρ ἀσπίδος καὶ δόρατος εἰώθεσαν τὰς πομπὰς ποιεῖν.

Τοιούτῳ μὲν τρόπῳ δι' ἐρωτικὴν λύπην ἥ τε ἀρχὴ τῆς 59.
ἐπιβουλῆς καὶ ἡ ἀλόγιστος τόλμα ἐκ τοῦ παραχρῆμα περιδεοῦς Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐγένετο. τοῖς δ' Ἀθηναίοις χαλεπωτέρα μετὰ τοῦτο ἡ τυραννὶς κατέστη,

2. Οὐ ῥᾳδίως διετέθη] ἤτοι χαλεπῶς διετέθη, ἢ οὐ ῥᾳδίως οὐδὲ εὐκόλως ἀνῃρέθη. ἦγουν οὐ διάθεσιν τιμωριῶν ἐλάμβανεν ῥᾳδίαν ἐνεγκεῖν. 5. Πρότερον ἢ αἰσθέσθαι] ἤτοι οὔπω ᾐσθημένων τὰ περὶ τὸν Ἵππαρχον τῶν τὴν πομπὴν πεμπόντων ὁπλιτῶν, διὰ τὸ ἄπωθεν εἶναι. 6. Ἀδήλως τῇ ὄψει πλασάμενος] ὑποκρινάμενος φαιδρὸς εἶναι τῷ προσώπῳ. ἦγουν ἀσύγχυτον τὴν ἑαυτοῦ ὄψιν τηρήσας, καὶ μὴ ὑπεμφαίνουσαν τεκμήριον τοῦ πάθους. 10. Ὑπολαβεῖν] ὑφαρπάσαι. Ἐξελέγετο] κατ' ἐκλογὴν ἐλάμβανεν. 14. Ἐκ τοῦ παραχρῆμα περιδεοῦς] ἐκ τοῦ εἰθέως φόβου καὶ τοῦ φοβηθέντας αὐτοὺς, ὡς μεμηνυμένους, ἀλογίστῳ

semper tecta habebant, vel, quia in clypeis lupi insigne gestabant. Hudson. Aristophanes Lysistr. v. 665. ita vocat Alcmæonidas, quorum opera Pisistratidæ deinde Athenis pulsi sunt. Vide Meursii Pisistr. cap. XVI.* Duk.

4. τὸ L.O.
5. αἴσθεσθαι A.E.F.
7. τι] τε L.
9. εὑρεῖν i.k.
10. ἀπολαβεῖν L. O. P. i. k. φέρειν K.f.
11. εὑρεθεὶη L.
12. εἰώθεσαν A.B.F.G.H.K.P. g.h.k. vulgo εἰώθησαν.

Suidas in Ἔωθὸς scribit, Thucydidem dicere ἐώθεσαν. Vix a me impetrare possum, ut illi credam. Eustathius in Iliad. θ'. p. 720. v. 408. tradit, Ionicum esse ἔωθα pro εἴωθα· at Etymol. M. Auctor, Æolicum. Duk.

πομπὰς A.B.E.F.H.N.g.h. ceteri προπομπάς.
πέμπειν γρ. h.

καὶ ὁ Ἱππίας διὰ φόβου ἤδη μᾶλλον ὢν τῶν τε πολιτῶν πολλοὺς ἔκτεινε, καὶ πρὸς τὰ ἔξω ἅμα διεσκοπεῖτο, εἴ πόθεν ἀσφάλειάν τινα ὄψοιτο μεταβολῆς γενομένης ὑπάρχουσάν οἱ. Ἱππόκλου γοῦν τοῦ Λαμψακηνοῦ τυράννου Αἰαντίδῃ τῇ παιδὶ θυγατέρα ἑαυτοῦ μετὰ ταῦτα Ἀρχεδίκην, Ἀθηναῖος ὢν Λαμψακηνῷ, ἔδωκεν, αἰσθανόμενος αὐτοὺς μέγα παρὰ βασιλεῖ Δαρείῳ δύνασθαι. καὶ αὐτῆς σῆμα ἐν Λαμψάκῳ ἐστὶν, ἐπίγραμμα ἔχον τόδε·

ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις·
ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων
παίδων τ', οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.

τυραννεύσας δὲ ἔτη τρία Ἱππίας ἔτι Ἀθηναίων, καὶ παυθεὶς ἐν τῷ τετάρτῳ ὑπὸ Λακεδαιμονίων καὶ Ἀλκμαιωνι-

τόλμῃ ἐπὶ τὸν Ἵππαρχον χωρῆσαι. 1. Διὰ φόβου] ἤγουν φοβούμενος. 3. Εἰ πόθεν ἀσφ.] εἴ τις αὐτῷ ἀσφάλεια γένοιτο ἐάσαντι τὴν τυραννίδα. 13. Ἔτι] ἤγουν μετὰ τὸν φόνον τοῦ Ἱππάρχου.

1. ἤδη om. L.O.P.d.i.k.
3. τινα om. g.
γινομένης e.
4. ὑπόκλου f.
5. αἰαντίδι K.P.b.f.k.
6. αἰσθόμενος O.
8. λαψάκῳ F.H.
τάδε i.
9. Ἀνδρὸς] Epig. Simonidis. Hephæst. et hic legit ἀτασθαλίαν. Wass. Vide Casauboni Epistolam CCCCLXVII. Edit. Roterod. Duk.
10. ἀρχεδίκης A.
κεύθει K.
11. τ' om. i.
12. νοῦν ἐασαστασθαλίην E.
13. παυθεὶς A.B.L.O.g.h.i.k. vulgo παυσθείς.
14. Ἐν τῷ τετάρτῳ] Olymp. LXVII. anno 2. Petitus IV. Eclog. Chronolog. 9. et Valesius ad Excerpta Peiresc. pag. 42. Dodvellus in Annalib. Thucyd. anno 3. Duk.

ἀλδ' B. ἀλδῶν h. qui supra γρ. ἀλκμαιωνιδῶν.
Ἀλκμαιωνιδῶν] Alcmæonidæ non ab Alcmæone Amphiarai originem duxerunt, sed ab alio, qui ex Nestoris filii posteritate ab Heraclidis Messenia pulsus Athenas venit, ut refert Pausan. l. 2. A Pisistratidis autem urbe ejecti, quòd tyrannis infesti erant, a Lacedæmoniis consequuti sunt, ut restituerentur, Hudson. Historiam ejecti Hippiæ pluribus exsequitur Meursius Pisistr. cap. XVI. Duk.

δῶν τῶν φευγόντων, ἐχώρει ὑπόσπονδος ἔς τε Σίγειον καὶ παρ' Αἰαντίδην ἐς Λάμψακον, ἐκεῖθεν δὲ ὡς βασιλέα Δαρεῖον, ὅθεν καὶ ὁρμώμενος ἐς Μαραθῶνα ὕστερον ἔτει εἰκοστῷ, ἤδη γέρων ὤν, μετὰ Μήδων ἐστράτευσεν.

60. Tandem unus ex iis, qui in vinculis erant, ut populum suspicione liberaret, et contra se, et

Ὧν ἐνθυμούμενος ὁ δῆμος ὁ τῶν Ἀθηναίων, καὶ μιμησκόμενος ὅσα ἀκοῇ περὶ αὐτῶν ἠπίστατο, χαλεπὸς ἦν τότε καὶ ὑπόπτης ἐς τοὺς περὶ τῶν μυστικῶν τὴν αἰτίαν λαβόντας, καὶ πάντα αὐτοῖς ἐδόκει ἐπὶ ξυναμοσίᾳ ὀλιγαρχικῇ καὶ τυραννικῇ πεπρᾶχθαι. καὶ ὡς αὐτῶν διὰ τὸ τοιοῦτον ὀργιζομένων πολλοί τε καὶ ἀξιόλογοι ἄνθρωποι

1. Τυόσπονδος] τοῖς Ἀθηναίοις δηλονότι. 7. Τυόπτης] τοὺς ὕπνους φασὶ,

1. ὑπεχώρει b.

Ἔς τε Σίγειον] In promtu causa est, cur Sigeum se conferret Hippias: nam id temporis ejus urbis dominus erat Hegesistratus, frater nothus, a Pisistrato patre impositus; ut docet Meursius, in Pisistrato, cap. 10. HUDS.

2. Λάμψακον] *Lampsacos* Ovid. olim Πιτύουσα Deilochus *Cyzicenus*. Epaphroditus apud Athenæum Πιτύειαν Homeri putat. Πιτυόεσσα apud Plutarch. audit. de virt. Mulier. vid. Schol. Apollon. I. 933. aliis item *Labdacus*. Erycius Epigrammatarius ἱερὴν ideo appellavit, quia Priapo, hoc est, Baccho, sacra erat. In 1 Maccab. xv. 23. *Sampsana* vocatur. Ita Codd. fere Gr. Lat. Syriac. Vide Steph. in Σάμψα, Salmas. ad Solinum, et Drusium. Nomen deducit Polyænus a Lampsaca, Mandronis filia, VIII. 37. Condita urbs, pro calculo Syncelli, A. M. 4852. Verius Phalaridis ætate circa 3434. Gentilia Λαμψακηνὸς apud Nostrum, et Diodor. et Λαμψάκιος in Lapide Gruteriano. Quam formam sequuntur Latini, ut ex Villicorum Inscriptione patet: " Dum tua pomiferum custodia " protegit hortum, etc. Lam- " psacios melior non imbuet " hostia cultros, Quam veniet " nostra victima cæsa manu." Historia ejus petatur ab Herodoto V. 117. Xenoph. p. 455. Polyb. XVII. p. 1072. Livio XLIII. 6. Diodor. p. 788. 791. Appiano p. 87. 222. Polyæno II. 1. 26. Zosimo II. 100. V. p. 314. Socrate Hist. Eccles. V. 8. De Lampsacenorum laudibus adi Ciceronem. Hodie Turcis *Lepseke*, ut nos docet Leunclavius Annal. Nonnulla addunt Whelerus Itin. p. 76. et Motraye I. 303. WASS.

4. μετὰ μῆδον P. om. k.

5. δῆμος] μῆδος P.

6. αὐτὸν g.

ὑφίστατο g.

7. ὕπνους B.K.h. sed margo B. σημ. ὑπόπτης.

Τυόπτης] Imitatur Ælianus Var. Hist. 4, 18. ὑπόπτης ἦν εἰς πάντας ὁ Διονύσιος. De iis, quæ Scholiastes hic adnotat, adi Interpretes Pollucis I. 197. DUK.

9. καὶ τυραννικῇ om. Q. καὶ τυρανίδι correctus h.

contra alios (vere an non, incertum) indicium de Mercurii simulacris fecit, et cum iis ex comprehensis, quos non accusaverat, absolutus est; quorum autem nomina detulerat, eos omnes populus Atheniensis, indiciis constitutis, aut captos interfecit, aut absentes morte damnavit; jure an injuria, non liquet.

ἤδη ἐν τῷ δεσμωτηρίῳ ἦσαν, καὶ οὐκ ἐν παύλῃ ἐφαίνετο, ἀλλὰ καθ' ἡμέραν ἐπεδίδοσαν μᾶλλον ἐς τὸ ἀγριώτερόν τε καὶ πλείους ἔτι ξυλλαμβάνειν, ἐνταῦθα ἀναπείθεται εἷς τῶν δεδεμένων, ὅσπερ ἐδόκει αἰτιώτατος εἶναι, ὑπὸ τῶν ξυνδεσμωτῶν τινὸς, εἴτε ἄρα καὶ τὰ ὄντα μηνῦσαι εἴτε καὶ οὔ· ἐπ' ἀμφότερα γὰρ εἰκάζεται, τὸ δὲ σαφὲς οὐδεὶς οὔτε τότε οὔτε ὕστερον ἔχει εἰπεῖν περὶ τῶν δρασάντων τὸ ἔργον. λέγων δὲ ἔπεισεν αὐτὸν, ὡς χρὴ, εἰ μὴ καὶ δέδρακεν, αὑτόν τε ἄδειαν ποιησάμενον σῶσαι καὶ τὴν πόλιν τῆς παρούσης ὑποψίας παῦσαι· βεβαιοτέραν γὰρ αὐτῷ σωτηρίαν εἶναι ὁμολογήσαντι μετ' ἀδείας, ἢ ἀρνηθέντι διὰ δίκης ἐλθεῖν. καὶ ὁ μὲν αὐτός τε καθ' ἑαυτοῦ καὶ κατ' ἄλλων μηνύει τὸ τῶν Ἑρμῶν· ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων ἄσμενος λαβὼν, ὡς ᾤετο, τὸ σαφὲς, καὶ δεινὸν ποιούμενοι πρότερον, εἰ τοὺς ἐπιβουλεύοντας σφῶν τῷ πλήθει μὴ εἴσονται, τὸν μὲν μηνυτὴν εὐθὺς καὶ τοὺς ἄλλους μετ' αὐτοῦ, ὅσων μὴ κατηγορήκει, ἔλυσαν, τοὺς δὲ

ταρασσομένους, ὑπόπτας λέγεσθαι. 1. Καὶ οὐκ ἐν παύλῃ ἐφαίνετο] οὐδεμία ἀπόπαυσις τοῦ συλλαμβάνειν τοὺς ἄνδρας καὶ ζήτησιν ποιεῖσθαι τῶν γενομένων. 8. Λέγων δὲ] ὁ συνδεσμώτης. 9. Ἄδειαν ποιησάμενον σῶσαι] ἀντὶ τοῦ, ἐν ἀδείᾳ γενόμενον σωθῆναι. 10. Παῦσαι] κατειπόντα δηλονότι.

1. ἐν παύλῃ] ἀνάπαυλα Toupius (1. p. 257.) post Reiskium.

Ἐν παύλῃ] Male Thom. Magister in ἀνάπαυλα· τὸ δὲ παῦλα ἀδόκιμον. Usi sunt præter Thucydidem etiam Plato, Aristoteles, Socrates apud Scholiasten Aristoph. Nub. V. 94. et Dionysius Halic. plus semel. Duk.

4. Εἷς τῶν δεδεμένων] Andocides Orator. Plutarchus Alcib. qui ei Timæum quemdam, singularis calliditatis et audaciæ hominem, hujus consilii auctorem fuisse, et decreto publico iis, qui se ipsi indicassent, impunitatem promissam, scribit. Duk.

ὥσπερ A.B.
6. εἴτε οὔ P.
δικάζεται B.
7. οὐδεὶς L.O.
8. εἰ καὶ μὴ δέδρακεν αὐτὸν δὲ d.
10. παῦσαι] σῶσαι γρ. h.
γὰρ om. O.
11. ἀρθέντι O.
12. διὰ] μετὰ g.
δίκης] θήκης k.
ἑαυτὸν A.B.E.F.P.
13. κατὰ τῶν ἄλλων Q.
14. ᾤετο σαφὲς δεινὸν καὶ δεινὸν ποιούμενοι e.
15. ποιησάμενοι L.
16. οἴσονται g.
17. προκατηγορήκει L.

καταιτιαθέντας, κρίσεις ποιήσαντες, τοὺς μὲν ἀπέκτειναν, ὅσοι ξυνελήφθησαν, τῶν δὲ διαφυγόντων θάνατον καταγνόντες ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι. κἀν τούτῳ οἱ μὲν παθόντες ἄδηλον ἦν εἰ ἀδίκως ἐτετιμώρηντο, ἡ μέντοι ἄλλη πόλις ἐν τῷ παρόντι περιφανῶς ὠφέλητο.

61. Et ad Alcibiadem aliosque nonnullos, quorum delata erant nomina, arcessendos navis Salaminia in Siciliam mittitur. Qui quidem imperio obsecuti cum Salaminia

* Περὶ δὲ τοῦ Ἀλκιβιάδου, ἐναγόντων τῶν ἐχθρῶν, οἵπερ καὶ πρὶν ἐκπλεῖν αὐτὸν ἐπέθεντο, χαλεπῶς οἱ Ἀθηναῖοι ἐλάμβανον· καὶ ἐπειδὴ τὸ τῶν Ἑρμῶν ᾤοντο σαφὲς ἔχειν, πολὺ δὴ μᾶλλον καὶ τὰ μυστικὰ, ὧν ἐπαίτιος ἦν, μετὰ τοῦ αὐτοῦ λόγου καὶ τῆς ξυνωμοσίας ἐπὶ τῷ δήμῳ ἀπ' ἐκείνου ἐδόκει πραχθῆναι. καὶ γάρ τις καὶ στρατιὰ Λακεδαιμονίων οὐ πολλὴ ἔτυχε κατὰ τὸν καιρὸν τοῦτον, ἐν ᾧ περὶ ταῦτα ἐθορυβοῦντο, μέχρι ἰσθμοῦ παρελθοῦσα, πρὸς Βοιωτούς τι πράσσοντες. ἐδόκει οὖν ἐκείνου πράξαν-

3. Ἐπανεῖπον] εἶπον. τουτέστιν ὑπέσχοντο καὶ ἐκήρυξαν. 5. Ὠφέλητο]

1. καταιτιαθέντας A.E.F.H.c. g.h.

3. Ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι] Huc refer decretum de Diagora Melio, qui ἄθεος dicebatur; quod sic inscriptum fuit columnæ: ἐάν τις ἀποκτείνῃ Διαγόραν τὸν Μήλιον, λαμβάνειν ἀργυρίου τάλαντον· recitat Aristophanes in Avibus. *Palmerius* in Exercitat. pag. 54. Hudb. Ad hunc locum fortassis respexit Pollux II. 118. ἐπανειπεῖν ἀργύριον, οἷον ἐπικηρύξαι. Videtur pro eodem habuisse ἐπανειπεῖν et ἐπικηρύττειν ἀργύριον τινί. Sed est inter hæc discrimen. Nam in illo dativus refertur ad eum, cui præmium promittitur, in hoc ad eum, in cujus caput pecunia statuitur; nam usitatius est de hac re ἐπικηρύξαι. Vide Ammonium in ἐπικηρύξαι, et Valesium ad notas Maussaci in Harpocrationem, v. ἐπικεκηρύχθαι. Pollux IV. 93. ἐπικηρύττειν χρήματα τινί. Duk. κἀν] καὶ e.

4. παθοῦντες K. πεῖθοντες e. ἀδίκως L.O.P.

5. περιφανῶς ἐν τῷ παρόντι e.

7. ἐκετίθεντο γρ. h.

8. σαφῶς L.O.P.d.k.

11. παραχθῆναι g. τις στρατιὰ E.

12. πολὺ k.

14. πρὸς] ὡς g. πρὸς τοὺς h.

Πρὸς Βοιωτούς τι πράσσοντες] Valla πρὸς Βοιωτοὺς vertit, cum Bœotis. Recte accepit de clandestino aliquo consilio et conatu cum Bœotis adversus Athenienses, quibus utrique inimici, ipsi autem inter se socii et amici erant, ut e lib. V. constat. Sic, πρός τινα πράσσειν, adversus alium scilicet, dixit Thucydides III. 28. IV. 68. 74. 103. et 114. Duk.

πράσσοντας A.E.h.

ἐκείνου om. h.

proficiscuntur, Thuriis vero clam effugiunt in Peloponnesum.

τος, καὶ οὐ Βοιωτῶν ἕνεκα, ἀπὸ ξυνθήματος ἥκειν, καὶ εἰ μὴ ἔφθασαν δὴ αὐτοὶ κατὰ τὸ μήνυμα ξυλλαβόντες τοὺς ἄνδρας, προδοθῆναι ἂν ἡ πόλις. καί τινα μίαν νύκτα καὶ κατέδαρθον ἐν Θησείῳ τῷ ἐν πόλει ἐν ὅπλοις. οἵ τε ξένοι τοῦ Ἀλκιβιάδου οἱ ἐν Ἄργει κατὰ τὸν αὐτὸν χρόνον ὑπωπτεύθησαν τῷ δήμῳ ἐπιτίθεσθαι· καὶ τοὺς ὁμήρους τῶν Ἀργείων τοὺς ἐν ταῖς νήσοις κειμένους οἱ Ἀθηναῖοι τότε παρέδοσαν τῷ Ἀργείων δήμῳ διὰ ταῦτα διαχρήσασθαι. πανταχόθεν τε περιεστήκει ὑποψία ἐς τὸν Ἀλκιβιάδην. ὥστε βουλόμενοι αὐτὸν ἐς κρίσιν ἀγαγόντες ἀποκτεῖναι, πέμπουσιν οὕτω τὴν Σαλαμινίαν ναῦν ἐς τὴν Σικελίαν ἐπί τε ἐκεῖνον καὶ ὧν πέρι ἄλλων ἐμεμήνυτο. εἴρητο δὲ προειπεῖν αὐτῷ ἀπολογησομένῳ ἀκολουθεῖν, ξυλλαμβάνειν δὲ μή, θεραπεύοντες τό τε πρὸς τοὺς ἐν τῇ

οὐ γὰρ ὑπώπτευον ἔτι ἀλλήλους. 4. Καὶ κατέδαρθον] ἀπὸ κοινοῦ τὸ, ἡ πόλις. 8. Διὰ ταῦτα] διὰ τὰ κατηγορημένα τοῦ Ἀλκιβιάδου, καὶ διὰ τοὺς ξένους αὐτοῦ τοὺς ἐν Ἄργει, ὑποπτευθέντας ἐπιτίθεσθαι τοῖς Ἀργείοις, οἱ Ἀθηναῖοι παρέδωκαν τῷ δήμῳ τῶν Ἀργείων τοὺς ὁμήρους τοὺς ἐν ταῖς νήσοις ὑποκειμένους, ὡς οἰκείους ὄντας τῶν τοῦ Ἀλκιβιάδου ξένων. 13. Προειπεῖν αὐτῷ] εἰρήκεσαν δὲ ὥστε προειπεῖν αὐτῷ. 14. Τό τε πρὸς τοὺς ἐν τῇ Σικελίᾳ] τὸ τότε οὐκ ἔστι

2. ἔφασαν B.h.

4. Ἐν Θησείῳ &c.] Vide *Meursii* Athen. Attic. p. 38. &c. Ejusdemque Lect. Attic. l. 5. c. 15. HUDS.

6. καὶ ὁμήρους O. καὶ δὴ ὁμήρους Q.

8. τότε om. Q.

διαχρήσεσθαι A.E.K.d.e.g.k. χρήσεσθαι B.h.i.

9. περιεστήκει F.L.O.Q.h.k.

Τυφλία] Scholiastes Aristophanis ad Lysistr. v. 1096. scribit, auctorem facinoris mutilatorum Hermarum a Thucydide prodi Alcibiadem. Hoc, quod sciam, nusquam disertis verbis dicit Thucydides, sed nihil aliud, quam, suspicionem illam fuisse, et cap. præced. numquam auctores illius pro certo potuisse sciri. Quod, a Philochoro hoc Corinthiis tributum, narrat, id pluribus exponit Plutarchus in Alcib. Deinde apud eum legendum est: μόνον δὲ, φησὶν, οὐ περικοπῆναι τὸν Ἀνδοκίδου Ἑρμῆν, addita particula negante, quæ non recte abest. Andocides Orat. de Mysteriis pag. 203. Ὁ Ἑρμῆς, ὃν ὁρᾶτε πάντες, ὁ παρὰ πατρῴαν οἰκίαν τὴν ἡμετέραν —οὐ περιεκόπη μόνος τῶν Ἑρμῶν τῶν Ἀθήνησιν. Et ita omnes alii. Vid. Lambinum ad Cornel. Nep. Alcib. cap. III. DUK.

13. ἀπολογησαμένῳ A.B.E.H. K.g.h. ἀκολουθησομένῳ d.i.

14. πρὸς om. f.

τῇ om. d.i.

Σικελίᾳ στρατιώτας τε σφετέρους καὶ πολεμίους μὴ θορυβεῖν, καὶ οὐχ ἥκιστα τοὺς Μαντινέας καὶ Ἀργείους βουλόμενοι παραμεῖναι, δι' ἐκείνου νομίζοντες πεισθῆναι σφᾶς ξυστρατεύειν. καὶ ὁ μὲν, ἔχων τὴν ἑαυτοῦ ναῦν, καὶ οἱ ξυνδιαβεβλημένοι ἀπέπλεον μετὰ τῆς Σαλαμινίας ἐκ τῆς Σικελίας ὡς ἐς τὰς Ἀθήνας· καὶ ἐπειδὴ ἐγένοντο ἐν Θουρίοις, οὐκέτι ξυνείποντο, ἀλλ' ἀπελθόντες ἀπὸ τῆς νεὼς οὐ φανεροὶ ἦσαν, δείσαντες τὸ ἐπὶ διαβολῇ ἐς δίκην καταπλεῦσαι. οἱ δ' ἐκ τῆς Σαλαμινίας τέως μὲν ἐζήτουν τὸν Ἀλκιβιάδην καὶ τοὺς μετ' αὐτοῦ· ὡς δ' οὐδαμοῦ φανεροὶ ἦσαν, ᾤχοντο ἀποπλέοντες. ὁ δὲ Ἀλκιβιάδης, ἤδη φυγὰς ὤν, οὐ πολὺ ὕστερον ἐπὶ πλοίου ἐπεραιώθη ἐς Πελοπόννησον ἐκ τῆς Θουρίας· οἱ δ' Ἀθηναῖοι ἐρήμῃ δίκῃ θάνατον κατέγνωσαν αὐτοῦ τε καὶ τῶν μετ' ἐκείνου.

62. Exercitu bifariam diviso, duces Atheniensium a septemtrione Siciliam circumnavigant, Hyccara urbem capiunt et Segesta-

Μετὰ δὲ ταῦτα οἱ λοιποὶ τῶν Ἀθηναίων στρατηγοὶ ἐν τῇ Σικελίᾳ, δύο μέρη ποιήσαντες τοῦ στρατεύματος καὶ λαχὼν ἑκάτερος, ἔπλεον ξὺν παντὶ ἐπὶ Σελινοῦντος καὶ Ἐγέστης, βουλόμενοι μὲν εἰδέναι τὰ χρήματα εἰ δώσουσιν οἱ Ἐγεσταῖοι, κατασκέψασθαι δὲ καὶ τῶν Σελινουντίων τὰ πράγματα, καὶ τὰ διάφορα μαθεῖν τὰ πρὸς Ἐγεσταίους. παραπλέοντες δ' ἐν ἀριστερᾷ τὴν Σικελίαν,

χρονικὸν, ἀλλ' ἀνέστραπται οὕτω, θεραπεύοντές τε τὸ πρὸς τοὺς ἐν τῇ Σικελίᾳ στρατιώτας τε σφετέρους καὶ πολεμίους μὴ θορυβεῖν, ὥστε μηδένα θόρυβον, συλληφθέντος τοῦ Ἀλκιβιάδου, μήτε ἀπὸ τῶν Ἀττικῶν στρατιωτῶν ἀγανακτούντων γενέσθαι, μήτε ἀπὸ τῶν πολεμίων καταφρονησάντων. 8. Δείσαντες τὸ ἐπὶ διαβολῇ] προσδιαβεβλημένοι ἐπὶ δίκην κατοπλεῦσαι. 21. Ἐν

1. στρατιώτας σφετέρους L. στρατιώτας τε τοὺς σφετέρους f.
3. πεισθῆναι σφᾶς om. d.i. suspectum utique σφᾶς.
6. ὡς om. H.i.
12. πολὺ A.B.E.F.H.K.L.N. O.P.Q.c.e.g.h.i.k. vulgo πολλῷ.
14. τε om. i.
18. μὲν] δὲ Q.
19. οἱ om. K.f.
20. παρ' K. e. πρὸς παρ' d.i. k.
21. παραπλεύσαντες A.B.h.

nis tradunt. Nicias, triginta talentis Segestæ acceptis, sequitur exercitum per Siciliam Catanam revertentem. Hybla Geleatis frustra tentata.

τὸ μέρος τὸ πρὸς τὸν Τυρσηνικὸν κόλπον, ἔσχον ἐς Ἱμέραν, ἥπερ μόνη ἐν τούτῳ τῷ μέρει τῆς Σικελίας Ἑλλὰς πόλις ἐστί· καὶ ὡς οὐκ ἐδέχοντο αὐτοὺς, παρεκομίζοντο. καὶ ἐν τῷ παράπλῳ αἱροῦσιν Ὕκκαρα, πόλισμα Σικανικὸν μέν, Ἐγεσταίοις δὲ πολέμιον· ἦν δὲ παραθαλασσίδιον. καὶ ἀνδραποδίσαντες τὴν πόλιν παρέδοσαν Ἐγεσταίοις (παρεγένοντο γὰρ αὐτῶν ἱππῆς), αὐτοὶ δὲ πάλιν τῷ μὲν πεζῷ ἐχώρουν διὰ τῶν Σικελῶν, ἕως ἀφίκοντο ἐς Κατάνην, αἱ δὲ νῆες περιέπλευσαν, τὰ ἀνδράποδα ἄγουσαι. Νικίας δὲ εὐθὺς ἐξ Ὑκκάρων ἐπὶ Ἐγέστης παραπλεύσας, καὶ τἆλλα χρηματίσας καὶ λαβὼν τάλαντα τριάκοντα παρῆν ἐς τὸ στράτευμα· καὶ τἀνδρά-

ἀριστερᾷ] δυτικώτατα αὐτῆς. 3. Οὐκ ἐδέχοντο] οἱ Ἱμεραῖοι. 7. Παρεγένοντο γὰρ] τοῖς Ἀθηναίοις. Αὐτῶν] τῶν Ἐγεσταίων.

1. ἱμέραν K.L.f. ἡμέραν g.
3. ἐδέχετο d.
4. ὕκαρα g.i. ὕκλαρα O.
Ὕκκαρα] Ὕκκαρον scribit Steph. cum Philisto, eoque modo etiam Timæus et Nymphodorus apud Athenæum. τὰ Ὕκκαρα Pausan. et MSS. Gr. Cl. Apollodorus in Chronicis, et, laudante Athenæo, Polemon; cujus verba exscripsisse videtur Schol. Aristoph. ad Plut. 179. Ita etiam Diodorus et Plutarchus. Nomen a piscibus, quos ὕκκας vocant. In Athenæi Cod. Regio ὕκης scribitur. Hesychius ὕκος, ἐρυθρῖνος, et ita vocasse Cyrenæos τὸν ὕκκην, affirmat Zenodotus. Oppian. Hal. V. 628. ἦν δ' ἐσίδωνται Κάλλιχθυν, τότε δή σφι νέον μέγα θάρσος ἱκάνει. Eadem tamen Anthiæ tribuit Aristoteles. Ibi certe bis legendum μολύβου, et semel πέτρῃ. Conjunctim veniunt apud Ciceronem III. Verr. §. 43. Jetini, Citarini, *Acherini*. *Scherini* reponunt; sed, cum inter Jetinos et Acherinos interposuerit orator *Citarinos*, nescio, an *Hyccarinos*, vel *Hyccarenses*, legendum sit. Hodie, juxta Fazellum VII. 16. *Carini*. Parutæ numus ab Harduino adductus omnino ad *Icaram* spectat. Wass. De Hyccaris vide Interpretes Stephani ad Εὐκαρπία et Ὕκκαρα, et Cluverium II. Sicil. Ant. 2. pag. 272. Duk.
σικανὸν K.e.f.
6. ἐγεσταίοις K.N.
7. γὰρ] δὲ d.
αὐτοῖς f.
8. σικελικῶν P.
10. ἔχουσαι d.
εὐθὺς om. i.
11. Χρηματίσας] Melius Portus, quam Valla et Acacius, qui χρηματίζειν *pecunias cogere* interpretantur. Vide Suidam, h. v. Budæum in Commentar. Ling. Gr. pag. 259. et quæ supra ad V. 61. adnotata sunt. Duk.

πόδα ἀπέθοσαν, καὶ ἐγένοντο ἐξ αὐτῶν εἴκοσι καὶ ἑκατὸν τάλαντα. καὶ ἐς τοὺς τῶν Σικελῶν ξυμμάχους περιέπλευσαν, στρατιὰν κελεύοντες πέμπειν· τῇ τε ἡμισείᾳ τῆς ἑαυτῶν ἦλθον ἐπὶ Ὕβλαν τὴν Γελεᾶτιν, πολεμίαν οὖσαν, καὶ οὐχ εἷλον. καὶ τὸ θέρος ἐτελεύτα.

63. Hieme ineunte utrimque et ab Atheniensibus et a Syracusanis ad pugnam paratur, vel instigantibus Syracusanis et jam ad pugnam provocantibus.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς τὴν ἔφοδον οἱ Ἀθηναῖοι ἐπὶ Συρακούσας παρεσκευάζοντο, οἱ δὲ Συρακόσιοι καὶ αὐτοὶ ὡς ἐπ' ἐκείνους ἰόντες. ἐπειδὴ γὰρ αὐτοῖς πρὸς τὸν πρῶτον φόβον καὶ τὴν προσδοκίαν οἱ Ἀθηναῖοι οὐκ εὐθὺς ἐπέκειντο, κατά τε τὴν ἡμέραν ἑκάστην προϊοῦσαν ἀνεθάρσουν μᾶλλον, καὶ ἐπειδὴ πλέοντες τά τε ἐπέκεινα τῆς Σικελίας πολὺ ἀπὸ σφῶν ἐφαίνοντο, καὶ πρὸς τὴν Ὕβλαν ἐλθόντες καὶ πειράσαντες οὐχ εἷλον βίᾳ, ἔτι πλέον κατεφρόνησαν, καὶ ἠξίουν τοὺς στρατηγούς, οἷον δὴ ὄχλος φιλεῖ θαρσήσας ποιεῖν, ἄγειν σφᾶς ἐπὶ Κατάνην, ἐπειδὴ οὐκ ἐκεῖνοι ἐφ' ἑαυτοὺς ἔρχονται. ἱππῆς τε προσελαύνοντες ἀεὶ κατάσκοποι τῶν Συρακοσίων πρὸς τὸ στράτευμα τῶν Ἀθηναίων, ἐφύβριζον ἄλλα τε καὶ εἰ ξυνοικήσοντες σφίσιν αὐτοῖς μᾶλλον ἥκοιεν ἐν τῇ ἀλλοτρίᾳ, ἢ Λεοντίνους ἐς τὴν οἰκείαν κατοικιοῦντες.

64. Atheniensium strategema.

* Ἀ γιγνώσκοντες οἱ στρατηγοὶ τῶν Ἀθηναίων, καὶ βουλόμενοι αὐτοὺς

18. Καὶ εἰ ξυνοικήσοντες] οἷον εἰ γαμηθησόμενοι· τὸ δὲ εἰ ἀντὶ τοῦ πότερον κεῖται. 21. Οἱ στρατηγοὶ τῶν Ἀθηναίων] οἱ στρατηγοὶ τῶν Ἀθηναίων, προσελαυνόντων τῶν Συρακουσίων καὶ ἐνυβριζόντων, ἀγανακτοῦντες, βουλόμενοί τε

1. αὐτοῦ f.
Εἴκοσι καὶ ἑκατὸν τάλαντα] Ἐκ τῶν λαφύρων συνήγαγεν ἑκατὸν τάλαντα· Diodor. p. 333. C. et XXX. ab Egestæis. Wass.
2. τοὺς om. K.
4. πολεμίαν P.
οὖσαν] πόλιν L.O.P.
9. τὴν om. E.
12. ἐφαίνοντο A.B.E.F.H.K.N. Q.c.d.g.h. vulgo ἐφαίνετο.
14. πλέον] μᾶλλον Q.
16. ἐπειδὴ A.B.E.F.H.K.L.N. O.P.c.d.e.g.h.i.k. vulgo ἐπειδή γε. καὶ ἱππεῖς προσελαύνοντες L.O. Q. ἱππῆς (vel ἱππεῖς) προσελαύνοντες A B.E.F.K.b.c.d.e.g.k.
18. καὶ εἰ] καὶ A.B.k. ὡς O.P. d.e.
20. κατοικοῦντες B.

ἄγειν παυδημεὶ ἐκ τῆς πόλεως ὅτι πλεῖστον, αὐτοὶ δὲ ταῖς ναυσὶν ἐν τοσούτῳ ὑπὸ νύκτα παραπλεύσαντες στρατόπεδον καταλαβεῖν ἐν ἐπιτηδείῳ καθ' ἡσυχίαν, εἰδότες οὐκ ἂν ὁμοίως δυνηθέντες καὶ εἰ ἐκ τῶν νεῶν πρὸς παρεσκευασμένους ἐκβιβάζοιεν ἢ κατὰ γῆν ἰόντες γνωσθείησαν (τοὺς γὰρ ἂν ψιλοὺς τοὺς σφῶν καὶ τὸν ὄχλον τῶν Συρακοσίων τοὺς ἱππέας πολλοὺς ὄντας, σφίσι δ' οὐ παρόντων ἱππέων, βλάπτειν ἂν μεγάλα), οὕτω δὲ λήψεσθαι χωρίον ὅθεν ὑπὸ τῶν ἱππέων οὐ βλάψονται ἄξια λόγου (ἐδίδασκον δ' αὐτοὺς περὶ τοῦ πρὸς τῷ Ὀλυμπιείῳ χωρίου, ὅπερ καὶ κατέλαβον, Συρακοσίων φυγάδες, οἳ ξυνείποντο), τοιόνδε τι οὖν, πρὸς ἃ ἐβούλοντο, οἱ στρατηγοὶ μηχανῶνται. πέμπουσιν ἄνδρα σφίσι μὲν πιστὸν,

τοὺς Συρακουσίους ποιῆσαι προσελθεῖν τάφρῳ τῆς πόλεως παυδημεὶ, ἅμα τε καὶ αὐτοὶ στρατόπεδον ἐπιτήδειον καθ' ἡσυχίαν καταλαβεῖν. 3. Καθ' ἡσυχίαν, εἰδότες] ἀπὸ κοινοῦ τὸ στρατόπεδον καταλαβεῖν· εἰδότες ὅτι οὐχ ὁμοίως οἱ Ἀθηναῖοι δυνήσονται στρατόπεδον καταλαβεῖν, οὔτ' εἰ κατὰ θάλασσαν φανερῶς καὶ προσθημένων τῶν Συρακουσίων ἐκπλέοιεν, (χαλεπὴν γὰρ ἔσεσθαι τὴν ἀπόβασιν, ἀντιταχθησομένων τῶν ἐναντίων, καὶ οὐκ ἀπαρασκεύων ὄντων,) οὔτ' εἰ κατὰ γῆν ἐκίοιεν ἐκ τοῦ φανεροῦ· (καὶ γὰρ καὶ οὗτος ἐδόκουν βλαβήσεσθαι·) διὰ ταῦτα δὴ ἀπάτῃ ἐβούλοντο χρήσασθαι, καὶ παρασχεῖν δόκησιν τοῖς Συρακουσίοις ὡς κατὰ γῆν ἴοντες, ὅπως ἐπεξελθόντες ἐκεῖνοι παυδημεὶ παρατάξωνται. 6. Τοὺς γὰρ ἂν ψιλοὺς] τούς τε ψιλοὺς τῶν Ἀθηναίων καὶ τὸν ἄλλον ὄχλον τὸν ἑπόμενον φωτο βλαβήσεσθαι. Σφῶν] τῶν Ἀθηναίων. 9. Τὸ τῶν ἱππέων] τῶν Συρακουσίων. 10. Αὐτοὺς] τοὺς στρατηγούς. 11. Οἳ ξυνείποντο] τοῖς Ἀθηναίοις. 12. Πρὸς ἃ ἐβούλοντο] πρὸς τὸ καταλαβεῖν τὸ στρατόπεδον. 13. Σφίσι] τοῖς Ἀθηναίοις.

1. παυδημὶ Q.

3. καταλαβεῖν A.B.E.F.H.L. N.O.P.Q.e.f.g. vulgo καταλαμβάνειν.

4. εἰ om. Q. οἱ B.h.

νεῶν] ἀθηναίων d. ἀθηνῶν i.

πρὸς παρασκευασμένους d.k. προπαρεσκευασμένους f.

5. ἐκβιάζοιεν A.B.E.H.L.O.P. c.f.g.

γνωσθείημεν e.

6. τοὺς σφῶν] τῶν σφῶν K.g. καὶ ὄχλον καὶ τῶν σ. Q. καὶ τὸν ὄχλον σ. f.

7. τοὺς] καὶ τοὺς L.O.P.Q.

8. βλάπτειν—ἱππέων om. L.O.

11. καὶ om. L.O.P.k.

13. Πέμπουσιν] Vid. Diodor. 333. d. Hoc Alcibiadis fuisse commentum ait Frontinus III. 6. 6. sed perperam. Pro *introductus* MS. Cantab. ibi *deductus*; bene; et pro *ipsorum*, Petrens. *sua:* rescribe, sua *ipsorum* urbe. WASS.

τοῖς δὲ τῶν Συρακοσίων στρατηγοῖς τῇ δοκήσει οὐχ ἧσσον ἐπιτήδειον· ἦν δὲ Καταναῖος ὁ ἀνὴρ, καὶ ἀπ' ἀνδρῶν ἐκ τῆς Κατάνης ἥκειν ἔφη, ὧν ἐκεῖνοι τὰ ὀνόματα ἐγίγνωσκον, καὶ ἠπίσταντο ἐν τῇ πόλει ἔτι ὑπολοίπους ὄντας τῶν σφίσιν εὐνόων. ἔλεγε δὲ τοὺς Ἀθηναίους αὐλίζεσθαι ἀπὸ τῶν ὅπλων ἐν τῇ πόλει, καὶ εἰ βούλονται ἐκεῖνοι παυθημεὶ ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπὶ τὸ στράτευμα ἐλθεῖν, αὐτοὶ μὲν ἀποκλήσειν τοὺς παρὰ σφίσι καὶ τὰς ναῦς ἐμπρήσειν, ἐκείνους δὲ ῥᾳδίως τὸ στράτευμα προσβαλόντας τῷ σταυρώματι αἱρήσειν· εἶναι δὲ ταῦτα τοὺς ξυνδράσοντας πολλοὺς Καταναίων, καὶ ἡτοιμάσθαι ἤδη, ἀφ' ὧν αὐτὸς ἥκειν. * οἱ δὲ στρατηγοὶ τῶν Συρακοσίων, μετὰ τοῦ καὶ ἐς τὰ ἄλλα θαρσεῖν καὶ εἶναι ἐν διανοίᾳ καὶ ἄνευ τούτων ἰέναι παρεσκευάσθαι ἐπὶ Κατάνην, ἐπί- 65. Decipi se patiuntur Syracusani duces, et

1. Τῇ δοκήσει] καὶ δοκοῦντα οὐχ ἧττον εἶναι φίλον ἐκείνους, ἅτερ κατὰ ἀλήθειαν τοῖς Ἀθηναίοις ἦν φίλος. 6. Ἀπὸ τῶν ὅπλων] ἤγουν χωρὶς ὅπλων. Ἐκεῖνοι] οἱ Συρακούσιοι. 10. Τῷ σταυρώματι] γράφεται στρατεύματι. 11. Καὶ ἡτοιμάσθαι ἤδη] καὶ ἑτοίμους εἶναι τοὺς ἄνδρας, παρ' ὧν αὐτὸς ἥκει. 13. Εἶναι ἐν διανοίᾳ] ἤγουν διανοεῖσθαι.

1. δ' ἄνδρα A.B.
3. ἔφη A.B.E.F.H.K.L.N.O. P.Q.c.d.e.f.g.h.i.k. vulgo ἔφησεν.
5. σφίσι τῶν e.
εὐνόων A.B.E.F.H.d.e.g.k. vulgo εὖνων.
7. στρατόπαιδον Q.
8. ἀποκλήισειν F.H.K.N.c.g.
τοὺς] αὐτοὺς A.B.E.F.H.L.O. P.Q.e.f.g.h.k.
παρὰ σφίσι om. L.
10. στρατεύματι K.L.O.P.e.f.i.
11. ξυνδράσαντας i. ξυνδράσοντας P.
14. Ἰέναι παρεσκευάσθαι ἐπὶ Κατάνην] Portus: *cum apparatu proficisci*, sequutus Vallam. Considerent alii, an Græca ita verti possint. Mihi, si ea est sententia, quam illi expresserunt, potius participium, quam infinitivus παρεσκευάσθαι, requiri videtur. Acacius nullam illius rationem habuit: nam vertit, *Catanam ducere*. Unde colligere licet, ei suspectum fuisse παρεσκευάσθαι, tamquam ab aliquo intrusum. Et sufficiebat ἰέναι ἐπὶ Κατάνην. Nam, hoc sine adparatu fieri non potuisse, facile quilibet intelligit. Thucydides III. 62. Τῇ μέντοι αὐτῇ ἰδέᾳ, ὕστερον Ἀθηναίων ἰόντων ἐπὶ τοὺς Ἕλληνας. Et IV. 93. Ἔπεισεν ἰέναι ἐπὶ τοὺς Ἀθηναίους. Omnino suspectum habeo hunc locum. Dux.
παρασκευάσθαι G.K.k. παρασκευάσασθαι N.e.f.

versus Catanam totum exercitum promovent. Interim Atheniences Syracusas tendunt,

στευσάν τε τῷ ἀνθρώπῳ πολλῷ ἀπερισκεπτότερον, καὶ εὐθὺς ἡμέραν ξυνθέμενοι ἢ παρέσονται ἀπέστειλαν αὐτὸν, καὶ αὐτοὶ (ἤδη γὰρ καὶ τῶν ξυμμάχων Σελινούντιοι καὶ ἄλλοι τινὲς παρῆσαν) προεῖπον παυδημεὶ πᾶσιν ἐξιέναι Συρακοσίοις. ἐπεὶ δὲ ἑτοῖμα αὐτοῖς καὶ τὰ τῆς παρασκευῆς ἦν, καὶ αἱ ἡμέραι ἐν αἷς ξυνέθεντο ἥξειν ἐγγὺς ἦσαν, πορευόμενοι ἐπὶ Κατάνης ηὐλίσαντο ἐπὶ τῷ Συμαίθῳ ποταμῷ ἐν τῇ Λεοντίνῃ. οἱ δ' Ἀθηναῖοι, ὡς ἤσθοντο αὐτοὺς προσιόντας, ἀναλαβόντες τό τε στράτευμα ἅπαν τὸ ἑαυτῶν καὶ ὅσοι Σικελῶν αὐτοῖς, ἢ ἄλλος τις προσεληλύθει, καὶ ἐπιβιβάσαντες ἐπὶ τὰς ναῦς καὶ τὰ πλοῖα, ὑπὸ νύκτα ἔπλευν ἐπὶ τὰς Συρακούσας. καὶ οἵ τε Ἀθηναῖοι ἅμα ἕῳ ἐξέβαινον ἐς τὸν κατὰ τὸ Ὀλυμπιεῖον,

13. Ἐς τὸν κατὰ τὸ Ὀλυμπιεῖον] τόπον ἐπιτήδειον ἐστρατοπεδεύσασθαι.

3. αὐτοὶ δὴ ἤδη h.
5. καὶ τὰ] κατὰ H.K.
6. ἐν om. f.
ξυνέθετο H.
ἐγγὺς ἦσαν] ἤγγισαν E.
7. ἐπὶ] ἐν e.
συμαίθῳ N.g. συμμαίθῳ e. σημαίθῳ L.
Συμαίθῳ] Hanc veram scripturam hujus nominis esse putant Cluverius I. Sicil. Ant. 10. et Heinsius ad Ovid. IX. Metam. 750. Dux.
9. αὐτοὺς] τοὺς i.
προσιόντας F.
13. τὸν] τὸ E.k. τὸν μέγαν λιμένα k. inter versus.
ὀλύμπιον K.L. ὀλύμπειον O.
Ἐς τὸν κατὰ τὸ Ὀλυμπιεῖον] Valla vertit, in *magnum portum* ante Olympieum. Hoc indicio est, eum in suo exemplari itidem habuisse verba μέγαν λιμένα, quæ hic in Cod. Reg. super ἐς τὸν manu recenti scripta sunt. Ea utrum e vetustis libris sumta, an a Magistro aliquo profecta sint, non facile dixerim. Sed magis suspicor, ab aliquo addita esse, qui, ita explenda, quæ ad sententiam perficiendam deesse videbantur, putaverit: vel, quod, Olympium magno portui Syracusarum vicinum esse, sciebat; ut ex iis, quæ de eo Cluverius habet, constat; vel, quod apud Diodorum Siculum lib. XIII. pag. 333. legerat: Οἱ δὲ Ἀθηναῖοι, παραπλεύσαντες εἰς τὸν μέγαν λιμένα τῶν Συρακουσίων, μετὰ πολλῆς ἡσυχίας τοῦ τε Ὀλυμπίου κύριοι κατέστησαν, καὶ πάντα τὸν παρακείμενον τόπον καταλαβόμενοι, παρεμβολὴν ἐποιήσαντο. Thucydidem scripsisse, ἐς τὸν μέγαν λιμένα, ideo mihi non persuadere possum, ut credam, quia verba μέγαν λιμένα ab omnibus aliis MSS. absunt, et, quia ἐκβαίνειν est, *e navi in terram egredi*: quod mul-

ὡς στρατόπεδον καταληψόμενοι, καὶ οἱ ἱππῆς οἱ Συρακοσίων πρῶτοι προσελάσαντες ἐς τὴν Κατάνην, καὶ αἰσθόμενοι ὅτι τὸ στράτευμα ἅπαν ἀνῆκται, ἀποστρόψαντες ἀγγέλλουσι τοῖς πεζοῖς, καὶ ξύμπαντες ἤδη ἀπατρεπόμενοι ἐβοήθουν ἐπὶ τὴν πόλιν. * ἐν τούτῳ δ' οἱ Ἀθηναῖοι, μακρᾶς οὔσης τῆς ὁδοῦ αὐτοῖς, καθ' ἡσυχίαν καθῖσαν τὸ στράτευμα ἐς χωρίον ἐπιτήδειον, καὶ ἐν ᾧ μάχης τε ἄρξειν ἔμελλον ὁπότε βούλοιντο, καὶ οἱ ἱππῆς τῶν Συρακοσίων ἥκιστ' ἂν αὐτοὺς καὶ ἐν τῷ ἔργῳ καὶ πρὸ αὐτοῦ λυπήσειν· τῇ μὲν γὰρ τειχία τε καὶ οἰκίαι εἶργον καὶ δένδρα καὶ λίμνη, παρὰ δὲ τὸ κρημνοί. καὶ τὰ ἐγγὺς δένδρα κόψαντες καὶ κατενεγκόντες ἐπὶ τὴν θάλασσαν, παρά τε τὰς ναῦς σταύρωμα ἔπηξαν, καὶ ἐπὶ τῷ Δά-

66. et idoneo loco castra et ponunt, et muniunt, sero redeuntibus Syracusanis.

3. Ἀνῆκται] ἀνέπλευσαν. Ἀποστρέψαντες] πρὸς τὰς Συρακούσας κινηθέντες. 4. Ἀπατρεπόμενοι] ὀπίσω ἐπανερχόμενοι. 6. Αὐτοῖς] τοῖς Συρακουσίοις. 7. Ἐπιτήδειον] ἁρμόδιον ὑποστρατοπεδεύσασθαι.

tis ostendi, non necesse est. Itaque, etsi verum est, quod Diodorus scribit, παραπλεύσαντες εἰς τὸν μέγαν λιμένα, tamen admodum improprie dicas, ἐξέβαινον ἐς τὸν λιμένα, si velis dicere, *navibus portum ingressi excensionem in terram fecerunt*. Scholiastes vulgatus, (nam in Cass. hoc scholion non legitur,) ita scribit, quasi putaverit, deesse τόπων· idque in interpretatione sua expressit Portus. Hoc quoque non magnopere probo, ob eam causam, quod, quum hæc vox κατ' ἔλλειψιν deest, fere adjectivum aut pronomen ponitur, cum quo conjungi possit, ut ἐν φανερῷ, ἐν ἐπιτηδείῳ, et alia, non articulus solus. Fortassis legendum est, ἐς τὸ κατὰ τὸ Ὀλυμπίειον, per ellipsin τοῦ χωρίου, vel μέρος, ut IV. 78. et alibi, τὰ ἐπὶ Θρᾴκης. Cap. seq. τῇ μὲν, τειχία τε καὶ οἰκίαι εἶργον—παρὰ δὲ τὸ, κρημνοί. Cap. 75. παρὰ πᾶν τὸ πρὸς τὰς Ἐπιπολὰς ὁρᾶν. Cap. 64. περὶ τοῦ πρὸς τῷ Ὀλυμπιείῳ χωρίου. Duk.

1. ὡς τὸ στρατόπεδον A.B.E.H.L.N.O.P.Q.c.d.g.h.i.k.
2. τὴν om. Q.
4. ἀποτραπόμενοι Q. ἀποστρεφόμενοι i.
6. καθίσαν E.F.H.K.L.O.P.b.c.g.k. καθεῖσαν h. καθίσαντο d. καθίσαντες e.
7. ἐς om. B.
9. ἔργῳ πρὸ L.O.
10. τε om. K.
οἰκία E.c.d. οἰκεῖαι f.
11. καὶ τὰ] τὰ δὲ d.
12. μετενεγκόντες L.
τὴν om. h.
13. περί h.
σταυρώματα g.

σκωνι ἔρυμά τε, ἢ ἐφοδώτατον ἦν τοῖς πολεμίοις, λίθοις λογάδην καὶ ξύλοις διὰ ταχέων ὤρθωσαν, καὶ τὴν τοῦ Ἀνάπου γέφυραν ἔλυσαν. παρασκευαζομένων δὲ ἐκ μὲν τῆς πόλεως οὐδεὶς ἐξιὼν ἐκώλυε, πρῶτοι δὲ οἱ ἱππῆς τῶν Συρακοσίων προσεβοήθησαν, ἔπειτα δὲ ὕστερον καὶ τὸ πεζὸν ἅπαν ξυνελέγη. καὶ προσῆλθον μὲν ἐγγὺς τοῦ στρατεύματος τῶν Ἀθηναίων τὸ πρῶτον, ἔπειτα δὲ, ὡς οὐκ ἀντιπροήεσαν αὐτοῖς, ἀναχωρήσαντες καὶ διαβάντες τὴν Ἑλωρινὴν ὁδὸν ἠλίσαντο.

1. Ἔρυμα] φύλαγμα. Εὐεφοδώτατον] προβῆναι δηλονότι δυνατόν. Λίθους λογάδην καὶ ξύλοις] ὅτι λογάδας ἐν τῇ τετάρτῃ λέγει λίθους τοὺς ἐκλελεκτους, καὶ οὐ τοὺς ἐπιτυχόντας, δῆλον ἐντεῦθεν. 3. Ἐκ μὲν τῆς πόλεως]

1. τε om. d.

ἐφοδώτατον A.B.E.F.H.L.N.O. P.Q.d.e.g.h.i. ἐυεφοδώτατον K. vulgo εὐεφοδώτατον. unde effeceris εὐοδώτατον.

2. Λογάδην] Scholiastes scribit, Thucydidem lib. IV. dicere λογάδας λίθους. Non memini, me hoc legere. Est ibi cap. 4. λογάδην δὲ φέροντες λίθους. et cap. 31. καὶ ἔρυμα αὐτόθι ἦν παλαιὸν, λίθων λογάδην πεποιημένον. Λογάδας Thucydides, ut alii, dicit delectos milites IV. 125. V. 60. et 73. Duk.

3. ἀνάπλου A.B.E.F.H.L.O. f.g.

ἐκ τῆς μὲν πόλεως K. ἐκ μὲν τῶν πόλεων g.

4. οὐδεὶς L.O.P. vulgo οὐθείς.

ἐκώλυσε h.

8. ἀντιπροήεσαν A.B.E.F.H.K. c.f.g.k. vulgo ἀντιπροσῆεσαν.

9. Τὴν Ἑλωρίνην ὁδὸν] Non minor est varietas in nomine Ἑλωρινὴν paullo post cap. 70. et VII. 80. Ἕλωρος prima syllaba adspirata fere scribunt Græci; et recte, si verum est etymon Servii, qui ad Virgil. III. Æn. v. 698. ab ἕλος derivat. Latini aliquanto inconstantius, *Elorus* et *Helorus*. In antiquis libris Virgilii *Helorus* esse, testatur Pierius ad Virg. l. d. Et sic in Ovidio IV. Fastor. 477. ubi et *Neapolis* videri potest, et in Silii XIV. 269. editur. Sine adspiratione in Cicerone III. in Verr. 43. et 56. IV. 26. Livio XXIV. 35. et aliis. De Heloro, unde viæ Helorinæ nomen, porro adeundus est Cluverius I. Sicil. Antiq. 13. Habet etiam nonnulla Casaubonus ad Polybium I. 6. Locum hunc Thucydidis, vel eum, qui cap. 70. legitur, ante oculos habuit Stephanus in Ἕλωρος· Θουκυδίδης δὲ ἐν ἕκτῃ καὶ Ἑλωρινὴν ὁδὸν φησι. Male ibi Berkelius, contra omnes libros, sua, ut dicit, auctoritate, pro ἐν ἕκτῃ substituit ἐν ἑβδόμῃ. Nam legitur in utroque libro. Duk.

ἑλωρινὴν A.B.E.F.L.O.P. ἑλωρινὴν H.N.g. ἑλωρίκην Q. ἑλωρίδην K. ἑλωρίδην e.k. ἑλωρίδα f. vulgo ἑλωείνην

Τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι παρεσκευάζοντο ὡς ἐς μάχην, καὶ ξυνετάξαντο ὧδε. δεξιὸν μὲν κέρας Ἀργεῖοι εἶχον καὶ Μαντινῆς, Ἀθηναῖοι δὲ τὸ μέσον, τὸ δὲ ἄλλο οἱ ξύμμαχοι οἱ ἄλλοι. καὶ τὸ μὲν ἥμισυ αὐτοῖς τοῦ στρατεύματος ἐν τῷ πρόσθεν ἦν τεταγμένον ἐπὶ ὀκτὼ, τὸ δὲ ἥμισυ ἐπὶ ταῖς εὐναῖς ἐν πλαισίῳ, ἐπὶ ὀκτὼ καὶ τοῦτο τεταγμένον· οἷς εἴρητο, ἤ ἄν τοῦ στρατεύματός τι ποθῇ μάλιστα, ἐφορῶντας παραγίγνεσθαι. καὶ τοὺς σκευοφόρους ἐντὸς τούτων τῶν ἐπιτάκτων ἐποιήσαντο. οἱ δὲ Συρακόσιοι ἔταξαν τοὺς μὲν ὁπλίτας ἐφ' ἑκκαίδεκα, ὄντας πανδημεὶ Συρακοσίους καὶ ὅσοι ξύμμαχοι παρῆσαν (ἐβοήθησαν δὲ αὐτοῖς Σελινούντιοι μὲν μάλιστα, ἔπειτα δὲ καὶ Γελῴων ἱππῆς, τὸ ξύμπαν ἐς διακοσίους, καὶ Καμαριναίων ἱππῆς ὅσον εἴκοσι, καὶ τοξόται ὡς πεντήκοντα), τοὺς δὲ ἱππέας ἐπετάξαντο ἐπὶ τῷ δεξιῷ, οὐκ ἔλασσον ὄντας ἢ διακοσίους καὶ χιλίους, παρὰ δ' αὐτοὺς καὶ τοὺς ἀκοντιστάς. μέλλουσι δὲ τοῖς Ἀθηναίοις πρότερος ἐπιχειρήσειν ὁ Νικίας κατά τε ἔθνη ἐπιπαριὼν ἕκαστα καὶ ξύμπασι τοιάδε παρεκελεύετο.

67. Utriusque exercitus acies quomodo fuerit constituta.

τῶν Συρακουσίων. 6. Ἐν πλαισίῳ] ἐν τετραγώνῳ σχήματι. 9. Τῶν ἐπιτάκτων] τῶν ὄπισθεν ἐπιτεταγμένων παρὰ ταῖς εὐναῖς. 12. Αὐτοῖς] τοῖς

6. ἐπὶ] ἐν f.g.
πλησίῳ A.B.F.g.k.
7. Ἤι ἂν τοῦ στρατεύματός τι ποθῇ] Sallustius Jugurth. cap. CIII. Marius cum turma sua, quam e fortissimis magis, quam ex familiaribus sumis, paraverat, vagari passim, ac modo *laborantibus suis* succurrere, &c. Wass.
8. Καὶ τοὺς σκευοφόρους—ἐποιήσαντο.] Suidas in ἐπιτακτοί. Huic ἐπιτακτοὶ sunt οἱ πρότεταγμένοι τὴν μάχην ἐφορᾶν, καὶ τῷ πονοῦντι μέρει βοηθεῖν. Portus, laudante Kustero, ἐπιτεταγμένοι· imo προεπιτεταγμένοι. Idem.
9. σκευοφόρους τούτων ἐνδὸν τῶν d. ἐπιτάκτων A.F.H.P.g. ceteri ἐπιτακτῶν.
10. ἐτάξαντο h.
ὁπλίτας] ὁπλίτας πάντας K.Q.
ἐφ' ἑκκαίδεκα A.E.e.g.k. ἐς ἑκκαίδεκα B.h. ἑπτακαίδεκα d.i.
13. δὲ om. f.
καὶ om. i.
τὸ—ἱππῆς om. K.
15. διεπετάξαντο i.
16. ἐλάσσους f.
18. κατά τε om. f. ἔθνη om. B.i.

68. Niciæ ad suos milites oratio ante prœlium initum.

" ΠΟΛΛΗ͂ι μὲν παραινέσει, ὦ ἄνδρες, τί δεῖ χρῆ-
" σθαι, οἳ πάρεσμεν ἐπὶ τὸν αὐτὸν ἀγῶνα; αὐτὴ γὰρ ἡ
" παρασκευὴ ἱκανωτέρα μοι δοκεῖ εἶναι θάρσος παρα-
" σχεῖν, ἢ καλῶς λεχθέντες λόγοι μετὰ ἀσθενοῦς στρα-
" τοπέδου. ὅπου γὰρ Ἀργεῖοι καὶ Μαντινῆς, καὶ Ἀθη-
" ναῖοι καὶ νησιωτῶν οἱ πρῶτοί ἐσμεν, πῶς οὐ χρὴ μετὰ
" τοιῶνδε καὶ τοσῶνδε ξυμμάχων πάντα τινὰ μεγάλην
" τὴν ἐλπίδα τῆς νίκης ἔχειν, ἄλλως τε καὶ πρὸς ἄνδρας
" πανδημεί τε ἀμυνομένους καὶ οὐκ ἀπολέκτους, ὥσπερ
" καὶ ἡμᾶς, καὶ προσέτι Σικελιώτας, οἳ ὑπερφρονοῦσι
" μὲν ἡμᾶς, ὑπομενοῦσι δὲ οὔ, διὰ τὸ τὴν ἐπιστήμην τῆς
" τόλμης ἥσσω ἔχειν. παραστήτω δέ τινι καὶ τόδε, πολύ
" τε ἀπὸ τῆς ἡμετέρας αὐτῶν εἶναι, καὶ πρὸς γῇ οὐδεμιᾷ
" φιλίᾳ ἥντινα μὴ αὐτοὶ μαχόμενοι κτήσεσθε. καὶ τοὐ-
" ναντίον ὑπομιμνήσκω ὑμᾶς, ἡ οἱ πολέμιοι σφίσιν αὐ-
" τοῖς εὖ οἶδ' ὅτι παρακελεύονται· εἰ μὲν γὰρ ὅτι περὶ
" πατρίδος ἔσται ὁ ἀγών, ἐγὼ δὲ ὅτι οὐκ ἐν πατρίδι, ἐξ
" ἧς κρατεῖν δεῖ ἢ μὴ ῥᾳδίως ἀποχωρεῖν· οἱ γὰρ ἱππῆς
" πολλοὶ ἐπικείσονται. τῆς τε οὖν ὑμετέρας αὐτῶν ἀξίας
" μνησθέντες ἐπέλθετε τοῖς ἐναντίοις προθύμως, καὶ τὴν

Συρακουσίοις. 9. Ἀπολέκτους] ἐξῃρημένους. 10. Ὑπερφρονοῦσιν] ἤγουν περιφρονοῦσι, καθ' οὐδὲν ἄγουσι. 11. Ἐπιστήμην τῆς τόλμης ἥσσω] ἤτοι διὰ τὸ τόλμαν μὲν ἔχειν αὐτοὺς, ἐπιστήμην δὲ οὔ, ἢ διὰ τὸ ἥττονα εἶναι τὴν ἐκείνων ἐπιστήμην τῆς ἡμετέρας τόλμης. 12. Παραστήτω] δεδόχθω. 17. Ἐξ ἧς] ἤτοι λείπει τὸ ἐξ ἧς ἁρμοζόμενος· ἢ τὸ ἐξ ἧς ἀντὶ τοῦ ἐν ᾗ. 20. Καὶ

1. μὲν οὖν παραινέσει P.
2. αὐτὸν om. d.i.
αὐτὴ A.B.E.F.K.L.M.N.O.g. vulgo αὕτη.
3. εἶναι om. i.
4. Λόγοι] Stobæus pag. 201. e Nostro V. 69. Ἔργων ἐκ πολλοῦ μελέτη πλεῖον σῴζει, ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθέντων παραίνεσις. Wass.
6. χρὴ μετὰ] χρήματα B.
9. ἐπιλεκτους h.
10. ἡμεῖς f.
οἶδ' Q.
11. ὑπομένουσι A.F.H.f.g.
12. παραστήσω i.
13. αὐτὴν e.
16. οἱ] ὁ A.
19. τε om. d.i.

" παρεῦσαν ἀνάγκην καὶ ἀπορίαν φοβερωτέραν ἡγησά-
" μενοι τῶν πολεμίων."

Ὁ μὲν Νικίας τοιαῦτα παρακελευσάμενος ἐπῆγε τὸ στρατόπεδον εὐθύς. οἱ δὲ Συρακόσιοι ἀπροσδόκητοι μὲν ἐν τῷ καιρῷ τούτῳ ἦσαν ὡς ἤδη μαχούμενοι, καί τινες αὐτοῖς ἐγγὺς τῆς πόλεως οὔσης καὶ ἀπεληλύθεσαν· οἱ δὲ καὶ διὰ σπουδῆς προσβοηθοῦντες δρόμῳ ὑστέριζον μὲν, ὡς δὲ ἕκαστός πη τοῖς πλείοσι προσμίξειε, καθίσταντο. οὐ γὰρ δὴ προθυμίᾳ ἐλλιπεῖς ἦσαν οὐδὲ τόλμῃ, οὔτ' ἐν ταύτῃ τῇ μάχῃ οὔτ' ἐν ταῖς ἄλλαις, ἀλλὰ τῇ μὲν ἀνδρίᾳ οὐχ ἧσσους, ἐς ὅσον ἡ ἐπιστήμη ἀντέχοι, τῷ δὲ ἐλλείποντι αὐτῆς καὶ τὴν βούλησιν ἄκοντες προὐδίδοσαν. ὅμως δὲ οὐκ ἂν οἰόμενοι σφίσι τοὺς Ἀθηναίους προτέρους ἐπελθεῖν, καὶ διὰ τάχους ἀναγκαζόμενοι ἀμύνασθαι, ἀναλαβόντες τὰ ὅπλα εὐθὺς ἀντεπῆσαν. καὶ πρῶτον μὲν αὐτῶν ἑκατέρων οἵ τε λιθοβόλοι καὶ σφενδονῆται καὶ τοξόται πρού-

69. Interim Syracusani prœlii initium nondum adesse opinati, et perturbati quodammodo Atheniensium progressu, tamen contra eunt. Res primum inter velites gesta,

τὴν παρεῦσαν ἀνάγκην καὶ ἀπορίαν] τὸ ἐν ἀλλοδαπῇ τε εἶναι καὶ πόρρω τῆς πατρίδος. 3. Ἐπῆγε τὸ στρατόπεδον] κατὰ τῶν πολεμίων δηλονότι. 7. Ὑστέριζον] ἦγουν ὕστερον ἤρχοντο. 9. Ἐλλιπεῖς] ἦγουν ἥττους τῶν Ἀθηναίων. 10. Ἀνδρείᾳ οὐχ ἧσσους] ἀνδρείαν νῦν λέγει τὸ θάρσος. θαρσαλέως μὲν οὖν (φησὶν) οὐχ ἧσσον τῶν Ἀθηναίων ἐχώρουν εἰς τὴν μάχην, τῇ δὲ ἐπι-

3. τοσαῦτα Q.
5. ὡς om. e.
6. ἀπεληλύθεσαν d.i. vulgo ἐκπεληλύθεσαν.
7. μὲν om. d.i.
8. πως e. τις d.g.i.
προσμίξει h.k. προσμίξειεν f.
ἐκαθίσταντο L.k. ἐκαθίσταντο A. ἐκαθίσαντο h.
9. προθυμία γε h.
ἐλλειπεῖς A.
10. ταῖς om. O.
11. ἧσσον e.
ἀντέχοι g.k.
12. αὐτοῖς i.
ἄκοντι i.
13. ἀπελθεῖν A.B.e.h.
14. ἀμύνεσθαι h.i.
16. Λιθοβόλοι] A funditoribus distincti, quod Tactici nostri non observarunt. Homer. Od. κ'. 121. Οἵ β' ἀπὸ πετράων ΑΝΔΡΑΧΘΕΣΙ ΧΕΡΜΑΔΙΟΙΣΙ Βάλλον. Vide Il. μ'. 154. λ'. 265. Unde apud Pollucem I. 131. σφενδονῆται, λιθοβόλοι, τοξοφόροι, ut alibi apud Nostrum speciatim recensentur. *Glossæ:* fundibali et *lapidator*. Æschylus Pers. 459. ἐκ χερῶν Πέτρησιν ἠράσσαντο. Euripides Phœn. 1149. Ἐμαρνάμεσθα ΣΦΕΝΔΟΝΑΙΣ θ' ἁρπεβόλοις ΠΕΤΡΩΝ τ' ἀραγμοῖς. ibi παραφέροντι legendum. Tyrtæus III.

μάχοντο, καὶ τροπὰς οἵας εἰκὸς φιλοῦς ἀλλήλων ἐποίουν· ἔπειτα δὲ μάντεις τε σφάγια προὔφερον τὰ νομιζόμενα, καὶ σαλπιγκταὶ ξύνοδον ἐπώτρυνον τοῖς ὁπλίταις, οἱ δ' ἐχώρουν, Συρακόσιοι μὲν περί τε πατρίδος μαχούμενοι καὶ τῆς ἰδίας ἕκαστος τὸ μὲν αὐτίκα σωτηρίας, τὰ δὲ μέλλον ἐλευθερίας, τῶν δὲ ἐναντίων Ἀθηναῖοι μὲν περί τε τῆς ἀλλοτρίας οἰκείαν σχεῖν, καὶ τὴν οἰκείαν μὴ βλάψαι ἡσσώμενοι, Ἀργεῖοι δὲ καὶ τῶν ξυμμάχων οἱ αὐτόνομοι ξυγκτήσασθαί τε ἐκείνοις ἐφ' ἃ ἦλθον, καὶ τὴν ὑπάρχουσαν σφίσι πατρίδα νικήσαντες πάλιν ἐπιδεῖν· τὸ δ' ὑπήκοον τῶν ξυμμάχων μέγιστον μὲν περὶ τῆς αὐτίκα ἀνελπίστου σωτηρίας, ἣν μὴ κρατῶσι, τὸ πρόθυμον εἶχον,

στήμῃ λειπόμενοι, καὶ τῇ προθυμίᾳ ἄκοντες ἠττῶντο. 2. Σφάγια προὔφερον] ἔμπροσθεν τῆς στρατιᾶς ἐσφαγιάζοντο. Τὰ νομιζόμενα] τὰ κατ' ἔθος νόμιμον γινόμενα. 3. Ξύνοδον ἐπώτρυνον] παρώρμων πρὸς τὸ ξυμμίξαι. 7. Οἰκείαν σχεῖν] ὥστε κτήσασθαι τὴν ἀλλοτρίαν, καὶ διὰ τοῦ ἠττηθῆναι μὴ κακῶσαι τὴν πατρίδα. 9. Ἐκείνοις] τοῖς Ἀθηναίοις. 11. Μέγιστον μὲν περὶ τῆς αὐτίκα] μάλιστα μὲν διὰ τὴν ἰδίαν σωτηρίαν προθύμως ἐμά-

35. Τμεῖς δ', ὦ Γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος Πτώσσοντες, ΜΕΓΑ΄ΛΟΙΣ βάλλετε ΧΕΡΜΑΔΙ΄ΟΙΣ. Veget. I. 16. Ad lapides vero, vel manibus, vel fundis jaciendos exerceri convenit juniores: ubi pro *exercitatio* repone *exercitio*: ita MS. et Cato apud Gellium XI. 2. Polybius X. 26. σφενδονήτας, καὶ τῶν ὀρείων τοὺς ἀκοντίζειν, καὶ ΛΙΘΑ΄ΖΕΙΝ δυναμένους. Plato VII. de Leg. 909. τόξοις καὶ λίθων βολῇ, ΈΚ ΧΕΙΡΟ΄Σ καὶ σφενδόναις. Wass. Add. Lipsium IV. Poliorcet. 3. Duk.

1. οἷα A.B.E.F.H.g.h.i. οἵα Q.
ἀλλήλων ψιλοὺς L.O.c.f.k. ἀλλήλους ψιλοὺς P.
ἐποιοῦντο h.

2. Μάντεις τε σφάγια προὔφερον] Apud Pollucem I. 162. inter ea, quæ ad rem militarem pertinent, est, προὔθυσαν οἱ μάντεις, ἱερεῖα ἐθύσαντο. Duk.
τε] καὶ Q.

3. Σαλπιγκταὶ ξύνοδον ἐπώτρυνον] Pollux III. 63. ὑπεσημήναντο οἱ σαλπιγκταὶ τὸ εἰς ἔφοδον; Thomas Magister: σαλπήγξω, οὐ σαλπίσω. καὶ σαλπιγκτὴς, οὐ σαλπιστής· Et confirmat hoc loco Thucydidis. Phrynichus quoque pag. 32. rejicit σαλπιστὴς et σαλπίσαι· sed jubet dici σαλπικτὴς et σαλπίξαι. Vide ibi Hœschelium. Duk.

5. ἰδίας ἕκαστος A.E.F.H.K.L. N.O.Q.c.d.e.g.h.i.k.

6. ἀντίων A.E.F.H.

7. οἰκείαν K.Q.

9. τε] τι L.

11. ξυμμάχων καὶ οἱ αὐτόνομοι μέγιστον f.
ἀνέλπιστον om. B.h.

12. τὸ om. d.i.

ἔπειτα δὲ ἐν παρέργῳ καὶ εἴ τι ἄλλο ξυγκαταστρεψαμένοις ῥᾴον αὐτοῖς ὑπακούσεται. * γενομένης δ' ἐν χερσὶ τῆς μάχης ἐπὶ πολὺ ἀντεῖχον ἀλλήλοις, καὶ ξυνέβη βροντάς τε ἅμα τινὰς γενέσθαι καὶ ἀστραπὰς καὶ ὕδωρ πολύ, ὥστε τοῖς μὲν πρῶτον μαχομένοις καὶ ἐλάχιστα πολέμῳ ὠμιληκόσι καὶ τοῦτο ξυνεπιλαβέσθαι τοῦ φόβου, τοῖς δ' ἐμπειροτέροις τὰ μὲν γιγνόμενα καὶ ὥρᾳ ἔτους περαίνεσθαι δοκεῖν, τοὺς δὲ ἀνθεστῶτας πολὺ μείζω ἔκπληξιν μὴ νικωμένους παρέχειν. ὡσαμένων δὲ τῶν Ἀργείων πρῶτον τὸ εὐώνυμον κέρας τῶν Συρακοσίων, καὶ μετ' αὐτοὺς τῶν Ἀθηναίων τὸ κατὰ σφᾶς αὐτούς, παρερρήγνυτο ἤδη καὶ τὸ ἄλλο στράτευμα τῶν Συρακοσίων καὶ ἐς φυγὴν κατέστη. καὶ ἐπὶ πολὺ μὲν οὐκ ἐδίωξαν οἱ Ἀθηναῖοι (οἱ γὰρ ἱππῆς τῶν Συρακοσίων πολλοὶ ὄντες καὶ ἀήσσητοι εἶργον, καὶ ἐσβαλόντες ἐς τοὺς ὁπλίτας αὐτῶν, εἴ τινας προδιώκοντας ἴδοιεν, ἀνέστελλον), ἐπαχαντο, ἥτις ἦν ἀνέλπιστος αὐτοῖς, εἰ μὴ κρατοῖεν. 1. Ἐν παρέργῳ, καὶ εἴ τι ἄλλο] οἱ ὑπήκοοι πρότερον μὲν διὰ τὴν αὐτῶν σωτηρίαν προθύμως ἐμάχοντο, ἔπειτα δὲ, εἴ καὶ δι' ἄλλο τι, διὰ τοῦτο μάλιστα, ὅπως, συγκαταστρεψαμένων αὐτῶν τὴν Σικελίαν, Ἀθηναῖοι πρότερον τῶν συναγωνισαμένων ἄρχοιεν. τοῦτο γάρ ἐστι τὸ ῥᾳδίως ὑπακούσονται. 2. Γενομένης δ' ἐν χερσὶ τῆς μάχης] ἤτοι συνελθόντων ἐγγὺς, καὶ ἐκ χειρὸς μαχομένων, μετὰ τὸ παύσασθαι τοὺς λιθοβόλους καὶ τοὺς σφενδωνήτας. ἢ (ὥς τινες) ἀρξαμένης δὲ τῆς μάχης. 5. Μαχομένοις] τοῖς Συρακουσίοις. 6. Ξυνεπιλαβέσθαι] αἴτιον φόβου γενέσθαι. 7. Τοῖς δ' ἐμπειροτέροις] τοῖς Ἀθηναίοις. Καὶ ὥρᾳ ἔτους] κατὰ καιρὸν γενέσθαι. 8. Τοὺς δ' ἀνθεστῶτας] ἐκπλαγῆναι δὲ μᾶλλον ὑπὸ τῶν ἀνθεστώτων, μὴ νικωμένων. 15. Καὶ ἀήσσητοι] οὐχ ὡς οὐ τὸ σύνολον, ἀλλ' ὡς τότε οὐχ ἡττημένοι. 16. Αὐτῶν] τῶν Ἀθηναίων. Ἐπακολουθήσαντες] οὐχ οἱ ἱππεῖς, ἀλλ' οἱ Ἀθηναῖοι.

70. cum ad manus venisset, premuntur et funduntur Syracusani, non longe tamen insequentibus Atheniensibus.

1. εἰ μή τι d.
συγκαταστρεψαμένους F. συγκαταστρεψομένους B.H.f.g. συγκαταστρεψόμενοι E.
2. ὑπακοῦσαι Q.
4. τινας om. d.
6. τοῦ φόβου om. P.
9. τῶν ἀργείων πρῶτον A.B.E.F.H.L.d.e.f.g.h.k.
11. παρερήγνυτο K. περιρρήγνυτο h.
13. ἐπὶ om. d.
16. τινες A.B.F.H.K.f.g.k.
ἀνέστελλον f.
προδιώκοντας A.E.F.H.K.N.f.g.k. προδιώκοντες B. vulgo προσδιώκοντας.
Προσδιώκοντας] Quatuor MSS.

κολουθήσαντες δὲ ἀθρόοι ὅσον ἀσφαλῶς εἶχε, πάλιν ἐπανεχώρουν καὶ τροπαῖον ἵστασαν. οἱ δὲ Συρακόσιοι, ἀθροισθέντες ἐς τὴν Ἑλωρινὴν ὁδὸν καὶ ὡς ἐκ τῶν παρόντων ξυνταξάμενοι, ἔς τε τὸ Ὀλυμπιεῖον ὅμως σφῶν αὐτῶν παρέπεμψαν φυλακήν, δείσαντες μὴ οἱ Ἀθηναῖοι τῶν χρημάτων, ἃ ἦν αὐτόθι, κινήσωσι, καὶ οἱ λοιποὶ ἐπανεχώρησαν ἐς τὴν πόλιν. * οἱ δὲ Ἀθηναῖοι πρὸς μὲν τὸ ἱερὸν οὐκ ἦλθον, ξυγκομίσαντες δὲ τοὺς ἑαυτῶν νεκροὺς καὶ ἐπὶ πυρὰν ἐπιθέντες ηὐλίσαντο αὐτοῦ. τῇ δ' ὑστεραίᾳ τοῖς μὲν Συρακοσίοις ἀπέδοσαν ὑποσπόνδους τοὺς νεκρούς,

71. Numerus cæsorum. Athenienses Athenis equites et pecuniam petunt.

non infimæ notæ προδιάκοντας. Utrum horum præferendum sit, non definire possum. Nam, neque hoc, neque illud, valde obvium esse, ex eo intelligitur, quod utrumque omnia, tam vetusta, quam recentiora, Lexica ignorant. Προδίωξις in his adfertur e Jo. Diaconi Scholiis in Hesiodi ἀσπ. p. 201. Ed. Heins. Dukr.

1. ἐπανεχώρησαν L.

2. ἔστησαν Q.

3. ἑλωρινὴν A. ἑλωριὴν B.

4. ταξάμενοι d.i.

ὀλυμπιεῖον A.F.H.L.f.g. ὀλυμπείων O. ὀλύμπιον K.

5. οἱ om. b.

Τῶν χρημάτων, ἃ ἦν αὐτόθι, κινήσωσι] Etiam alibi κινεῖν dicit pro, pecunias sacras, vel ad certum usum sepositas, adtrectare, auferre, et ad alios usus convertere. I. 143. Εἴτε καὶ, κινήσαντες τῶν Ὀλυμπιάσιν, ἢ Δελφοῖς χρημάτων. Et II. 24. Ἢν δέ τις ἔπῃ, ἢ ἐπιψηφίσῃ, κινεῖν τὰ χρήματα ταῦτα ἐς ἄλλο τι. Appianus κινεῖν et σαλεύειν II. Civil. pag. 453. Τῶν τε ἀψαύστων ἐκίνει χρημάτων, ἃ φασιν ἐπὶ Κελτοῖς πάλαι σὺν ἀρᾷ δημοσίᾳ τεθῆναι μὴ σαλεύειν εἰς μηδέν, εἰ μὴ Κελτικὸς πόλεμος ἐπίοι. Diodorus Siculus XIII. pag. 333. scribit, Olympium ab Atheniensibus statim, postquam magnum portum ingressi sunt, captum fuisse. Thucydidi potius credendum, arbitror. Dukr.

6. λοιποὶ] πολλοὶ O.

8. Ξυγκομίσαντες δὲ τοὺς ἑαυτῶν νεκροὺς] Acacius et Portus recte: "congestis suorum cadaveribus." Xenophon VI. Ἀναβ. pag. 384. Ἐπεὶ δὲ εἰς τὴν ὁδὸν ἦκον τὴν ἐκ τῶν κωμῶν, ἔνθα ἔκειντο ἀθρόοι, συνενεγκάντες αὐτοὺς ἔθαψαν. Nam ita mos erat in bello. Livius XXVII. 2. "Spolia per ovium legere, et *congestos in unum locum* cremavere suos." et cap. 42. "Spolia legi cæsorum hostium, et suorum corpora *collata in unum* sepeliri jussit." Add. XXXVI. 8. Et sic accipiendum, puto, locum Plutarchi in Agesil. p. 606. Ed. Francof. Οὐ πρότερον ἐπὶ σκηνὴν ἀπῆλθεν, ἢ φοράδην ἐνεχθῆναι πρὸς τὴν φάλαγγα, καὶ τοὺς νεκροὺς ἔνδοθεν ἐντὸς τῶν ὅπλων συγκεκομισμένους. Dukr.

(ἀπέθανον δὲ αὐτῶν καὶ τῶν ξυμμάχων περὶ ἑξήκοντα καὶ διακοσίους), τῶν δὲ σφετέρων τὰ ὀστᾶ ξυνέλεξαν (ἀπέθανον δὲ αὐτῶν καὶ τῶν ξυμμάχων ὡς πεντήκοντα), καὶ τὰ τῶν πολεμίων σκῦλα ἔχοντες ἀπέπλευσαν ἐς Κατάνην. χειμών τε γὰρ ἦν, καὶ τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι οὔπω ἐδόκει δυνατὸν εἶναι, πρὶν ἂν ἱππέας τε μεταπέμψωσιν ἐκ τῶν Ἀθηνῶν καὶ ἐκ τῶν αὐτόθεν ξυμμάχων ἀγείρωσιν, ὅπως μὴ παντάπασιν ἱπποκρατῶνται, καὶ χρήματα δὲ ἅμα αὐτόθεν τε ξυλλέξωνται καὶ παρ' Ἀθηναίων ἔλθῃ, τῶν τε πόλεων τινας προσαγάγωνται, ἃς ἤλπιζον μετὰ τὴν μάχην μᾶλλον σφῶν ὑπακούσεσθαι, τά τε ἄλλα καὶ σῖτον καὶ ὅσων δέοι παρασκευάσωνται, ὡς ἐς τὸ ἔαρ ἐπιχειρήσοντες ταῖς Συρακούσαις.

72. Quæ Hermocrates Syracusanis post Atheniensium abitum suadebat,

Καὶ οἱ μὲν ταύτῃ τῇ γνώμῃ ἀπέπλευσαν ἐς τὴν Νάξον καὶ Κατάνην διαχειμάσοντες· Συρακόσιοι δὲ τοὺς σφετέρους αὐτῶν νεκροὺς θάψαντες ἐκκλησίαν ἐποίουν. καὶ παρελθὼν αὐτοῖς Ἑρμοκράτης ὁ Ἕρμωνος, ἀνὴρ καὶ ἐς

1. Αὐτῶν] τῶν Συρακουσίων.

1. αὐτῶν τε καὶ f.
περὶ—ξυμμάχων] om. P.
περὶ ἑξήκοντα] ὡς πεντήκοντα K.
Ἑξήκοντα] Οἱ Ἀθηναῖοι τετρακοσίους τῶν ἐναντίων ἀνελόντες. Diodorus XIII. p. 333. d. Wass.
2. Τὰ ὀστᾶ ξυνέλεξαν] Ut in patriam relata ibi sepelirentur, ut arbitror: quod et de Themistoclis ossibus quidam prodiderunt, I. 88. et de Eumene Plutarchus et Corn. Nepos Eum. in fin. Notus est ex omnibus Scriptoribus hic mos veterum. Duk.
συνέλεξαν B.E.F.d.h.k. ἀνέλεξαν K.e.
3. αὐτῶν Ἀθηναίων καὶ f.
5. Χειμών τε γὰρ ἦν] Ex hoc loco corrigendus est Suidas, apud quem hæc in αὐτόθεν ita leguntur: Χειμὼν ἦν, καὶ τοῖς Ἀθηναίοις τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι οὕτως ἐδόκει. Duk.
αὐτόθι e.
7. Ἀθηναίων K.
9. ἅμα om. h.
τε om. K.
ξυλλέξωνται E. συλλέξωνται h.
10. πολεμίων Q.
προσαγάγωνται E. προσάγωνται k.
ἤλπιζον καὶ μετὰ K.
11. σφῶν αὐτῶν ὑπακούσεσθαι c.
12. ὅσων K.f.
παρασκευάσωνται E.
13. ἐς] τε A.B.E.F.H.L.O.P. Q.c.d.e.k. om. N.
15. διαχειμάσαντες P.f.
17. ὁ ἑρμοκράτης ὁ K.

τἆλλα ξύνεσιν οὐδενὸς λειπόμενος, καὶ κατὰ τὸν πόλεμον ἐμπειρίᾳ τε ἱκανὸς γενόμενος καὶ ἀνδρίᾳ ἐπιφανής, ἐθάρσυνέ τε καὶ οὐκ εἴα τῷ γεγενημένῳ ἐνδιδόναι· τὴν μὲν γὰρ γνώμην αὐτῶν οὐχ ἡσσῆσθαι, τὴν δὲ ἀταξίαν βλάψαι. οὐ μέντοι τοσοῦτόν γε λειφθῆναι ὅσον εἰκὸς εἶναι, ἄλλως τε τοῖς πρώτοις τῶν Ἑλλήνων ἐμπειρίᾳ ἰδιώτας, ὡς εἰπεῖν, χειροτέχνας ἀνταγωνισαμένους. μέγα δὲ βλάψαι καὶ τὸ πλῆθος τῶν στρατηγῶν καὶ τὴν πολυαρχίαν (ἦσαν γὰρ πεντεκαίδεκα οἱ στρατηγοὶ αὐτοῖς) τῶν τε πολλῶν τὴν ἀξύντακτον ἀναρχίαν. ἢν δὲ ὀλίγοι τε στρατηγοὶ γένωνται ἔμπειροι, καὶ ἐν τῷ χειμῶνι τούτῳ παρασκευάσωσι τὸ ὁπλιτικὸν, οἷς τε ὅπλα μὴ ἔστιν, ἐκπορίζοντες, ὅπως ὡς πλεῖστοι ἔσονται, καὶ τῇ ἄλλῃ μελέτῃ προσαναγκάζοντες, ἔφη κατὰ τὸ εἰκὸς κρατήσειν σφᾶς τῶν ἐναντίων, ἀνδρίας μὲν σφίσιν ὑπαρχούσης, εὐταξίας δὲ ἐς τὰ ἔργα προσγενομένης· ἐπιδώσειν γὰρ ἀμφότερα

5. Οὐ μέντοι τοσοῦτον] οὐχ οὕτως ἡττηθῆναι, ὡς ἄν τις φῆτο. 6. Τοῖς πρώτοις τῶν Ἑλλήνων ἐμπειρίᾳ] τὴν ἐμπειρίαν ἔχουσι καὶ γυμνασίαν περὶ τὸ μάχεσθαι. 11. Παρασκευάσωσιν] ἤγουν παιδεύσωσιν εἰς παρασκευήν.

2. ἀνδρίᾳ] om. g.
5. ληφθῆναι e.
εἶναι] ἦν K.
6. τε καὶ τοῖς correctus h.
ἐμπειρίᾳ] ἐν πείρα γρ. h.
7. Χειροτέχνας] Etiam Pollux, ut videtur, I. 156. legit χειροτέχναις. Sed nihil muto. WASS. Si vera est lectio MS. Cod. Pollucis, quo Jungermannus usus est: Pollux non potuit hic aliter legere, quam χειροτέχναις· idque probant Henr. Stephanus in Thes. Ling. Gr. et Jungermannus ad Pollucem. Sed non satis firmum est id, quo præcipue nituntur, ἰδιώτας hic opponi χειροτέχναις· quæ utraque ad Syracusanos referri posse, non male in Notis Jungermanni ad Pollucem disputat Camero. Illud magis probem, quod Stephanus putat, sive χειροτέχνας, sive χειροτέχναις in Thucydide legas, omnino scribendum esse, καὶ ὡς εἰπεῖν. Idem visum fuit Sebero ad Pollucem. DUK.
8. στρατιωτῶν L.O.P.
9. γὰρ καὶ πεντεκαίδεκα c.
10. τε om. L.
11. ἔμπειροι om. P.
12. ἐμπορίζοντες g.
13. ἔσονται f.
16. γενομένης B.h.
αὐτὰ ἀμφότερα f. ἀμφότερα ταῦτα γρ. h.

αὐτὰ, τὴν μὲν μετὰ κινδύνων μελετωμένην, τὴν δ' εὐψυχίαν αὐτὴν ἑαυτῆς μετὰ τοῦ πιστοῦ τῆς ἐπιστήμης θαρσαλεωτέραν ἔσεσθαι. τούς τε στρατηγοὺς καὶ ὀλίγους καὶ αὐτοκράτορας χρῆναι ἐλέσθαι, καὶ ὁμόσαι αὐτοῖς τὸ ὅρκιον ἢ μὴν ἐάσειν ἄρχειν ὅπῃ ἂν ἐπίστωνται· οὕτω γὰρ ἅ τε κρύπτεσθαι δεῖ, μᾶλλον ἂν στέγεσθαι, καὶ τἆλλα κατὰ κόσμον καὶ ἀπροφασίστως παρασκευασθῆναι. * καὶ οἱ Συρακόσιοι αὐτοῦ ἀκούσαντες ἐψηφίσαντό τε πάντα ὡς ἐκέλευε, καὶ στρατηγὸν αὐτόν τε εἵλοντο τὸν Ἑρμοκράτην καὶ Ἡρακλείδην τὸν Λυσιμάχου καὶ Σικανὸν τὸν Ἐξηκέστου, τούτους τρεῖς, καὶ ἐς τὴν Κόρινθον καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις ἀπέστειλαν, ὅπως ξυμμαχία τε αὐτοῖς παραγένηται, καὶ τὸν πρὸς Ἀθηναίους πόλεμον βεβαιότερον πείθωσι ποιεῖσθαι ἐκ τοῦ προφανοῦς ὑπὲρ σφῶν τοὺς Λακεδαιμονίους, ἵνα ἢ ἀπὸ τῆς Σικελίας ἀπαγάγωσιν αὐτούς, ἢ πρὸς τὸ ἐν Σικελίᾳ στράτευμα ἧσσον ὠφελίαν ἄλλην ἐπιπέμπωσιν. 73. illi alacriter comprobant, et Hermocratem ipsum cum Heraclida et Sicano duces eligunt. Etiam Corinthum et Lacedaemonem legatos mittunt, auxilii petendi causa.

Τὸ δ' ἐν τῇ Κατάνῃ στράτευμα τῶν Ἀθηναίων ἔπλευσεν εὐθὺς ἐπὶ Μεσσήνην ὡς προδοθησομένην. καὶ ἃ μὲν ἐπράσσετο, οὐκ ἐγένετο. Ἀλκιβιάδης γὰρ, ὅτε ἀπῄει ἐκ τῆς ἀρχῆς ἤδη μετάπεμπτος, ἐπιστάμενος ὅτι φεύξοιτο, 74. A Messana Atheniensis, proditione per Alcibiadem detecta, re-

1. Τὴν μὲν] τὴν εὐταξίαν. Τὴν δ' εὐψυχίαν] τὴν ἀνδρείαν. ὅμοιον δὲ τοῦτο τῶν ἐν τῷ προοιμίῳ "μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι." 2. Μετὰ τοῦ πιστοῦ] μετὰ τοῦ πεπεισθέναι δηλονότι τῇ ἐπιστήμῃ. 5. Ὅπῃ ἂν ἐπίστωνται] ὅποι ἂν ἄγειν ἡγῶνται συμφέρειν. 6. Κρύπτεσθαι] ἀντὶ τοῦ σιωπᾶσθαι. 17. Ἧσσον ὠφελείαν] ἧττον συμμαχίαν. 19. Ἃ μὲν ἐπράσσετο] τὰ τῆς προδοσίας δηλονότι. 21. Ἐπιστάμενος ὅτι φεύξοιτο] ἧττον

1. μετὰ τῶν κινδύνων h.
μεμελετωμένην f.
4. αὐτοῖς om. N.
5. ὅπῃ] ὅσοι Q.
ἐπιστῶνται A.
8. αὐτοῦ om. i.
ἐψηφίσαντο πάντα P.
9. ἐκέλευσε L.
αὐτὸν εἵλοντο g.
11. τούτους τοὺς τρεῖς P.
ἐς τὴν om. g.
13. καὶ πρὸς Q.
14. ποιεῖσθαι] προεῖσθαι B.
15. ἀπὸ] ἐκ h.
20. ὅταν K.b.
ἀπείη P.

vertuntur infecta re, et apud Naxum hiberna communiunt.

μηνύει τοῖς τῶν Συρακοσίων φίλοις τοῖς ἐν τῇ Μεσσήνῃ ξυνειδὼς τὸ μέλλον· οἱ δὲ τούς τε ἄνδρας διέφθειραν πρότερον, καὶ τότε στασιάζοντες καὶ ἐν ὅπλοις ὄντες ἐπεκράτουν μὴ δέχεσθαι τοὺς Ἀθηναίους οἱ ταῦτα βουλόμενοι. ἡμέρας δὲ μείναντες περὶ τρεισκαίδεκα οἱ Ἀθηναῖοι, ὡς ἐχειμάζοντο καὶ τὰ ἐπιτήδεια οὐκ εἶχον καὶ προὐχώρει οὐδέν, ἀπελθόντες ἐς Νάξον καὶ σταύρωμα περὶ τὸ στρατόπεδον ποιησάμενοι, αὐτοῦ διεχείμαζον· καὶ τριήρη ἀπέστειλαν ἐς τὰς Ἀθήνας ἐπί τε χρήματα καὶ ἱππέας, ὅπως ἅμα τῷ ἦρι παραγένωνται.

75. Syracusani item et urbem et castella quædam muris, quin etiam mare, quacunque excendi potuerat, vallo muniunt, Catanæorum agrum devastant,

Ἐτείχιζον δὲ καὶ οἱ Συρακόσιοι ἐν τῷ χειμῶνι πρός τε τῇ πόλει, τὸν Τεμενίτην ἐντὸς ποιησάμενοι, τεῖχος παρὰ πᾶν τὸ πρὸς τὰς Ἐπιπολὰς ὁρῶν, ὅπως μὴ δι' ἐλάσσονος εἰναποτείχιστοι ὦσιν, ἢν ἄρα σφάλλωνται, καὶ τὰ Μέγαρα φρούριον, καὶ ἐν τῷ Ὀλυμπιείῳ ἄλλο· καὶ τὴν θάλασσαν προεσταύρωσαν πανταχῇ, ᾗ ἀποβάσεις ἦσαν. καὶ τοὺς Ἀθηναίους εἰδότες ἐν τῇ Νάξῳ χειμάζοντας, ἐστράτευσαν παυδημεὶ ἐπὶ τὴν Κατάνην, καὶ τῆς τε γῆς

εἰδὼς τὸ μέλλον. 2. Τὸ μέλλον] ὑπὸ τῶν Ἀθηναίων ἔσεσθαι. Τούς τε ἄνδρας] τοὺς ὑποπτους ὡς προδιδόντας. 3. Ἐπεκράτουν] βουλευομένων τῶν Μεσηνίων ἐπεκράτουν οἱ βουλόμενοι μὴ δέχεσθαι τοὺς Ἀθηναίους. 4. Ταῦτα] τὰ τῶν Συρακουσίων. 6. Ἐπιτήδεια] τρόφιμα. Καὶ προὐχώρει οὐδέν] τρισκαίδεκα.

1. τοὺς L.O.

ἐν τῇ μεσσήνῃ A.B.E.F.H.K.L. N.O.P. c.d.e.f.g.h.i.k. vulgo omittunt articulum.

Μεσήνῃ] Μεσσήνῃ Cl. Gr. At cum vulgatis Lycurgus adv. Leocr. 140. tamen p. 167. Μεσσηνίους. Cum σσ etiam Theophr. VIII. 3. et sæpe Polybius, Numi, Strabo, Herodotus, Diodorus, Pausanias. Wass.

2. διέφθειρον Q.g.

5. περὶ τρεῖς μείναντες καὶ δέκα g. μείναντες περὶ τρεισκαίδεκα E. H.K.N.d.i. vulgo μείναντες περὶ

7. καὶ σταύρωμα g. ceteri καὶ θρᾷκας σταύρωμα. fuisse χάρακας hujus σταύρωμα interpretamentum probabiliter opinatur F. Portus.

Σταύρωμα περὶ τὸ στρατ.] Σταυρώματα libri scripti: forte σταύρωμά τε περὶ τ. στ. Wass.

12. παράπαν A.

13. ἐπιβολὰς K.

14. σφάλλωνται A.B.E.F.H. Q.e.f.g. vulgo σφάλωνται.

18. ἐς d.

τε] γε g.

αὐτῶν ἔπεμον, καὶ τὰς τῶν Ἀθηναίων σκηνὰς καὶ τὸ στρατόπεδον ἐμπρήσαντες ἀνεχώρησαν ἐπ' οἴκου. καὶ πυθανόμενοι τοὺς Ἀθηναίους ἐς τὴν Καμάριναν κατὰ τὴν ἐπὶ Λάχητος γενομένην ξυμμαχίαν πρεσβεύεσθαι, εἴ πως προσαγάγοιντο αὐτοὺς, ἀντεπρεσβεύοντο καὶ αὐτοί. ἦσαν γὰρ ὕποπτοι αὐτοῖς οἱ Καμαριναῖοι μὴ προθύμως σφίσι μήτ' ἐπὶ τὴν πρώτην μάχην πέμψαι ἃ ἔπεμψαν, ἔς τε τὸ λοιπὸν μὴ οὐκέτι βούλωνται ἀμύνειν, ὁρῶντες τοὺς Ἀθηναίους ἐν τῇ μάχῃ εὖ πράξαντας, προσχωρῶσι δ' αὐτοῖς κατὰ τὴν προτέραν φιλίαν πεισθέντες. ἀφικομένων οὖν ἐκ μὲν Συρακουσῶν Ἑρμοκράτους καὶ ἄλλων ἐς τὴν Καμάριναν, ἀπὸ δὲ τῶν Ἀθηναίων Εὐφήμου μετ' ἑτέρων, ὁ Ἑρμοκράτης ξυλλόγου γενομένου τῶν Καμαριναίων, βουλόμενος προδιαβαλεῖν τοὺς Ἀθηναίους, ἔλεγε τοιάδε.

" ΟΥ τὴν παροῦσαν δύναμιν τῶν Ἀθηναίων, ὦ Καμαριναῖοι, μὴ αὐτὴν καταπλαγῆτε, δείσαντες ἐπρεσβευσάμεθα, ἀλλὰ μᾶλλον τοὺς μέλλοντας ἀπ' αὐτῶν λόγους, πρίν τι καὶ ἡμῶν ἀκοῦσαι, μὴ ὑμᾶς πείσωσιν. ἥκουσι γὰρ ἐς τὴν Σικελίαν προφάσει μὲν ἧ πυθάνεσθε, διανοίᾳ δὲ ἣν πάντες ὑπονοοῦμεν· καί μοι δοκοῦσιν οὐ Λεοντίνους βούλεσθαι κατοικίσαι, ἀλλ' ἡμᾶς

et Camarinam legatos mittunt, ut Atheniensium consilia occuparent. Itaque Hermocrates apud Camarinensium concionem, praesentibus Atheniensium legatis, prior verba fecit, 76—80. horum consilia Siciliae totius subigendae arguens, et ad societatem cum Syracusanis faciendam Camarinenses compellans.

αὐδὲν ἠνύετο ὑπ' αὐτῶν. 9. Προσχωρῶσι δ' αὐτοῖς] οἱ Καμαριναῖοι τοῖς Ἀθηναίοις. 18. Μὴ ὑμᾶς πείσωσιν] ἀπὸ κοινοῦ τὸ δείσαντες, ἵνα ᾖ, δείσαν-

1. αὐτῶν om. P.
τὸ om. L.O.
2. ἀνεχώρουν g.
5. προσάγοιντο L.O.k. προσαγάγοιεν e.i.
6. αὐτῆς Q. om. P.
οἱ] δὲι οἱ correctus h.
7. ἅς] ἃς P.
8. μὴ om. K. μήτε f.
9. εὖ] οὐ E.
πράξοντας b.
προσχωρῶσι E.f.
11. μὲν τῶν συρ. K.
14. προδιαβαλεῖν F.K.f. προδιαβάλλειν A.B.E.H.L.N.O.P.c.g. h.k. vulgo προσδιαβαλεῖν.
15. ὦ καμαριναῖοι om. g.
18. καὶ om. Q.
20. δὲ] μὲν g.
21. βουλεύεσθαι i.
κατοικῆσαι g.

" μᾶλλον ἐξοικίσαι. οὐ γὰρ δὴ εὔλογον τὰς μὲν ἐκεῖ
" πόλεις ἀναστάτους ποιεῖν, τὰς δὲ ἐνθάδε κατοικίζειν,
" καὶ Λεοντίνων μὲν Χαλκιδέων ὄντων κατὰ τὸ ξυγγενὲς
" κήδεσθαι, Χαλκιδέας δὲ τοὺς ἐν Εὐβοίᾳ, ὧν οἵδε ἄποι-
" κοί εἰσι, δουλωσαμένους ἔχειν. τῇ δὲ αὐτῇ ἰδέᾳ ἐκεῖνά
" τε ἔσχον καὶ τὰ ἐνθάδε νῦν πειρῶνται· ἡγεμόνες γὰρ
" γενόμενοι ἑκόντων τῶν τε Ἰώνων καὶ ὅσοι ἀπὸ σφῶν
" ἦσαν ξύμμαχοι ὡς ἐπὶ τοῦ Μήδου τιμωρίᾳ, τοὺς μὲν
" λειποστρατίαν, τοὺς δὲ ἐπ' ἀλλήλους στρατεύειν, τοῖς
" δ' ὡς ἑκάστοις τινὰ εἶχον αἰτίαν εὐπρεπῆ, ἐπενεγκόν-
" τες κατεστρέψαντο. καὶ οὐ περὶ τῆς ἐλευθερίας ἄρα, οὔτε
" οὗτοι τῶν Ἑλλήνων οὔθ' οἱ Ἕλληνες τῆς ἑαυτῶν, τῷ
" Μήδῳ ἀντέστησαν, περὶ δὲ οἱ μὲν σφίσιν ἀλλὰ μὴ
" ἐκείνῳ καταδουλώσεως, οἱ δ' ἐπὶ δεσπότου μετα-
" βολῇ, οὐκ ἀξυνετωτέρου, κακοξυνετωτέρου δέ. * Ἀλλ'

τες τὴν τῶν Ἀθηναίων περὶ τοὺς λόγους δεινότητα. 1. Τὰς μὲν ἐκεῖ πόλεις] τὰς περὶ τὰς Ἀθήνας. 5. Τῇ δὲ αὐτῇ ἰδέᾳ] τρόπῳ, διανοίᾳ. 7. Καὶ ὅσοι ἀπὸ σφῶν ἦσαν] καὶ ὅσοι ἄποικοι ἦσαν αὐτῶν. 10. Εὐπρεπῆ] πιθανήν. 13. Οἱ μὲν σφίσιν] Ἀθηναῖοι δὲ περὶ τοῦ ἑαυτοῖς, ἀλλὰ μὴ τῷ Μήδῳ καταδουλωθῆναι τοὺς Ἕλληνας. 14. Οἱ δ' ἐπὶ δεσπότου μεταβολῇ] οἱ δὲ ἄλλοι Ἕλληνες ὑπὲρ τοῦ ἀλλάξαι δεσπότην, φησί. 15. Κακοξυνετωτέρου δέ] ἤγουν

1. ἐξοικῆσαι g.
4. οἵδε] οὗτοι f.
8. ἦσαν om. b.
μήδου Q. δήμου M.O.k.
τιμωρίᾳ om. g.
9. λειποστράτιαν A.E.G.K.f. λειποστρατείαν c.
Λειποστρατίαν] Vide I. 99. ubi est λειποστράτιον. Duk.
ἀλλήλων f. ἄλλους g.
10. εὐπρεπῆ om. d.
11. Καὶ οὐ—κακοξυνετωτέρου δὲ] Dionys. Halicarn. tom. II. p. 160. hæc vocat πεπλεγμένα, καὶ πολλὰς τὰς ἕλικας ἔχοντα. Wass.
12. οὗτοι] οἵδε Dionysius pag. 161. Wechel.
οἱ] οὐ e.k.
15. κακοξυνετωτέρου om. Q.f.g. cum cod. Dionysii.
Ἀλλ' οὐ—ἀλωταί ἐσμεν] Dionys. Halic. 160. ταῦτα, φησὶν, ἐν τῷ σαφεῖ καὶ καθαρῷ τῆς διαλέκτου τρόπῳ λεγόμενα προσείληφε καὶ τὸ τάχος, καὶ τὸ κάλλος, καὶ τὸν τόνον, καὶ τὴν μεγαλοπρέπειαν, καὶ τὴν δεινότητα· καὶ πάθους ἐστὶν ἐναγωνίου μεστά. Ἀποφαινοῦντες ἐν εἰδόσιν, ut Æschylus Pers. Ἀλλ' αὐτὰ σιγῶ· καὶ γὰρ ΕΙ'ΔΤΙ'ΑΙΣΙΝ ἂν Τμῖν λέγοιμι. Euripides Hec. Οὐ καινὸν εἶπας, ΕΙ'ΔΟ'ΣΙΝ δ' ὠνείδισας. Wass. Libenter usus est hoc genere loquendi Thucydi-

" οὐ γὰρ δὴ τὴν τῶν Ἀθηναίων, εὐκατηγόρητον οὖσαν,
" πόλιν νῦν ἥκομεν ἀποφανοῦντες ἐν εἰδόσιν ὅσα ἀδι-
" κεῖ, πολὺ δὲ μᾶλλον ἡμᾶς αὐτοὺς αἰτιασόμενοι,
" ὅτι ἔχοντες παραδείγματα τῶν ἐκεῖ Ἑλλήνων, ὡς
" ἐδουλώθησαν οὐκ ἀμύνοντες σφίσιν αὐτοῖς, καὶ νῦν ἐφ'
" ἡμᾶς ταὐτὰ παρόντα σοφίσματα, Λεοντίνων τε ξυγγε-
" νῶν κατοικίσεις καὶ Ἐγεσταίων ξυμμάχων ἐπικουρίας,
" οὐ ξυστραφέντες βουλόμεθα προθυμότερον δεῖξαι αὐτοῖς
" ὅτι οὐκ Ἴωνες τάδε εἰσὶν οὐδ' Ἑλληςπόντιοι καὶ νησιῶ-
" ται, οἳ δεσπότην ἢ Μῆδον ἢ ἕνα γέ τινα ἀεὶ μεταβάλ-
" λοντες δουλοῦνται, ἀλλὰ Δωριῆς ἐλεύθεροι ἀπ' αὐτονό-
" μου τῆς Πελοποννήσου τὴν Σικελίαν οἰκοῦντες. ἢ μένο-
" μεν ἕως ἂν ἕκαστοι κατὰ πόλεις ληφθῶμεν, εἰδότες
" ὅτι ταύτῃ μόνον ἀλωτοί ἐσμεν, καὶ ὁρῶντες αὐτοὺς ἐπὶ
" τοῦτο τὸ εἶδος τρεπομένους, ὥστε τοὺς μὲν λόγοις ἡμῶν
" διιστάναι, τοὺς δὲ ξυμμάχων ἐλπίδι ἐκπολεμοῦν πρὸς
" ἀλλήλους, τοῖς δὲ ὡς ἑκάστοις τι προσηνὲς λέγοντες δύ-
" νανται κακουργεῖν; καὶ οἰόμεθα, τοῦ ἄποθεν ξυναίκου

κακουργοτέρου. 8. Ξυστραφέντες] ἥκοντες συνταχθέντες. 14. Ταύτῃ] τῷ κατὰ πόλεις δηλονότι ληφθῆναι ἰδίᾳ ἕκαστοι. 18. Τοῦ ἄποθεν ξ.] τοῦ συ-

des; II. 36. μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος, ἐάσω. II. 43. ἢν ἄν τις πρὸς οὐδὲν χεῖρων ὑμᾶς εἰδότας μηκύνοι. IV. 59. περὶ μὲν τοῦ πολεμεῖν, ὡς χαλεπὸν, τί ἄν τις, πᾶν τὸ ἐνὸν ἐκλέγων, ἐν εἰδόσι μακρηγορήῃ; Duk.

1. τὴν om. d.i.
τῶν om. Dionysius.
3. αὐτοὺς ἡμᾶς f.
4. παράδειγμα L.O.
τῶν L.O.P. cum Dionysio: ceteri τῶν τε.
ἐκεῖ K.L.N.O.P.d.e.g. et Dionysius: vulgo ἐκεῖσε.

5. ἀμυνοῦντες O.g. ἀμύναντας M. O.Q.i. ἀμύνοντες K. ἀμύνασθαι G. P.k. ἀμύνεσθε d. qui et ὑμῖν, non σφίσιν.
6. ταὐτὰ E.H. cum Dionysio: vulgo ταῦτα.
8. βουλευσόμεθα c.
9. τάδε] ταῦτα Dionysius et Aristides 3. p. 651. ed. Canter.
10. μεταβαλόντες B.h. μεταβάλλονται Q. omisso δουλοῦνται, pro quo δηλοῦνται habet i.
12. ἢ] οἱ L.g.i.
16. διεστάναι K.

" προαπολλυμένου, οὐκ ἐς αὐτόν τινα ἥξειν τὸ δεινὸν, πρὸ
" δὲ αὐτοῦ μᾶλλον τὸν πάσχοντα καθ' αὑτὸν δυστυχεῖν;
78. " * καὶ εἴ τῳ ἄρα παρέστηκε τὸν μὲν Συρακόσιον, ἑαυ-
" τὸν δ' οὐ πολέμιον εἶναι τῷ Ἀθηναίῳ, καὶ δεινὸν ἡγεῖ-
" ται ὑπέρ γε τῆς ἐμῆς κινδυνεύειν, ἐνθυμηθήτω οὐ περὶ
" τῆς ἐμῆς μᾶλλον, ἐν ἴσῳ δὲ καὶ τῆς ἑαυτοῦ ἅμα ἐν τῇ
" ἐμῇ μαχούμενος, τοσούτῳ δὲ καὶ ἀσφαλέστερον, ὅσῳ
" οὐ προδιεφθαρμένου ἐμοῦ ἔχων δὲ ξύμμαχον ἐμὲ καὶ
" οὐκ ἔρημος ἀγωνιεῖται· τόν τε Ἀθηναῖον μὴ τὴν τοῦ
" Συρακοσίου ἔχθραν κολάσασθαι, τῇ δ' ἐμῇ προφάσει
" τὴν ἐκείνου φιλίαν οὐχ ἧσσον βεβαιώσασθαι βού-
" λεσθαι. εἴ τέ τις φθονεῖ μὲν ἢ καὶ φοβεῖται (ἀμφό-

νικοῦντος μὲν Ἕλληνος τῇ Σικελίᾳ, πολὺ δὲ διεστῶτος. 2. Τὸν πάσχοντα, καθ' ἑαυτὸν] ὑπὲρ αὐτοῦ δὲ ἕκαστος ἡγεῖται τὸν ἴδιᾳ κακῶς πάσχοντα δυστυχεῖν. 8. Ἐμοῦ] τοῦ Συρακουσίου δηλονότι. 11. Βεβαιώσασθαι] βεβαίτητα σχεῖν, ἢ περιποιήσασθαι. 12. Εἴτε τις φθονεῖ μὲν] εἴ τις ἐμοῦ μὲν φθονεῖ τοῖς Συρακουσίοις, ἐμοῦ δὲ δέδοικεν αὐτῶν τὸ μέγεθος (ψεβεροὶ γὰρ ἅμα καὶ ἐπίφθονοι καθεστᾶσιν οἱ μείζους) καὶ διὰ τοῦτο βούλεται μὲν κακωθῆναι

1. οὐ καὶ ἐς E.F.H.L.O.P.c.d. e.f.i.k. οὐδὲ ἐς h.
αὐτόν τέ τινα E.
2. αὐτὸν A.B.E.F.H.N.Q.f.g. vulgo ἑαυτόν.
3. Καὶ εἴ τῳ—κολάσασθαι] Dionys. Halic. p. 160. ταῦτα, inquit, μειρακιώδη, καὶ περίεργα, καὶ τῶν λεγομένων αἰνιγμάτων ἀσαφέστερα. Wass. Dionysius l. d. reprehendit in Thucydide τὸ κατακορὲς, ut ait, τῆς μεταγωγῆς ἐκ τοῦ πληθυντικοῦ εἰς τὸ ἑνικόν. Et Epist. II. ad Ammæum, p. 134. hoc inter ἰδιώματα Thucydidis refert. H. Stephanus negat, hoc peculiare esse Thucydidi, et Aristophanem ac Demosthenem quoque non raro singularibus pro pluralibus uti, ostendit. In Dionysio, pag. 134. pro εἴ τῳ, ἑαυτὸν, et τῷ Ἀθηναίῳ, male legitur οὗτος, αὐτὸν, et τὸν Ἀθηναῖον· quæ ex ipso Dionysio, pag. 160. et h. l. Thucydidis emendat Stephanus. Duk.
ἄρα om. K.
τῶν μὲν συρακουσίων ἑαυτοῦ δ' οὐ πολέμιον εἶναι τὸν ἀθηναῖον P.
5. κινδυνεύειν] μᾶλλον κινδυνεύειν L.O. d.e.i.k.
6. καὶ] om. Q.
7. μαχόμενος A.B.E.F.H.N.f. g.h.
ἀσφαλέστατον e.
9. ἔρημον A.B.E.F.H.K.L.M. N.O.P.b c.e.f.g.h.i.
11. οὐχ] οὓς A.E.d.e.h.i.k.
12. εἴτε καί τις d.
ἢ φοβεῖται L.

" τερα γὰρ τάδε πάσχει τὰ μείζω), διὰ δὲ αὐτὰ τὰς
" Συρακούσας κακωθῆναι μὲν ἵνα σωφρονισθῶμεν βούλε-
" ται, περιγενέσθαι δὲ ἕνεκα τῆς αὐτοῦ ἀσφαλείας, οὐκ
" ἀνθρωπίνης δυνάμεως βούλησιν ἐλπίζει. οὐ γὰρ οἷόν τε
" ἅμα τῆς τε ἐπιθυμίας καὶ τῆς τύχης τὸν αὐτὸν ὁμοίως
" ταμίαν γενέσθαι. καὶ εἰ γνώμῃ ἁμάρτοι, τοῖς αὐτοῦ

Συρακουσίους, ὑπὲρ τοῦ σωφρονεστέρους γενέσθαι καὶ μὴ φορτικοὺς τοῖς ἀστυγείτοσι, σωθῆναι μέντοι ὅμως διὰ τὴν οἰκείαν ἀσφάλειαν, ἵνα μὴ μανθεὶς αὐτῶν καὶ αὐτὸς καταδουλωθῇ, οὗτος ἔστω οὐ δυνατῶν ἀνθρώπους ὀρεγόμενος. δοκεῖ δέ πως ἀκαταλλήλως ἀπηντηκέναι πρὸς τὴν πρόθεσιν. προειπὼν γὰρ, εἴ τις ἢ φθονεῖ ἢ φοβεῖται, καὶ βούλεται (ὁ φθονῶν) κακωθῆναι τοὺς Συρακουσίους, ὤφειλεν ἐπενεγκεῖν ὅτι ἄρα ὁ φοβούμενος αὐτοὺς μᾶλλον ἀπολέσαι σπουδάσει· ὁ δὲ αὐτὸς τοὐναντίον εἰρηκέναι δοκεῖ, ὅτι ὁ φοβούμενος βούλεται περιγενέσθαι τοὺς Συρακουσίους. οὐ μὴν ἔστιν ἀκατάλληλον. οὐ γὰρ ἄλλου μὲν φησὶν ὀρέγεσθαι τοὺς φθονοῦντας, ἄλλου δὲ τοὺς φοβουμένους, ἀλλ' ἑνὸς ἀμφοτέρους, τοῦ κακωθῆναι δηλονότι τοὺς Συρακουσίους· τοῦ μέντοι περιγενέσθαι αὐτοὺς ἐφίεσθαι οὐ τοὺς φοβουμένους, ἀλλὰ τοὺς προνοουμένους τῆς αὐτῶν ἀσφαλείας. μᾶλλον οὖν περιαιρετέον τὸν μὲν σύνδεσμον ἐκ τοῦ " κακωθῆναι μὲν, ἵνα σω-
" φρονισθῶμεν." 2. Ἵνα σωφρονισθῶμεν] τακεινωθῶμεν. 3. Περιγενέσθαι δὲ] τοὺς Συρακουσίους τῷ πολέμῳ, ἵνα καθυπέρτεροι τῶν Ἀθηναίων γένωνται. 4. Οὐ γὰρ οἷόν τε ἅμα] οὐ γὰρ οἷόν τε τυχεῖν πάντων, ὧν ἐπιθυμεῖ ὁ Σικελιώτης, κακωθῆναι μὲν τοὺς Συρακουσίους, περιγενέσθαι δὲ ὅμως. 5. Τῆς τύχης] ἤγουν τῆς ἐκβάσεως τῶν πραγμάτων. 6. Καὶ εἰ γνώμῃ ἁμάρτοι] καὶ

1. πάσχει τάδε g.
αὐτὸ f.
3. ἑαυτοῦ L. cum Dionysio.
4. ἀνθρωπίνης A. B. E. d.e.f.h. i.k. ceteri ἀνθρωπείας.
Ἀνθρωπείας] Ante ἀνθρωπίνης. ἀνθρωπείας, vel contra MSS. vel potius Codicum tractatores, ut Thucydideum accipere placuit. Thomas Magister, ἀνθρωπεία φύσις, οὐκ, inquit, ἀνθρωπίνη. Mœris, Ἀνθρωπεία φύσις, Ἀττικῶς, ὡς Θουκυδίδης· ἀνθρωπίνη Ἑλληνικῶς. Vide Stephanum de Dial. pag. 158. Vox Platoni, Aristoph. Xenoph. Dionys. Halic. Sophocl. pag. 8. aliisque Scriptoribus Atticis frequentata; pro qua Iones ἀνθρωπήϊος. Herodot. I. 214. ubi pro ἐπαναπλέειν legendum, ὥστε, κατιόντος τοῦ οἴνου ἐς τὸ σῶμα, ΕΠΑΝΑΠΝΕΊΕΙΝ ὑμῖν ἔπεα κακά. ut, ἔμπνευσε μένος. firmat Codex Baroc. v. Suidam in ἀναπνέοντας. Hesiodum ob oculos habuit Theog. v. 31. ἐνέπνευσαν δέ μοι αὐδὴν Θείην, ὄφρα κλύοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα. Hac etiam forma loquitur Idem II. 55. et II. 57. si MS. sequi velimus. Pollux II. 5. idem de Nostro testatur. Wass. Add. quæ adnotata sunt ad III. 40. Duk.
ἐλπίζειν E.
6. αὐτοῦ] αὐτοῖς i.
Καὶ, εἰ — προσλαβεῖν.] Dionys. Halic. p. 160. Et λόγῳ— σωτηρίαν ibidem. οὐδὲ μειρακίῳ προσῆκον ἐπιφώνημα, inquit. Postrema, etsi alicui frigida videantur, tamen ex usitatissimo loquendi genere nata sunt. Æschylus

" κακοῖς ὀλοφυρθεὶς τάχ' ἂν ἴσως καὶ τοῖς ἐμοῖς ἀγα-
" θοῖς ποτὲ βουληθείη αὖθις φθονῆσαι. ἀδύνατον δὲ προ-
" εμένῳ, καὶ μὴ τοὺς αὐτοὺς κινδύνους, οὐ περὶ τῶν ὀνο-
" μάτων ἀλλὰ περὶ τῶν ἔργων, ἐθελήσαντι προσλαβεῖν·
" λόγῳ μὲν γὰρ τὴν ἡμετέραν δύναμιν σώζοι ἄν τις, ἔργῳ 5
" δὲ τὴν αὐτοῦ σωτηρίαν. καὶ μάλιστα εἰκὸς ἦν, ὑμᾶς,
" ὦ Καμαριναῖοι, ὁμόρους ὄντας καὶ τὰ δεύτερα κινδυ-
" νεύσοντας προορᾶσθαι αὐτὰ, καὶ μὴ μαλακῶς ὥσπερ
" νῦν ξυμμαχεῖν, αὐτοὺς δὲ πρὸς ἡμᾶς μᾶλλον ἰόντας,
" ἅπερ εἰ ἐς τὴν Καμαριναίαν πρῶτον ἀφίκοντο οἱ Ἀθη- 10
" ναῖοι, δεόμενοι ἂν ἐπεκαλεῖσθε, ταῦτα ἐκ τοῦ ὁμοίου
" καὶ νῦν παρακελευομένους, ὅπως μηδὲν ἐνδώσομεν,
" φαίνεσθαι. ἀλλ' οὔθ' ὑμεῖς νῦν γέ πω οὔθ' οἱ ἄλλοι
79. " ἐπὶ ταῦτα ὥρμησθε. * δειλίᾳ δὲ ἴσως τὸ δίκαιον πρός

εἰ, ὧν ἐπιθυμεῖ, τούτων διαμάρτοι δυστυχήσας, βουληθείη ἄν ποτε τοῖς νῦν ἡμετέροις ἀγαθοῖς φθονῆσαι αὐτὸν, ἐπὶ ταῖς ἰδίαις συμφοραῖς ὀλοφυρόμενος. 2. Βουληθείη αὖθις φθονῆσαι] βουλήσεται μὲν, οὐ δυνήσεται δὲ ἴσως, τοῖς ἐμοῖς ἀγαθοῖς τότε φθονῆσαι, ὁ μὴ θελήσας τοὺς αὐτοὺς ἐμοὶ κινδύνους ἐπαναλέσθαι. Τὸ δὲ " οὐ περὶ τῶν ὀνομάτων, ἀλλὰ περὶ τῶν ἔργων" διὰ μέσου κεῖται, ὡς ἄξιον ὂν ἀναδέχεσθαι κινδύνους οὐ πρὸς τὰ ὀνόματα ἀποβλέποντας, ἀλλὰ πρὸς τὰ ἔργα. τίνα δὲ τὰ ὀνόματα καὶ τὰ ἔργα, ἐξῆς ἐπιφέρει. 7. Καὶ τὰ δεύτερα κινδυνεύσοντας] ἀντὶ τοῦ καὶ μεθ' ἡμᾶς εὐθὺς κινδυνεύσοντας. 9. Αὐτοὺς δὲ] ἤγουν ὑμᾶς. 11. Δεόμενοι ἂν] καὶ ἐδεῖσθε ἂν ἡμῶν συμμάχων. Ταῦτα ἐκ τοῦ ὁμοίου] ἐπὶ ταῦτα τὰ εἰρημένα. τουτέστι τῷ λόγῳ μὲν βοηθεῖν καὶ συμμαχεῖν τοῖς Συρακουσίοις· ἔργῳ δὲ ἑαυτὸν καὶ μεθ' ἡμᾶς εὐθὺς κινδυνεύσοντα. τὸ ἑξῆς· ταῦτα ἐκ τοῦ ὁμοίου φαίνεσθαι παρακελευομένους. 12. Ὅπως μηδὲν ἐνδώσωμεν] οὕτω (φησί) παρακελεύεσθε αὐτοῖς μὴ μαλακίζεσθαι, ὅσπερ ἂν ἡμῖν παρεκελεύσασθε, εἰ ἐφ' ὑμᾶς ὥρμησαν οἱ Ἀθηναῖοι. 14. Δειλίᾳ δὲ ἴσως] δειλίᾳ δὲ προβλήματι χρήσεσθε τῷ δικαίῳ δῆθεν, ἀξιοῦν-

Prom. ἔργῳ, καὶ λόγῳ, τεκμαίρομαι. Herodotus VII. 49. Μάθε, ὅτι αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι, καὶ οὐκὶ ὄνθρωποι τῶν συμφορέων. Wass.

1. ἀγαθοῖς om. d.i.
2. βουληθεὶς P.
4. θελήσαντι E.
6. αὐτοῦ] ἑαυτῶν h.
ἦν om. g.
7. τὰ om. K.e.
κινδυνεύσαντας f.
8. ἅπερ εἰ A.B.E.F.H.K.L.N. O.Q c.d.g.k. vulgo ἅπερ ἂν εἰ.
10. ἀφίκοιντο A.B.E.F.H.K.N. Q.f.g.h.
οἱ om. g.
11. ἐπικαλεῖσθε P.g.
12. μὴ Q.
ἐνδώσομεν F.H.K.L.M.O. vulgo ἐνδώσωμεν.

" τε ἡμᾶς καὶ πρὸς τοὺς ἐπιόντας θεραπεύσετε, λέγοντες
" ξυμμαχίαν εἶναι ὑμῖν πρὸς Ἀθηναίους· ἦν γε οὐκ ἐπὶ
" τοῖς φίλοις ἐποιήσασθε, τῶν δὲ ἐχθρῶν ἤν τις ἐφ' ὑμᾶς
" ἴῃ, καὶ τοῖς γε Ἀθηναίοις βοηθεῖν, ὅταν ὑπ' ἄλλων,
" καὶ μὴ αὐτοὶ ὥσπερ νῦν τοὺς πέλας ἀδικῶσιν, ἐπεὶ
" οὐδ' οἱ Ῥηγῖνοι, ὄντες Χαλκιδῆς, Χαλκιδέας ὄντας
" Λεοντίνους ἐθέλουσι ξυγκατοικίζειν. καὶ δεινὸν εἰ ἐκεῖνοι
" μὲν τὸ ἔργον τοῦ καλοῦ δικαιώματος ὑποπτεύοντες
" ἀλόγως σωφρονοῦσιν, ὑμεῖς δ' εὐλόγῳ προφάσει τοὺς
" μὲν φύσει πολεμίους βούλεσθε ὠφελεῖν, τοὺς δὲ ἔτι
" μᾶλλον φύσει ξυγγενεῖς μετὰ τῶν ἐχθίστων διαφθεῖ-
" ραι. ἀλλ' οὐ δίκαιον, ἀμύνειν δὲ καὶ μὴ φοβεῖσθαι
" τὴν παρασκευὴν αὐτῶν· οὐ γὰρ ἦν ἡμεῖς ξυστῶμεν
" πάντες, δεινή ἐστιν, ἀλλ' ἦν ὅπερ οὗτοι σπεύδουσι,

τες ὁμοίως ἡμῖν τε καὶ Ἀθηναίοις προσφέρεσθαι. 2. Ἐπὶ τοῖς φίλοις] ἤγουν κατὰ τῶν φίλων. 3. Τῶν δὲ ἐχθρῶν] κατὰ δὲ τῶν ἐπιστρατευσάντων ἡμῖν ἐχθρῶν. τοῦτο ἐξήγησίς ἐστι τοῦ προτέρου. ὁ μὲν γὰρ πρὸς τὰ ὠμήματα ἀσφαλέστερα οἰήσεται σώζειν, συμμαχῶν, τὴν ἡμετέραν δύναμιν, τουτέστιν ἡμᾶς· ὁ δὲ πρὸς τὰ ἔργα ἀφορῶν τῆς ἑαυτοῦ πρωνοεῖσθαι σωτηρίας ἡγήσεται. ἀσφαλέστερον δὲ εἶπε τὸ σωτηρίαν σώζει. 4. Ἄλλων] λείπει τὸ ἐπιόντων, ἀδικούντων. 7. Ξυγκατοικίζειν] ἤγουν τοῖς Ἀθηναίοις. 8. Τὸ ἔργον τοῦ καλοῦ δικ.] ἔργον μὲν τὴν τῶν Ἀθηναίων εἰς Σικελίαν ἄφιξιν λέγει, ἢ τὴν πρόφασιν τῆς ἀφίξεως· καλὸν δὲ δικαίωμα τὸ φάσκειν διὰ τὸ συγγενὲς τοῖς Χαλκιδεῦσι βοηθεῖν. 9. Ἀλόγως σωφρονοῦσιν] ἀντὶ τοῦ παρὰ λόγον. ἡ δὲ διάνοια· δεινὸν ἂν εἴη, εἰ Ῥηγῖνοι μέν, καίτοι Χαλκιδεῖς ὄντες, τὴν παρουσίαν τῶν Ἀθηναίων, εὔλογον δοκοῦσαν, ὡς ἂν ἐπὶ βοήθειαν τῶν συγγενῶν ἥκουσαν, ὅμως ὑποπτεύοντες, οὐ προσέθεντο αὐτοῖς, παρὰ τὸ φαινόμενον εὔλογον διαπραγοῦντες· ὑμεῖς δὲ, διὰ πρόφασιν πιθανὴν, Ἀθηναίους μὲν βούλεσθε ὠφελεῖν, τοὺς δὲ συγγενεῖς μετὰ τῶν ἐχθίστων διαφθεῖραι. Τοὺς μὲν φύσει πολεμίους] ἤγουν τοὺς Ἀθηναίους. 13. Ξυστῶμεν] ἤγουν εἰς τὸ αὐτὸ ἔλθωμεν. 14. Οὗτοι] οὗτοι οἱ Ἀθηναῖοι· Ὅμηρος· Ἦ κεν γηθήσαι Πρίαμος Πριά-

1. πρὸς om. i.
θεραπεύετε L.O.P.e.
2. ἦν] οἵ Q.
4. βοηθῆ e.
ἐπ' P.k.
ἀλλήλων H.
9. δ' A.B.E.F.H.K.N.c.d.e.f. g.h.i.k. vulgo δ' ἐν.
εὐλόγῳ λόγου προφάσει L.O.P.
οὐ λόγου προφάσει E.
10. φύσει om. L.O.P.
11. ξυγγενείας A.B.h.
12. μὴ om. L.O.P.d.e.i.k.
14. ὅπερ om. A.B.F.H.g.h. ὡς οἵπερ f.
σπεύδωσι B.

" τἀναντία διαστῶμεν, ἐπεὶ οὐδὲ πρὸς ἡμᾶς μόνους ἐλ-
" θόντες, καὶ μάχῃ περιγενόμενοι ἔπραξαν ἃ ἠβούλοντο,
80. " ἀπῆλθον δὲ διὰ τάχους. * ὥστε οὐκ ἀθρόους γε ὄντας
" εἰκὸς ἀθυμεῖν, ἰέναι δὲ ἐς τὴν ξυμμαχίαν προθυμότε-
" ρον, ἄλλως τε καὶ ἀπὸ Πελοποννήσου παρεσομένης
" ὠφελίας, οἳ τῶνδε κρείσσους εἰσὶ τὸ παράπαν τὰ
" πολέμια· καὶ μὴ ἐκείνην τὴν προμήθειαν δοκεῖν τῷ
" ἡμῖν μὲν ἴσην εἶναι, ὑμῖν δὲ ἀσφαλῆ, τὸ μηδετέροις δῆ,
" ὡς καὶ ἀμφοτέρων ὄντας ξυμμάχους, βοηθεῖν. οὐ γὰρ
" ἔργῳ ἴσον ὥσπερ τῷ δικαιώματί ἐστιν. εἰ γὰρ δὶ
" ὑμᾶς μὴ ξυμμαχήσαντας ὅ τε παθὼν σφαλήσεται
" καὶ ὁ κρατῶν περιέσται, τί ἄλλο ἢ τῇ αὐτῇ ἀπουσίᾳ
" τοῖς μὲν οὐκ ἠμύνατε σωθῆναι, τοὺς δὲ οὐκ ἐκωλύσατε
" κακοὺς γενέσθαι; καίτοι κάλλιον τοῖς ἀδικουμένοις
" καὶ ἅμα ξυγγενέσι προσθεμένους τήν τε κοινὴν ὠφε-

μοὶ τε παῖδες, Ἄλλοι τε Τρῶες μάχας κεν κεχαρίσατο θυμῷ, Εἰ σφῶϊν τάδε πάντα συνθέσατο μαρναμένοιιν (Il. 1, 255). 1. Πρὸς ἡμᾶς μόνους] ἐπὶ μόνους ἡμᾶς. 2. Περιγενόμενοι] ἡμῶν δηλονότι. 6. Τὰ πολέμια] κατὰ τὰ πολέμια. 7. Καὶ μὴ ἐκείνην τὴν προθυμίαν] τὸ μηδετέροις συμμαχεῖν, ὡς ἀμφοτέρων οὖσι φίλοις, δοκεῖτω προμηθὲς εἶναι, ὡς ὑμῖν μὲν ἀσφαλὲς ὂντος τοῦδε, ἡμῖν δὲ δικαίου φανησομένου. 9. Βοηθεῖν] ὑμᾶς δηλονότι. 10. Ὥσπερ τῷ δικαιώματί ἐστι] ὅτι τὸ ἴσον ἐπὶ τοῦ δικαίου κρίσθαν ἐτέτακτο, δῆλον ἐντεῦθεν. καὶ γὰρ οὐχ, ὥσπερ λεγόμενον (φησί) δικαιόφωνός ἐστιν, οὕτω καὶ ταῖς ἀληθείαις δίκαιον τυγχάνει. Εἰ γὰρ δὶ ὑμᾶς μὴ ξυμμαχήσαντας] εἰ γὰρ, διὰ τὸ ὑμᾶς μηδετέροις συμμαχεῖν, ἡμεῖς μὲν κακῶς πεισόμεθα, Ἀθηναῖοι δὲ κρατήσουσι, τί ἄλλο ἢ ἐκεῖθεν ἀμφοτέροις στάντες ἡμῖν μὲν ὑπὲρ σωτηρίας ἀγωνιζομένοις οὐκ ἀμυνεῖτε, ἐκείνους δὲ οὐ κωλύσετε τῆς πλεονεξίας. 11. Ὁ τε παθὼν] ἤγουν ὁ Συρακούσιος. 12. Καὶ ὁ κρατῶν] ἤγουν ὁ Ἀθηναῖος. 13. Τοῖς μὲν] τοῖς Συρακουσίοις. Τοὺς δὲ] τοὺς Ἀθηναίους. 15. Τήν τε κοινὴν ὠφέλειαν] ἤτοι τὴν ὁμοφροσύνην κοινὴν ὠφέλειαν εἶπεν, ἢ τὴν ἐλευθε-

1. ἐπειδὴ i.
μόνων i.
4. ἐς] πρὸς g.
προθυμότεροι L.
5. ἀπὸ] ἐκ h.
7. προμήθειαν A.B.E.N.d.h. προμηθίαν F.H.K.c.f.g. προμηθίαν M. δοκεῖν τῷ Dukerus: δοκείτω cor-rectus H. vulgo δοκεῖν τῷ.
11. μὴ om. e.
ὅτε] ὅστε g.
12. αὐτοῦ Q.
ἀπουσίᾳ om. g.
13. οὐκ om. c.
15. προθεμένους g.

" λίαν τῇ Σικελίᾳ φυλάξαι, καὶ τοὺς Ἀθηναίους φίλους
" ὄντας μὴ ἐᾶσαι ἁμαρτεῖν. ξυνελόντες τε λέγομεν οἱ
" Συρακόσιοι ἐκδιδάσκειν μὲν οὐδὲν ἔργον εἶναι σαφῶς,
" οὔτε ὑμᾶς οὔτε τοὺς ἄλλους, περὶ ὧν αὐτοὶ οὐδὲν χεῖ-
5 " ρον γιγνώσκετε· δεόμεθα δὲ, καὶ μαρτυρόμεθα ἅμα, εἰ
" μὴ πείσομεν, ὅτι ἐπιβουλευόμεθα μὲν ὑπὸ Ἰώνων ἀεὶ
" πολεμίων, προδιδόμεθα δὲ ὑπὸ ὑμῶν Δωριῆς Δωριέων.
" καὶ εἰ καταστρέψονται ἡμᾶς Ἀθηναῖοι, ταῖς μὲν ὑμε-
" τέραις γνώμαις κρατήσουσι, τῷ δ' αὐτῶν ὀνόματι τιμη-
10 " θήσονται, καὶ τῆς νίκης οὐκ ἄλλον τινὰ ἆθλον ἢ τὸν τὴν
" νίκην παρασχόντα λήψονται· καὶ εἰ αὖ ἡμεῖς περιεσό-
" μεθα, τῆς αἰτίας τῶν κινδύνων οἱ αὐτοὶ τὴν τιμωρίαν
" ὀφείξετε. σκεψεῖτε οὖν, καὶ αἱρεῖσθε ἤδη ἢ τὴν αὐτίκα
" ἀκινδύνως δουλείαν, ἢ κἂν περιγενόμενοι μεθ' ἡμῶν
15 " τούσδε τε μὴ αἰσχρῶς δεσπότας λαβεῖν, καὶ τὴν πρὸς
" ἡμᾶς ἔχθραν, μὴ ἂν βραχεῖαν γενομένην, διαφυγεῖν."

ρίαν τῆς Σικελίας. 1. Φίλους δὴ ὄντας] προφασιζομένους εἶναι φίλους. 3. Οὐδὲν ἔργον εἶναι] οὐδὲν χαλεπὸν εἶναι. 5. Καὶ μαρτυρόμεθα ἅμα] τὸ μὲν " δεόμεθα δὲ, καὶ μαρτυρόμεθα ἅμα, εἰ μὴ πείσομεν" ἀνέστραπται. οὕτω γὰρ ἦν ἐξῆς· εἰ μὴ πείσομεν, ἅμα δεόμεθα καὶ μαρτυρόμεθα· προσαποδέδοται δὲ πρὸς μὲν τὸ δεόμεθα, ὅτι ἐπιβουλευόμεθα ὑπὸ Ἰώνων, πρὸς δὲ τὸ μαρτυρόμεθα τὸ προδεδόμεθα ὑφ' ὑμῶν. 9. Τῷ δ' αὐτῶν ὀνόματι τιμηθήσονται] τιμῆς δὲ καὶ δόξης αὐτοὶ μόνοι τεύξονται, ὅτι Ἀθηναῖοι Σικελίας ἐκράτησαν μόνοι. 10. Καὶ τῆς νίκης οὐκ ἄλλον τινὰ ἆθλον] τὸ ἆθλον αὐτοῖς καὶ οἷον ἐπινίκιον οὐδὲν ἄλλο ἢ ὑμεῖς δουλωθέντες. 12. Οἱ αὐτοὶ] αἴτιοι τοῦ κινδύνου γεγονότες. 13. Σκεψεῖτε οὖν, καὶ αἱρεῖσθε ἤδη] σκεψάμενοι οὖν ἕλεσθε ἢ εὐθὺς δουλεύειν τοῖς Ἀθηναίοις χωρὶς τῶν κινδύνων, ἢ, μεθ' ἡμῶν στάντες καὶ κρατήσαντες, μήτε ὑπ' ἐκείνων ἀτίμως δουλωθῆναι, τήν τε πρὸς ἡμᾶς ἔχθραν ἐκφυγεῖν, μὴ ἂν μικρὰν γενομένην, εἰ Ἀθηναίοις συμμαχήσετε. 15. Τούσδε] τοὺς Ἀθηναίους. 16. Βραχεῖαν] ἤγουν ὀλιγοχρόνιον, ἀλλὰ μεγάλην δηλωτι.

2. ὄντας om. K.
ξυνελόντες] ἐλθόντες γρ. h.
3. ἐκδιδάξειν h.
4. χείρω f.
5. Δεόμεθα — λήψονται] Dionys. Halic. pag. 160. Wass.
δὲ] οὖν Dionysius, qui mox om. ἅμα.
8. εἰ μὴ καταστρέψονται K.
9. αὐτῷ L.O.P.Q.
11. αὖ g.
13. αὐτίκα] αἰτίαν Q.
16. βραχεῖαν καὶ γενομένην e.

81. Τοιαῦτα μὲν ὁ Ἑρμοκράτης εἶπεν· ὁ δ' Εὔφημος, ὁ τῶν Ἀθηναίων πρεσβευτὴς, μετ' αὐτὸν τοιάδε.

Eum excipit Atheniensis legatus, Euphemus,

82—87. non tam redarguens illius criminationes, quam Atheniensium imperium defendens, et demonstrans, necessitate ad bellum cum Syracusanis cogi se, ut securi et ipsi vivant, et socii simul cognatique, in Sicilia habitantes; quibus præter Atheni-

"Ἀφικόμεθα μὲν ἐπὶ τῆς πρότερον οὔσης ξυμμαχίας ἀνανεώσει, τοῦ δὲ Συρακοσίου καθαψαμένου ἀνάγκη καὶ περὶ τῆς ἀρχῆς εἰπεῖν, ὡς εἰκότως ἔχομεν. τὸ μὲν οὖν μέγιστον μαρτύριον αὐτὸς εἶπεν, ὅτι οἱ Ἴωνες ἀεί ποτε πολέμιοι τοῖς Δωριεῦσιν εἰσίν. ἔχει δὲ καὶ οὕτως· ἡμεῖς γὰρ Ἴωνες ὄντες Πελοποννησίοις Δωριεῦσι, καὶ πλείοσιν οὖσι καὶ παροικοῦσιν, ἐσκεψάμεθα ὅτῳ τρόπῳ ἥκιστα αὐτῶν ὑπακουσόμεθα, καὶ μετὰ τὰ Μηδικὰ ναῦς κτησάμενοι τῆς μὲν Λακεδαιμονίων ἀρχῆς καὶ ἡγεμονίας ἀπηλλάγημεν, οὐδὲν προσῆκον μᾶλλόν τι ἐκείνους ἡμῖν ἢ καὶ ἡμᾶς ἐκείνοις ἐπιτάσσειν, πλὴν καθ' ὅσον ἐν τῷ παρόντι μεῖζον ἴσχυον, αὐτοὶ δὲ τῶν ὑπὸ βασιλεῖ πρότερον ὄντων ἡγεμόνες καταστάντες οἰκοῦμεν, νομίσαντες ἥκιστ' ἂν

4. Ἀνανεώσει] ὑπὲρ τοῦ ἀναμνῆσαι περὶ τῆς πρότερον γενομένης ξυμμαχίας. 5. Περὶ τῆς ἀρχῆς] περὶ τῆς ἡγεμονίας. 6. Τὸ μὲν οὖν μέγιστον] κατὰ τὸ μέγιστον ὑποστῖξαι χρὴ, ἵνα τὸ μέγιστον ἀντὶ τοῦ κεφάλαιον ληφθῇ, οὖσης τῆς διανοίας ταύτης· κεφάλαιον μὲν δὴ μετὰ τὸν Συρακούσιον αὐτὸν μαρτυρῆσαι. ἔνιοι δὲ, μεταγράψαντες τὸ μαρτυρίας, μαρτύριον ἀνέγνωσαν, καὶ συνῆψαν, τὸ μὲν οὖν μέγιστον μαρτύριον αὐτὸς εἶπε. 9. Καὶ πλείοσιν οὖσιν] ἤτοι ἡμῶν τῶν Ἰώνων, ἢ ὑμῶν τῶν Σικελιωτῶν. ὃ καὶ μᾶλλον. δῆλον δὲ ἐκ τοῦ ἐπιφερομένου, τοῦ "καὶ παροικοῦσιν." πλείοσι γὰρ οὖσιν ὑμῶν καὶ γειτνιῶσιν ἡμῖν. 12. Οὐδὲν προσῆκον μᾶλλόν τι] ἀπὸ κοινοῦ τὸ ἐσκεψάμεθα. τὸ δὲ καὶ ἡμᾶς, ἀντὶ τοῦ ἤπερ καὶ ἡμᾶς. 14. Ἐν τῷ παρόντι] ἐν τῷ τότε δηλονότι. 15. Αὐτοὶ δὲ] ἤγουν ἡμεῖς. Τῶν ὑπὸ τῷ βασιλεῖ] ὑπερβατόν. τὸ δὲ ἑξῆς, αὐτοὶ δὲ οἰκοῦμεν, ἡγεμόνες καταστάντες τῶν ὑπὸ τῷ βασιλεῖ πρότερον ὄντων. λείπει τὸ Ἑλλήνων. Πρότερον ὄντων] ἤτοι τῶν Ἰώνων καὶ τῶν νησιωτῶν.

1. μὲν om. E.
εἶπεν d.
7. εἰσι τοῖς δωριεῦσιν d.
8. καὶ om. f.
οὕτως om. K.Q.
9. καὶ παροικοῦσιν om. Q.
10. ἥκιστ' ἂν αὐτῶν F. H. Q.c.g.
11. κτησάμενοι om. P.
13. μᾶλλον om. Q.
15. ὑπὸ βασιλεῖ A.B.E.F.H.K. L.M.O.P.b.c.d.e.f.g.h.i.k. vulgo ὑπὸ τῷ βασιλεῖ.

" ὑπὸ Πελοποννησίοις οὕτως εἶναι, δύναμιν ἔχοντες ἢ ἀμυ- enses auxi-
" νούμεθα, καὶ ἐς τὸ ἀκριβὲς εἰπεῖν, οὐδὲ ἀδίκως κατα- lium nul-
" στρεψάμενοι τούς τε Ἴωνας καὶ νησιώτας, οὓς ξυγγε- lum sit con-
" νεῖς φασὶν ὄντας ἡμᾶς Συρακόσιοι δεδουλῶσθαι. ἦλθον tra immi-
" γὰρ ἐπὶ τὴν μητρόπολιν, ἐφ' ἡμᾶς, μετὰ τοῦ Μήδου, nentem Sy-
" καὶ οὐκ ἐτόλμησαν ἀποστάντες τὰ οἰκεῖα φθεῖραι, ὥσ- racusiorum
" περ ἡμεῖς ἐκλιπόντες τὴν πόλιν, δουλείαν δὲ αὐτοί τε dominatio-
" ἐβούλοντο καὶ ἡμῖν τὸ αὐτὸ ἐπεσηγκεῖν. * ἀνθ' ὧν 83.
" ἄξιοί τε ὄντες ἅμα ἄρχομεν, ὅτι τε ναυτικὸν πλεῖστόν
" τε καὶ προθυμίαν ἀπροφάσιστον παρεσχόμεθα ἐς τοὺς
" Ἕλληνας, καὶ διότι καὶ τῷ Μήδῳ ἑτοίμως τοῦτο δρῶν-
" τες οὗτοι ἡμᾶς ἔβλαπτον, ἅμα δὲ τῆς πρὸς Πελοπον-
" νησίους ἰσχύος ὀρεγόμενοι. καὶ οὐ καλλιεπούμεθα, ὡς
" ἢ τὸν βάρβαρον μόνοι καθελόντες εἰκότως ἄρχομεν, ἢ
" ἐπ' ἐλευθερίᾳ τῇ τῶνδε μᾶλλον ἢ τῶν ξυμπάντων τε καὶ
" τῇ ἡμετέρᾳ αὐτῶν κινδυνεύσαντες. πᾶσι δὲ ἀνεπίφθονον
" τὴν προσήκουσαν σωτηρίαν ἐκπορίζεσθαι. καὶ νῦν τῆς

2. Ἐς τὸ ἀκριβὲς εἰπεῖν] ἀντὶ τοῦ ὡς ἀληθῶς εἰπεῖν. 3. Οὓς ξυγγενεῖς, φασὶν, ὄντας] ὧν ξυγγενῶν ὄντων φασὶ δεσπόζειν ἡμᾶς οἱ Συρακούσιοι. 12. Οὗτοι] οἱ νησιῶται. Ἡμᾶς ἔβλαπτον] καὶ διότι οἱ Ἴωνες, τῷ Μήδῳ ἑτοίμως ναῦς τε καὶ προθυμίαν ἀπροφάσιστον παρασχόντες, ἔβλαπτον ἡμᾶς. 13. Καὶ οὐκ ἄλλῳ ἐτόμεθα] ὡς ὑποχείριοι δηλονότι. 15. Τῇ τῶνδε] ἤτοι τῶν Πελοποννησίων, ἢ τῶν Ἰώνων τῶν ὑπὸ τῷ βασιλεῖ πρότερον ὄντων. ὃ καὶ μᾶλλον. Τὸ δὲ " ἢ τῶν ξυμπάν-
" των" ἤπερ τῶν συμπάντων Ἑλλήνων. ἐκινδυνεύομεν (φησὶν) ἐν τοῖς Μηδι-

1. ὑπὸ om. G.
ἀμυνόμεθα A. F. H. L. O. c.e. h.i.
5. μήδου] δήμου g.k.
7. δουλεύειν h.
δὲ] τε A.B.h.
τε] γε P.
8. ἡμῖν A.B.E.F.H.K.L.N.O. P.Q.c.d.e.f.g.h.i.
9. πλεῖστον καὶ L.O.P.
12. οὕτω καὶ ἡμᾶς H.
ἔβλεπτον k.
πρὸς τοὺς πελοποννησίους i.
13. οὐ καλλιεπούμεθα G. K .f. Conf. Valckenar. Diatr. in Euripid. p. 291. B.) οὐκ ἄλλο ἐτόμεθα A. οὐκ ἄλλο ἐτόμεθα B. οὐκ αλλο ετομεθα E. vulgo οὐκ ἄλλῳ ἐτόμεθα.
14. ἄρχομεν f.
15. τῶνδε] τῶν B.g.

" ἡμετέρας ἀσφαλείας ἕνεκα καὶ ἐνθάδε παρόντες, ὁρῶ-
" μεν καὶ ὑμῖν ταῦτα ξυμφέροντα. ἀποφαίνομεν δὲ ἐξ
" ὧν οἵδε τε διαβάλλουσι καὶ ὑμεῖς μάλιστα ἐπὶ τὸ
" φοβερώτερον ὑπονοεῖτε, εἰδότες τοὺς περιδεῶς ὑποπτεύ-
" οντάς τι λόγου μὲν ἡδονῇ τὸ παραυτίκα τερπομένους, τῇ 5
" δ' ἐγχειρήσει ὕστερον τὰ ξυμφέροντα πράσσοντας. τήν
" τε γὰρ ἐκεῖ ἀρχὴν εἰρήκαμεν διὰ δέος ἔχειν, καὶ τὰ ἐν-
" θάδε διὰ τὸ αὐτὸ ἥκειν μετὰ τῶν φίλων ἀσφαλῶς
" καταστησόμενοι, καὶ οὐ δουλωσόμενοι, μὴ παθεῖν δὲ
84. " μᾶλλον τοῦτο κωλύσοντες. * ὑπολάβῃ δὲ μηδεὶς ὡς 10
" οὐδὲν προσῆκον ὑμῶν κηδόμεθα, γνοὺς ὅτι σωζομένων
" ὑμῶν, καὶ διὰ τὸ μὴ ἀσθενεῖς ὑμᾶς ὄντας ἀντέχειν Συ-
" ρακοσίοις, ἧσσον ἂν τούτων πεμψάντων τινὰ δύναμιν
" Πελοποννησίοις ἡμεῖς βλαπτοίμεθα. καὶ ἐν τούτῳ

μᾶλλον ὑπὲρ τῆς τῶν Ἰόνων ἐλευθερίας, ἢ περὶ τῆς ἡμετέρας τε καὶ τῆς τῶν συμπάντων Ἑλλήνων. 1. Ὁρῶμεν καὶ ὑμῖν ταῦτα ξυμφέροντα] τὸ ἀποφαίνομεν δὲ, ἀπὸ κοινοῦ, ἄνω κείμενον ἀκουστέον. καὶ νῦν, τῆς ἡμετέρας ἀσφαλείας ἕνεκα καὶ ἐνθάδε παρόντες, καὶ ὑμῖν ταῦτα ξυμφέροντα ἀποφαίνομεν. ἀποφαίνομεν δὲ (φησὶν) ἡμῖν τε ἀσφαλῆ ὄντα καὶ ὑμῖν συμφέροντα. ταῦτα δέ ἐστιν, ἃ διαβολῇ καθ' ἡμῶν λέγουσι Συρακούσιοι. 3. Καὶ ὑμεῖς μάλιστα] ὑμεῖς δὲ ὑποπτεύοντες ἐκφοβεῖσθε. ἴσμεν γὰρ ὅτι οἱ φοβερόν τι ὑποπτεύοντες, κἂν ἐν τῷ παρόντι ὑπὸ τῶν τερπνῶν λόγων ψυχαγωγηθῶσιν, ὅμως ὕστερον ἀκριβῶς ἐξετάζουσι καὶ ἀναλογίζονται ἕκαστα, ὑπὲρ τοῦ τὰ συμφέροντα πράξειν. 4. Ὑπονοεῖτε] ἤγουν δειλιᾶτε ἐξ ὑπονοίας. 6. Τὴν τε γὰρ ἐκεῖ] τὴν ἐν πατρίδι. 8. Διὰ τὸ αὐτὸ] διὰ τὸ αὐτὸ δέος ἥκειν, ὅπως μετὰ τῶν φίλων τὰ ἐνθάδε ἀσφαλῶς καταστησόμεθα. δέος δὲ λέγει τὸ περὶ τῆς ἑαυτῶν ἀσφαλείας. ταύτης γὰρ ὀρεγόμενοι ὥρμησαν ἐπὶ τὸ ἄρχειν. 10. Τοῦτο] ἡμᾶς ἀπόντας καταδουλωθῆναι. καὶ δοκεῖ τὸ ἐπιφερόμενον τούτῳ μᾶλλον συνῴδειν. 11. Οὐδὲν προσῆκον] ἤγουν οὐδεμιᾶς συγγενείας οὔσης. Σωζομένων ὑμῶν] σωζομένων ὑμῶν, καὶ ἐν δυνάμει ὄντων, ὥστε ἀντέχειν δύνασθαι Συρακουσίοις, ἤττων ἂν ἡμεῖς βλαπτοίμεθα. οὐ γὰρ πέμψουσιν οἱ Συρακούσιοι Λακεδαιμονίοις δύναμιν, ἐνταῦθα πολεμούμενοι. διὰ καὶ χρὴ καθ' ὑπερβατὸν οὕτως ἀκοῦσαι, ἤττων ἂν ἡμεῖς βλαπτοίμεθα, τούτων πεμψάντων τινὰ δύναμιν Πελοποννησίοις. τουτέστιν οὐ πεμψάντων οὐκ ἂν βλαπτοίμεθα.

2. ταυτὰ E.
4. ὑπονοεῖτε i.
5. λόγων i.
10. τοῦτο μᾶλλον f.g.
ὑπολάβοι H.f.
12. μὴ om. e.
13. πεμψάντων om: g.

" προσήκετε ἤδη ἡμῖν τὰ μέγιστα. διόπερ καὶ, τοὺς
" Λεοντίνους εὔλογον κατοικίζειν μὴ ὑπηκόους, ὥσπερ
" τοὺς ξυγγενεῖς αὐτῶν τοὺς ἐν Εὐβοίᾳ, ἀλλ' ὡς δυνατω-
" τάτους, ἵνα ἐκ τῆς σφετέρας ὅμοροι ὄντες τοῖσδε ὑπὲρ
5 " ἡμῶν λυπηροὶ ὦσι. τὰ μὲν γὰρ ἐκεῖ καὶ αὐτοὶ ἀρκοῦ-
" μεν πρὸς τοὺς πολεμίους, καὶ ὁ Χαλκιδεύς, ὃν ἀλό-
" γως ἡμᾶς φησὶ δουλωσαμένους τοὺς ἐνθάδε ἐλευθεροῦν,
" ξύμφορος ἡμῖν ἀπαράσκευος ὢν καὶ χρήματα μόνον
" φέρων, τὰ δὲ ἐνθάδε, καὶ Λεοντῖνοι καὶ οἱ ἄλλοι φίλοι,
10 " ὅτι μάλιστα αὐτονομούμενοι. * ἀνδρὶ δὲ τυράννῳ ἢ 85.
" πόλει ἀρχὴν ἐχούσῃ οὐδὲν ἄλογον ὅ τι ξυμφέρον, οὐδ'
" οἰκεῖον ὅ τι μὴ πιστόν· πρὸς ἕκαστα δὲ δεῖ ἢ ἐχθρὸν
" ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι. καὶ ἡμᾶς τοῦτο ὠφε-
" λεῖ ἐνθάδε, οὐκ ἦν τοὺς φίλους κακώσωμεν, ἀλλ' ἦν οἱ

2. Μὴ ὑπηκόους, ὥσπερ τοὺς ξυγγενεῖς] μὴ οὕτως ὑπηκόους αὐτοὺς γενέσθαι, ὥσπερ οἱ συγγενεῖς αὐτῶν ὑπακούουσιν Εὐβοεῖς. ὕποπτος γὰρ ὢν ὁ Ἀθηναῖος ἐπὶ τῷ τοὺς Λεοντίνους ἐπαγγέλλεσθαι κατοικίζειν, φησὶν ὅτι οὐχ ὁμοίως αὐτοὺς κατοικιοῦμεν τοῖς ἐν Εὐβοίᾳ Χαλκιδεῦσιν, ἀλλ' ὡς ἐλευθέρους καὶ δυνατωτάτους. 3. Δυνατωτάτους] ἤγουν ἐλευθερωτάτους. 5. Τὰ μὲν γὰρ ἐκεῖ] τοῦ Ἑρμοκράτους Ἀθηναίους διαβαλόντος ὡς οὐχ ὑγιῶς τοὺς μὲν ἐν Εὐβοίᾳ Χαλκιδεῖς καταδεδουλωμένους, τοῖς δὲ ἐν Σικελίᾳ ἐπαγγελλομένους ἐλευθερίαν, ὁ Ἀθηναῖος οὐκ ἀρνούμενος, ἀλλὰ ὁμολογῶν, τεχνικῶς διαλύει τὸ ἐπιχείρημα Καὶ αὐτοὶ ἀρκοῦμεν] πρὸς μὲν γὰρ τὸν ἐκεῖ (φησί) πόλεμον αὐτοί τε ἀρκοῦμεν καὶ οἱ ἐν Εὐβοίᾳ Χαλκιδεῖς, οὕτως ἡμῖν δεδουλωμένοι, ὥστε δύναμιν μὲν καὶ παρασκευὴν οὐκ ἔχειν, δι' ἧς ἐπιθήσονται ἡμῖν, χρήματα δὲ ἔχοντες εἰσφέρειν εἰς τὸν πρὸς Πελοποννησίους πόλεμον. οἱ δὲ ἐνθάδε, ἐλεύθεροί τε καὶ αὐτόνομοι ὄντες καὶ δύναμιν ἔχοντες, μάλιστα ἡμῖν εἰσιν ὠφέλιμοι. 6. Καὶ ὁ Χαλκιδεὺς] ὁ ἐν Εὐβοίᾳ δηλονότι. 8. Ἀπαράσκευος ὤν] γεγυμνωμένος πολεμικῆς παρασκευῆς. 11. Οὐδὲν ἄλογον ὅ τι ξυμφέρον] οὐκ ἔστιν ἄλογον τὸ ἐκὶ τῷ συμφέροντι πραττόμενον. Οὐδ' οἰκεῖον ὅ τι μὴ πιστόν] οὐδὲ φίλος τις οὐδὲ ἐπιτήδειος, ἐὰν μὴ πιστὸς ᾖ. 12. Ἢ ἐχθρὸν ἢ φίλον] ἐχθρὸν δὲ (φη-

5. λυπηροὶ] λαμπροὶ B.h.
7. φησὶν ἡμᾶς Q.f.
8. ἡμῖν] ὑμῖν Thomas M. v. *συμφέρων*.
10. ὅτι μάλιστα om. B.h.
'Ανδρὶ — γίγνεσθαι] Stobæus p. 246. qui δεῖν ἐχθρὸν pro δεῖ, omisso ἤ. Sed ex χρὴ sequente, nihil mutandum, patet. Wass.
12. δεῖν Stobæus, omissa ἤ.
14. οἱ om. L.e.

" ἐχθροὶ διὰ τὴν τῶν φίλων ῥώμην ἀδύνατοι ὦσιν. ἀπι-
" στεῖν δὲ οὐ χρή. καὶ γὰρ τοὺς ἐκεῖ ξυμμάχους, ὡς
" ἕκαστοι χρήσιμοι, ἐξηγούμεθα, Χίους μὲν καὶ Μηθυμ-
" ναίους νεῶν παροχῇ αὐτονόμους, τοὺς δὲ πολλοὺς χρη-
" μάτων βιαιότερον φορᾷ, ἄλλους δὲ καὶ πάνυ ἐλευθέρως
" ξυμμαχοῦντας, καίπερ νησιώτας ὄντας καὶ εὐλήπτους,
" διότι ἐν χωρίοις ἐπικαίροις εἰσὶ περὶ τὴν Πελοπόννησον.
" ὥστε καὶ τἀνθάδε εἰκὸς πρὸς τὸ λυσιτελοῦν, καὶ ὃ
" λέγομεν, ἐς Συρακοσίους δέος, καθίστασθαι. ἀρχῆς
" γὰρ ἐφίενται ὑμῶν, καὶ βούλονται ἐπὶ τῷ ἡμετέρῳ

σί) καὶ φίλαν δεῖ πρὸς ἕκαστα ἐν καιρῷ γίγνεσθαι, ἁρμοττόμενον τοῖς παροῦσι πράγμασι. 2. Καὶ γὰρ τοὺς ἐκεῖ ξυμμάχους] ἀντὶ τοῦ καὶ γὰρ τῶν ἐκεῖ συμμάχων. 4. Τοὺς δὲ πολλοὺς χρημάτων] τοὺς δὲ πολλοὺς χρήματα πρασσομένους ἄκοντας. 8. Καὶ, ὃ λέγομεν, ἐς Συρακουσίους δέος] ὃ λέγομεν δέος ἡμῖν εἶναι διὰ Συρακουσίους, πρὸς τὸ ἡμῖν λυσιτελοῦν καθίστανται. 10. Ἐπὶ τῷ ἡμετέρῳ ξυστήσαντες] καὶ βούλονται, ὑπήκτους ἡμᾶς ποιήσαντες

2. τοῖς ἐκεῖ ξυμμάχοις A.B.E.F. H.L.O.P.c.d.f.g.h.k.

Τοὺς ἐκεῖ ξυμμάχους—ἐξηγούμεθα] Ἐξηγοῦμαι ea significatione, quam hic locus postulat, sine dubio usitatius genitivum adjunctum habet. Accusativum tamen ei etiam I. 71. adponit Thucydides: τὴν Πελοπόννησον πειρᾶσθε μὴ ἐλάσσω ἐξηγεῖσθαι, ἢ οἱ πατέρες ἡμῖν παρέδοσαν· ubi Scholiastes ἐξηγεῖσθαι exponit ἄρχειν, κρατεῖν, ἢ ἄγειν. Sed ibi Stephanus probat scripturam *Marg.* τῆς Πελοποννήσου. Cum dativo est in Thucydide III. 55. Ἃ δὲ ἑκάτεροι ἐξηγεῖσθε τοῖς ξυμμάχοις, quod Interpretes itidem imperandi, ducendi, et præeundi notione accipiunt. Verum hic τοῖς ξυμμάχοις, quod est in plerisque MSS. non potest recipi propter sequentes accusativos, Χίους, Μηθυμναίους, et alios. Duk.

4. Παροχῇ] Ita MSS. Unus, opinor, Suidas in παρακωχῇ dat παρακωχῇ, pro παροχῇ, inquit, ut ἀνακωχὴ et διακωχή· nec displicet. Dionysius alterum tuetur. Josephus Antiq. XVII. 9. 5. ὡς ἐπεπόμφει γράμματα, συνῆγεν ἐπὶ ΠΑΡΑΚΩΧΗΝ γνωμῶν τοὺς φίλους. Suidam exscribit Phavorinus. Wass.

τὰ δὲ πολλὰ i.

5. βεβαιότερον B. βιαιοτέρα h.i. φθορὰ i.

ἐλευθέρους i.

6. ξυμμάχους f.

καὶ om. Q.

7. ἐν] ἐπὶ g.

τὴν om. Q.

8. ἐνθάδε E.F.H.c.g.h.

ᾧ g.

9. ἐς—ὑμῶν om. E.

καθίσταται A.B.K.L.M.O.b. d.e.f.h.i.k. καθίστανται F.H.P. g.

10. ἀφίενται ἡμῶν g.

βούλονται ἐπὶ A.B.E.F.H.K.L.

" ξυστήσαντες ὑμᾶς ὑπόπτῳ, βίᾳ ἢ κατ' ἐρημίαν, ἀ-
" πράκτων ἡμῶν ἀπελθόντων, αὐτοὶ ἄρξαι τῆς Σικελίας.
" ἀνάγκη δὲ, ἢν ξυστῆτε πρὸς αὐτούς· οὔτε γὰρ ἡμῖν ἔτι
" ἔσται ἰσχὺς τοσαύτη ἐς ἓν ξυστᾶσα εὐμεταχείριστος,
" οὔθ' οἵδ' ἀσθενεῖς ἂν ἡμῶν μὴ παρόντων πρὸς ὑμᾶς
" εἶεν. * καὶ ὅτῳ ταῦτα μὴ δοκεῖ, αὐτὸ τὸ ἔργον ἐλέγ- 86.
" χει. τὸ γὰρ πρότερον ἡμᾶς ἐπηγάγεσθε οὐκ ἄλλον
" τινὰ προσίοντες φόβον, ἢ εἰ περισφόμεθα ὑμᾶς ὑπὸ
" Συρακοσίοις γενέσθαι, ὅτι καὶ αὐτοὶ κινδυνεύσομεν. καὶ
" νῦν οὐ δίκαιον, ὥπερ καὶ ἡμᾶς ἠξιοῦτε λόγῳ πείθειν,
" τῷ αὐτῷ ἀπιστεῖν, οὐδ' ὅτι δυνάμει μείζονι πρὸς τὴν
" τῶνδε ἰσχὺν πάρεσμεν, ὑποπτεύεσθαι, πολὺ δὲ μᾶλλον
" τοῖσδε ἀπιστεῖν. ἡμεῖς μέν γε οὔτε ἐμμεῖναι δυνατοὶ

ὑμῖν καὶ διαβαλόντες, ὑφ' αὑτοῖς ποιήσασθαι τὴν Σικελίαν, ἤτοι βίᾳ κρατήσαντες ὑμῶν, ἢ μόνους ἀπολαβόντες, ἡμῶν ἀπράκτων ἀπελθόντων. 3. Ἀνάγκη δὲ] ἀνάγκη τὸ ἄρξαι τοὺς Συρακουσίους τῆς ὅλης Σικελίας. 5. Οὔθ' οἵδ' ἀσθενεῖς ἄν] οὔτε γὰρ ἡμεῖς ἔτι τοσαύτην συνάγειν ἀθρόαν δύναμιν καὶ μετοχειρίσασθαι δυνησόμεθα· οἵ τε Συρακούσιοι οὐκ ἂν εἶεν ἀσθενεῖς, ὡς πρὸς ὑμᾶς, ἡμῶν μὴ συμμαχούντων ὑμῖν. 8. Προσίοντες] προσποιοῦντες, ἐπανατεινόμενοι. 12. Ὑποπτεύεσθαι] ἦγουν οὐδὲ δίκαιον ὑποπτεύεσθαι, ὅτι κατα-

M.N.O.f.h.k. vulgo βούλονται μὲν ἐπί.

1. ἢ] καὶ A. ἢ καὶ B.E.F.H.P. c.f.g.k.

3. ἢν] εἰ L.

4. συστᾶσα B.E.F.G.h.i.k. ξυστᾶσα g.

5. μὴ om. O.

6. ἦεν E.

δοκῇ A.B.h.

8. προσιόντες A.B.E.F.K.L.M. Q.h.i.

Προσίοντες φόβον] Προσείειν dicuntur pastores, quum, frondem manu quatientes, pecus, quo volunt, ducunt. Vid. Casaubonum ad Athen. I. 19. Hinc fortassis potest duci προσείειν φόβον, quasi dicas, *metu ostenso aliquo compellere*; vel ab iis, qui ad terrorem hosti incutiendum gladios et hastas vibrant; quod τὰ ξίφη καὶ τὰ δόρατα προσείειν dicit Ælianus, V. H. 12, 23. Sed pleraque alia cum σείω composita significationem minarum et metus habent. Φόβον ἀνασείοντες Pollux I. 151. Οὐ Δαρεῖον, οὐδὲ Πέρσας ἐπισείων, neque Darii, neque Persarum *metu eos terrens*, Plutarchus Themistoc. pag. 206. Ed. Steph. Dux.

9. συρακουσίους E. συρακουσίων g.

10. ὥπερ H.g. vulgo ὅπερ.

καὶ om. Q.

ἀξιοῦτε B.e.h. ἠξιοῦται E.

13. μέν] δέ d.i.

" μὴ μᾶλλον ὑμῶν, εἴ τε καὶ γενόμενοι κακοὶ κατεργασαί-
" μεθα, ἀδύνατοι κατασχεῖν διὰ μῆκός τε πλοῦ καὶ
" ἀπορίαν φυλακῆς πόλεων μεγάλων καὶ τῇ παρασκευῇ
" ἠπειρωτίδων· οἵδε δὲ οὐ στρατοπέδῳ, πόλει δὲ μείζονι
" τῆς ἡμετέρας παρουσίας ἐποικοῦντες ὑμῖν ἀεί τε ἐπι-
" βουλεύουσιν, καὶ ὅταν καιρὸν λάβωσιν ἑκάστου, οὐκ
" ἀνιᾶσιν (ἔδειξαν δὲ καὶ ἄλλα ἤδη καὶ τὰ ἐς Λεοντί-
" νους), καὶ νῦν τολμῶσιν ἐπὶ τοὺς ταῦτα κωλύοντας,
" καὶ ἀνέχοντας τὴν Σικελίαν μέχρι τοῦδε μὴ ὑπ' αὐτοὺς
" εἶναι, παρακαλεῖν ὑμᾶς ὡς ἀναισθήτους. πολὺ δὲ ἐπὶ
" ἀληθεστέραν γε σωτηρίαν ἡμεῖς ἀντιπαρακαλοῦμεν, δεό-
" μενοι τὴν ὑπάρχουσαν ἀπ' ἀλλήλων ἀμφοτέροις μὴ
" προδιδόναι, νομίσαι τε τοῖσδε μὲν καὶ ἄνευ ξυμμάχων

δουλώσαιμεν. 2. Καὶ ἀπορίᾳ φυλακῆς] καὶ οὐ δυνάμενοι φυλάττειν πόλεις μεγάλας καὶ παρασκευὴν ἠπειρωτικὴν παρεσκευασμένας, τουτέστιν ἱππεῦσι καὶ πεζῷ ἰσχυούσας, αὐτοὶ ναυτικοὶ ὄντες. 4. Οἵδε δὲ οὐ στρατοπέδῳ] Συρακούσιοι δὲ ἐφεδρεύοντες ὑμῖν, (τοῦτο γάρ ἐστι τὸ ἐποικοῦντες,) οὐκ ἐπὶ στρατοπέδου, ἀλλὰ πόλεως μείζονος τοῦ ἡμετέρου στρατοπέδου. 6. Ὅταν καιρὸν λάβωσι] καὶ λαβόμενοι καιροῦ οὐκ ἀνήσουσιν, ἀλλ' ἐπιθήσονται ὑμῖν. 11. Ἀντιπαρακαλοῦμεν] ἤγουν εἰς ἐναντίαν παράκλησιν κινοῦμεν. 12. Τὴν ὑπάρχουσαν] σωτηρίαν δηλονότι. 13. Νομίσαι τε] νομίσαι τε (φησὶ) Συρακουσίοις μὲν τὸ ἐφ' ὑμᾶς στρατεύειν ἐν ἑτοίμῳ εἶναι, καὶ χωρὶς συμμάχων, πλήθει (καὶ γὰρ πολλοί·) ὑμῖν δὲ οὐ πολλάκις ἔσεσθαι μετὰ τοσῇδε παρασκευῆς ἀντιτάξασθαι πρὸς αὐτούς, ὅση ἐστὶν ἡ ἡμετέρα. ἢν δύναμιν, ἴστε, εἰ

1. μὴ om. f.g.
εἴγε i.
κακοὶ καὶ κατεργ. L.O.Q.k.
4. οἵδε] οἱ b.
πολὺ d.
Μείζονι τῆς ἡμετέρας παρουσίας] Non reprehendo, quæ hic scribit Portus in Var. Lect. Hudsoni. Sed tamen, videndum, puto, an παρουσία hic possit esse *vires, opes, potentia*. Nam, παρουσίαν pro περιουσίᾳ et τῇ τῶν παρόντων δαψιλείᾳ dixisse veteres, ostendunt Harpocration, Suidas et Hesychius: de quo etiam monet Bentleius Emendat. in Menand. CXLII. Dux.
7. ἀνίασιν A. ἀνιῶσιν d.
τὰ om. P.
8. κωλύσαντας B. κωλύσοντας h.
10. Ἀναισθήτους] Vide Orationem Corinthiorum ad Lacedæmonios, I. 68. seqq. Wass.
12. ἐπ' K.
ἀμφοτέρους g. ἑκατέρους γρ. h.
13. τε] δὲ f.
καὶ εἰ ἄνευ e.

" ἀεὶ ἐφ' ὑμᾶς ἑτοίμην διὰ τὸ πλῆθος εἶναι ὁδὸν, ὑμῖν δ'
" οὐ πολλάκις παρασχήσειν μετὰ τοσῆσδε ἐπικουρίας
" ἀμύνασθαι· ἢν εἰ τῷ ὑπόπτῳ ἢ ἄπρακτον ἐάσετε
" ἀπελθεῖν, ἢ καὶ σφαλεῖσαν, ἔτι βουλήσεσθε καὶ πολ-
" λοστὸν μόριον αὐτῆς ἰδεῖν, ὅτε οὐδὲν ἔτι περανεῖ παρα-
" γενόμενον ὑμῖν. * ἀλλὰ μήτε ὑμεῖς, ὦ Καμαρινεῖοι, 87.
" ταῖς τῶνδε διαβολαῖς ἀναπείθεσθε, μήτε οἱ ἄλλοι· εἰ-
" ρήκαμεν δ' ὑμῖν πᾶσαν τὴν ἀλήθειαν περὶ ὧν ὑποπτευ-
" όμεθα, καὶ ἔτι ἐν κεφαλαίοις ὑπομνήσαντες ἀξιώσομεν
" πείθειν. φαμὲν γὰρ ἄρχειν μὲν τῶν ἐκεῖ, ἵνα μὴ ὑπα-
" κούωμεν ἄλλου, ἐλευθεροῦν δὲ τὰ ἐνθάδε, ὅπως μὴ
" ὑπ' αὐτῶν βλαπτώμεθα, πολλὰ δ' ἀναγκάζεσθαι

ὑποπτεύσαντες ἄπρακτον ἐάσητε ἀπελθεῖν, εἴτε καὶ περιόψεσθε νικηθεῖσαν, ἐθελήσετε ἄν ποτε καταδουλωθέντες, ὅτε οὐδὲν ὄφελος ἔσται βοηθείας, πολλοστημόριον τῆς ἡμετέρας δυνάμεως ἐλθεῖν ὑμῖν σύμμαχον. 2. Ἐπικουρίας] τῆς ἡμῶν, ἣν ἔχομεν. 3. Ἢν] ἣν σωτηρίαν. 11. Ὅπως μὴ ὑπ' αὐτῶν βλαπτώμεθα] ἀπὸ κοινοῦ τὸ φαμέν. 12. Πολλὰ δ' ἀναγκάζεσθαι πράσσειν] πολλαχοῦ δὲ στρατεύομεν κἀκεῖ καὶ ἐπὶ Σικελίαν, διὰ τὸ καὶ πολλοὺς φοβεῖ-

1. ἀεί] εἰ A.B.E.e.k.g. εἰς d.i. om. N.O.Q.

3. ἀμύνεσθαι E.d.i.

εἰ] ἐν f.

4. καὶ τὴν σωτηρίαν σφαλεῖσαν A. ... . καὶ σωτηρίαν σφαλεῖσαν h.

βουλεύσεσθε g.

καὶ] πότε καὶ f.h.

πολλοστὸν μόριον A.B.E.F.H.L. O.P.Q.c.d.e.g.h.i.k. vulgo πολλοστημόριον.

Πολλοστημόριον] Si tantum habenda est ratio numeri MSStorum: scribendum est πολλοστὸν μόριον· nam nemo, opinor, dubitabit, quin æque dicatur πολλοστὸν μόριον ἐπικουρίας, quam πολλοστὸν μέρος, cum apud alios, tum apud Lucianum Pseudomanti pag. 749. aut βραχὺ μόριον ἡμέρας apud Thucydidem I. 84. et βραχὺ μόριον δαπάνης VIII. 46. Sed nihil possum decernere. Nam et compositum πολλοστημόριον hic agnoscit Scholiastes, et alii multi eo utuntur. Vide Budæum, Commentar. pag. 249. Duk.

5. ὅτε] οὔτε A.B.e.k. εἴτε E. ὅτι i.

11. ἐλευθεροῦντες L.

12. Πολλὰ δ' ἀναγκάζεσθαι πράσσειν] Semper enim ob πολυπραγμοσύνης vitium Athenienses male audiebant. Sic præco Thebanus apud Euripidem in Supplic. v. 576. ad Theseum, Atheniensium Regem, ait: Πράσσειν σὺ πόλλ' εἰώθας, ἥ τε σὴ πόλις. Cui Theseus respondens: Τοιγὰρ πονοῦσα πολλὰ, πόλλ' εὐδαιμονεῖ. quod tamen non semper contigit A-

" πράσσειν, διότι καὶ πολλὰ φυλασσόμεθα, ξύμμαχοι
" δὲ καὶ νῦν καὶ πρότερον τοῖς ἐνθάδε ὑμῶν ἀδικουμένοις
" οὐκ ἄκλητοι παρακληθέντες δὲ ἥκειν. καὶ ὑμεῖς μήθ'
" ὡς δικασταὶ γενόμενοι τῶν ἡμῖν ποιουμένων μήθ' ὡς
" σωφρονισταὶ, ὃ χαλεπὸν ἤδη, ἀποτρέπειν πειρᾶσθε, 5
" καθ' ὅσον δέ τι ὑμῖν τῆς ἡμετέρας πολυπραγμοσύνης
" καὶ τρόπου τὸ αὐτὸ ξυμφέρει, τούτῳ ἀπολαβόντες χρή-
" σασθε, καὶ νομίσατε μὴ πάντας ἐν ἴσῳ βλάπτειν αὐ-
" τὰ, πολὺ δὲ πλείους τῶν Ἑλλήνων καὶ ὠφελεῖν. ἐν
" παντὶ γὰρ πᾶς χωρίῳ, καὶ ᾧ μὴ ὑπάρχομεν, ὅ τε 10
" οἰόμενος ἀδικήσεσθαι καὶ ὁ ἐπιβουλεύων, διὰ τὸ ἑτοίμην
" ὑπεῖναι ἐλπίδα τῷ μὲν ἀντιτυχεῖν ἐπικουρίας ἀφ'

σθαι. 4. Μήθ' ὡς σωφρονισταὶ] ὑπερβατόν· μήτε (ὃ χαλεπὸν ἤδη) ὡς σωφρονισταὶ ἀποτρέπειν πειρᾶσθε. χαλεπὸν δὲ ἤδη ἐστὶν ἀποτρέψαι ἡμᾶς. 6. Πολυπραγμοσύνης] πολυπραγμονεῖν λέγει τὸ πολλοῖς ἐπιχειρεῖν καὶ πολλαχοῦ. ἐκ δὲ τῆς πολυπραγμοσύνης καὶ τοῦ τρόπου ἡμῶν ὅ τι ἂν ὑμῖν συμφέρῃ, τούτῳ τῷ μέρει χρήσασθε. 8. Μὴ πάντας ἐν ἴσῳ] μὴ πάντας ἡμᾶς δηλονότι βλάπτεσθαι ὑπὸ τῆς ἡμετέρας πολυπραγμοσύνης καὶ τοῦ τρόπου. 9. Ἐν παντὶ γὰρ πᾶς] ἐν πάσῃ γὰρ γῇ, καὶ ἧς οὐκ ἄρχομεν, οἵ τε ἐπιβουλεύοντες τοῖς πέλας καὶ οἱ φοβούμενοι ἐκείνους, διὰ τὸ ἀμφότεροι προσδέχεσθαι τὴν ἡμετέραν διὰ τάχους παρουσίαν, οἵ τε ἐπιβουλεύοντες διὰ τὸν ἐφ' ἡμῖν φόβον σωφρονέστεροι γίγνονται, καὶ οἱ ἐπιβουλεύομενοι σώζονται χωρὶς πόνου.

theniensibus. Acac. Erat quidem in hac expeditione Atheniensium in Siciliam πολυπραγμοσύνη reprehendenda: sed legatus Atheniensis hic πολλὰ πράσσειν, et paullo post πολυπραγμοσύνην Atheniensium, non magis in vitio videtur ponere, quam, quum πολυπράγμονες prima et propria significatione vocabuli dicuntur, quos Reipublicæ, vel cujuscumque muneris, administratio multis negotiis implicat, et multarum rerum varietate distrahit. Suidas in πολυπραγμοσύνη· Ὁ πολυπράγμων οὐδέπω φανερὰν ἁμαρτίαν σημαίνειν δοκεῖ· εἴγε πολυπράγμων μέν ἐστιν ὁ ἐν πολλοῖς κυλιόμενος πράγμασι. δύναται δὲ τοῦτο καὶ ἀπὸ τύχης τινὶ περιγενέσθαι. Dux.

6. δ' ἔτι B.
τι καὶ ὑμῖν G.
Πολυπραγμοσύνης] *Multarum rerum* studium πολυπραγμοσύνην appello, quæ non potest uno exprimi vocabulo Latino: ut A. Gellius lib. XI. cap. 16. docet. Is ibidem πολυπραγμοσύνην ait esse *ad multas res aggressionem earumque actionem.* Acac.
7. ἀπολαύοντες L.
10. ἄρχομεν γρ. h.
11. ἀδικηθήσεσθαι G.
12. εἶναι K.
ἀντισχεῖν g.

" ἡμῶν, τῷ δὲ, εἰ ἤξομεν, μὴ ἀδεεῖς εἶναι κινδυνεύειν,
" ἀμφότεροι ἀναγκάζονται ὁ μὲν ἄκων σωφρονεῖν, ὁ δ'
" ἀπραγμόνως σώζεσθαι. ταύτην οὖν τὴν κοινὴν τῷ τε
" δεομένῳ καὶ ὑμῖν νῦν παροῦσαν ἀσφάλειαν μὴ ἀπώ-
" σησθε, ἀλλ' ἐξισώσαντες τοῖς ἄλλοις μεθ' ἡμῶν τοῖς
" Συρακοσίοις, ἀντὶ τοῦ ἀεὶ φυλάσσεσθαι αὐτοὺς, καὶ
" ἀντεπιβουλεῦσαί ποτε ἐκ τοῦ ὁμοίου μεταλάβετε."

Τοιαῦτα δὲ ὁ Εὔφημος εἶπεν. οἱ δὲ Καμαριναῖοι ἐπε- 88.
πόνθεσαν τοιόνδε. τοῖς μὲν Ἀθηναίοις εὖνοι ἦσαν, πλὴν καθ' ὅσον εἰ τὴν Σικελίαν ᾤοντο αὐτοὺς δουλώσεσθαι, τοῖς δὲ Συρακοσίοις ἀεὶ κατὰ τὸ ὅμορον διάφοροι· δεδιότες δ' οὐχ ἧσσον τοὺς Συρακοσίους ἐγγὺς ὄντας, μὴ καὶ ἄνευ σφῶν περιγένωνται, τό τε πρῶτον αὐτοῖς τοὺς ὀλίγους ἱππέας ἔπεμψαν, καὶ τὸ λοιπὸν ἐδόκει αὐτοῖς ὑπουργεῖν μὲν τοῖς Συρακοσίοις μᾶλλον ἔργῳ, ὡς ἂν δύνωνται μετριώτατα, ἐν δὲ τῷ παρόντι, ἵνα μηδὲ τοῖς Ἀθηναίοις ἔλασσον δοκῶσι νεῖμαι, ἐπειδὴ καὶ ἐπικρατέστεροι τῇ μάχῃ ἐγένοντο, λόγῳ ἀποκρίνασθαι ἴσα ἀμφοτέροις. καὶ οὕτω βουλευσάμενοι ἀπεκρίναντο, ἐπειδὴ τυγχάνει ἀμφοτέροις οὖσι ξυμμάχοις σφῶν πρὸς ἀλλήλους πόλεμος ὤν,

Camarinenses, re deliberata, respondent, religionem videri sibi, cum utrisque socii sint, alteri opitulari; itaque plane bello abstinere velle. —Deinde utrique ad bellum necessaria parant, et socios sibi conciliare student, Athenienses Siculos, Carthagi-

5. Ἀλλ' ἐξισώσαντες] ἀλλ' ἐξισωθέντες καὶ ὁμοιωθέντες τοῖς ἄλλοις ἀνθρώποις, τοῖς οὐ μόνον φυλάττεσθαι τοὺς ἀδικοῦντας ἀλλὰ καὶ ἀντεπιβουλεύειν τοῖς προεπιβουλεύουσιν εἰθισμένοις, καὶ αὐτοὶ πρὸς τοὺς Συρακουσίους μεθ' ἡμῶν στάντες τοῦ αὐτοῦ μεταλάβετε, τουτέστιν ἀντεπιβουλεύσατε αὐτοῖς. 8. Ἐπεπόνθεσαν τοιόνδε] ἤγουν κατὰ ψυχὴν διετέθησαν. 9. Πλὴν καθ' ὅσον] πλὴν εἰ καταδουλοῖντο οἱ Ἀθηναῖοι τὴν Σικελίαν. 17. Ἐπικρατέστεροι] τῶν Συ-

1. τὸ E.
2. ἄκων] ἂν i.
3. τε] δὲ Q. om. L.O.
5. τοῖς om. g.
8. δὲ A.B.E.F.H.K. c.f.g.h. vulgo μέν.
10. εἰ] εἰς P.c.
12. καὶ om. Q.
15. μετριστάτω f.
17. ἐλάσσω P.
δοκῶσι νεῖμαι Valcken. Diatr. in Euripid. p. 77. C. vulgo δοκῶσιν εἶναι.
ἐπεὶ g.
20. ξυμμάχοις οὖσι i.

nienses, Etruscos; Syracusani Italiæ urbes, Peloponnesios et maxime Lacedæmonios. Quos cum ad auxilium in Siciliam mittendum non commovissent,

εὔορκον δοκεῖν εἶναι σφίσιν ἐν τῷ παρόντι μηδετέροις ἀμύνειν. καὶ οἱ πρέσβεις ἑκατέρων ἀπῆλθον.

Καὶ οἱ μὲν Συρακόσιοι τὰ καθ' ἑαυτοὺς ἐξηρτύοντο ἐς τὸν πόλεμον· οἱ δ' Ἀθηναῖοι, ἐν τῇ Νάξῳ ἐστρατοπεδευμένοι, τὰ πρὸς τοὺς Σικελοὺς ἔπρασσον, ὅπως αὐτοῖς ὡς πλεῖστοι προσχωρήσονται. καὶ οἱ μὲν πρὸς τὰ πεδία μᾶλλον τῶν Σικελῶν, ὑπήκοοι ὄντες τῶν Συρακοσίων, οἱ πολλοὶ ἀφεστήκεσαν· τῶν δὲ τὴν μεσόγαιαν ἐχόντων αὐ-

ρακουσίων δηλονότι. 6. Καὶ οἱ μὲν πρὸς τὰ πεδία] οὐ τῶν Συρακουσίων ἀφειστήκεσαν, ἀλλ' οἱ ἐν τοῖς πεδίοις οἰκοῦντες ἀφειστήκεσαν καὶ οὐ προσε-

1. δοκεῖ A.B.E.F.H.L.O.P.g.

3. Τὰ καθ' ἑαυτοὺς ἐξηρτύοντο] In scriptura MSStorum, qui habent τὸ καθ' ἑαυτοὺς, hic sensus est: *pro virili*, vel *omni ope*; ut hic Valla; ut in τὸ κατ' ἐμὲ, et aliis hujus generis. Vulgata tamen satis defendi potest. Herodianus III. 1. Ὁ μὲν δὴ Νίγρος οὕτως ἐξήρτυε τὰ καθ' ἑαυτὸν ἀσφαλέστατα καὶ προμηθέστατα. Duk.

4. τὸ H.P.d.g.

τὸν om. L.O.

6. προσχωρήσονται E.k.

7. Οἱ πολλοὶ ἀφειστήκεσαν] Interpretatio Scholiastæ, ἀφειστήκεσαν exponentis οὐ προσεχώρουν, videtur confirmari posse locis Demosthenis, Aristidis, et Luciani, quæ leguntur in Lexicis, in quibus ἀφεστάναι est *abhorrere*, *alienum esse*. Sic rursus Lucianus de Saltat. pag. 800. Οὐ μὲν οὐδὲ ῥητορικῆς ἀφέστηκεν, ἀλλὰ καὶ ταύτης μετέχει. Et eo etiam pertinere potest hoc Thucydidis IV. 119. Οὐδενὸς ἀποστήσονται, ὅσα ἂν δίκαια λέγητε, οὔτε οἱ Λακεδαιμόνιοι, οὔτε οἱ ξύμμαχοι, *nihil recusabunt*. Tamen omnino considerandam arbitror conjecturam Guil. Canteri, qui VIII. Novar. Lection. 16. pro οἱ πολλοὶ reponendum, censet, οὐ πολλοί. Nam, verosimile, ait, esse, eos, qui aliorum imperio parebant, difficulter dominos mutare potuisse; eos autem, qui libertate fruebantur, multo se facilius ad quascumque vellent partes contulisse. Hoc mihi non minus placet, quam explicatio Scholiastæ, et quæ pro ea dici possunt. Nam et in omnibus illis, in quibus ἀφιστάναι est *alienum esse*, genitivus verbo adponitur; quem cur hic supprimere voluerit Thucydides, nulla causa est. Illa, ἀεὶ εἰκήσεις, explicabunt acutiores; mihi numeris Platonicis obscuriora sunt. Pro eo, quod paullo post legitur, εἰσὶν οἳ sæpius dicitur ἔστιν οἵ. Sed εἰσὶν οἳ etiam VII. 44. Et intercedente particula II. 49. εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν. Duk.

8. ἀφεστήκεσαν A.B.E.F.Q.c.f.g. ἀφειστήκεισαν e. vulgo ἀφειστήκεσαν.

μεσόγειαν Q.

ἐχόντων] οἰκούντων P.

τόνομοι οὖσαι καὶ πρότερον ἀεὶ οἰκήσεις εὐθὺς, πλὴν ὀλί- procedit Alcibiades, tum Lacedæmone commoratus, et
γοι, μετὰ τῶν Ἀθηναίων ἦσαν, καὶ σῖτόν τε κατεκόμιζον τῷ στρατεύματι, καὶ εἰσὶν οἱ καὶ χρήματα. ἐπὶ δὲ τοὺς μὴ προσχωροῦντας οἱ Ἀθηναῖοι στρατεύοντες τοὺς μὲν προσηνάγκαζον, τοὺς δὲ καὶ ὑπὸ τῶν Συρακοσίων φρουρούς τε πεμπόντων καὶ βοηθούντων ἀπεκώλυον. τόν τε χειμῶνα μεθορμισάμενοι ἐκ τῆς Νάξου ἐς τὴν Κατάνην, καὶ τὸ στρατόπεδον ὃ κατεκαύθη ὑπὸ τῶν Συρακοσίων αὖθις ἀνορθώσαντες, διεχείμαζον. καὶ ἔπεμψαν μὲν ἐς Καρχηδόνα τριήρη περὶ φιλίας, εἰ δύναιντό τι ὠφελεῖσθαι, ἔπεμψαν δὲ καὶ ἐς Τυρσηνίαν, ἔστιν ὧν πόλεων ἐπαγγελλομένων καὶ αὐτῶν ξυμπολεμεῖν. περιήγγελλον δὲ καὶ τοῖς Σικελοῖς, καὶ ἐς τὴν Ἔγεσταν πέμψαντες ἐκέλευον ἵππους σφίσιν ὡς πλείστους πέμπειν, καὶ τἆλλα ἐς τὸν περιτειχισμὸν, πλινθία καὶ σίδηρον, ἥτοίμαζον, καὶ ὅσα ἔδει, ὡς ἅμα τῷ ἦρι ἐξόμενοι τοῦ πολέμου.

Οἱ δ' ἐς τὴν Κόρινθον καὶ Λακεδαίμονα τῶν Συρακοσίων ἀποσταλέντες πρέσβεις τούς τε Ἰταλιώτας ἅμα παραπλέοντες ἐπειρῶντο πείθειν μὴ περιορᾶν τὰ γινομένα

χώρων τοῖς Ἀθηναίοις. 5. Φρουρούς τε πεμπόντων] ὡς τῶν Ἀθηναίων τοὺς

1. ἀεὶ] Malim ἀεὶ αἱ.
2. τε] γε g.
κατεκόμιζον] κόμιζον E.
4. στρατεύσαντες e.
5. ὑπὸ] ἀπὸ F. Portus.
φρουροὺς ἐστεμπόντων K.Q.e.
6. ἀπεκώλυον] Nonne ἀπεκωλύοντο?
7. τὸ om. e.
8. τῶν om. Q.
10. ὠφελῆσθαι Q.
11. ἐς τὴν τυρσηνίαν K.L.O.P.k.
12. περιήγγελλον A.B.E.H.K. e.k. περιήγγειλαν P. vulgo περιήγγελον.
13. ἐγεσταίαν K.
15. ἄλλα c.g.
16. τῷ om. f.g.
18. καὶ λακεδαίμονα A.B.E.H. K.L.N.O. b.c.e.f.g.h.i.k. vulgo καὶ τὴν λακεδαίμονα.
20. παραπλεύσαντες e.
πείθειν καὶ μὴ L.

ὑπὸ τῶν Ἀθηναίων, ὡς καὶ ἐκείνοις ὁμοίως ἐπιβουλευόμενα, καὶ ἐπειδὴ ἐν τῇ Κορίνθῳ ἐγένοντο, λόγους ἐποιοῦντο ἀξιοῦντες σφίσι κατὰ τὸ ξυγγενὲς βοηθεῖν. καὶ οἱ Κορίνθιοι εὐθὺς ψηφισάμενοι αὐτοὶ πρῶτοι ὥστε πάσῃ προθυμίᾳ ἀμύνειν, καὶ ἐς τὴν Λακεδαίμονα ξυναπέστελλον αὐτοῖς πρέσβεις, ὅπως καὶ ἐκείνους ξυναναπείθοιεν τόν τε αὐτοῦ πόλεμον σαφέστερον ποιεῖσθαι πρὸς τοὺς Ἀθηναίους, καὶ ἐς τὴν Σικελίαν ὠφελίαν τινὰ πέμπειν. καὶ οἵ τε ἐκ τῆς Κορίνθου πρέσβεις παρῆσαν ἐς τὴν Λακεδαίμονα, καὶ Ἀλκιβιάδης μετὰ τῶν ξυμφυγάδων, περαιωθεὶς τότ' εὐθὺς ἐπὶ πλοίου φορτηγικοῦ ἐκ τῆς Θουρίας ἐς Κυλλήνην τῆς Ἠλείας πρῶτον, ἔπειτα ὕστερον ἐς τὴν Λακεδαίμονα αὐτῶν τῶν Λακεδαιμονίων μεταπεμψάντων ὑπόσπονδος

Συρακουσίους φρουροὺς κωλυόντων βοηθεῖν ἀπὸ τῆς πόλεως. 1. *Ἐπιβουλευόμενα*] *ἀντὶ τοῦ ἐπικίνδυνα ἐξ ἐπιβουλῆς.*

1. ὡς ἐκείνοις k.
ὁμοίως om. g.
5. ἀμυνεῖν K.
6. ἐκείνους f.
ξυναναπείσαιεν γρ. h.
9. τὴν om. f.
11. φορτητικοῦ A.B.F.H.K.N. g.h.k. φορτηγοῦ f. φορητικοῦ Q. φορτικοῦ E.d.e.i.

Φορτηγικοῦ] Quidam MSS. φορτητικοῦ· atque ita citat Thomas Magister; mendose omnes. Huds. Est in Thoma v. φορταγωγόν. In Polluce quoque olim φορτητικὸν πλοῖον edebatur; pro quo H. Stephanus recte reposuit φορτηγικόν. Locus Pollucis est I. 83. ubi nunc ita legitur: φορτὶς, φορτηγὶς, φορτηγικὸν πλοῖον· καὶ, ὡς Θουκυδίδης, φορτικὸν, καὶ λῃστρίς. Adnotant ibi Interpretes, φορτηγικὸν πλοῖον esse in hoc loco Thucydidis; φορτικὸν ubi inveniatur, non dicunt. Suspicor, hoc corruptum esse e φορτηγὸν, et sic etiam in Thucydide, si apud eum alicubi legatur φορτικὸν, emendandum esse. Ναῦς φορτηγοὺς dicunt multi; πλοῖα φορτικὰ, quod sciam, nemo. Nec rara sunt exempla literæ ι pro η, et κ pro γ positæ. Certum est nusquam in Thucydide legi πλοῖον φορτικόν. Nec fortassis quidquam eorum, quæ Pollux l. d. habet, in eo invenitur, præter πλοῖον φορτηγικόν. Itaque suspicor in Polluce legendum φορτὶς, φορτηγὶς, φορτηγικὸν πλοῖον, ὡς Θουκυδίδης· καὶ φορτηγὸν πλοῖον καὶ λῃστρίς· et eum testimonium Thucydidis tantum advocasse ad ostendendum usum vocabuli φορτηγικὸν, non aliorum, quæ ibi enumerat. Duk.

13. Μεταπεμψάντων] Thomas

ἐλθών· ἐφοβεῖτο γὰρ αὐτοὺς διὰ τὴν περὶ τῶν Μαντινικῶν πρᾶξιν. καὶ ξυνέβη ἐν τῇ ἐκκλησίᾳ τῶν Λακεδαιμονίων τούς τε Κορινθίους καὶ τοὺς Συρακοσίους τὰ αὐτὰ καὶ τὸν Ἀλκιβιάδην δεομένους πείθειν τοὺς Λακεδαιμονίους. καὶ διανοουμένων τῶν τε ἐφόρων καὶ τῶν ἐν τέλει ὄντων πρέσβεις πέμπειν ἐς Συρακούσας κωλύοντας μὴ ξυμβαίνειν Ἀθηναίοις, βοηθεῖν δὲ οὐ προθύμων ὄντων, παρελθὼν ὁ Ἀλκιβιάδης παρώξυνέ τε τοὺς Λακεδαιμονίους καὶ ἐξώρμησε λέγων τοιάδε.

" ΑΝΑΓΚΑΙΟΝ περὶ τῆς ἐμῆς διαβολῆς πρῶτον ἐς 89—92.
" ὑμᾶς εἰπεῖν, ἵνα μὴ χεῖρον τὰ κοινὰ τῷ ὑπόπτῳ μου ad opem ferendam eos stimulat commovetque.
" ἀκροάσησθε. τῶν δ' ἡμῶν προγόνων τὴν προξενίαν ὑμῶν
" κατά τι ἔγκλημα ἀπειπόντων, αὐτὸς ἐγὼ πάλιν ἀνα-
" λαμβάνων ἐθεράπευον ὑμᾶς ἄλλα τε καὶ περὶ τὴν ἐκ
" Πύλου ξυμφοράν. καὶ διατελοῦντός μου προθύμου,
" ὑμεῖς πρὸς Ἀθηναίους καταλλασσόμενοι τοῖς μὲν ἐμοῖς
" ἐχθροῖς δύναμιν, δι' ἐκείνων πράξαντες, ἐμοὶ δὲ ἀτιμίαν
" περιέθετε. καὶ διὰ ταῦτα δικαίως ὑπ' ἐμοῦ, πρός τε τὰ

11. Τῷ ὑπόπτῳ μου] ἤγουν διὰ τὸ ὑποπτεύειν με.

Mag. h. v. et hunc et alium locum Thucydidis e lib. VII. 8. profert, in quo μεταπέμπω, forma activa, usus est; sed tamen, potius μεταπέμπομαι dicendum esse, præcipit. Et Scholiastes Aristophanis in hoc, quod legitur Vesp. v. 678. παρ' Εἰχαρίδου καὐτὸς τρεῖς ἀγκίδας μετέπεμψα, reprehendit μετέπεμψα, tamquam εἴθες, id est, ut puto, imperite dictum, vel, ut Florens Christianus, ὑποσόλοικον, pro μετεπεμψάμην. Idemque Florens, μεταπέμπομαι non solum usitatius, sed etiam Ἀττικώτερον, esse, putat, quam μεταπέμπω. Si, quo sæpius Scriptores Attici vocabulo aliquo utuntur, illud eo Ἀττικώτερον dici debet, recte sentit. Sed non credo, ea, quæ rarius in iis leguntur, ideo desinere esse Attica. Μεταπέμπω etiam IV. 30. VII. 15. et 42. dicit Thucydides. Dux.

1. τὴν περὶ om. d.g.
3. ταυτὰ γρ. h.
6. κωλύοντας A.B.E.F.H.K.L. N.O.P.d.e.f.g.h.i.k. ceteri κωλύσόντας.
11. μου] μὲν h.
12. δ' ἡμῶν] δὴ ἐμῶν Reiskius.
15. συμφορὰν g.
16. ἐμοῖς om. L.O.P.e.k.
18. περιέθεσθε Q.

" Μαντινέων καὶ Ἀργείων τραπομένου, καὶ ὅσα ἄλλα
" ἠναντιούμην ὑμῖν, ἐβλάπτεσθε· καὶ νῦν, εἴ τις καὶ τότε
" ἐν τῷ πάσχειν οὐκ εἰκότως ὠργίζετό μοι, μετὰ τοῦ
" ἀληθοῦς σκοπῶν ἀναπειθέσθω. ἢ εἴ τις, διότι καὶ τῷ
" δήμῳ προσεκείμην μᾶλλον, χείρω με ἐνόμιζε, μηδ' 5
" οὕτως ἡγήσηται ὀρθῶς ἄχθεσθαι. τοῖς γὰρ τυράννοις
" ἀεί ποτε διάφοροί ἐσμεν, πᾶν δὲ τὸ ἐναντιούμενον τῷ
" δυναστεύοντι δῆμος ὠνόμασται· καὶ ἀπ' ἐκείνου ξυμ-
" παρέμεινεν ἡ προστασία ἡμῖν τοῦ πλήθους. ἅμα δὲ
" τῆς πόλεως δημοκρατουμένης τὰ πολλὰ ἀνάγκη ἦν 10
" τοῖς παροῦσιν ἕπεσθαι. τῆς δὲ ὑπαρχούσης ἀκολασίας
" ἐπειρώμεθα μετριώτεροι ἐς τὰ πολιτικὰ εἶναι. ἄλλοι δ'
" ἦσαν, καὶ ἐπὶ τῶν πάλαι καὶ νῦν, οἳ ἐπὶ τὰ πονηρό-
" τερα ἐξῆγον τὸν ὄχλον· οἵπερ καὶ ἐμὲ ἐξήλασαν. ἡμεῖς
" δὲ τοῦ ξύμπαντος προέστημεν, δικαιοῦντες, ἐν ᾧ σχή- 15
" ματι μεγίστη ἡ πόλις ἐτύγχανε καὶ ἐλευθερωτάτη οὖ-
" σα, καὶ ὅπερ ἐδέξατό τις, τοῦτο ξυνδιασώζειν, ἐπεὶ
" δημοκρατίαν γε καὶ ἐγιγνώσκομεν οἱ φρονοῦντές τι,
" καὶ αὐτὸς οὐδενὸς ἂν χεῖρον, ὅσῳ καὶ λοιδορήσαιμι.

2. Καὶ τότε ἐν τῷ πάσχειν] εἴ τις πάσχων τότε οὐκ εἰκότα, τουτέστι κακῶς, ὠργιζετό μοι, νῦν τὸ ἀληθὲς σκοπῶν μεταπειθέσθω. 4. Τῷ δήμῳ προσεκείμην] τὰ τοῦ δήμου μᾶλλον ἐφρόνουν, τῶν Ἀθηναίων δηλονότι. 17. Καὶ ὅπερ ἐδέξατό τις] ὅπερ ἐδέξατό τις σχῆμα· τουτέστιν ἥν τινα πολιτείαν παρέλαβεν. Ἐπεὶ δημοκρατίαν γε] ἐπεὶ οἵ γε φρόνιμοι ἴσασιν, ὑποῦόν τί ἐστι δημοκρατία (τουτέστιν ὡς πονηρόν) καὶ αὐτὸς ἂν ἐγὼ οὐδενὸς

4. ἀναπειθέσθω σκοπῶν P.
5. πρὸς ἐκείνην B.
ἐνόμιζε A.B.E.F.H.K.d.e.g.k. vulgo ἐνόμισε.
6. οὕτος d.g.
ἔχεσθαι h.
9. δὲ τῆς A. B. E. F. H. c.g h. vulgo δὲ καὶ τῆς.
10. κατὰ πολλὰ K.
12. μετριώτερον K.M.g.
ἐς om. K.g.
πολεμικὰ L.
13. πονηρώτατα H.
14. καί με K.
16. μεγίστη om. d.
17. ξυνδιασῴζει e.k.
ἐπειδὴ L.O.P.k.
19. ἄν] ἂν h.
ὅσῳ A.B.E.F.H.L.O.P.Q.d.e. f.g.h.i.k. vulgo ὅσον.
Ὅσον καὶ λοιδορήσαιμι] Si pro ὅσον, cum plerisque MSS. et

" ἀλλὰ περὶ ὁμολογουμένης ἀνοίας οὐδὲν ἂν καινὸν λέ-
" γοιτο· καὶ τὸ μεθιστάναι αὐτὴν οὐκ ἐδόκει ἡμῖν ἀσφα-
" λὲς εἶναι, ὑμῶν πολεμίων προσκαθημένων.

" Καὶ τὰ μὲν ἐς τὰς ἐμὰς διαβολὰς τοιαῦτα ξυνέ- 90.
" βη· περὶ δὲ ὧν ὑμῖν τε βουλευτέον, καὶ ἐμοὶ, εἴ τι
" πλέον οἶδα, ἐσηγητέον, μάθετε ἤδη. ἐπλεύσαμεν ἐς
" Σικελίαν πρῶτον μὲν, εἰ δυναίμεθα, Σικελιώτας κα-
" ταστρεψόμενοι, μετὰ δ' ἐκείνους αὖθις καὶ Ἰταλιώ-
" τας, ἔπειτα καὶ τῆς Καρχηδονίων ἀρχῆς καὶ αὐτῶν
" ἀποπειράσοντες. εἰ δὲ προχωρήσειε ταῦτα ἢ πάντα

ἧττον λοιδορήσαιμι αὐτὴν, ὅσῳ καὶ μέγιστα ὑπ' αὐτῆς ἠδίκημαι. 1. Περὶ ὁμολογουμένης ἀγνοίας] ὁμολογουμένην ἄνοιαν τὴν δημοκρατίαν λέγει. 9. Τῆς Καρχηδονίων ἀρχῆς] τούς τε ὑπηκόους τῶν Καρχηδονίων, καὶ αὐτοὺς, εἰ δυναίμεθα, καταστρεψόμενοι. 10. Ἀποπειράσοντες] ἤγουν ἀποπειρασόμενοι.

Scholiaste, ὅσῳ legas, locus satis sanus, et tantum μᾶλλον supplendum; hic enim sensus hujus periodi esse videtur: *Nam, cujusmodi popularis status esset, cum omnes, qui aliquid sapimus, tum ego non minus, quam ullus alius, intelligebam.* Verba, καὶ αὐτὸς οὐδενὸς ἂν χεῖρον, non refero cum Scholiaste et Latinis Interpretibus ad λοιδορήσαιμι, sed ad præcedentia, et ἀπὸ κοινοῦ repeto γιγνώσκω. Dativo ὅσῳ autem eodem modo, quo hic, etiam aliis locis utitur Thucydides. III. 45. Ἀδεκήτως γὰρ ἔστιν ὅτε παρισταμένη (ἡ τύχη) καὶ ἐκ τῶν ὑποδεεστέρων κινδυνεύειν τινὰ προάγει, καὶ οὐχ ἧσσον τὰς πόλεις, ὅσῳ περὶ τῶν μεγίστων, ἐλευθερίας, ἢ ἄλλων ἀρχῆς, nempe κινδυνεύουσι, vel, ut Stephanus, κινδυνεύειν αὐτὰς προάγει. V. 90. Καὶ πρὸς ὑμῶν οὐχ ἧσσον τοῦτο, ὅσῳ καὶ ἐπὶ μεγίστῃ τιμωρίᾳ, σφαλέντες ἄν, τοῖς ἄλλοις παράδειγμα γένοισθε. VI. 92. Γνόντας, τοῦτον δὴ τὸν ὑφ' ἁπάντων προβαλλόμενον λόγον, ὡς, εἰ πολέμιός γε ὢν σφόδρα ἔβλαπτον, καὶ ἂν φίλος ὢν ἱκανῶς ὠφελοίην· ὅσῳ τὰ μὲν Ἀθηναίων οἶδα, τὰ δ' ὑμέτερα εἰκάζων. Sic V. 108. et VI. 11. Nec abhorret hoc Luciani Phalar. 1. pag. 735. Ἡμῖν δὲ τοῦτο πολλῷ ἀναγκαιότερον τοῖς τυράννοις, ὅσῳ πρὸς ἀνάγκην ἐξηγούμεθα. Et similia apud eumdem, pro laps. inter salut. p. 500. Pseudom. p. 747. et alibi. *Anacreon* quoque Carm. XI. Τοῦτο δ' οἶδα, Ὡς τῷ γέροντι μᾶλλον Πρέπει τὸ τερπνὰ παίζειν, Ὅσῳ τέλας τὰ Μοίρης. Quæ omnia per ellipsin τοῦ μᾶλλον dici, apertum est. Duk.

1. ὁμολογ.] ὁμολογ. τε h.
ἀνοίας A.B.E F.H.K.L.M.N. O.P.c.d.e.f.g.h.i.k. ceteri ἀγνοίας.
γενοιτο g.
3. προκαθημένων P.g.
8. αὖθις καὶ om. d.
9. αὐτῆς ἀποπειράσονται g.
10. προσχωρήσειε h.

" ἢ καὶ τὰ πλείω, ἤδη τῇ Πελοποννήσῳ ἐμέλλομεν
" ἐπιχειρήσειν, κομίσαντες ξύμπασαν μὲν τὴν ἐκεῖθεν
" προσγενομένην δύναμιν τῶν Ἑλλήνων, πολλοὺς δὲ
" βαρβάρους μισθωσάμενοι, καὶ Ἴβηρας καὶ ἄλλους
" τῶν ἐκεῖ ὁμολογουμένως νῦν βαρβάρων μαχιμωτά-
" τους, τριήρεις τε πρὸς ταῖς ἡμετέραις πολλὰς ναυ-
" πηγησάμενοι, ἐχούσης τῆς Ἰταλίας ξύλα ἄφθονα,
" οἷς τὴν Πελοπόννησον περιζ πολιορκοῦντες, καὶ τῷ πεζῷ
" ἅμα ἐκ γῆς ἐφορμαῖς τῶν πόλεων τὰς μὲν βίᾳ λαβόν-
" τες, τὰς δ' ἐντειχισάμενοι, ῥᾳδίως ἠλπίζομεν καταπο-
" λεμήσειν, καὶ μετὰ ταῦτα καὶ τοῦ ξύμπαντος Ἑλλη-

10. Ἐντειχισάμενοι] περιτειχίσαντες. ἢ φρούρια ἐν τῇ χώρᾳ αὐτῶν ἐπιτειχί-

1. ἢ τὰ πλείω K. ἢ καὶ πλείω B.
5. ὁμολογουμένων Q.
μαχιμωτάτων Q.
6. δὲ O.
7. Ξύλα ἄφθονα] Idem de Italia prodidisse multos veterum, observat Casaubonus ad Athen. V. 11. Add. Thucyd. VII. 25. Duk.
8. Οἷς τὴν Πελοπ.] Ita quidem omnes libri. Sed non video, cur relativum magis respondere debeat propriori ξύλα, quam remotiori τριήρεις. Duk.
Καὶ τῷ πεζῷ ἅμα ἐκ γῆς ἀφορμαῖς] Portus valde se torquet, ut ex his sensum aliquem eliciat, qui in illis nullus est. Non dubito præferre vulgatæ scripturam quinque Codd. MSS. ἐφορμαῖς, quam Vallam quoque in suo habuisse, intelligi potest ex illius interpretatione, *quam peditatu pariter a terra invadentes*. Ignorant hoc vocabulum Suidas, Pollux, et quidquid est veterum pariter ac recentiorum Lexicographorum, præter unum Hesychium, cujus interpretatio ad sententiam hujus locis satis adcommodata est: Ἐφορμῆν, ὅθεν ἄν τις πολέμῳ ἐφορμήσειεν. Et accedit ad Hesychii auctoritatem analogia, quæ eadem est in ἐφορμὴ, ac in ἀφορμή. Thomas Magister in ἐφόρμησις, haud dubie vitioso Codice usus, legit ἐφορμεῖν· quod quum neque cum antecedentibus, neque cum sequentibus cohæreat: eo ipso confirmatur scriptura MSStorum, qui habent ἐφορμαῖς. Acacius vertit: *pedestribus copiis in terram expositis*. Sed hæc non est mens Thucydidis, qui consilium Atheniensium fuisse dicit, simul et a mari Peloponnesum undique classibus circumdare, et a terra pedestribus copiis, per Isthmum scilicet, invadere. Duk.
9. ἐφορμαῖς A.B.E.F.H.L.O.P. f.g.h. ceteri ἀφορμαῖς.
10. ἐντειχισόμενοι K.
ἐλπίζομεν K. ἠλπίσαμεν E.

" νικοῦ ἄρξειν. χρήματα δὲ καὶ σῖτον, ὥστε εὐπορώτερον
" γίγνεσθαί τι αὐτῶν, αὐτὰ τὰ προσγενόμενα ἐκεῖθεν
" χωρία ἔμελλε διαρκῆ ἄνευ τῆς ἐνθένδε προσόδου παρ-
" έξειν. * τοιαῦτα μὲν περὶ τοῦ νῦν οἰχομένου στόλου 91.
" παρὰ τοῦ τὰ ἀκριβέστατα εἰδότος, ὡς διενοήθημεν,
" ἀκηκόατε· καὶ ὅσοι ὑπόλοιποι στρατηγοὶ, ἢν δύνωνται,
" ὁμοίως αὐτὰ πράξουσιν. ὡς δὲ εἰ μὴ βοηθήσετε, οὐ
" περιέσται τἀκεῖ, μάθετε ἤδη. Σικελιῶται γὰρ ἀπει-
" ρότεροι μέν εἰσιν, ὅμως δ' ἂν ξυστραφέντες ἀθρόοι καὶ
" νῦν ἔτι περιγένοιντο. Συρακόσιοι δὲ μόνοι, μάχῃ τε
" ἤδη παυδημεὶ ἡσσημένοι καὶ ναυσὶν ἅμα κατειργόμενοι,
" ἀδύνατοι ἔσονται τῇ νῦν Ἀθηναίων ἐκεῖ παρασκευῇ ἀν-
" τισχεῖν. καὶ εἰ αὕτη ἡ πόλις ληφθήσεται, ἕξεται καὶ
" ἡ πᾶσα Σικελία, καὶ εὐθὺς καὶ Ἰταλία· καὶ ὃν ἄρτι
" κίνδυνον ἐκεῖθεν προεῖπον, οὐκ ἂν διὰ μακροῦ ὑμῖν ἐπι-
" πέσοι. ὥστε μὴ περὶ τῆς Σικελίας τις οἰέσθω μόνον
" βουλεύειν, ἀλλὰ καὶ περὶ τῆς Πελοποννήσου, εἰ μὴ
" ποιήσετε τάδε ἐν τάχει, στρατιάν τε ἐπὶ νεῶν πέμ-
" ψετε τοιαύτην ἐκεῖσε, οἵτινες αὐτερέται κομισθέντες
" καὶ ὁπλιτεύσουσιν εὐθὺς, καὶ ὁ τῆς στρατιᾶς ἔτι χρη-
" σιμώτερον εἶναι νομίζω, ἄνδρα Σπαρτιάτην ἄρχοντα,
" ὡς ἂν τούς τε παρόντας ξυντάξῃ καὶ τοὺς μὴ θέλοντας

σαντες. ὃ καὶ μᾶλλον. 1. Ὥστε εὐπορώτερον γίγνεσθαι] ὥστε εὐπορώτερον ἂν εἴη σίτου καὶ χρημάτων. 6. Καὶ, ὅσοι ὑπόλοιποι στρατηγοὶ] καὶ ὅσοι στρατηγοὶ ἐν Σικελίᾳ Ἀθηναῖοί εἰσιν, ἂν δυνηθῶσιν, ὥσπερ εἶπον, πράξουσιν. 7. Οὐ περιέσται] οὐ σωθήσεται. 22. Τούς τε παρόντας] εἰς Σικελίαν δη-

2. τι A.B.E.F.H.Q. c.f.g.h. vulgo τινά.
5. περὶ b.h.
6. ὅσοι] ὡς οἱ E.
8. ἤδη om. L.O.P.
9. ξυστραφθέντες B.
10. μάχῃ d.e.
11. ἡσσαμένοι P.
13. ἔχεται ἡ πᾶσα Q.
16. περὶ σικελίας O.
19. αὐθαιρέται g.
20. ὁπλιτεύουσιν L.M.O.P.Q.b. d.i.k.
22. ὃς L.O.
συντάξει Q.
θέλοντας A.B.E.F.H.K.L.N. O.Q.d.e.h.i.k. ceteri ἐθέλοντας.

" προσαναγκάσῃ. οὕτω γὰρ οἵ τε ὑπάρχοντες ὑμῖν φίλοι
" θαρσήσουσι μᾶλλον, καὶ οἱ ἐνδοιάζοντες ἀδεέστερον
" προσίασι. καὶ τὰ ἐνθάδε χρὴ ἅμα φανερώτερον ἐκ-
" πολεμεῖν, ἵνα Συρακόσιοί τε, νομίζοντες ὑμᾶς ἐπιμε-
" λεῖσθαι, μᾶλλον ἀντέχωσι, καὶ Ἀθηναῖοι τοῖς ἑαυτῶν
" ἧσσον ἄλλην ἐπικουρίαν πέμπωσι. τειχίζειν δὲ χρὴ
" Δεκέλειαν τῆς Ἀττικῆς, ὅπερ Ἀθηναῖοι μάλιστα ἀεὶ
" φοβοῦνται, καὶ μόνου αὐτοῦ νομίζουσι τῶν ἐν τῷ πολέμῳ
" οὐ διαπεπειρᾶσθαι. βεβαιότατα δ' ἄν τις οὕτω τοὺς
" πολεμίους βλάπτοι, εἰ ἃ μάλιστα δεδιότας αὐτοὺς
" αἰσθάνοιτο, ταῦτα σαφῶς πυνθανόμενος ἐπιφέροι· εἰκὸς
" γὰρ αὖτοὺς ἀκριβέστατα ἑκάστους τὰ σφέτερα αὐτῶν
" δεινὰ ἐπισταμένους φοβεῖσθαι. ἃ δ' ἐν τῇ ἐπιτειχίσει
" αὐτοὶ ὠφελούμενοι τοὺς ἐναντίους κωλύσετε, πολλὰ
" παρεὶς τὰ μέγιστα κεφαλαιώσω. οἷς τε γὰρ ἡ χώρα
" κατεσκεύασται, τὰ πολλὰ πρὸς ὑμᾶς, τὰ μὲν λη-
" φθέντα τὰ δ' αὐτόματα, ἥξει· καὶ τὰς τοῦ Λαυρίου
" τῶν ἀργυρείων μετάλλων προσόδους, καὶ ὅσα ἀπὸ γῆς

λονότι. 3. Προσίασιν] ἀντὶ τοῦ προσελεύσονται. Ἐνθάδε] ἤγουν ἐν Πελοποννήσῳ. 4. Ἵνα Συρακούσιοί τε, νομίζοντες ὑμᾶς] ἵνα Συρακούσιοί τε, εἰδότες οὐκ ἀμελοῦντας ὑμᾶς αὐτῶν, μὴ προσχωρήσωσιν Ἀθηναίοις, καὶ Ἀθηναῖοι, Δεκελείας ἐπιτειχισθείσης κακούμενοι, μὴ πέμπωσι βοήθειαν εἰς Σικελίαν. 9. Οὐ διαπεπειρᾶσθαι] ἤγουν πεῖραν οὐκ εἰληφέναι. 15. Ἡ χώρα] τῶν Ἀθηναίων. 18. Καὶ ὅσα ἀπὸ γῆς καὶ δικαστηρίων νῦν] ζήτησις πῶς, Δεκελείας ἐπιτειχιζομένης, ἔμελλον οἱ Ἀθηναῖοι τῆς ἀπὸ τῶν δικαστηρίων προσόδου στερήσεσθαι. φαμὲν οὖν ὡς ἦν τις πρόσοδος ἀπὸ τῶν δικαστηρίων, οἷα ἡ ἀπὸ τῶν γραφῶν δωροδοκίας, ὕβρεως, συκοφαντίας, μοιχείας, ψευδογρα-

5. ἀντέχωσι μᾶλλον e. καὶ οἱ ἀθηναῖοι K.N.
8. μόνου L.O.
11. πυνθανομένους A.B.
13. δεινὰ om. P.
14. αὐτῇ B.h. κωλύετε A.K.d.e.i.k.
15. τε om. L.d.
17. Τοῦ Λαυρείου] Lib. II. cap. 55. omnes libri Λαυρίου. Λαύρειον etiam Herodotus VII. 144. et Andocides Orat. de Myster. p. 190. Sed Aristophanes secundam in Λαυριωτικαὶ brevem facit Avib. v. 1106. Dukr.
λαυρίου E.F.H.Q.f.g. vulgo λαυρείου.
18. ἀργυρίων E.F.K.e.f.

" καὶ δικαστηρίων νῦν ὠφελοῦνται, εὐθὺς ἀποστερήσον-
" ται, μάλιστα δὲ τῆς ἀπὸ τῶν ξυμμάχων προσόδου
" ἥσσον διαφορουμένης, οἳ τὰ παρ' ὑμῶν νομίσαντες ἤδη
" κατὰ κράτος πολεμεῖσθαι ὀλιγωρήσουσι. * γίγνεσθαι 92.
" δέ τι αὐτῶν καὶ ἐν τάχει καὶ προθυμότερον, ἐν ὑμῖν
" ἐστὶν, ὦ Λακεδαιμόνιοι, ἐπεὶ ὡς γε δυνατὰ, καὶ οὐχ
" ἁμαρτήσεσθαι οἶμαι γνώμης, πάνυ θαρσῶ. καὶ χείρων
" οὐδενὶ ἀξιῶ δοκεῖν ὑμῶν εἶναι, εἰ τῇ ἐμαυτοῦ μετὰ τῶν
" πολεμιωτάτων, φιλόπολίς ποτε δοκῶν εἶναι, νῦν ἐγ-
" κρατῶς ἐπέρχομαι, οὐδὲ ὑποπτεύεσθαί μου ἐς τὴν φυ-
" γαδικὴν προθυμίαν τὸν λόγον. φυγάς τε γάρ εἰμι τῆς
" τῶν ἐξελασάντων πονηρίας, καὶ οὐ τῆς ὑμετέρας, ἣν
" πείθησθέ μοι, ὠφελίας· καὶ πολεμιώτεροι οὐχ οἱ τοὺς
" πολεμίους που βλάψαντες ὑμεῖς, ἢ οἱ τοὺς φίλους
" ἀναγκάσαντες πολεμίους γενέσθαι. τό τε φιλόπολι
" οὐκ ἐν ᾧ ἀδικοῦμαι ἔχω, ἀλλ' ἐν ᾧ ἀσφαλῶς ἐπολι-

φίας, παρατερσβείας, λειποστρατίου. οὐ γὰρ πάσαις ἀτιμία προσετιμᾶτο ἢ θάνατος, ἀλλὰ πολλαῖς καὶ χρημάτων εἴσπραξις· ὁ γὰρ ἐν αὐταῖς νικηθεὶς ἐζημιοῦτο. ταύτης οὖν τῆς πάσης προσόδου στερήσεσθαι ἔμελλον Ἀθηναῖοι, πολεμίων αὐτοῖς ὑρυμένων ἐν τῇ χώρᾳ, καὶ σχολὴν οὐ παρεχόντων δικάζεσθαι. καὶ γὰρ τὰ ἐκ τῶν τοιούτων ἁφορμῶν χρήματα τῇ πόλει ἐδίδοτο. 3. Διαφορουμένης] ταυτέστι πεμπομένης, διηνεκῶς φερομένης. 9. Ἐγκρατῶς ἐπέρχομαι] ἀντὶ τοῦ καρτερῶς. ἤτοι φανερῶς πολεμεῖν τοῖς Ἀθηναίοις, ἢ ἐπιφανῶς καὶ μεγάλως. 10. Οὐδὲ ὑποπτεύεσθαί μου] οὐκ ἄξιον ὑποπτεύεσθαί μου τὸν λόγον, διὰ τὸ μὴ προθυμηθῆναί με φεύγειν. 12. Καὶ οὐ τῆς ὑμετέρας] οὐκ εἰμὶ φυγὰς τῆς ὑμετέρας ὠφελείας, τουτέστιν οὐ φεύγω τὸ ὠφελεῖν ὑμᾶς. 13. Καὶ πολεμιώτεροι] οὐχ οὕτως ὑμᾶς ἡγοῦμαι πολεμίους ὡς Ἀθηναίους. ὑμεῖς μὲν γάρ, εἴ τι ἐβλάψατε, ἐχθροὶ ὄντες ἐλυπήσατε· οἱ δὲ Ἀθηναῖοι φίλων ὄντα κατηνάγκασαν ἐχθρὸν γενέσθαι. 15. Τό τε φιλόπολι] φιλόπολις (φησὶν) οὐ νῦν εἰμὶ, ἡνίκα ἀδικοῦμαι, ἀλλὰ

5. δὲ om. A.
7. χεῖρον A.B.E.F.H.L.O.g.k.
9. ποτε] τε M.e.f.g.
13. οὐχὶ τοὺς O.P.i.
14. βλέψαντες Q.
οἳ om. Q.
15. Τό τε φιλόπολι] Huc fortassis respexit Pollux III. 65. Καὶ ἦθος φιλόπολι, φιλόδημον. Vid. Jungermann. ad Poll. IX. 26. Dux.
φιλόπολιν E.F.G.c.d.f.g. φιλόπολις e. φιλόπονον A.B.

" τεύθην. οὐδ' ἐπὶ πατρίδα οὖσαν ἔτι ἡγοῦμαι νῦν ἰέναι,
" πολὺ δὲ μᾶλλον τὴν οὐκ οὖσαν ἀνακτᾶσθαι. καὶ φι-
" λόπολις οὗτος ὀρθῶς, οὐχ ὃς ἂν τὴν ἑαυτοῦ ἀδίκως
" ἀπολέσας μὴ ἐπίῃ, ἀλλ' ὃς ἂν ἐκ παντὸς τρόπου διὰ
" τὸ ἐπιθυμεῖν πειραθῇ αὐτὴν ἀναλαβεῖν. οὕτως ἔμοιγε
" ἀξιῶ ὑμᾶς καὶ ἐς κίνδυνον καὶ ἐς ταλαιπωρίαν πᾶσαν
" ἀδεῶς χρῆσθαι, ὦ Λακεδαιμόνιοι, γνόντας τοῦτον δὴ
" τὸν ὑφ' ἁπάντων προβαλλόμενον λόγον, ὡς εἰ πολέμιός
" γε ὢν σφόδρα ἔβλαπτον, κἂν φίλος ὢν ἱκανῶς ὠφε-
" λοίην, ὅσῳ τὰ μὲν Ἀθηναίων οἶδα, τὰ δ' ὑμέτερα ἥκα-
" ζον· καὶ αὐτοὺς νῦν νομίσαντας περὶ μεγίστων δὴ τῶν
" διαφερόντων βουλεύεσθαι, μὴ ἀποκνεῖν τὴν ἐς τὴν Σι-
" κελίαν τε καὶ ἐς τὴν Ἀττικὴν στρατείαν, ἵνα τά τε
" ἐκεῖ βραχεῖ μορίῳ ξυμπαραγενόμενοι μεγάλα σώσητε,
" καὶ Ἀθηναίων τήν τε οὖσαν καὶ τὴν μέλλουσαν δύναμιν
" καθέλητε, καὶ μετὰ ταῦτα αὐτοί τε ἀσφαλῶς οἰκῆτε,
" καὶ τῆς ἁπάσης Ἑλλάδος ἑκούσης, καὶ οὐ βίᾳ, κατ'
" εὔνοιαν δὲ ἡγῆσθε."

τότε, ὅτε ἀσφαλῶς ἐπολιτευόμην. 11. Αὐτοὺς] ἥκειν ὑμᾶς. 14. Ἐκεῖ] ἐν Σικελίᾳ δηλωότι.

1. ἡγοῦμαι νῦν ἰέναι A.B.E.F. H.K.L.M.N.O. b.c.d.e.f.g.h.i.k. vulgo omittunt νῦν.
2. ἀναχθήσασθαι B. ἀναχθήσεσθαι h.
3. αὐτοῦ B.h.
4. μὴ om. d.
5. πειρασθῇ i.
ἔμοιγε] Fortasse leg. ἐμοί τε, quod opponatur illi καὶ αὐτούς.
9. γε] ἐγὼ Q.
κἂν B.h. vulgo καὶ ἄν.
10. ἥκαζον B.E.F.H.c.g. ceteri εἴκαζον.
Εἴκαζον] Reg. et Cass. ἧκαζον. recte, si Grammaticos sequimur: nam hi docent, Atticos ἧκαζον dicere, non εἴκαζον. Vid. Eustathium in Hom. Iliad. α'. p. 50. et Etymolog. M. compluribus locis. Aristophanes Equit. v. 1073. Ἀλωπεκίοισι τοὺς στρατιώτας ἧκασεν. Duk.
11. νῦν] ὑμᾶς Q.
12. ἀποκνεῖν P.
14. μεγάλα σώσητε] μεγαλώσητε i.
17. πάσης B.h.
ἑκούσης οὐ g.
18. ἡγῆσθε B.h. ἡγήσεσθε A.E. F.H.g. vulgo ἡγήσησθε.

Ὁ μὲν Ἀλκιβιάδης τοσαῦτα εἶπεν. οἱ δὲ Λακεδαιμόνιοι διανοούμενοι μὲν καὶ αὐτοὶ πρότερον στρατεύειν ἐπὶ τὰς Ἀθήνας, μέλλοντες δ' ἔτι καὶ περιορώμενοι, πολλῷ μᾶλλον ἐπερρώσθησαν διδάξαντος ταῦτα ἕκαστα αὐτοῦ, καὶ νομίσαντες παρὰ τοῦ σαφέστατα εἰδότος ἀκηκόεναι. ὥστε τῇ ἐπιτειχίσει τῆς Δεκελείας προσεῖχον ἤδη τὸν νοῦν, καὶ τὸ παραυτίκα καὶ τοῖς ἐν τῇ Σικελίᾳ πέμπειν τινὰ τιμωρίαν. καὶ Γύλιππον τὸν Κλεανδρίδου προστάξαντες ἄρχοντα τοῖς Συρακοσίοις, ἐκέλευον μετ' ἐκείνων καὶ τῶν Κορινθίων βουλευόμενον ποιεῖν, ὅπῃ ἐκ τῶν παρόντων μάλιστα καὶ τάχιστά τις ὠφελία ἥξει τοῖς ἐκεῖ. ὁ δὲ δύο μὲν ναῦς τοὺς Κορινθίους ἤδη ἐκέλευέν οἱ πέμπειν ἐς Ἀσίνην, τὰς δὲ λοιπὰς παρασκευάζεσθαι, ὅσας διανοοῦνται πέμπειν, καὶ ὅταν καιρὸς ᾖ, ἑτοίμας εἶναι πλεῖν. ταῦτα δὲ ξυνθέμενοι ἀνεχώρουν ἐκ τῆς Λακεδαίμονος.

93. Lacedæmonii Gylippum Syracusanis ducem constituunt, eique rem cum Corinthiis et Syracusanis administrandam committunt. Finis septimi decimi anni.

3. Περιορώμενοι] περιορῶντες, καταφρονοῦντες. 6. Προσεῖχον ἤδη τὸν νοῦν] ἀντὶ τοῦ σκοπὸς ἦν αὐτοῖς καὶ διάνοια ἐπιτείχισμα ποιῆσαι ἐν τῇ Δεκελείᾳ. 9. Μετ' ἐκείνων] ἤγουν τῶν Συρακουσίων. 11. Ὁ δὲ] ὁ Γύλιππος.

1. μὲν οὖν ἀλκιβ. L.O.Q.d.i.k. τοιαῦτα h.
3. ἔτι] τι A.B.E.
Περιορώμενοι] Id est, περισκοπούμενοι. Thomas Mag. in περιορᾶ. Scholiastæ καταφρονοῦντες hic locum habere non potest. Et rectius Valla, quam vel Stephanus, vel Acacius. Vid. cap. 103. Duk.
4. ἐπερρώθησαν g.
5. τοῦ τὰ σαφέστατα i.
6. τῇ om. K.
7. τὸ om. L.O.P.
ἐν σικελίᾳ K.Q.d.e.i.
8. γύλιππον E.
Cum Thucydide consentit Plutarchus in Pericle pag. 299. et Nicia in fin. Et sic Thom. Mag. in προστάττω. Scholiastes Aristoph. Nubib. v. 857. perperam modo Κλεανδρίδην, modo Κλέανδρον, et Suidas in δέον, et εἰς τὸ δέον, Κλεανδρίδαν et Κλέανδραν vocant. Tamen etiam Κλέαρχος Spartanum nomen fuit. Κλέαρχος Λακεδαιμόνιος φυγὰς apud Xenophontem I. Ἀναβάσ. princ. Et Κλέαρχος ὁ Ῥαμφίου in Thucydide VIII. 8. et 39. videtur Spartanus fuisse. Duk.
κλεαρίδου L.O.P.e.k. κλεανδίδου d.i. κλεάρχου Diodorus Siculus 15.
10. βουλευόμενοι Q. βουλευομένων H. βουλόμενον e.g.
μάλιστα] κάλλιστα B.
12. ναῦς] om. d.i.
τοὺς] τὰς L.O.
ἤδη om. F.d.i.
14. ᾖ καιρὸς h. καιρὸς ἦκε d.
εἶναι om. P.

Ἀφίκετο δὲ καὶ ἡ ἐκ τῆς Σικελίας τριήρης τῶν Ἀθηναίων, ἣν ἀπέστειλαν οἱ στρατηγοὶ ἐπί τε χρήματα καὶ ἱππέας. καὶ οἱ Ἀθηναῖοι ἀκούσαντες ἐψηφίσαντο τήν τε τροφὴν πέμπειν τῇ στρατιᾷ καὶ τοὺς ἱππέας. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ἕβδομον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

94. In Sicilia Atheniensis Megarensium agrum, tum temporis a Syracusanis cultum, devastant; post etiam propius Syracusas, classe ad Teream fluvium appulsa, vastato et combusto frumento, leve cum Syracusanis prœlium committunt. Tum Centoripa, Siculorum op-

Ἅμα δὲ τῷ ἦρι εὐθὺς ἀρχομένῳ τοῦ ἐπιγιγνομένου θέρους, οἱ ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι ἅπαντες ἐκ τῆς Κατάνης παρέπλευσαν ἐπὶ Μεγάρων τῶν ἐν τῇ Σικελίᾳ, οὓς ἐπὶ Γέλωνος τοῦ τυράννου, ὥσπερ καὶ πρότερόν μοι εἴρηται, ἀναστήσαντες Συρακόσιοι αὐτοὶ ἔχουσι τὴν γῆν. ἀποβάντες δὲ ἐδῄωσαν τούς τε ἀγροὺς, καὶ ἐλθόντες ἐπὶ ἔρυμά τι τῶν Συρακοσίων, καὶ οὐχ ἑλόντες, αὖθις καὶ πεζῇ καὶ ναυσὶ παρακομισθέντες ἐπὶ τὸν Τηρέαν ποταμὸν τό τε πεδίον ἀναβάντες ἐδῄουν καὶ τὸν σῖτον ἐνεπίμπρασαν, καὶ τῶν Συρακοσίων περιτυχόντες τισὶν οὐ πολλοῖς, καὶ ἀποκτείναντές τέ τινας καὶ τροπαῖον στήσαντες, ἀνεχώρησαν ἐπὶ τὰς ναῦς. καὶ ἀποπλεύσαντες ἐς Κατάνην, ἐκεῖθεν δὲ ἐπισιτισάμενοι, πάσῃ τῇ στρατιᾷ ἐχώρουν ἐπὶ

12. Τοὺς τε ἀγροὺς] τῶν Μεγαρέων δηλονότι. 15. Καὶ τὸν σῖτον] ἤγουν τὸν στάχυν. 19. Ἐπισιτισάμενοι] ἤγουν ἐφόδια λαβόντες.

1. καὶ ἐκ K.
4. πέμπειν καὶ ἱππέας d.i.
5. τῷ πολέμῳ om. d. post ἐτελεύτα ponit B.
7. δὲ om. d.
ἀρχομένῳ τοῦ ἐ. θ.] ἀρχομένου θέρους d.
9. μεγαρέων B.
12. τοὺς ἀγροὺς B.K.h.
14. τηρέα g. τυρέα c.
Τηρέαν] Τηρίαν Codices omnes p. 378. Terias Plinio, Τηρίας Diodor. in Ecl. pag. 868. et Hesychio. Hinc corrige Diodorum, qui lib. XIV. p. 402. Τυρίαν vocat. De Turia flumine, quod Valentiam prætertluit, adi Vibium Seq. pag. 83. v. et Scylacem pag. 4. Wass. De Teria Siciliæ Cluver. I. Sicil. 10. Duk.
15. ἐνεπίπρασαν A.B.H.g. ἐνεμπίπρασαν K. ἐμπίπρασαν Q.
16. τισιν περιτυχόντες B.h.
καὶ om. B.h.
17. τε om. K.O.P.
τροπαῖον οὐ στήσαντες P.
ἀνεχ.—ἀποπλεύσαντες] om. K.
19. ἐκεῖθεν] ἐκ h.
ἐπισιτησάμενοι g.
ἐχώρει e.

Κεντόριπα Σικελῶν πόλισμα, καὶ προσαγαγόμενοι ὁμολογίᾳ ἀπῆσαν, πιμπράντες ἅμα τὸν σῖτον τῶν τε Ἰνησσαίων καὶ τῶν Ὑβλαίων. καὶ ἀφικόμενοι ἐς Κατάνην καταλαμβάνουσι τούς τε ἱππέας ἥκοντας ἐκ τῶν Ἀθηνῶν πεντήκοντα καὶ διακοσίους, ἄνευ τῶν ἵππων, μετὰ σκευῆς, ὡς αὐτόθεν ἵππων πορισθησομένων, καὶ ἱππαγωγοὺς τριάκοντα καὶ τάλαντα ἀργυρίου τριακόσια.

pidum pactione recipiunt, et reversi Catanam, equites ducentos quinquaginta sine equis et trecenta talenta Athenis missa offendunt.

Τοῦ δ' αὐτοῦ ἦρος καὶ ἐπ' Ἄργος στρατεύσαντες Λακεδαιμόνιοι μέχρι μὲν Κλεωνῶν ἦλθον, σεισμοῦ δὲ γενομένου ἀπεχώρησαν. καὶ Ἀργεῖοι μετὰ ταῦτα ἐσβαλόντες ἐς τὴν Θυρεᾶτιν ὅμορον οὖσαν, λείαν τῶν Λακεδαιμονίων πολλὴν ἔλαβον, ἧ ἐπράθη ταλάντων οὐκ ἔλασσον πέντε καὶ εἴκοσι. καὶ ὁ Θεσπιέων δῆμος ἐν τῷ αὐτῷ θέρει, οὐ πολὺ ὕστερον, ἐπιθέμενος τοῖς τὰς ἀρχὰς ἔχου-

95. Lacedæmoniorum expeditio in Argivorum agrum terræ motu sublata. Argivi in Thyreatin incurrunt et prædam magnam faciunt. Thespiensis populi conatus

1. Καὶ προσαγαγόμενοι] ἤγαγον λαβόντες, ἐφελκυσάμενοι.

1. κεντορριπα B. κεντόρκα L. κεντορρικπα i.
σικελὸν A.F.H.K. σικελικὸν B. Q.h.
προσαγόμενοι L.f.g.i.k.
ὁμολογίᾳ om. g.
2. ἐκήεσαν g.
πιπράντες A. πιπράσαντες g. πιμπράσαντες Q. ἐμπιπρῶντες B.h.
τε ἰνησσαίων] γεινησίων B.h.
Ἰνησσαίων] Vide Steph. v. Ἴνυκον. Herodot. VI. 23, 24. ubi Ἰνυκὸς et Ἰνυκὸν Medic. ἐκ τῆς Ἰνύκου Cod. Lambeth. Pausan. VII. 4. Ἴνησαν scribit Strabo VI. p. 268. Ἐννησίαν Diodor. XI. p. 281. abest, inquit Strabo, ἀπὸ τῆς Κατάνης σταδίους ὀγδοήκοντα· et, πλησίον τῶν Κεντορίπων esse, alibi narrat. Nunc Cœnobium S. Joannis de Arenis. ἐκ χωρίου πάνυ σμικροῦ Ἰνύκου, Plato Phædr. p. 1246. et Ἰνυκιῶν υἱεῖς. Wass. De Inessa est supra ad III. 103. Duk.
5. ἄνευ] ἄνδρας K.
7. τριακόσια ἀργυρίου B.h.
12. ἔλασσον B.h. vulgo ἔλαττον.
13. Θεσπιέων] Ita MSS. et Herodot. Θέσπεια Homerus, Scylax, Pausan. Herodot. Polyænus, Plutarch. Pelop. p. 285. ubi legendum ex MS. πρὸς Ταναγρα. alibi tamen, pro cætera exemplarium inconstantia, εἰς Θεσπίας· quomodo semel Xenophon, semper Diodorus, Isocrates, Theophrastus Hist. Pl. p. 194. et Philiadæ Megarensis Epig. apud Steph. et Excerpta ex Athenæo de aquis, inter Opera Aristot. v. Etymolog. in εἰς. Sic etiam Lapis vetus apud Whelerum. In numo, quem adducit, ΘΕΣΠΕΩΝ, mendose, opinor, pro ΘΕΣΠΙΕΩΝ, quod in aliis, rectius. Vide Itinerar. p. 471. Wass.

adversus optimates irritus factus.

σιν οὐ κατέσχεν, ἀλλὰ βοηθησάντων Θηβαίων οἱ μὲν ξυνελήφθησαν, οἱ δ' ἐξέπεσον Ἀθήναζε.

Syracusani Epipolarum, quæ celsa et abrupta rupes est, ascensus præsidiis firmare constituunt et, lustratione in prato ad Anapum facta, sexcentos milites ad eos custodiendos eligunt.

96. Καὶ οἱ Συρακόσιοι τοῦ αὐτοῦ θέρους, ὡς ἐπύθοντο τούς τε ἱππέας ἥκοντας τοῖς Ἀθηναίοις καὶ μέλλοντας ἤδη ἐπὶ σφᾶς ἰέναι, νομίσαντες, ἐὰν μὴ τῶν Ἐπιπολῶν κρατήσωσιν οἱ Ἀθηναῖοι, χωρίου ἀποκρήμνου τε καὶ ὑπὲρ τῆς πόλεως εὐθὺς κειμένου, οὐκ ἂν ῥαδίως σφᾶς, οὐδ' εἰ κρατοῖντο μάχῃ, ἀποτειχισθῆναι, διενοοῦντο τὰς προσβάσεις αὐτῶν φυλάσσειν, ὅπως μὴ κατὰ ταύτας λάθωσι σφᾶς ἀναβάντες οἱ πολέμιοι· οὐ γὰρ ἂν ἄλλῃ γε αὐτοὺς δυνηθῆναι. ἐξῄρτηται γὰρ τὸ ἄλλο χωρίον, καὶ μέχρι τῆς πόλεως ἐπικλινές τέ ἐστι καὶ ἐπιφανὲς πᾶν εἴσω· καὶ ὠνόμασται ὑπὸ τῶν Συρακοσίων διὰ τὸ ἐπιπολῆς τοῦ

2. Οἱ δ' ἐξέπεσον Ἀθήναζε] ἐξελθόντες ἔφυγον εἰς τὰς Ἀθήνας. 5. Σφᾶς] τοὺς Συρακουσίους. 8. Τὰς προσβάσεις] ἤγουν ἐφόδους. 11. Ἐξῄρτηται γὰρ] μὴ ἐπὶ τοῦ ἐξηρτῆσθαι καὶ μετεωρίσθαι ἀκουέσθω, οὕσης τῆς διανοίας τοιᾶσδε· τὸ γὰρ ἄλλο χωρίον, πλὴν τῶν προσβάσεων, ἅπαν ὑψηλόν ἐστι καὶ κρημνῶδες, καὶ ἐπικέκλιται πρὸς τὴν πόλιν, ὥστε καταφανὲς ἔσω-

1. *βοησάντων* h. *βοηθησάντων τῶν* K.Q.

θηβαίων B.h. vulgo *ἀθηναίων*. Conf. 5, 17. 7, 30.

2. *ἐξεφυγον* B.h.

3. *καὶ οἱ*] *οἱ δὲ* d.

4. *τε* om. B.E.h.

5. *ἐπιπολλῶν* F.H.e.k.

6. *Χωρίου ἀποκρήμνου*] Descripsit ex hoc loco Stephanus in *Ἐπιπολαί*. Duk.

ἀπὸ κρημνοῦ g.

8. *κρατοῦντο τῇ μάχῃ* O.

προβάσεις K.g.

9. *ταῦτα* A.E.F.H.K.Q.e.g.

11. *ἐξήρτητο* B.h. *ἐξήρτηται* g. *ἄλλων* d.

Μέχρι τῆς πόλεως] Hoc Scholiastes interpretatur *πρὸς τὴν πόλιν*, id est, *versus urbem*, vel, *ea parte, qua urbem spectat.* Sententia verborum Thucydidis videtur esse: locum ab ea parte ad urbem usque declivem esse, et ex eo totam urbem, et quæ in ea erant, oculis subjecta conspici posse. Duk.

13. *τῶν* om. d.i.

Διὰ τὸ ἐπιπολῆς τοῦ ἄλλου εἶναι] Thomas Magister: *οὐδεὶς τῶν δοκίμων ἐξ ἐπιπολῆς εἶπεν, ἀλλὰ πάντες χωρὶς τοῦ ἐξ.* Et confirmat hoc loco, et altero ex Aristide. Damnant etiam Phrynichus p. 22. et Lucianus in Solœcista, pag. 742. Ostendit ibi Græv ius Lucianum ipsum in II. Ver. Histor. p. 667. dixisse *ἐξ ἐπιπολῆς*, quo et eum in libro de Luctu p. 304. usum ante in Thesauro adnotaverat Stephanus. Eum locum sibi de mendo suspectum

ἄλλου εἶναι Ἐπιπολαί. καὶ οἱ μὲν ἐξελθόντες παν-
δημεὶ ἐς τὸν λειμῶνα παρὰ τὸν Ἄναπον ποταμὸν ἅμα
τῇ ἡμέρᾳ (ἐτύγχανον γὰρ αὐτοῖς καὶ οἱ περὶ τὸν Ἑρμο-
κράτην στρατηγοὶ ἄρτι παρειληφότες τὴν ἀρχήν) ἐξέτασίν
5 τε ὅπλων ἐποιοῦντο, καὶ ἑξακοσίους λογάδας τῶν ὁπλι-
τῶν ἐξέκριναν πρότερον, ὧν ἦρχε Διόμιλος, φυγὰς ἐξ
Ἄνδρου, ὅπως τῶν τε Ἐπιπολῶν εἶησαν φύλακες, καὶ ἢν
ἐς ἄλλο τι δέῃ, ταχὺ ξυνεστῶτες παραγίγνωνται. * οἱ 97.
δὲ Ἀθηναῖοι ταύτης τῆς νυκτὸς τῇ ἐπιγιγνομένῃ ἡμέρᾳ
10 ἐξητάζοντο, καὶ ἔλαθον αὐτοὺς παντὶ ἤδη τῷ στρατεύματι
ἐκ τῆς Κατάνης σχόντες κατὰ τὸν Λέοντα καλούμενον, ὃς
ἀπέχει τῶν Ἐπιπολῶν ἑξ ἢ ἑπτὰ σταδίους, καὶ τοὺς
πεζοὺς ἀποβιβάσαντες, ταῖς τε ναυσὶν ἐς τὴν Θάλψον
καθορμισάμενοι· ἔστι δὲ χερσόνησος μὲν ἐν στενῷ ἰσθμῷ
15 προὔχουσα ἐς τὸ πέλαγος, τῆς δὲ Συρακοσίων πόλεως
οὔτε πλοῦν οὔτε ὁδὸν πολλὴν ἀπέχει. καὶ ὁ μὲν ναυτικὸς
στρατὸς τῶν Ἀθηναίων ἐν τῇ Θάλψῳ, διαταυρωσάμενος
τὸν ἰσθμὸν, ἡσύχαζεν· ὁ δὲ πεζὸς ἐχώρει εὐθὺς δρόμῳ
πρὸς τὰς Ἐπιπολὰς, καὶ φθάνει ἀναβὰς κατὰ τὸν Εὐ-

Sed Athenienses antevertunt, cumque, navibus Thapsum appulsis, Epipolas occupassent, frustra Syracusani eos depellere conantur, et clade affecti in urbem refugiunt. Atheniensis autem postridie ad urbem progressi, cum hostes non

θεν εἶναι. 6. Ἐξέκριναν πρότερον] ἐκκρίτους καὶ ἐκλεκτοὺς ἐποιήσαντο. 8. Ταχὺ ξυνεστῶτες] ταχὺ παραγίνωνται διὰ τὸ συνεστάναι.

esse dicit Nunnesius ad Phrynichum. Sed Lucianus in Lexiphane etiam alia reprehendit, quibus tamen ipse alibi uti non dubitavit. Duk.

1. ξυνελθόντες d.i.
2. λιμένα B.h.
ἄνακτον k.
5. τε om. i.
ἐπιπλων f.
8. ξυνεστῶτες om. K.
παραγίγνωντο f.
9. νυκτὸς καὶ τῇ L.O.
γιγνομένῃ Q.
11. σχόντες καὶ κατὰ K.
Τὸν Λέοντα] De hoc vide Cluverium I. Sicil. Ant. 12. pag. 171. et de Thapso ibid. cap. II. in fin. de quo etiam Interpretes Stephani. Duk.
καλούμενον om. K.
13. θάλψον] θάλασσαν L.O.P. Q.k.
14. καθορμησάμενοι E.f.
17. τῶν ἀθηναίων] om. d.
19. τὸν A.B.E.F.L.O.P.Q.c.d. e.f.g.h.i.k. vulgo τό.
Τὸ Εὐρύηλον] Infra VII. 2. τὸν

occurrerent ad pugnam, in summa Epipolarum rupe castellum communierunt.

ῥᾴηλον, πρὶν τοὺς Συρακοσίους αἰσθομένους ἐκ τοῦ λειμῶνος καὶ τῆς ἐξετάσεως παραγενέσθαι. ἐβοήθουν δὲ οἵ τε ἄλλοι, ὡς ἕκαστος τάχους εἶχε, καὶ οἱ περὶ τὸν Διόμιλον ἑξακόσιοι· στάδιοι δὲ, πρὶν προσμίξαι ἐκ τοῦ λειμῶνος, ἐγίγνοντο αὐτοῖς οὐκ ἔλασσον ἢ πέντε καὶ εἴκοσι. προσπεσόντες οὖν αὐτοῖς τοιούτῳ τρόπῳ ἀτακτότερον καὶ μάχῃ νικηθέντες οἱ Συρακόσιοι ἐπὶ ταῖς Ἐπιπολαῖς, ἀνεχώρησαν ἐς τὴν πόλιν· καὶ ὅ τε Διόμιλος ἀποθνήσκει καὶ τῶν ἄλλων ὡς τριακόσιοι. καὶ μετὰ τοῦτο οἱ Ἀθηναῖοι τροπαῖόν τε στήσαντες καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀποδόντες τοῖς Συρακοσίοις, πρὸς τὴν πόλιν αὐτὴν τῇ ὑστεραίᾳ ἐπικαταβάντες, ὡς οὐκ ἐπεξῇεσαν αὐτοῖς, ἐπαναχωρήσαντες φρούριον ἐπὶ τῷ Λαβδάλῳ ᾠκοδόμησαν, ἐπ' ἄκροις τοῖς χρημνοῖς τῶν Ἐπιπολῶν, ὁρῶν πρὸς τὰ Μέγαρα, ὅπως εἴη αὐτοῖς, ὁπότε προΐοιεν, ἢ μαχούμενοι ἢ τειχιοῦντες, τοῖς τε σκεύεσι καὶ τοῖς χρήμασιν ἀποθήκη.

98. Deinde etiam equites

* Καὶ οὐ πολλῷ ὕστερον αὐτοῖς ἦλθον ἔκ τε Ἐγέστης

Εὐρύηλον. hic subaudiendum πολίχνιον. Vide Stephanum. Wass.

1. πρὶν] πλὴν L.O.

ἐκ] ἔχων O.

λειμῶνος καὶ τῆς A.B.E.F.H.K. L.O.d.e.f.g.i.k. vulgo omittunt καί.

2. δὲ] τε L.O.k.

3. διόμηλον Q. διόμιον b.

4. ἑξακόσιοι A.B.E.F.Q.b.c.d. e.f.g.h.i. ceteri ἑκατακόσιοι. Conf. 7, 43.

6. προσπεσοῦντες g.

αὐτοὶ L.

ἀτακτότεροι B. ἀπρακτότερον K.

7. οἱ συρ. om. P.

10. τε om. B.E.F.g.h.

12. ἐπιβάντες Q.

ἐξήεσαν G.

13. Ἐπὶ τῷ Λαβδάλῳ] De situ Labdali disputat Cluverius I. Sicil. Ant. 12. pag. 148. Λαυδάλῳ pro Λαβδάλῳ in Cod. Reg. est a figura literæ, U Latino non dissimili, quæ obvia est in MSS. pro β. Duk.

λαβδάκῳ L.O.P.Q.e. λαυδάλῳ c.g. βαβδάλῳ d.i.

14. ὁρῶν E.g.

15. προΐοιεν F. Portus: libri προσίοιεν.

16. Ἀποθήκη] Pollux ordinem turbat X. 10. τοῖς τε χρήμασι καὶ τοῖς σκεύεσιν ἀποθήκη. ubi MSS. ὑποθήκη perperam. σκευοθήκη est apud Æschinem et Æschylum. Glossæ: ἀποθήκη, *horreum, granarium.* ἀποθηκάριος, *horrearius.* Sic in Nov. Testam. et LXX. Wass.

ἱππῆς τριακόσιοι, καὶ Σικελῶν καὶ Ναξίων καὶ ἄλλων τινῶν ὡς ἑκατόν· καὶ Ἀθηναίων ὑπῆρχον πεντήκοντα καὶ διακόσιοι, οἷς ἵππους τοὺς μὲν παρ' Ἐγεσταίων καὶ Καταναίων ἔλαβον, τοὺς δ' ἐπρίαντο, καὶ ξύμπαντες πεντήκοντα καὶ ἑξακόσιοι ἱππῆς ξυνελέγησαν. καὶ καταστήσαντες ἐν τῷ Λαβδάλῳ φυλακὴν ἐχώρουν πρὸς τὴν Συκῆν οἱ Ἀθηναῖοι, ἵνα περ καθεζόμενοι ἐτείχισαν τὸν κύκλον διὰ τάχους. καὶ ἔκπληξιν τοῖς Συρακοσίοις παρέσχον τῷ τάχει τῆς οἰκοδομίας· καὶ ἐπεξελθόντες μάχην διενοοῦντο ποιεῖσθαι καὶ μὴ περιορᾶν. καὶ ἤδη ἀντιπαρατασσομένων ἀλλήλοις οἱ τῶν Συρακοσίων στρατηγοὶ, ὡς ἑώρων σφίσι τὸ στράτευμα διεσπασμένον τε καὶ οὐ ῥᾳδίως ξυντασσόμενον, ἀνήγαγον πάλιν ἐς τὴν πόλιν, πλὴν μέρους τινὸς τῶν ἱππέων· οὗτοι δὲ ὑπομένοντες ἐκώλυον τοὺς Ἀθηναίους λιθοφορεῖν τε καὶ ἀποσκίδνασθαι μακροτέραν. καὶ τῶν Ἀθηναίων φυλὴ μία τῶν ὁπλιτῶν, καὶ οἱ

et equos a Segestanis aliisque Siculis accipiunt, et confestim unam urbis partem, Συκῆν, circumdant opere. Celeritate munitionis perterriti Syracusani impedire opus velle, copias educere, mox male compositas, in urbem reducere. Equites tantum relicti, ne longius vagarentur Athenienses; sed etiam hi fugati ab equitibus Atheniensium.

7. Τὸν κύκλον] ἤτοι τὸν περὶ τὸ Λάβδαλον, ἢ τὸν περὶ τὸ τεῖχος τῶν Συρακουσίων, ᾧ ἀπετείχιζον αὐτούς. ὃ καὶ μᾶλλον. 15. Καὶ ἀποσκίδνασθαι] καὶ κακοῦν αὐτῶν τὴν χώραν διὰ τὸ εὐβατέρω προεῖναι. 16. Φυλὴ Μία] ἀντὶ τοῦ ἓν

1. ἱππῆς addidi ex B.h.
καὶ ἄλλων τινῶν om. N.
2. ἑκατὸν] ἕκαστα e.
3. διακόσια g.
οἷς F.H.K.N.c.e.f.g.k. vulgo ὅ.
5. ἐπὶ B.
6. Πρὸς τὴν Συκῆν] Stephanus in Συκαί· καὶ ἄλλη Συκὴ (ita etiam hic Gr.) πλησίον Συρακουσῶν, καὶ Κιλικίας. De hac Thucydidem hic agere putat Holstenius ad Stephanum. Sed rectius, opinor, Cluverius pro parte Syracusarum, cui Tyche nomen erat, accipit. Duk.
7. τυκὴν F. συκὴν K. συκῆν L. O.d.i.
ἐτείχισαν] ἐκύκλωσαν h.
9. οἰκονομίας d.
ἐξελθόντες h.
15. Λιθοφορεῖν] Pollux VII. 118. Vide Herodotum II. 124. 175. Wass.
τε om. d.g.
μακροτέραν A.B.E.F.H.K.c.f.g. vulgo μακρότερον.
Μακρότερον] Probabilius est, hoc esse ab imperito aliquo scriba, quam μακροτέραν, quod quatuor optimi libri exhibent. Duk.
16. Φυλὴ μία] Adnotat hic Acacius e Sigonio IV. de Republ. Athen. 5. Athenienses in sua quemque tribu instructos in acie adversus hostes pugnasse. Hoc bene ostendit Sigonius ex He-

ἱππῆς μετ' αὐτῶν πάντες, ἐτρέψαντο τοὺς τῶν Συρακοσίων ἱππέας προσβαλόντες, καὶ ἀπέκτειναν τέ τινας καὶ τροπαῖον τῆς ἱππομαχίας ἔστησαν.

99. Nondum perfecto hoc opere, aliud majus instituunt Athenienses, ut totum isthmum, in quo Syracusæ sitæ sunt, ab altero ad alterum mare munitione inter-

Καὶ τῇ ὑστεραίᾳ οἱ μὲν ἐτείχιζον τῶν Ἀθηναίων τὸ πρὸς Βορέαν τοῦ κύκλου τεῖχος, οἱ δὲ λίθους καὶ ξύλα ξυμφοροῦντες παρέβαλλον ἐπὶ τὸν Τρωγίλον καλούμενον ἀεί, ἥπερ βραχύτατον ἐγίγνετο αὐτοῖς ἐκ τοῦ μεγάλου λιμένος ἐπὶ τὴν ἑτέραν θάλασσαν τὸ ἀποτείχισμα. οἱ δὲ Συρακόσιοι, οὐχ ἥκιστα Ἑρμοκράτους τῶν στρατηγῶν ἐσηγησαμένου, μάχαις μὲν πανδημεὶ πρὸς Ἀθηναίους οὐκέτι ἐβούλοντο διακινδυνεύειν, ὑποτειχίζειν δὲ ἄμεινον

τάγμα ἀπὸ φυλῆς μιᾶς. 7. Ἥπερ βραχύτατον] καθ' ὃ ἔμελλε βραχύτατον ἔσεσθαι τὸ διατείχισμα. Ἐκ τοῦ μεγάλου λιμένος] ἐπὶ χερρονήσῳ ἡ πόλις τῶν Συρακουσίων κεῖται, γενομένου τινὸς ἰσθμοειδοῦς τῇ μὲν ὑπὸ τοῦ μεγάλου λιμένος, τῇ δὲ ὑπὸ τῆς ἐπὶ θάτερον θαλάττης. 11. Ὑποτειχίζειν δὲ ἄμεινον ἐδόκει εἶναι] οἱ μὲν Ἀθηναῖοι (φησὶν) ἐβούλοντο, ἐκ θαλάττης εἰς θάλατταν τεῖχος οἰκοδομησάμενοι, Συρακουσίους εἴρξαι τῆς ἔξω γῆς, κατακλείσαντες εἰς τὴν χερρόνησον· οἱ δὲ Συρακόσιοι ὄρθιον τεῖχος διὰ μέσου τοῦ ἰσθμώδους ὑπετείχιζον, κώλυμα ἐσόμενον τοῖς Ἀθηναίοις τοῦ δύνασθαι διατειχίσαι. καὶ ἐνόμιζον, εἰ φθάσαιεν περιτειχίσαντες αὐτοὶ, ἀποκλεῖσαι ἂν ἐκείνους τοῦ ἔτι διατειχίσαι δύνασθαι. εἰ γὰρ δὴ καὶ κωλύειν αὐτοὺς ἀντιτειχίζοντας οἱ Ἀθηναῖοι ἐθέλοιεν, μέρει μὲν ἄν τινι τῆς αὐτῶν στρατιᾶς ἀντιτάξασθαι τοῖς ἐκεῖσι τῶν Ἀθηναίων· οἱ λοιποὶ δὲ ἐν τούτῳ προαποσταυρώσειν τὰ

rodoti VI. 111. de pugna Marathonia, et ex Plutarchi Aristide. Et ex hoc loco, quem itidem ibi laudat Sigonius, intelligitur, Athenienses non solitos fuisse inter se miscere diversarum tribuum milites. Eamdem rationem etiam alios in bellis sequutos fuisse, credibile est. Sic de Messeniis Thucyd. III. 90. Ἔτυχον δὲ δύο φυλαὶ ἐν ταῖς Μυλαῖς τῶν Μεσσηνίων φρουροῦσαι. Et paullo post hic cap. 100. de Syracusanis: φυλὴν μίαν καταλιπόντες φύλακα τοῦ οἰκοδομήματος. Hinc φύλαξις pro μάχῃ, ἐκ τῆς ὑπὸς, ἤτοι βοῆς τῶν φύλων, Eustathius in Homer. Iliad. α'. p. 140. et β'. p. 247. Suidas: Φυλὴ καθ' αὑτήν ἐστι μέρος στρατιῶται. Non scio, cui e vetustis Rebuspublicis hoc conveniat. Si χίλιοι dixisset, posset referri ad prima initia Reipubl. Romanæ. Dux.

1. πάντων d.i.
2. τε om. L.
4. τὸ πρὸς βορέαν τῶν ἀθηναίων e.
5. τεῖχος τοῦ κύκλου d.i.
6. φοροῦντες γρ. h.
παρέβαλον E.H.K.L.O.Q. c.d. e.k.
τρωγιλὸν E.F.H.L.O.g.
10. πρὸς τοὺς ἀθηναίους B.h.

ἐδόκει εἶναι, ἢ ἐκεῖνοι ἔμελλον ἄξειν τὸ τεῖχος, καὶ εἰ φθάσειαν, ἀποκλήσεις γίγνεσθαι, καὶ ἅμα καὶ ἐν τούτῳ εἰ ἐπιβοηθοῖεν, μέρος ἀντιπέμπειν αὐτοὺς τῆς στρατιᾶς, καὶ φθάνειν ἂν τοῖς σταυροῖς προκαταλαμβάνοντες τὰς ἐφόδους, ἐκείνους δὲ ἂν παυομένους τοῦ ἔργου πάντας ἂν πρὸς σφᾶς τρέπεσθαι. ἐτείχιζον οὖν ἐξελθόντες, ἀπὸ τῆς σφετέρας πόλεως ἀρξάμενοι, κάτωθεν τοῦ κύκλου τῶν Ἀθηναίων ἐγκάρσιον τεῖχος ἄγοντες, τάς τε ἐλάας ἐκκόπτοντες τοῦ τεμένους καὶ πύργους ξυλίνους καθιστάντες. αἱ δὲ νῆες τῶν Ἀθηναίων οὔπω ἐκ τῆς Θάψου περιεπεπλεύκεσαν ἐς τὸν μέγαν λιμένα, ἀλλ' ἔτι οἱ Συρακόσιοι ἐκράτουν τῶν περὶ τὴν θάλασσαν, κατὰ γῆν δ' ἐκ τῆς Θάψου οἱ Ἀθηναῖοι τὰ ἐπιτήδεια ἐπήγοντο. * ἐπειδὴ δὲ τοῖς Συρακοσίοις ἀρκούντως ἐδόκει ἔχειν ὅσα τε ἐσταυ-

cludant. Materiam quidem, quocumque aptum erat, congerunt; sed Syracusani, auctore Hermocrate, transversum in illam munitionem ducunt murum.

100. Qui quo minus ex-

βάσιμα τῶν Ἀθηναίων. ἐφόδους γὰρ τὰ βάσιμα λέγει. ὀλίγα δὲ τὰ ἐπιβα-

1. αὔξειν F.H.g.
2. ἀποκλήισεις E.F.H.K.g. καὶ ἅμα καὶ A.B.E.F.H.K.L. N.O.P.d.e.g.k. vulgo καὶ [ἅμα].
3. αὐτοὺς] Immo αὐτοῖς.
4. ἂν τοῖς σταυροῖς προκαταλ.] αὐτοὶ προκαταλ. τοῖς σταυροῖς B.
5. δὲ ἀναπαυομένους B.
8. ἐλάας A.E.F.H.K. c.g. vulgo ἐλαίας.

Ἐλαίας] Quidam MSS. ἐλάας. Thomas Magister scribit, tam de fructu, quam de arbore, melius dici ἐλάα, quam ἐλαία, et hoc confirmat ex Aristophanis Ran. v. 1026. ἐκτὸς οἴσει τῶν ἐλαῶν· quomodo rursum hunc locum laudat in ἔξω; e Thucyd. VII. 81. ἐλάας δὲ οὐκ ὀλίγας εἶχε; ac denique ex Aristide, ἐλαῶν εἵνεκα τῆς συλλογῆς· Sed in loco Thucydidis variant libri; et apud Aristophanem editur τῶν ἐλαιῶν. Aristides autem aperte de fructu loquitur. Et Eustathius in Homer. Iliad. ν'. p. 949. et in Odyss. η'. p. 1542. tradit, non arborem, sed fructum, Atticis esse ἐλάαν, et deinde in Odyss. ψ'. ex Ælio Dionysio, Atticos fructum ipsum sine discrimine ἐλαίαν et ἐλάαν dicere. Suidas quoque, ἐλάα, ὁ καρπός· ἐλαία δὲ, τὸ δένδρον. Scholiastes Aristophan. Ran. 1019. Ἐλάα, ὁ καρπὸς τῆς ἐλαίας· sed addit, καταχρηστικῶς alterum pro altero poni. In his nihil est, quo sententia Thomæ confirmari possit, aut cur hic lectio MSStorum vulgatæ præferri debeat. Fructum ἐλάαν dici, plurimis testimoniis veterum ostendi potest; arborem, fortassis non multis. Duk.

10. περιεπλεύκεσαν K. περιέπλευσαν H.
11. μέγα H.K.
13. ἐπιτήδεια σιτία ἐπήγοντο B.h.

struere-tur, cum Athenienses prohibere non potuissent, perfectum aggressi capiunt diruuntque.

ρώθη καὶ ᾠκοδομήθη τοῦ ὑποτειχίσματος, καὶ οἱ Ἀθηναῖοι αὐτοὺς οὐκ ἤλθον κωλύσοντες, φοβούμενοι μὴ σφίσι δίχα γιγνομένοις ῥᾷον μάχωνται, καὶ ἅμα τὴν καθ' αὑτοὺς περιτείχισιν ἐπειγόμενοι, οἱ μὲν Συρακόσιοι φυλὴν μίαν καταλιπόντες φύλακα τοῦ οἰκοδομήματος ἀνεχώρησαν ἐς τὴν πόλιν, οἱ δὲ Ἀθηναῖοι τούς τε ὀχετοὺς αὐτῶν, οἳ ἐς τὴν πόλιν ὑπονομηδὸν ποτοῦ ὕδατος ἠγμένοι ἦσαν, διέφθειραν, καὶ τηρήσαντες τούς τε ἄλλους Συρακοσίους κατὰ σκηνὰς ὄντας ἐν μεσημβρίᾳ, καί τινας καὶ ἐς τὴν πόλιν ἀποκεχωρηκότας, καὶ τοὺς ἐν τῷ σταυρώματι ἀμελῶς φυλάσσοντας, τριακοσίους μὲν σφῶν αὐτῶν λογάδας καὶ τῶν ψιλῶν τινὰς ἐκλεκτοὺς ὡπλισμένους προὔταξαν θεῖν δρόμῳ ἐξαπιναίως πρὸς τὸ ὑποτείχισμα, ἡ δὲ ἄλλη στρατιὰ δίχα, ἡ μὲν μετὰ τοῦ ἑτέρου στρατηγοῦ πρὸς τὴν πόλιν, εἰ ἐπιβοηθοῖεν, ἐχώρουν, ἡ δὲ μετὰ τοῦ ἑτέρου πρὸς τὸ σταύρωμα τὸ παρὰ τὴν πυλίδα. καὶ προσβαλόντες οἱ τριακόσιοι αἱροῦσι τὸ σταύρωμα· καὶ οἱ φύλακες αὐτὸ

θῆναι δυνάμενα, διὰ τὸ τελματῶδες εἶναι τὸ χωρίον. 2. Φοβούμενοι, μὴ σφίσι] κατὰ τὴν λεγομένην ἀνάληψιν, τὸ φοβούμενοι οἱ Ἀθηναῖοι, εἴρηται. τὸ δὲ "σφίσι δίχα γιγνομένοις," τῶν μὲν τειχιζόντων, τῶν δὲ μαχομένων. 4. Περιτείχισιν ἐπειγόμενοι] σπεύδοντες αὐτοὶ διατειχίσαι. 7. Ὑπονομηδὸν] διὰ ὑπονόμων καὶ σωλήνων. 14. Πρὸς τὴν πόλιν] πρὸς τὴν τῶν Συρά-

1. ἐπιτειχίσματος Q. g. τειχίσματος L.O.k.
καὶ om. L.
2. οὐκ ἦλθον αὐτοὺς L. αὐτοῖς οὐκ ἦλθον d.i. om. pronomen B. P.h.
φοβούμενοι οἱ ἀθηναῖοι μὴ B.h.
δίχα σφίσι Q.g.
3. γενομένοις g.
καθ' ἑαυτοὺς B. κατ' αὐτοὺς F. H.Q.
4. φυλὴν] φυλακὴν K.e.
6. αὐτῶν om. K. cum Suida v. ὑπονομηδὸν, qui mox non ποτοῦ sed τοῦ, nec διέφθειραν sed κατέστρεψαν.
8. κατὰ] καὶ τὰς H.
10. ἀνακεχωρηκότας L.
στρατεύματι i.
11. αὐτῶν om. d.
12. ἐπίλεκτους B.h.
13. ἢ] οἱ g.
15. εἰ] ὅπως μὴ L.O.P.Q.
οἱ δὲ L.g.
16. στράτευμα K.
τὸ ante παρὰ om. B.h.
πυλίδα B.h.
17. αὐτὸ om. L.O.P.k.

ἐκλιπόντες κατέφυγον εἰς τὸ προτείχισμα τὸ περὶ τὸν Τεμενίτην. καὶ αὐτοῖς ξυνεσέπεσον οἱ διώκοντες, καὶ ἐντὸς γενόμενοι βίᾳ ἐξεκρούσθησαν πάλιν ὑπὸ τῶν Συρακοσίων, καὶ τῶν Ἀργείων τινὲς αὐτόθι καὶ τῶν Ἀθηναίων οὐ πολλοὶ διεφθάρησαν. καὶ ἐπαναχωρήσασα ἡ πᾶσα στρατιὰ τήν τε ὑποτείχισιν καθεῖλον καὶ τὸ σταύρωμα ἀνέσπασαν, καὶ διεφόρησαν τοὺς σταυροὺς παρ' ἑαυτούς, καὶ τροπαῖον ἔστησαν.

101. Postridie rupem quandam ad magnum portum spectantem muniunt. Syracusii iterum contra exstruunt vallum, et fossam insuper ducunt. Sed utrumque Atheniensis capiunt, et pugna coorta rursus victores

Τῇ δ' ὑστεραίᾳ ἀπὸ τοῦ κύκλου ἐτείχιζον οἱ Ἀθηναῖοι τὸν κρημνὸν τὸν ὑπὲρ τοῦ ἕλους, ὃς τῶν Ἐπιπολῶν ταύτῃ πρὸς τὸν μέγαν λιμένα ὁρᾷ, καὶ ἦπερ αὐτοῖς βραχύτατον ἐγίγνετο καταβᾶσι διὰ τοῦ ὁμαλοῦ καὶ τοῦ ἕλους ἐς τὸν λιμένα τὸ περιτείχισμα. καὶ οἱ Συρακόσιοι ἐν τούτῳ ἐξελθόντες καὶ αὐτοὶ ἀπεσταύρουν αὖθις, ἀρξάμενοι ἀπὸ τῆς πόλεως, διὰ μέσου τοῦ ἕλους· καὶ τάφρον ἅμα παρώρυσσον, ὅπως μὴ οἷόν τε ᾖ τοῖς Ἀθηναίοις μέχρι τῆς θαλάσσης ἀποτειχίσαι. οἱ δ', ἐπειδὴ τὸ πρὸς τὸν κρημνὸν αὐτοῖς ἐξείργαστο, ἐπιχειροῦσιν αὖθις τῷ τῶν Συρακοσίων σταυρώματι καὶ τάφρῳ, τὰς μὲν ναῦς κελεύσαντες περι-

κουσίων. 3. Βίᾳ ἐξεκρούσθησαν πάλιν] ἀμφίβολον, πότερον βίᾳ ἐσῆλθον, ἢ βίᾳ ἐξεκρούσθησαν. 5. Ἡ πᾶσα στρατιὰ] τῶν Ἀθηναίων. 7. Διεφόρησαν] διεκόμισαν. 11. Καὶ, ἦπερ αὐτοῖς βραχύτατον] καθ' ὃ μέρος βραχύτατον ἔμελλε τὸ διατείχισμα ἔσεσθαι. 17. Οἱ δ'] οἱ Ἀθηναῖοι.

1. περιπροτείχισμα B.h.

2. ξυνεσέπεσον B.h. vulgo ξυνέπεσον.

5. πᾶσα ἡ g.

6. Ἀνέσπασαν] Suidas: ἀνασπᾷ, ἀντὶ τοῦ καταλύει, ἢ ἀναιρεῖ. Θουκυδίδης. Ἀνασπᾷν, quod pro ἀντλεῖν ὕδωρ Idem adfert e Pherecrate: non simpliciter ἀνασπᾷν, sed ὕδωρ ἀνασπᾷν dicit Thucydides IV. 97. et Pherecrates itidem cum accusativo nominis, κάδους ἀνασπῶν. Rursus Suidas: ἀνέσπακε. Θουκυδίδης· ἀνεύρηκεν, εἵλκυσεν. Quærenduin est, ubi Thucydides hac significatione utatur verbo ἀνασπᾷν. Mihi non in promptu est locus. Dux.

7. παρ'] ἐφ' L.O.P.k. ἑαυτοῖς Q.

11. μέγα i.

17. τὸ] τὸν E.

19. στρατεύματι H. καὶ τάφρῳ om. f. παρακλεῦσαι h.

evadunt; Lamachus tamen interficitur.

πλεῦσαι ἐκ τῆς Θάψου ἐς τὸν μέγαν λιμένα τὸν τῶν Συρακοσίων, αὐτοὶ δὲ περὶ ὄρθρον καταβάντες ἀπὸ τῶν Ἐπιπολῶν ἐς τὸ ὁμαλὸν, καὶ διὰ τοῦ ἕλους, ἦ πηλώδες ἦν καὶ στερεφώτατον, θύρας καὶ ξύλα πλατέα ἐπιθέντες καὶ ἐπ' αὐτῶν διαβαδίσαντες, αἱροῦσιν ἅμα ἕῳ τό τε σταύρωμα πλὴν ὀλίγου καὶ τὴν τάφρον, καὶ ὕστερον καὶ τὸ ὑπολειφθὲν εἶλον· καὶ μάχη ἐγένετο, καὶ ἐν αὐτῇ ἐνίκων οἱ Ἀθηναῖοι· καὶ τῶν Συρακοσίων οἱ μὲν τὸ δεξιὸν κέρας ἔχοντες πρὸς τὴν πόλιν ἔφευγον, οἱ δ' ἐπὶ τῷ εὐωνύμῳ παρὰ τὸν ποταμόν. καὶ αὐτοὺς βουλόμενοι ἀποκλῆσασθαι τῆς διαβάσεως οἱ τῶν Ἀθηναίων τριακόσιοι λογάδες δρόμῳ ἠπείγοντο πρὸς τὴν γέφυραν. δείσαντες δὲ οἱ Συρακόσιοι (ἦσαν γὰρ καὶ τῶν ἱππέων αὐτοῖς οἱ πολλοὶ ἐνταῦθα) ὁμόσε χωροῦσι τοῖς τριακοσίοις τούτοις, καὶ τρέπουσί τε αὐτοὺς καὶ ἐσβάλλουσιν ἐς τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων. καὶ προσπεσόντων αὐτῶν ξυνεφοβήθη καὶ ἡ πρώτη φυλακὴ τοῦ κέρως. ἰδὼν δὲ ὁ Λάμαχος παρεβοήθει ἀπὸ τοῦ εὐωνύμου τοῦ ἑαυτῶν, μετὰ τοξοτῶν τε οὐ πολλῶν καὶ τοὺς Ἀργείους παραλαβών· καὶ ἐπι-

4. Καὶ στερεφώτατον] καθὸ τὸ ἕλος οὐχ ὑδατῶδες ἦν, ἀλλὰ πηλῶδες καὶ στε-

1. μέγα Q.i.
2. περὶ ὄρθρον om. i.
4. στερεφώτατον θύρας A.B.E.F. L.O.Q.g.k.
5. ἐπ'] δι' B.h.
διαβιβάσαντες A.G. βαδίσαντες e.
6. τάφρον καὶ ὕστερον καὶ B.h. vulgo omittunt καὶ ὕστερον.
7. ὑπολιφθὲν d.
ἐν αὐτῇ ante καὶ ponit B. om. E. καὶ om. h.
8. οἱ ἀθηναῖοι ἐνίκων Q.
9. ἔφευγον B.h. ceteri ἔφυγον.
10. ἀποκλήσασθαι F.c.g. ἀποκλῆσεσθαι H.K.N. ceteri ἀποκλείσασθαι.
12. ὑπείγοντο K.
13. δὲ] γὰρ d.i.
16. ξυνεσοβήθη K. ξυνεβοήθη d. ξυνεβοήθει i.
17. Ἡ πρώτη φυλακὴ τοῦ κέρως] Velim doceri, quænam in pugna sit πρώτη φυλακὴ cornuum. Interim suspicari licebit, fortassis legendum esse φυλή. Vide ad cap. 98. Φυλακὴν pro φυλὴν habet etiam Cod. Gr. cap. 130. Valla et Portus hic vertunt *cohortem*, ut supra φυλήν. Duk.
φυλακὴ καὶ τοῦ d.i. φυλακὴ τοῦδε τοῦ margo i.
18. εὐωνύμου ἑαυτῶν h.

διαβὰς τάφρον τινὰ καὶ μονωθεὶς μετ' ὀλίγων τῶν ξυνδιαβάντων ἀποθήσκει αὐτός τε καὶ πέντε ἢ ἓξ τῶν μετ' αὐτοῦ. καὶ τούτους μὲν οἱ Συρακόσιοι εὐθὺς κατὰ τάχος φθάνουσιν ἁρπάσαντες πέραν τοῦ ποταμοῦ ἐς τὸ ἀσφαλὲς, αὐτοὶ δὲ ἐπιόντος ἤδη καὶ τοῦ ἄλλου στρατεύματος τῶν Ἀθηναίων ἀπεχώρουν. * ἐν τούτῳ δὲ οἱ πρὸς τὴν πόλιν αὐτῶν τὸ πρῶτον καταφυγόντες, ὡς ἑώρων ταῦτα γιγνόμενα, αὐτοί τε πάλιν ἀπὸ τῆς πόλεως ἀναθαρσήσαντες ἀντετάξαντο πρὸς τοὺς κατὰ σφᾶς Ἀθηναίους, καὶ μέρος τι αὐτῶν πέμπουσιν ἐπὶ τὸν κύκλον τὸν ἐπὶ ταῖς Ἐπιπολαῖς, ἡγούμενοι ἔρημον αἱρήσειν. καὶ τὸ μὲν δεκάπλεθρον προτείχισμα αὐτῶν αἱροῦσι καὶ διεπόρθησαν, αὐτὸν δὲ τὸν κύκλον Νικίας διεκώλυσεν· ἔτυχε γὰρ ἐν αὐτῷ δι' ἀσθένειαν ὑπολελειμμένος. τὰς γὰρ μηχανὰς, καὶ ξύλα ὅσα πρὸ τοῦ τείχους ἦν καταβεβλημένα, ἐμπρῆσαι τοὺς ὑπηρέτας ἐκέλευσεν, ὡς ἔγνω ἀδυνάτους ἐσο-

102. Niciæ, adversa valetudine in munimento detenti, consilio servatur illud munimentum, quod tempore prœlii Syracusani, desertum esse rati, adoriri conabantur. Atheniensium classis in magnum portum delata.

ρεῖν. 1. Τάφρον τινὰ—μετ' ὀλίγων] γράφεται, τάφρον τινὰ, καὶ μονωθεὶς μετ'

1. Μονωθεὶς] Diodorus p. 334. d. mortem ejus contigisse post Gylippi adventum, memorat: et sic etiam Justinus: *Duobus prœliis victus, congressus tertio, occiso Lamacho*, &c. Nostrum sequitur et illustrat Plutarchus Nic. p. 534. ἀπομονωθεὶς ὁ Λάμαχος, ὑπέστη τῶν Συρακουσίων τοὺς ἱππεῖς ἐπιφερομένους. ἦν δὲ πρῶτος αὐτῶν Καλλικράτης, ἀνὴρ πολεμικὸς καὶ θυμοειδὴς· πρὸς τοῦτον ἐκ προκλήσεως καταστὰς ὁ Λάμαχος ἐμονομάχησε, καὶ λαβὼν πληγὴν πρίτερος, εἶτα δοὺς, καὶ πεσὼν, ὁμοῦ συνεπέθανε τῷ Καλλικράτει. De homine et moribus ejus adi Aristoph. Acharn. II. 6. IV. 3. V. 2. Wass.

τῶν διαβάντων d.

2. αὐτὸς καὶ K.

3. αὐτῶν A.

4. ἀναρπάσαντες καὶ διαβιβάσαντες B.h.

παρὰ K.

τοῦ om. k.

5. ἤδη om. P.

καὶ om. Q.

8. πάλιν ἀπὸ τῆς πόλεως] om. K. ἀπὸ τῆς πόλεως] om. e.

θαρσήσαντες K.

10. αὐτῶν om. i.

12. δέκα πλέθρων i.

Δεκάπλεθρον] De mensura plethri vide Perizonium ad Ælian. V. H. 3, 1. Dux.

τείχισμα f.

15. ἦν πρὸ τοῦ τείχους e.

16. ἐκέλευεν g.

ἀδυνάτους ἐσομένους A.B.E.F.H. K.L.N.O.P.d.e.g.h.i.k. vulgo ἀδυνάτους αὐτοὺς ἐσομένους.

μένους ἐρημίᾳ ἀνδρῶν ἄλλῳ τρόπῳ περιγενέσθαι. καὶ ξυνέβη οὕτως· οὐ γὰρ ἔτι προσῆλθον οἱ Συρακόσιοι διὰ τὸ πῦρ, ἀλλὰ ἀπεχώρουν πάλιν. καὶ γὰρ πρός τε τὸν κύκλον βοήθεια ἤδη κάτωθεν τῶν Ἀθηναίων, ἀποδιωχάντων τοὺς ἐκεῖ, ἐπανήει, καὶ αἱ νῆες ἅμα αὐτῶν ἐκ τῆς Θάψου, ὥσπερ εἴρητο, κατέπλεον ἐς τὸν μέγαν λιμένα. ἃ ὁρῶντες οἱ ἄνωθεν κατὰ τάχος ἀπῆσαν, καὶ ἡ ξύμπασα στρατιὰ τῶν Συρακοσίων ἐς τὴν πόλιν, νομίσαντες μὴ ἂν ἔτι ἀπὸ τῆς παρούσης σφίσι δυνάμεως ἱκανοὶ γενέσθαι κωλῦσαι τὸν ἐπὶ τὴν θάλασσαν τειχισμόν.

103. Cum animum jam abjicerent Syracusani, cum Nicia agunt; et ducibus suis infestantii sui culpam imputantes, eis imperium abrogant et alios constituunt.

Μετὰ δὲ τοῦτο οἱ Ἀθηναῖοι τροπαῖον ἔστησαν, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Συρακοσίοις, καὶ τοὺς μετὰ Λαμάχου καὶ αὐτὸν ἐκομίσαντο. καὶ παρόντος ἤδη σφίσι παντὸς τοῦ στρατεύματος, καὶ τοῦ ναυτικοῦ καὶ τοῦ πεζοῦ, ἀπὸ τῶν Ἐπιπολῶν καὶ τοῦ κρημνώδους ἀρξάμενοι ἀπετείχιζον μέχρι τῆς θαλάσσης τείχει διπλῷ τοὺς Συρακοσίους. τὰ δ' ἐπιτήδεια τῇ στρατιᾷ ἐσήγετο ἐκ τῆς Ἰταλίας πανταχόθεν. ἦλθον δὲ καὶ τῶν Σικελῶν πολλοὶ ξύμμαχοι τοῖς Ἀθηναίοις, οἳ πρότερον περιεωρῶντο, καὶ ἐκ τῆς Τυρσηνίας νῆες πεντηκόντοροι τρεῖς. καὶ τἆλλα προὐχώρει αὐτοῖς ἐς ἐλπίδας. καὶ γὰρ οἱ Συρακόσιοι πολέμῳ μὲν οὐκέτι ἐνόμιζον ἂν περιγενέ-

ὑλήγων. 7. Κατὰ τάχος ἀπῆσαν] ἦγον οἱ Συρακόσιοι. 20. Περιεω-

4. ἀποδιωξάντων A.E.F.H.K.N. e.k.
6. εἴρηται Q.f.
μεγαλιμένα Q.i.
7. ἀπῆσαν κατὰ τάχος B.h. κατὰ τάχος ἐπῆσαν A.E.F.H.Q. f.g.
9. σφίσι om. i.
13. λάχητος P. μαλάχου K.
αὐτοὶ F.L.O.P. αὐτῶν g.
14. σφίσι om. i.
16. τῆς om. e.
τείχει διπλῷ μέχρι τῆς θαλάσσης f.
18. πολλαχόθεν Q.
δὲ om. f.
19. σικελιωτῶν B.h.
ξύμμαχοι om. L.O.
καὶ τοῖς K.
20. περιωρῶντο g.
πεντηκόντεροι A.E.k.
21. τἆλλα] πάντα B.h.
ἐλπίδα B.f.h.

σθαι, ὡς αὐτοῖς οὐδὲ ἀπὸ τῆς Πελοποννήσου ὠφελία οὐδεμία ἦκε, τοὺς δὲ λόγους ἔν τε σφίσιν αὐτοῖς ἐποιοῦντο ξυμβατικοὺς καὶ πρὸς τὸν Νικίαν· οὗτος γὰρ δὴ μόνος εἶχε Λαμάχου τεθνεῶτος τὴν ἀρχήν. καὶ κύρωσις μὲν οὐδεμία ἐγίγνετο, οἷα δὲ εἰκὸς ἀνθρώπων ἀπορούντων καὶ μᾶλλον ἢ πρὶν πολιορκουμένων, πολλὰ ἐλέγετο πρός τε ἐκεῖνον καὶ πλείω ἔτι κατὰ τὴν πόλιν. καὶ γάρ τινα καὶ ὑποψίαν ὑπὸ τῶν παρόντων κακῶν ἐς ἀλλήλους εἶχον, καὶ τοὺς στατηγούς τε, ἐφ' ὧν αὐτοῖς ταῦτα ξυνέβη, ἔπαυσαν, ὡς ἢ δυστυχίᾳ ἢ προδοσίᾳ τῇ ἐκείνων βλαπτόμενοι, καὶ ἄλλους ἀνθείλοντο, Ἡρακλείδην καὶ Εἰκλέα καὶ Τελλίαν.

104. Interim Gylippus cum paucis navibus, duabus Laconicis, totidem Corinthiis, decem Leucadiis et tribus Ambraciotis Tarentum venit.

Ἐν δὲ τούτῳ Γύλιππος ὁ Λακεδαιμόνιος καὶ αἱ ἀπὸ τῆς Κορίνθου νῆες περὶ Λευκάδα ἤδη ἦσαν, βουλόμενοι ἐς τὴν Σικελίαν διὰ τάχους βοηθῆσαι. καὶ ὡς αὐτοῖς αἱ ἀγγελίαι ἐφοίτων δεινὰ καὶ πᾶσαι ἐπὶ τὸ αὐτὸ ἐψευσμέναι, ὡς ἤδη παντελῶς ἀποστετειχισμέναι αἱ Συράκουσαί εἰσι, τῆς μὲν Σικελίας οὐκέτι ἐλπίδα οὐδεμίαν εἶχεν ὁ Γύλιππος, τὴν δὲ Ἰταλίαν βουλόμενος περιποιῆσαι, αὐτὸς μὲν καὶ Πυθὴν ὁ Κορίνθιος ναυσὶ δυοῖν μὲν Λακωνικαῖν δυοῖν δὲ Κορινθίαιν ὅτι τάχιστα ἐπεραιώθησαν τὸν Ἰόνιον ἐς Τάραντα, οἱ δὲ Κορίνθιοι, πρὸς ταῖς σφετέραις δέκα Λευκαδίας δύο καὶ Ἀμπρακιώτιδας τρεῖς προσ-

ρῶντο] ἤγουν κατεφρόνουν. 4. Κύρωσις] βεβαίωσις τῆς φιλιώσεως. 7. Ἐκεῖνον] τὸν Νικίαν. 16. Ἐπὶ τὸ αὐτὸ ἐψευσμέναι] ψευδεῖς μὲν, σύμφωνοι δέ. 19. Περιποιῆσαι] σῶσαι.

1. αὐδὲ om. f.
3. ξυμβατικοὺς om. d.
ἤδη B.E.h.
6. πρὶν om. K.b.e.
7. ἐκεῖνον τὸν νικίαν καὶ E.
τὴν om. Q.
8. ἀπὸ F.H.N.c.g.
κακῶς K.k.
9. τε om. O.
11. εὐρυκλέα B.h.
12. τελίαν L.O.
13. γύλλιππος B. ut solet.
14. περὶ τὴν λευκάδα Q.
20. λακωνικῶν Q.
22. ἰόνιον d.i.
23. λευκαδίαις c.g.

πληρώσαντες, ὕστερον ἔμελλον πλεύσεσθαι. καὶ ὁ μὲν Γύλιππος, ἐκ τοῦ Τάραντος ἐς τὴν Θουρίαν πρῶτον πρεσβευσάμενος κατὰ τὴν τοῦ πατρός ποτε πολιτείαν, καὶ οὐ δυνάμενος αὐτοὺς προσαγαγέσθαι, ἄρας παρέπλει τὴν Ἰταλίαν, καὶ ἁρπασθεὶς ὑπ' ἀνέμου κατὰ τὸν Τεριναῖον κόλπον, ὃς ἐκπνεῖ ταύτῃ μέγας, κατὰ Βορέαν ἑστηκώς, ἀποφέρεται ἐς τὸ πέλαγος, καὶ πάλιν χειμασθεὶς ἐς τὰ μάλιστα τῷ Τάραντι προσμίσγει· καὶ τὰς ναῦς, ὅσαι ἐπονήσαν ὑπὸ τοῦ χειμῶνος, ἀνελκύσας ἐπεσκεύαζεν. ὁ δὲ Νικίας πυθόμενος αὐτὸν πλέοντα ὑπερεῖδε τὸ πλῆθος τῶν νεῶν, ὅπερ καὶ οἱ Θούριοι ἔπαθον, καὶ ληστικώτερον ἔδοξε παρεσκευασμένους πλεῖν, καὶ οὐδεμίαν φυλακὴν πω ἐποιεῖτο.

105. Lacedæmonii Argivum agrum vastant, Athenienses autem, appulsa in Laconicam tum

Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ θέρους καὶ Λακεδαιμόνιοι ἐς τὸ Ἄργος ἐσέβαλον αὐτοί τε καὶ οἱ ξύμμαχοι, καὶ τῆς γῆς τὴν πολλὴν ἐδῄωσαν. καὶ Ἀθηναῖοι Ἀργείοις τριάκοντα ναυσὶν ἐβοήθησαν· αἵπερ τὰς σπονδὰς φανερώτατα πρὸς Λακεδαιμονίους αὐτοῖς ἔλυ-

6. Μέγας, κατὰ Βορέαν ἑστηκὼς] ἦγουν κατὰ τὸ πρόσωπον τοῦ Βορέου, οὐχ ὁ κόλπος, ἀλλ' ὁ ἄνεμος. τὸ δὲ ἑστηκὼς ἤτοι στάσιμος ὢν καὶ διηρεκὴς, ὡς καὶ στάσιν ἀνέμου λέγομεν, ἢ κατ' αὐτὸν βοῤῥᾶν. 8. Προσμίσγει] ἐλλιμενίζει. 9. Ἐπεσκεύαζεν] ἦγουν ἀνεκαίνιζεν. 10. Ὑπερεῖδε τὸ πλῆθος]

1. πληρώσαντες A.f.
ὕστερον om. i.
πλεύσασθαι Q.
3. κατὰ] καὶ B.h.
ποτε] ἀνανεωσάμενος B.h. om. K.
καὶ om. L.O.k.
οὐδὲ g.
4. παρέπλευσε B.
5. ἁρπασθεὶς A.B.E.F.H.K.L. N.O.Q.c.d.e.g.h.i.k. vulgo ἀναρπασθείς.
τυρρηναῖον O. τερινναῖον c.
6. ἐκπλεῖ e.
8. προσμίγει F.H.K.L.Q. c.d. e.f.g.i.k.
ὅσαι μάλιστα ἐπόνησαν B.h.
9. ἀπὸ Q.g.
ἀπεσκεύαζεν H.
10. προσπλέοντα B.h.
12. παρασκευασαμένους A.e.
φυλακὴν που f. πως φυλακὴν h.
13. ἐποιοῦντο h.
14. δὲ om. O.
χρόνους καὶ τούτου τοῦ θέρους λακεδαιμόνιοι E.
17. ἐβοήθησαν g.
18. πρὸς] τὰς πρὸς τοὺς B.h.

σαν. πρότερον μὲν γὰρ λῃστείαις ἐκ Πύλου, καὶ περὶ τὴν ἄλλην Πελοπόννησον μᾶλλον ἢ ἐς τὴν Λακωνικὴν ἀποβαίνοντες, μετά τε Ἀργείων καὶ Μαντινέων ξυνεπολέμουν, καὶ πολλάκις Ἀργείων κελευόντων ὅσον σχόντας μόνον ξὺν ὅπλοις ἐς τὴν Λακωνικὴν καὶ τὸ ἐλάχιστον μετὰ σφῶν δηώσαντας ἀπελθεῖν, οὐκ ἤθελον· τότε δὲ Πυθοδώρου καὶ Λαισποδίου καὶ Δημαράτου ἀρχόντων ἀποβάντες ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν καὶ Πρασιὰν καὶ ὅσα ἄλλα, ἐδῄωσαν τῆς γῆς, καὶ τοῖς Λακεδαιμονίοις ἤδη εὐπροφάσιστον μᾶλλον τὴν αἰτίαν ἐς τοὺς Ἀθηναίους τοῦ ἀμύνεσθαι ἐποίησαν. ἀναχωρησάντων δὲ τῶν Ἀθηναίων ἐκ τοῦ Ἄργους ταῖς ναυσὶ καὶ τῶν Λακεδαιμονίων, οἱ Ἀργεῖοι ἐσβαλόντες ἐς τὴν Φλιασίαν τῆς τε γῆς αὐτῶν ἔτεμον, καὶ ἀπέκτειναν τινας, καὶ ἀπῆλθον ἐπ' οἴκου.

primum classe, Lacedæmoniis justam belli integrandi causam præbuerunt.

κατεφρόνησε. 5. Καὶ τὸ ἐλάχιστον] ἤγουν καὶ ἐπ' ἐλαχίστου. 8. Ἀποβάντες] ἤγουν οἱ Ἀθηναῖοι. 10. Εὐπροφάσιστον] εὐάφορμον.

1. λῃστεῖαι E.
καὶ om. g.
3. ξυνεπολέμουν B.h. ceteri ἐπολέμουν.
4. ἔχοντας B.h.
5. ἐν τῇ λακωνικῇ g.
6. μετ' αὐτῶν Q.
δῃώσαντες A.E.F.H.h.
δὴ K.
7. Λαισποδίου] Ad hunc, ut puto, alludit Aristophanes, pag. 612. Edit. Calder. Avib. v. 1568. quum dicit: Λαισποδίας εἶ τὴν φύσιν. Vide Palmerium ad Gr. Auct. p. 758. et Vossium ad Catullum p. 235. Hudb. Est de eodem in Thucyd. lib. VIII. cap. 86. Λαισποδίου Interpretes hic perperam reddunt Læspodio, pro Læspodia, ut recte VIII. 86. Duk.
8. ἐς om. E.
λιμέραν A.F.H.g.
πρασίαν A.E.K.L.O.g. πρασιὰς B. πρασιὰν F.H.c.
9. ὅσα ἄλλα] ἄλλα ἅττα B.
11. ἀμύνασθαι Q.
12. ἐξ ἄργους B.
13. τε] γε g.
14. ἀπέκτειναν τέ τινας B.h.